





VE
RI
TAS





# RHETORES GRAECI

EX

CODICIBUS FLORENTINIS MEDIOLANENSIBUS MONACENSIBUS NEAPOLITANIS PARISIENSIBUS ROMANIS VENETIS, TAURINENSIBUS ET VINDOBONENSIBUS

EMENDATIORES ET AUCTIORES EDIDIT

SUIS ALIORUMQUE ANNOTATIONIBUS INSTRUXIT INDICES LOCUPLETISSIMOS ADIECIT

CHRISTIANUS WALZ

PROFESSOR TUBINGENSIS.



VOL. V.

STUTTGARTIAE ET TUBINGAE
sumtibus J. G. COTTAE.
LONDINI
apud BLACK, YOUNG et YOUNG. Tavistock Street.
LUTETIAE
apud FIRMIN DIDOT.
MDCCCXXXIII.

Quae quum ita sint, ea, quae Planudae commentario ob conservata veterum oratorum et poëtarum fragmenta laus tributa est, ad Anonymum nostrum erit transferenda, quin vituperandus etiam Planudes, quod his ipsis, quos expilavit, locis, elegantissima fragmenta transmisit: ut libro quarto *περὶ εὑρέσεων*. „*Ἔστι δὲ ἀεὶ τὸ ἐπῳδὸν βραχύτερον τοῦ πρὸ αὐτοῦ στίχου συλλαβὰς τέσσαρας, οἷον στίχος μὲν ὁ πρῶτος, ἤγουν στροφὴ, ἤτοι κῶλον, οἷον·*

*Πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;* [1]

*εἶτα τὸ ἐπῳδόν·*

*Τίς* [2] *σὰς παρῄειρε φρένας;*

*εἶτα ἀντίστροφος ἤτοι κῶλον·*

*Ἆς* [3] *τὸ πρὶν ἠρήρεισθα, νῦν δὲ δὴ πολύς.*

*εἶτα πάλιν ἐπῳδόν·*

*Ἀστοῖσι φαίνεαι γέλως.*

Addo Sapphus fragmentum ex libro *περὶ ἰδεῶν·*

*Οἷον τὸ γλυκύμαλον* [4] *ἐρεύθεται ἄκρῳ ἐπ' ὄσδῳ,*
*Ἄκρον ἐπ' ἀκροτάτῳ, λελάθοντο δὲ μαλοδροπῆες.* [5]
*Οὐ μὴν ἐξελάθοντ', ἀλλ' οὐκ ἐδύναντ' ἐφικέσθαι.*

III. *ΜΑΞΙΜΟΥ ΠΕΡΙ ΤΩΝ ἈΛΥΤΩΝ ἈΝΤΙΘΕΣΕΩΝ.* p. 577—590.

IV. *ἈΝΩΝΥΜΟΥ ΠΕΡΙ ΣΤΑΣΕΩΝ.* p. 591—597.

V. *ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ ΠΕΡΙ ΣΥΝΘΗΚΗΣ ΤΩΝ ΤΟΥ ΛΟΓΟΥ ΜΕΡΩΝ.* p. 598—601.

— *ΣΥΝΟΨΙΣ ΤΩΝ ΡΗΤΟΡΙΚΩΝ ΙΔΕΩΝ.* p. 601—605.

VI. *ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ.* p. 608—610.

---

1 Inter Archilochi fragmenta nr. LXXXIV. ed. Gaisf. duo versus priores leguntur. 2 Mon. 8. *τί.* Parr. *τίς.* tum omnes codd. *τὰς σάς.* 3 Codd. *ἧς*, scripsi *ἇς.* Io. Sicel. versum secundum ita profert: *τίς σὰς παριηγε* (superscr. *ρε*) [sic] *φρένας, ἇς πρὶν γ' ἔσχες.* 4 Mon. Par. 2977. *γλυκὺ μᾶλλον εὑρίσκεται.* Par. 2916. *γλ. μᾶλλον εὑρέθεται.* Ven. *γλ. μᾶλον ἐρεύθεται.* 5 Mon. Parr. *μελαδροπῆες.* Ven. *μαλοδροπῆες.*

# ΣΩΠΑΤΡΟΥ
## ὙΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ἙΡΜΟΓΕΝΟΥΣ ΤΕΧΝΗΝ.

Δίκαιον τοῖς λογικὴν ἐξετάζουσι τέχνην αὐτὸ τοῦτο πρῶτον, ὅ τί ποτέ ἐστι λόγος, ζητῆσαι. Λόγος οὖν ἐστι κοινὸς ἔννοια ἀνθρωπίνη, καθ᾽ ἣν τὸ λογίζεσθαι καὶ δηλοῦν ἡμῖν περίεστιν· οἱ δὲ συντόμως ὡρίσαντο· „λόγος ἐστὶν ἀνθρώπου γνώρισμα·“ οἱ δὲ ἄλλως· „λόγος ἐστὶν εὕρημα μὲν θεῶν, ἀνθρώπων δὲ γνώρισμα, διάκρισις δὲ ποιότητος ψυχῶν, καθ᾽ ἣν αἱ τῆς ψυχῆς προάγονται ἐνέργειαι.“ Λόγος μὲν οὖν ἐστιν οὗτος, εἴδη δὲ αὐτοῦ δύο, προφορικὸς καὶ ἐνδιάθετος· ἀνθρώπου γὰρ φύσεως ἔργον ὁ λόγος, καὶ δὴ ἅπας ἄνθρωπος λογικός, τέχνη δὲ προσείληφε τὸ εὖ λέγειν· ἡ γὰρ τέχνη καλλωπίζει τὸν λόγον· δύο οὖν, ὡς εἴρηται, εἴδη λόγου, προφορικὸς καὶ ἐνδιάθετος· καὶ ὁ μὲν προφορικός, καθ᾽ ὃν διαλεγόμεθα καὶ συντυγχάνομεν, καὶ προφερόμεθα τοὺς λογισμούς· ὁ δὲ ἐνδιάθετος, καθ᾽ ὃν καὶ σιωπῶντες καὶ κοιμώμενοι λογικοί ἐσμεν· εἰ γὰρ τῷ λαλεῖν μόνον ἦμεν λογικοί, ἦν ὅτε οὐκ ἦμεν, δηλονότι ὅτε σιωπῶμεν· ὅρος τοίνυν ἐστὶν οὗτος τοῦ προφορικοῦ· „δήλωσις ἀνθρώπου προφορικὴ ἔντεχνος.“ Ἀ-

πας δὲ ὅρος ἐκ γένους διαφόρου καὶ ἰδιότητος σύγκειται· τὸ γεγονὸς μέν ἐστιν, ἀφ᾽ οὗ τέμνεται τὸ πρᾶγμα, περὶ οὗ ὁ ὅρος· διαφορὰ δὲ ἡ διϊστῶσα ἀπὸ τῶν ὁμοίων· ἡ ἰδιότης δὲ ἡ μηνύουσα τὸ ἴδιον τοῦ ὑποκειμένου πράγματος· καὶ οὗτος τοίνυν ὁ ὅρος εἴδωμεν εἰ εὖ ἔχει. Δήλωσις, τοῦτο τὸ γένος· διατί; ὅτι δηλοῖ. Ἔστι δὲ καὶ ἄλλως δηλῶσαι· καὶ γὰρ καὶ τὰ ἄλογα ζῶα δηλοῖ πρὸς ἑαυτὰ τῇ ἰδίᾳ φωνῇ, διὸ προσέθηκεν, ἀνθρώπου, ἵνα ἀποδιαστήσῃ τῶν ἄλλων· ἐπειδὴ δέ ἐστι καὶ ἄνθρωπον ἄλλως δηλοῦν διὰ νευμάτων, προσέθηκε τὸ προφορική· τὰ γὰρ νεύματα οὐ προφέρεται, ἀλλὰ δείκνυται· τὸ δὲ ἔντεχνος πρὸς τὴν χρείαν τῆς τέχνης· καὶ οὗτος μὲν προφορικοῦ ὅρος· ἐνδιαθέτου δέ, ἕξις ψυχῆς ἀνθρώπου, καθ᾽ ἣν λογικοί ἐσμεν· ἕξισμεν μὲν οὖν τὸ γένος· πᾶν γὰρ ζῶον ἔχει τινὰ ἕξιν φυσικήν· ἐπειδὴ δέ ἐστι καὶ σώματος ἕξις ἢ ἰσχύος ἢ εἴδους ἢ τοιούτου τινός, προσέθηκε ψυχῆς, ἀποδιϊστῶν τῶν ἀλόγων ζώων, κἀκεῖνα γὰρ ἔχει ψυχῆς ἕξιν, ὡς θυμικὸς μὲν ὁ λέων, νωθὴς δὲ ὁ ὄνος καὶ τὰ τοιαῦτα. Προσέθηκε, „καθ᾽ ἣν λογικοί ἐσμεν,“ τὸ ἴδιον τοῦ ἀνθρώπου διοριζόμενος· ὥσπερ δὲ δύο εἴδη λόγου, οὕτως εἴδη τεχνῶν, καὶ ἡ μὲν τοῦ ἐνδιαθέτου ἐστίν, ἡ περὶ ἐνθυμημάτων καὶ ἐπιχειρημάτων γεγραμμένη, ἡ διδάσκουσα πῶς δεῖ ἐνθυμεῖσθαι καὶ λογίζεσθαι· ὁ δὲ προφορικὸς οὐχ ὑπὸ μιᾶς τέχνης γίνεται, ἀλλ᾽ ὑπὸ δύο, τῆς τε γραμματικῆς καὶ τῆς ῥητορικῆς· ἡ μὲν γὰρ γραμματικὴ τὸ ἀδιάπταιστον αὐτῇ παρέχει, ἡ δὲ ῥητορικὴ τὸ κεκαλλωπισμένον καὶ ἰσχυρόν· πάλιν τῆς ῥητορικῆς δύο τέχναι· ἡ μὲν τὸ κάλλος παρέχουσα, ἡ περὶ ἰδεῶν καὶ σχημάτων· ἡ δὲ τὴν ἰσχὺν διδάσκουσα περὶ τὸ τοῦ παθητικοῦ καὶ ἀποδεικτικοῦ· ὁ γὰρ λόγος εἰς δύο τέμνεται· εἴς τε τὸ παθητικὸν καὶ ἀποδεικτικόν· καὶ παθητικοῦ μὲν μέρη προοίμια καὶ ἐπίλογοι, ἀποδεικτικοῦ δὲ καταστάσεις καὶ ἀγῶνες. Ἐρ-

γα δὲ ῥήτορος, νόησις, εὕρεσις, διάθεσις· νόησις μὲν, ὅτι δεῖ τρία ταῦτα νοῆσαι· πρῶτον μὲν, εἰ ἰατρικόν ἐστι τὸ ζήτημα· εἰσὶ γὰρ καὶ ἰατρικὰ καὶ φιλόσοφα ζητήματα· καὶ ἰατρικοῦ μὲν ζητήματος παράδειγμα, ὃ καὶ μεμέληται τῷ Λυσίᾳ[1]· εἰ ὁ ποιήσας ἐξαμβλῶσαι[2] γυναῖκα φόνον ἐποίησεν· δεῖ γὰρ γνῶναι πρῶτον, εἰ ἔζη, πρὶν ἐτέχθη. ὅπερ φυσικῶν καὶ ἰατρικῶν ἐστι· φιλοσόφου δὲ ζητήματος παράδειγμα τόδε· ζωγράφῳ τις ὑπέσχετο δώσειν χιλίας δραχμὰς, εἰ τὸ κάλλιστον γράψας εἴη· ὁ δὲ ἀπαιτεῖ τὰς χιλίας κύκλον γράψας· φιλόσοφον οὖν τὸ ζήτημα, ζητοῦμεν γὰρ, εἰ κύκλος ὁ κόσμος, καὶ εἰ ὁ κόσμος ζῶν· δεῖ τοίνυν νοῆσαι, πρῶτον μὲν εἰ πολιτικὸν τὸ ζήτημα, καὶ εἰ συνέστηκε, καὶ ποίας στάσεώς ἐστι· τούτων γὰρ προνοηθέντων ἐπὶ τὴν εὕρεσιν ἐρχόμεθα· ἡ δὲ εὕρεσίς ἐστιν ἡ τῶν ἐνθυμημάτων ποικιλία τοῦ εὑρεῖν, τί εἴπωμεν, ἡ δὲ διάθεσις ἡ τὰ εὑρεθέντα κατὰ τὸν οἰκεῖον τάττουσα τόπον.

### Περὶ τέχνης καὶ ἐμπειρίας καὶ ἐπιστήμης.

Τριῶν δὲ ὄντων, δι᾽ ὧν τὸ πρᾶγμα συνίσταται, τέχνης φημὶ καὶ ἐπιστήμης καὶ ἐμπειρίας, ἀναγκαῖον ζητῆσαι, τί ποτέ ἐστιν ἡ ῥητορική. Τρεῖς μὲν εἰσιν αἱ περὶ παντὸς πράγματος ζητήσεις, τίς ἡ τέχνη, καὶ τίς ὁ τεχνίτης, καὶ πῶς τὸ ἔργον αὐτῆς ἐργασώμεθα· ἐν δὲ τῷ, τίς ἡ τέχνη, ζητητέον, πότερον ἢ τέχνη ἢ ἐπιστήμη ἢ ἐμπειρία ἐστὶ, καὶ ὅπως τὴν ἀρχὴν γέγονε, καὶ τίς ἡ ἐξ αὐτῆς ὠφέλεια· ἀναγκαῖον οὖν καὶ ἡμᾶς κατὰ ταῦτα τὸν περὶ τῆς ῥητορικῆς λόγον διεξελθεῖν. ἴδωμεν[3] οὖν πρῶτον, τί διενηνόχασιν ἑαυτῶν ἡ τέχνη καὶ ἡ ἐπιστήμη καὶ ἡ ἐμπειρία. Ἐπιστήμη μὲν οὖν ἐστιν ἀδιάπτωτος τῶν ὄντων προσφορά· τί ἐστι τοῦτο; τὸ ἀεὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν γινώσκειν, καὶ μήτε καιροῖς

---

1 Cf. Theon. Prog. c. II. p. 165. 2 Cod. ἐξαμβλῶναι. 3 Cod. εἴδομεν.

μήτε προσώποις μεταβαλλομένην ἔχειν τὴν εἴδησιν, ὅπερ φιλοσοφίας οἰκεῖον· ἀεὶ γὰρ τὸ σφαιροειδῆ εἶναι τὸν οὐρανὸν καὶ τὸ ἀεικίνητον τὸ πᾶν, καὶ τὸ ἀθάνατον τὴν ψυχὴν ἡ φιλοσοφία οἶδε, μηδὲν τούτων μεταμανθάνουσα· ἡ δὲ τέχνη κοινὸν μὲν ὅρον ἔχει· σύστημα ἐκ καταλήψεως [1] συγγεγυμνασμένον πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. Διενήνοχε δὲ ἡ τέχνη τῆς ἐπιστήμης, τῷ μὴ ἀδιαπτώτῳ κεχρῆσθαι τῷ σκοπῷ, ἀλλὰ μεθαρμόζεσθαι πρὸς πρόσωπα καὶ καιρούς, ὥσπερ οἱ ἰώμενοι, ἵνα κατ᾽ ἰατροὺς εἴπωμεν, ζητοῦσιν ὥραν, χώραν, ἡλικίαν, καὶ τῷ Σκύθῃ μὲν νοσοῦντι θερμὰ ἐπάγουσι βοηθήματα, διὰ τὴν φύσιν τῆς χώρας καὶ τὸ πάνυ ψυχρὸν, τῷ δὲ Ἰνδῷ ψυχρὰ διὰ τὸ θερμὸν τῆς χώρας, καὶ πρεσβύτῃ καὶ νέῳ διαφόρως. Ἡ δὲ ἐμπειρία ἕξις τίς ἐστι τοῦ πραχθέντος ἀπομιμητικὴ, ἤτοι ἄλογος τῶν προκειμένων τριβὴ, ἤτοι ἐκμίμησις τοῦ πραχθέντος, ἐξ ἀδιακρίτου κρίσεως. Κατὰ πάντας οὖν τοὺς ὅρους τὸ εἰκῆ καὶ ἀδιακρίτως καὶ ἀγνοουμένης αἰτίας πράττειν τι ἐμπειρία ἐστί· διενήνοχε δὲ τῷ ἐκείνην μὲν καὶ ἀμείβειν καὶ προστιθέναι καὶ κατὰ τάξιν τινὰ τρέπειν μετ᾽ αἰτίας μέντοι· τὴν δὲ ἄνευ αἰτίας ταῦτα γινώσκειν· ὁ γὰρ ἐμπειρίᾳ θεραπεύων ἑωρακὼς ἐκ φλεβοτομίας πολλάκις νέον ὑγιάναντα, ἤδη καὶ πρεσβύτῃ τοῦτο ποιήσας ἠδίκησέ τε καὶ ἔβλαψε· καὶ ψυχροποσίαν ἐν θέρει διδομένην ἑωρακὼς ἔδωκεν ἐν χειμῶνι, καὶ τὸ αὐτὸ πεποιηκὼς ἀπώλεσεν· αἱ μὲν οὖν διαφοραὶ αἱ τούτων τοιαῦταί εἰσιν. Τί δ᾽ ἂν εἴη τούτων ἡ ῥητορικὴ ζήτησις; ὅσοι μὲν οὖν σεμνύνειν αὐτὴν βούλονται, ἐπιστήμην εἶναι λέγουσι λέγοντες, ὡς ἀεὶ ταὐτὰ περὶ [2] τῶν αὐτῶν ἔγνωκε καὶ ἀεὶ τοῖς αὐτοῖς κεφαλαίοις τὸν στοχασμὸν τέμνει, καὶ τὸν ὅρον ὁμοίως· ὁ δὲ Πλάτων [3] διαβάλλων ἐμπειρίαν εἶναί φησιν· ἡμεῖς δέ φαμεν, ὅτι οὔτε

1 Cod. καταλείψεως. 2 Cod. ταῦτα. 3 Gorg. c. 18. p. 463. B.

ἐπιστήμης οὔτε ἐμπειρίας ἐστίν· εἰ γὰρ φαίνεται ὀργιζομένῳ μὲν δικαστῇ ἄλλως προσφερόμενος, κατεπτηχότι δὲ ἄλλως, ὅπερ καὶ Θουκυδίδης περὶ Περικλέους λέγει· ὅτι εἴπου ἴδοι[4] τὸν δῆμον παρὰ καιρὸν ὕβρει θαῤῥοῦντα, λέγων κατέπληττεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότων αὖ πάλιν τὸν λόγον ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαῤῥεῖν. πῶς ἂν εἴη ἐπιστήμη καιροῖς καὶ προσώποις καὶ χρείαις καὶ πράγμασι μεταβαλλομένη; ὅταν δὲ τῶν παρ' αὐτῆς πραττομένων ἔχῃ αἰτίαν καὶ εἴδῃ ὁ πράττων, διατί τόδε τι πράττει, ἢ τόδε τι ἐναλλάττει, πῶς ἂν εἴη ἐμπειρία; αὐτὴ γὰρ οὐ μίμησις ἀλλ' εἴδησίς ἐστι. Τέχνη οὖν ἂν εἴη· τεχνῶν δὲ εἴδη τρία, θεωρητική, πρακτική, μικτή· καὶ θεωρητικὴ μέν ἐστιν, ἧς τὸ πέρας οὐ βεβαιοῦται πράξει τινὶ, οἷον γραμματική· ἐθεώρησε γὰρ, ὅτι τὰ εἰς ευς ὀξύνεται, καὶ ἀπέδειξε, καὶ τὸ πᾶν αὐτῆς πεπέρανται.[5] Καὶ οἱ Στωϊκοὶ δὲ, καὶ οὗτοι γὰρ κράσεις στοιχείων τινὰς θεωρήσαντες, ἤ τινος τῶν τοιούτων ἐστὶν αὐτοῖς ἀεὶ ζήτησις, πλέον μὲν οὐδὲν προσέθεσαν. Πρακτικαὶ δὲ πᾶσαι μὲν αἱ βάναυσοι, καὶ ἡ μουσική. Πράττει γὰρ καὶ αὐτὴ τῇ ψυχῇ, ἢ λύπην ἰᾶται, ἢ χαρὰν ἐμποιεῖ ἢ ἡδονήν· μικτὴ δὲ ἡ ἰατρική, καὶ γὰρ θεωρητικὸν ἔχει λόγον, καὶ πρακτικήν τινα ἐπαγωγήν· θεωρεῖ γὰρ, πῶς δεῖ ἰάσασθαι, καὶ λέγει τὸν περὶ αὐτοῦ λόγον, καὶ προστίθησι τὸ ἔργον· ἔστιν οὖν καὶ ἡ ῥητορικὴ μικτὴ, θεωρητικὴ καὶ πρακτική· καὶ γὰρ ἐθεώρησε καὶ λόγον εἶπε καὶ πρᾶξίν τινα ἐπήγαγε τῷ πέρατι ἢ ἡ συμβουλεύσασα, ἢ δικασαμένη. Τὸ γὰρ πανηγυρικὸν αὐτῆς τοῦ θεωρητικοῦ ἂν εἴη μόνου. Διαλαβόντας οὖν ἡμᾶς περὶ τοῦ ὁποία τέχνη ἐστὶν, ἀναγκαῖον καὶ ὁπόθεν ἤρξατο καὶ ἧκεν διαλαβεῖν. Ἦν μὲν ἄνωθεν παρὰ τοῖς θεοῖς· τοῦτό φασιν Ὅμηρον ἐνδείκνυσθαι λέγοντα·[6]

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο·

4 Cod. εἴδοι. Thuc. II, 65. 5 Cod. αὐτοῖς πεπαιρέωται. 6 Il. Δ. 1.

ἤκμασε δὲ ἐν τοῖς ἥρωσι, καὶ ὁ μὲν Πλάτων[6*] καὶ τοὔνομα αὐτῆς ἐκ τούτου δίδωσι, παρὰ τὸ εἴρειν καὶ λέγειν· τοὺς γὰρ ἥρωας διαλεκτικοὺς οἶδε καὶ ῥητορικούς· φαίνεται δὲ καὶ ὁ ποιητὴς παντοῖα εἰδὼς ῥητορικῆς παραδείγματα. τὸν μὲν γὰρ ταχὺν καὶ σύντομον καὶ ἀποδεικτικὸν ῥήτορά φησι λέγειν νιφάδεσσιν ὅμοια, καὶ τὸν πυκνὸν καὶ σύντομον, οὐδὲν δὲ ἧττον ἀποδεικτικὸν, παῦρα μὲν, ἀλλὰ μάλα λιγέως· οἶδεν δὲ τὴν ἀταξίαν τῆς δημαγωγίας καὶ τοὺς ἀδιακρίτως καὶ ἀτέχνως[7] λέγοντας, ὁποῖοί ποτέ εἰσιν, ὥσπερ τὸν Θερσίτην·

Ὅς ῥ' ἔπεα φρεσὶν ᾖσιν ἄκοσμά τε πολλά τε ᾔδη.[8]

Καὶ πρῶτόν γε ἁπάντων γενέσθαι φασὶ παρ' Ἀθηναίοις λόγον εἰπεῖν κατηγορικὸν, κατηγοροῦντα Θησέα ἐπὶ τῷ θανάτῳ Ἱππολύτου, μετάξὺ δὲ σβεσθῆναι· τῶν γὰρ τυραννίδων ἐν ταῖς πόλεσι γενομένων ἀναγκαίως ἡ ῥητορικὴ πρὸς ἐλευθερίαν σπουδάζουσα καὶ ἐναντία οὖσα ταῖς τυραννίσιν ἔγκλημά τε ἦν καὶ ἐπικίνδυνον γίνεσθαι. ἐν δὲ Σικελίᾳ λέγεται Φάλαριν δημαγωγικὸν λόγον εἰπεῖν καὶ ὑπαγαγέσθαι[9] τὸ πλῆθος πιθανότητι, ὥστε καὶ εἰς τυραννίδα ἐλθεῖν· μετὰ δὲ ταῦτα Κόραξ πρῶτον ἁπάντων συνεστήσατο διδασκαλίαν περὶ ῥητορικῆς· οἱ γὰρ πρὸ αὐτοῦ ἐπιτηδεύοντες τὴν τέχνην ὡς ἐμπειρίᾳ τινὶ καὶ ἐπιμελείᾳ χρώμενοι ἐπετήδευον, καὶ οὗτος μὲν οὐ μετὰ λόγου καὶ αἰτίας, οὐδὲ τέχνης τινός. Τούτου δὲ τοῦ Κόρακος Τισίας γέγονε μαθητὴς, περὶ οὗ λέγεται τοιοῦτόν τι. Τισίαν συνθέσθαι τῷ Κόρακι χιλίας δραχμὰς, ἡνίκα ἂν ἐν δικαστηρίῳ ἀγωνιζόμενος τὴν πρώτην νίκην νικήσειεν· ὄντος δὲ πρεσβυτέρου τοῦ Κόρακος οὐ προῄει ἐν δικαστηρίῳ, ἐπὶ τῷ τῇ τελευτῇ τοῦ Κόρακος κερδᾶναι τὰς ἐπαγγελίας· ἐγράψατο οὖν αὐτὸν

6* Cratyl. p. 398. D. — l. 4. ὁ abest a Cod. — l. 6. Il. Γ. 222. et l. 7. Il. Γ. 215. 7 Cod. ἐντέχνως. 8 Cod. εἴδη. Il. B. 213. 9 Cod. ὑπαγέσθαι.

ὁ Κόραξ χρέος, καὶ τοῦτο μόνον εἶπε τοῖς δικασταῖς· ὅτι ἐὰν ἡττηθῇ μοι Τισίας τὴν τοῦ χρέους γραφὴν, ὀφείλει μοι δοῦναι τὰς χιλίας, τὴν γὰρ πρώτην δίκην νενίκηκε κατὰ τὴν συνθήκην. ὁ δὲ Τισίας τὸ ἐναντίον ἀπεκρίνατο λέγων, ὅτι εἰ μὲν ἡττήθην τὴν τοῦ χρέους γραφὴν, οὐκ ὀφείλω δοῦναι, νενίκηκα γὰρ τὴν τοῦ χρέους γραφήν· τοιούτων γὰρ ἀποκρίσεων ῥηθεισῶν εἰς ἀπορίαν μὲν ἦλθον οἱ δικασταὶ, ἐβόησαν δὲ, κακοῦ Κόρακος κακὸν ὠόν. Ζῆλος οὖν εἰς τούτους πολὺς τῆς τέχνης γέγονε, καὶ Γοργίας ὁ Λεοντῖνος κατὰ πρεσβείαν ἐλθὼν Ἀθήνησι τὴν τέχνην τὴν συγγραφεῖσαν παρ' αὐτοῦ ἐκόμισεν, καὶ αὐτὸς ἑτέραν προσέθηκε καὶ μετ' αὐτὸν Ἀντιφῶν ὁ Ῥαμνούσιος, ὁ Θουκυδίδου διδάσκαλος λέγεται τέχνην γράψαι· μετὰ ταῦτα δὲ Ἰσοκράτης ὁ ῥήτωρ καὶ πᾶσαι μὲν αὗται δημαγωγικαὶ τέχναι εἰσὶν, οὐδὲν περὶ στάσεων ἔχουσαι κεφάλαιον, [10] ἢ τούτων τῶν νῦν ἐπιτηδευομένων, πιθανότητος δέ τινος, πῶς δεῖ δῆμον ὑπαγαγέσθαι. Καὶ ὅτι μὲν χρῶνται λέγοντες οἱ παλαιοὶ τέχνῃ, ὡμολόγηται, φαίνονται γὰρ τὰς αὐτὰς ὑποθέσεις ἐν διαφόροις λόγοις καὶ διαφόροις ῥητοῖς ῥήτορες ἀεὶ ὁμοίως μελετῶντες, καὶ τὴν στοχαστικὴν ἀεὶ στοχαστικῶς καὶ τοῖς αὐτοῖς κεφαλαίοις, καὶ τὴν πραγματικὴν τοῖς τῆς πραγματικῆς· δῆλον οὖν, ὡς παραδόσει τινὶ ταῦτα ἐγίνωσκον· αἱ μὲν οὖν γραφεῖσαι περὶ τούτων οὐ διελάμβανον· ὅτι δὲ καὶ δικανικαὶ τέχναι ἦσαν γεγραμμέναι παρ' αὐτῶν, δηλοῖ Ἰσοκράτης λέγων· λοιπὸν δὲ ἡμῖν εἰσιν οἱ πρὸ ἡμῶν γεγονότες καὶ τὴν καλουμένην τέχνην συγγράψαι τολμήσαντες, οὓς οὐκ ἀφετέον ἀνεπιτιμήτους, οἵ τινες οὔτε ἔσχον τὸ δικάζεσθαι διδάσκειν, ἐκλεξάμενοι τὸ δυσχερέστερον τῶν νοημάτων· αὗται μέν τοι αἱ δικανικαὶ τέχναι οὐδαμοῦ σώ-

---

10 Cod. κεφαλαίων.

ζονται· εἴτε οὖν ἐν αὐταῖς τὰ κεφάλαια ταῦτα καὶ αἱ στάσεις ἐπενοήθησαν, εἴτε καὶ ἄλλως ἐκ διδασκαλίας αὐτὰ παρέλαβον, δῆλον ὅτι αὐτοὶ τέχνῃ μετήεσαν, καὶ δῆλόν ἐστιν ἀφ᾽ ὧν τὰς ὑποθέσεις πάντες ὁμοίως μελετήσαντες φαίνονται. Ἤκμασε δὲ καθ᾽ ὑπερβολὴν ἐν τῇ δημαγωγίᾳ κατὰ τὸν Δημοσθένους καιρὸν ἡ ῥητορική, μετὰ δὲ ταῦτα ἐπὶ τῆς Ἀντιπάτρου βασιλείας, ἡνίκα Ὑπερίδης μὲν ἐγλωσσοτομήθη, Δημοσθένης δὲ ἀπέθανεν· ἐνενήκοντα δὲ καὶ ὀκτὼ λέγονται ἐκδοθῆναι ἐξ Ἀθηνῶν ῥήτορες· πάμπολλοι δὲ ἀπὸ πάσης τῆς Ἑλλάδος. Φοβερὸν δὲ τὸ τῆς ῥητορικῆς γέγονεν, καὶ ἡμάρτηται τῶν Μακεδονικῶν κακῶν κατεχόντων τὴν Ἑλλάδα· ἡνίκα δὲ ἡ Ῥωμαίων ἤκμασεν ἀρχὴ καὶ πολιτεία σώφρων κατέσχε τὰς πόλεις μάλιστα ἐπὶ Ἀδριανοῦ καὶ Ἀντωνίνου, ῥητορικῶν καὶ φιλολόγων βασιλέων, αὖθις αἱ τέχναι συνετάθησαν· φαίνεται μὲν γὰρ καὶ ὁ Κικέρων καὶ ἔτι τούτων πρεσβύτερος ὢν ταύτην τὴν ῥητορικὴν τέχνην ἐπιστάμενος, ἐξ ὧν δῆλον ὅτι ἐσώζετο· τῶν δὲ νῦν φερομένων τεχνικὸς πρῶτος Λολλιανὸς φαίνεται ἑπτὰ μόνας στάσεις εἰπών, καὶ Ἑρμαγόρας μετ᾽ αὐτὸν πέντε, μετὰ τούτους ὁ Μινουκιανός. Λέγεται δὲ πρῶτος ὁ Μινουκιανὸς εἰς τὰς δεκατρεῖς στάσεις διελεῖν, καὶ ὀνόματα ἀπὸ τοῦ σκοποῦ τῆς ἀπολογίας ποιήσασθαι· μετὰ δὲ τοῦτον Ἑρμογένης ἐγένετο, γένει μὲν ἐκ Ταρσοῦ τῆς Κιλικίας, υἱὸς Καλλίππου [11] νεώτερος, σφόδρα ταύτην τὴν τέχνην συνθείς· λέγεται γὰρ ὀκτωκαιδεκαέτης προσελθεῖν Ἀδριανῷ τῷ βασιλεῖ λέγων· „ἥκω σοι βασιλεῦ ῥήτωρ παιδαγωγούμενος, ῥήτωρ ἡλικίας δεόμενος·" γενόμενος δὲ εἴκοσι πέντε ἐτῶν λέγεται παντελῶς ἐκστῆναι, ὥστε καὶ ἀγνοῆσαι, ἃ αὐτὸς συνέθηκεν. Ὁ μὲν οὖν βίος αὐτοῦ οὗτος, δεῖ δὲ καὶ περὶ τῆς προκειμένης τέχνης

---

11 Cod. **Καλλίπου.**

διαλαβεῖν. Ζητοῦσί τινες πρῶτον, τί δήποτε τέχνην ῥητορικὴν ἐπιγράψας τὸ βιβλίον οὔτε ὅρον ῥητορικῆς ἐξέθετο, οὔτε ἀπόδειξιν, ὡς τέχνη ἡ ῥητορική, πλὴν ἀφανῶς ἐν τῷ προοιμίῳ· οὔτε ὅλως περὶ τῶν τοιούτων διέλαβε, καίτοι γε τὸν διδόντα λόγον περί τινος τέχνης χρὴ τρία ταῦτα· τρεῖς γάρ εἰσι ζητήσεις περὶ παντὸς πράγματος· τίς ἡ τέχνη, τίς ὁ τεχνίτης καὶ πῶς τὸ ἔργον τὸ ἐν αὐτῇ ἐργασώμεθα. Ἐν μὲν οὖν τῷ τίς ἡ τέχνη δειχθῆναι πρῶτον μὲν, ὅτι τέχνη, δεύτερον δὲ ὁποία τέχνη, τρίτον δὲ, εἰ καλλιτεχνία, εἰ ψευδοτεχνία· ἐν δὲ τῷ τίς ὁ τεχνίτης, εἰ φιλοσοφήσει ὁ ῥήτωρ, εἰ νόμους θήσει ὁ ῥήτωρ, τίς ποτέ ἐστιν ὁ ῥήτωρ. περὶ δὲ τοῦ τρίτου μόνον διαλαμβάνει· αἰτιῶνται μὲν οὖν ταὐτόν τινες διὰ τοῦτο. ὁ δὲ Πορφύριος ἀπολογούμενος ὑπὲρ τοῦ Μινουκιανοῦ τὸ αὐτὸ ἔγκλημα ἐγκαλουμένου, καὶ γὰρ ἐκεῖνος εἰπὼν, ὅτι ὁ ῥήτωρ ἐρεῖ πᾶν ζήτημα πολιτικὸν, οὐ προσεδίδαξεν, οὔτε τίς ὁ ῥήτωρ, οὔτε τίς ἡ ῥητορικὴ, ταύτην τὴν ἀπολογίαν προτείνεται, ἥτις καὶ ὑπὲρ Ἑρμογένους ἁρμόσει λέγεσθαι· φησὶ γὰρ, ὅτι οὐ περὶ ταύτης τῆς ῥητορικῆς διελάμβανεν, ἀλλὰ περὶ μόνου τοῦ δικανικοῦ καὶ συμβουλευτικοῦ. Περιττὸν οὖν μέρους ἐξέτασιν ποιούμενον περὶ πάσης λέγειν τῆς τέχνης· Καὶ ἡ μὲν ἀπολογία αὕτη, ἴδωμεν δὲ, εἰ εὖ ἔχει, καὶ εἴπωμεν ἐπ᾿ ἀμφότερα λόγους βεβαιοῦντας καὶ ἀνασκευάζοντας τὴν ἀπολογίαν. Οἱ μὲν οὖν φιλονείκως ἀνασκευάζοντες τοιούτοις χρῶνται λόγοις, ὅτι περὶ πάσης τέχνης διαλαμβάνει, καὶ οὐκ ἀληθὴς ὁ Πορφυρίου λόγος· πρῶτον μὲν γὰρ αὐτὸς ὁ τεχνικός φησι, „κἂν ταῖς βουλαῖς, κἂν τοῖς δικαστηρίοις καὶ πανταχοῦ·“ τὸ δὲ πανταχοῦ σημαίνει τὸ πανηγυρικὸν διὰ τὸ πλείονας, φησὶν, εἶναι καὶ τόπους καὶ καιροὺς τοῦ πανηγυρικοῦ· ἔπειτα παρακατιὼν πάλιν αὐτὸς λέγει· καὶ χρὴ τοῖς ἐγκωμιαστικοῖς ἀκολουθοῦντα τόποις χρῆσθαι τοῖς ἐμπίπτουσιν· ὥστε

αὐτὸς ὁ τεχνικὸς οἶδεν τὸ πανηγυρικὸν ἐνεχόμενον τοῖς δύο τούτοις· οὐ μόνον δὲ ἐκ τούτων ἐστὶν ἀποδεῖξαι, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς φύσεως τῶν πραγμάτων· οὔτε γὰρ συμβουλεύων δύνασαι συμβουλεῦσαι πόλεμον, μὴ ἐπαινέσας τὸν πόλεμον, οὔτε ἀποτρέπων μὴ ψέξας, καὶ κατηγορῶν δὲ ἐν δικαστηρίῳ πλείονα ποιήσεις τὸν ψόγον, καὶ ἀπολογούμενος τὸν ἔπαινον· καὶ μάρτυς ὁ Δημοσθένης τὸν περὶ τοῦ στεφάνου λόγον τέλειον ἑαυτοῦ συγγεγραφὼς ἐγκώμιον, καὶ ὁ Αἰσχίνης τὸν κατὰ Τιμάρχου τέλειον ψόγον· καὶ κατὰ πάντα πᾶς ἐπίλογος ἢ ψόγον ἔχει ἢ ἔπαινον· ἤδη δὲ καὶ τέλειον ζήτημα εὕρηται διὰ μόνων τῶν ἐγκωμιαστικῶν τόπων προαγόμενον, οὗ ὁ ὅρος οὗτος· νόμος τὸν λαχόντα δᾳδουχεῖν δοκιμάζεσθαι· Ἀλκιβιάδης ἔλαχε δᾳδουχεῖν καὶ δοκιμάζεται· ἐνταῦθα γὰρ ὁ μὲν κωλύων δᾳδουχεῖν αὐτὸν ἀπὸ πάντων ψέξει, καὶ ἀπὸ τῶν προγόνων, λέγων τοὺς Ἀλκμαιωνίδας ἀεὶ πρὸς θορύβους καὶ στάσεις ὁρᾶν, καὶ τὴν ἀνατροφὴν αὐτοῦ, ὡς εἴη παρὰ Πολλίωνι[12] αἰσχρῷ καὶ ἐπονειδίστῳ, καὶ τὰς πράξεις, ὡς ἀσκευής ἐστιν, καὶ ἀγαλμάτων τινὲς καθαιρέσεις γεγόνασιν ὑπ' αὐτοῦ, καὶ τῶν ἑρμῶν περικοπὴ, καὶ πρὸς τούτοις δὲ προδοσία, ὁ Δεκελείας ἐπιτειχισμὸς, καὶ πάντα ὅσα ἐν τῷ Πελοποννησιακῷ φυγὼν Ἀθηναίοις ἐποίησεν, ὥστε τελέως ἂν εἴη ὁ ψόγος· ὁ δὲ συμβουλεύων γενέσθαι πάλιν ἀπὸ προγόνων ἐπαινέσει ἐξ αὐτῶν τῶν Ἀλκμαιωνιδῶν· ὅτι αὐτοὶ καθεῖλον τοὺς τυράννους καὶ δημοκρατίαν πεποιήκασι, καὶ ἀπὸ Περικλέους θείου αὐτοῦ καὶ ἀπὸ τοῦ πατρός· καὶ πάλιν τὴν ἀνατροφὴν ἐπαινέσει παρὰ Σωκράτει λέγων αὐτὸν γεγενῆσθαι, ἀγαθῷ ἀνδρὶ, καὶ τὰς πράξεις θαυμάσει, τὴν Κύζικον λέγων, ἐν ᾗ διακοσίας τριήρεις συνελάβετο τῶν Λακεδαιμονίων, ἤδη ἀπειρηκυίας παντελῶς

12 Zopyrum ejus paedagogum vocat Plut. Alc. 7. — l. 21. Cod. περικοπήν.

τῆς Ἀθηναίων δυνάμεως, καὶ διὰ πάντων ἔσται τέλειον ζήτημα· πῶς οὖν οὐκ ἐμπεριέχεται τὸ πανηγυρικὸν ταύτοις τοῖς μέρεσιν, ὅπου καὶ ζήτημα ὅλον ψόγον τε ἔχει καὶ ἐγκώμιον· ἢ πῶς οὐκ ἐμπεριέχεται τὸ πανηγυρικόν, ὅπου ἴσμεν καθολικὸν κανόνα· ὅτι πᾶν πρᾶγμα καὶ πᾶσα τέχνη τὰς αὐτὰς προτάσεις καὶ ἐπαγγελίας ἔχουσά τινι ἐκείνου ἐστίν, οὗ τὸν σκοπὸν ἔχει καὶ τὴν πρότασιν· εἰ οὖν τῷ πανηγυρικῷ ἐπαινέσαι καὶ ψέξαι σκοπός ἐστιν· ἔστι δὲ καὶ ἐν τῷ συμβουλευτικῷ καὶ δικανικῷ ταῦτα; πῶς οὐκ ἂν εἴη ἐν αὐτοῖς καὶ τὸ πανηγυρικόν, καὶ ἔτι πρὸς τούτοις καὶ τοῦτο συντελεῖ πρὸς ἀπόδειξιν, ὅτι πᾶν εἶδος τῷ γένει ταὐτόν ἐστι καὶ οὐ διάφορον· εἰ γάρ ἐστί τι ζῶον καὶ ἵππος καὶ κύων καὶ ἄνθρωπος, ἢ ζῶον ταὐτόν ἐστι τῷ γένει· εἰ γὰρ τὰ τοῦ ζώου ἔχει, καὶ εἰ πρὸς ἑαυτὰ διαφορὰν ἔχει, ἀλλὰ πρὸς τὸ γένος οὐκ ἔχει· ἔστω οὖν τὸ πανηγυρικὸν διαφορὰν μὲν ἔχειν πρὸς τὸ δικανικὸν καὶ συμβουλευτικόν, οὐ μέντοι πρὸς τὴν ῥητορικὴν ἔχει διαφοράν· ἐπιγράφων οὖν τέχνην ῥητορικὴν καὶ περὶ τούτων διέλαβεν· εἰ μὲν γὰρ ἐπέγραφε „τέχνη δικανικοῦ καὶ συμβουλευτικοῦ", εἰκότως περὶ μέρους διελάμβανεν· ἡ δὲ πρότασις τὸ πᾶν ὄνομα τῆς τέχνης ἔχει αὐτὴ καὶ τοῦτο περιείληφεν. εἰ δὲ καὶ ἐξουσίαν δοίη τις μὴ περιειληφέναι, καὶ αὐτὸ τοῦτο πταῖσμά ἐστιν, ὅτι γένους ἐπαγγειλάμενος γράφειν τέχνην, ὡς αὐτοί φασιν, εἰδῶν μόνων ἔγραφε, καὶ οὐ πάντων τῶν τοῦ γένους. ἡ γὰρ ἐπιγραφή ἐστι, τέχνη ῥητορική, ἡ δὲ ῥητορικὴ τὰ τρία εἴδη περιέχει, ὥστε πάντως τὸ εἰπεῖν ἀναγκαῖον· ἢ οὖν εἶπε καὶ οὐχ ἁρμόζει ἡ ἀπολογία, ἢ μὴ εἰπὼν κατὰ τοῦτο πταίει· καὶ ταῦτα μὲν πρὸς τὸ ἀνατρέψαι τὸν Πορφυρίου λόγον· εἰ δὲ θέλοιμεν αὐτῷ συνηγορῆσαι καὶ ἀνασκευάσαι τὰ προστεθέντα οὕτως ἀνατρέψομεν, καὶ ἐφ' ἕκαστον τούτων ἔλθωμεν. Τὸ μὲν οὖν λέγειν, ὅτι αὐτός φησι „κἂν ταῖς βουλαῖς κἂν τοῖς δικαστηρίοις καὶ πανταχοῦ" ἑτέραν ἔχει ἐξή-

γησιν, ἣν ἐν τῷ ῥητῷ ἐροῦμεν· καὶ οὐ σημαίνει τὸ πανηγυρικόν. Τὸ δὲ δὴ λέγειν, ὅτι τοῖς ἐγκωμιαστικοῖς ἀκολουθοῦντα τόποις χρῆσθαι τοῖς ἐμπίπτουσιν, αὐτὸ τοῦτο μαρτυρεῖ, ὅτι οὐ περιέχεται· οὐ γὰρ ὁ ἐπιτάττων χρῆσθαι γραμματικῇ ἤδη καὶ γραμματικός ἐστιν, οὐδὲ ὁ ἐπιτάττων χρῆσθαι ἰατρικῇ ἤδη καὶ ἰατρός ἐστιν, οὐδὲ ὁ ἐπιτάττων οἰκοδομεῖν οἰκίαν ἤδη καὶ τέκτων, ὅταν εἴπῃ χρῆσθαι πρὸς τὴν χρείαν, οὔπω καὶ τοῦτο διδάσκει· τὸ δὲ δὴ[12*] λέγειν, ὅτι ἡ φύσις τῶν πραγμάτων οἶδεν ἐμπεριεχόμενον τὸ πανηγυρικὸν, καὶ μάλιστα ἐν οἷς τὸν περὶ τοῦ στεφάνου καὶ τὸν κατὰ Τιμάρχου προφέρουσι· τοσοῦτον ἐροῦμεν, ὅτι πᾶν πρᾶγμα περιεχόμενον ἀπό τινος τὴν μὲν ἑαυτοῦ φύσιν ἀπέβαλεν, ἐκεῖνο δὲ γίνεται, περὶ ὅ ἐστι καὶ ὑφ᾽ οὗ περιέχεται, ὡς ἐπὶ τούτου? ὅταν ὁ αὐτὸς τεχνικὸς ἐν τῷ περὶ ἰδεῶν λέγῃ περὶ παροξυτόνων καὶ ὁμοιοκαταλήκτων, οὐ τεχνολογίαν ἐρεῖ γραμματικὴν, καίτοι γραμματικῆς τέχνης μέρος λέγων, ἀλλὰ πρὸς τὴν τῆς ῥητορικῆς χρείαν ἡ γραμματικὴ ἐλθοῖσα οὐκ ἔμεινεν ἔτι τὸ ἑαυτῆς, ἀλλὰ ὁ περὶ τῶν ἰδεῶν λόγος ῥητορικῆς ἐστι, καίτοι διὰ γραμματικῆς πολλῆς κατασκευαζόμενος· καὶ γὰρ εἰς τοσοῦτον χρείας ἦλθεν τῆς γραμματικῆς, ὡς καὶ μέτρων τινῶν μνησθῆναι. καὶ ὅταν ἐν τῇ ῥητορικῇ κατασκευάζωμεν, τὸ δίκαιον οὐ φιλοσοφίας ἔργον ποιοῦμεν, καί τοι τοῦ σκοποῦ τῆς φιλοσοφίας τοῦτο μάλιστα ζητοῦντος· ἀλλ᾽ ὥρμηται μὲν ἐκ φιλοσοφίας ὁ λόγος, εἰς κατασκευὴν δὲ ῥητορικῆς ἐλθὼν οὐκέτι φιλοσοφία ἔμεινεν, καίτοι πολλάκις ὁ ῥήτωρ καὶ καθολικοῖς λόγοις ἐχρήσατο· ὥστε οὐκ ἔστιν ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι, ὅπερ οἰκειότατόν ἐστι φιλοσοφίας, περὶ εὐσεβείας καὶ δικαιοσύνης ἀποφαίνεσθαι· ταὐτὸν δὲ περὶ πανηγυρικοῦ. ἔχομεν εἰπεῖν· ὅταν ληφθῇ πρὸς κατασκευὴν ἢ τοῦ συμβουλευτικοῦ ἢ τοῦ δικανικοῦ, ὑφ᾽ οὗ περιέχεται,

12* Cod. δεῖ. scr. δή. — l. 27. Cod. οὐκέτι. scr. οὐκ ἔστιν. Olynth. II. p. 20.

ἐκεῖνο γίγνεται καὶ οὐκέτι πανηγυρικὸν ἔμεινεν· πῶς γὰρ ἔτι εἴη πανηγυρικὸν τὸν τοῦ πανηγυρικοῦ σκοπὸν μὴ φυλάττον· οὗτος δὲ αὔξησιν ἔχει ὁμολογουμένων ἀγαθῶν· εἰ δὲ ὡμολόγηται, ὅτι δίκη καὶ συμβουλὴ ἀμφισβητουμένων πραγμάτων ἐστὶ κατασκευὴ, κἂν μυριάκις ἐν αὐτοῖς ἐξετάζηται, ἕως ἂν μὴ κατὰ τὸν αὐτοῦ σκοπὸν ἐξετάζηται, οὐκέτι πανηγυρικόν. Περὶ δὲ τοῦ γένους τοῦ ζητήματος καὶ τοῦτο ἐροῦμεν, ὅτι τὰ ἐνθυμήματα πάντα, ἃ προετείναμεν, ἀπὸ γένους καὶ τῶν λοιπῶν οὐκ αὐτὸ τοῦτο τὸ ἐπαινέσαι τὸ γένος προτείνεται, ἀλλὰ κατασκευάσαι τὸ δίκαιον· οὐ γὰρ ἐπαινέσας τὸν Ἀλκιβιάδην ἠρνέσθη, ἀλλὰ προστίθησι, δίκαιον οὖν αὐτὸν δᾳδουχῆσαι, ἢ τοὐναντίον οὐ δίκαιον· δῆλον οὖν, ὅτι καὶ τὸ πανηγυρικὸν ἐκπεσὸν[13] τῆς ἑαυτοῦ φύσεως εἰς ἑτέρου κατασκευὴν εἴληπται· εἰ μὲν γὰρ τοῦτο μόνον ἦν τὸ ζητούμενον, εἰ χρηστὸς ἢ πονηρὸς Ἀλκιβιάδης, πανηγυρικὸν ἂν εἴη· εἰ δὲ ἀμφιβολίας γενομένης, εἰ ἄξιός ἐστι τῆς τοιαύτης τιμῆς, οὐκ ἂν εἴη πανηγυρικόν· τὸ δὲ δι' λέγειν αὐτοὺς, ὅτι τὰ εἴδη τὰ αὐτά εἰσι τῷ γένει, καὶ δεῖ τὸν περὶ τοῦ γένους διαλαβόντα καὶ περὶ εἰδῶν διαλαβεῖν, οὐκ ὀρθῶς λέγουσιν· τὰ αὐτὰ μὲν γάρ ἐστι τῷ γένει, καὶ οὐ διάφορα· οὐ πάντως δὲ ὁ περὶ ἑνὸς διαλαβὼν ἀνάγκην ἔχει περὶ πάντων, ὥσπερ ἂν εἰ ζητοίημεν περὶ ἀνθρώπου φύσεως, προεξετάζομεν, ὅτι ζῶον ὁ ἄνθρωπος, καὶ εἰ ζῶον θνητὸν, οὐ μέντοι ἀνάγκην ἔχομεν καὶ περὶ ἵππου καὶ περὶ τῶν ἄλλων ζώων διαλαβεῖν· ἄλλως τε καὶ ἀπὸ τῶν πλειόνων τὴν ὀνομασίαν εἰώθασιν οἱ παλαιοὶ ποιεῖσθαι, ὥσπερ καὶ Θουκυδίδης τῶν Πελοποννησίων καὶ Ἀθηναίων φησὶ πόλεμον, τοὺς Λακεδαιμονίους Πελοποννησίους καλῶν· καίτοιγε οὐ Λακεδαιμονίων μόνων ἐστὶν ἡ Πελοπόννησος, ἀλλὰ καὶ ἄλλων πολλῶν. Ἐνταῦθα οὖν περὶ τῶν δύο μερῶν διαλαβὼν εἰκότως τὸ τῆς τέχνης ὄνομα δέδωκεν, ἐνὶ

13 Cod. ἐκπεσῶν.

δὲ λόγῳ τοῦτό ἐστι τὸ εἶναι εἶδος· τὸ διαφορὰν ἔχειν τινὰ πρὸς ἕτερον· ἐπεὶ περιττὸν ἦν ἢ τὸ μὴ, εἰ ταὐτὸν ἔμελλεν εἶναι τῷ λοιπῷ· διὰ τοῦτο οὖν τέμνεται εἰς τρία ἡ ῥητορικὴ, ὅτι διάφορά ἐστι πρὸς ἄλληλα τὰ εἴδη· πῶς οὖν δυνατὸν τὸ πανηγυρικὸν ταὐτὸν εἶναι τῷ δικανικῷ καὶ συμβουλευτικῷ, εἰ εἶδός ἐστι τῆς ῥητορικῆς· εἰ γὰρ εἶδος, οὐκέτι ταὐτόν ἐστιν, ἀλλὰ διαφοράν τινα ἔχει πρὸς τὰ ἄλλα εἴδη καὶ οὐ ταὐτόν ἐστιν, ὅτι τοῦ πανηγυρικοῦ οὐκ ἐγκώμιον μόνον καὶ ψόγος εἴδη ἐστὶν, ἀλλὰ καὶ ἕτερα πλείονα, εἰ πνευματικὸς καὶ στεφανωτικὸς καὶ καθιερωτικὸς καὶ ἐπιτάφιος καὶ τὰ λοιπά· οὐκέτι οὖν τὸ τρισκαιδέκατον μέρος τὸ εὐτελέστατον, οὐδὲ αὐτὸ κατὰ τὴν αὐτοῦ φύσιν ἐνέπεσε τοῖς ἄλλοις· ἤδη δὲ τὸ πανηγυρικόν ἐστιν· οὐ γὰρ τὸ μέρος τὸ πᾶν περιέχει, ἀλλὰ τῷ παντὶ τὸ μέρος περιέχεται, καὶ οὐδὲ εἴ τις οἶδεν φλεβοτομεῖν μόνον, οὗτος ἤδη καὶ ἰατρὸς, ἀλλ' ὁ πάντα εἰδὼς, κἂν μὴ φλεβοτομεῖν ἐπίσταται, ἰατρός ἐστιν. Ὡμολόγηται οὖν, ὅτι ἔῤῥωται ὁ λόγος ὁ Πορφυρίου· εἴπωμεν δὲ καὶ ἑτέραν ἀρίστην καὶ ἀναντίῤῥητον ἀπολογίαν. Ὡς προετάξαμεν, τρεῖς εἰσι περὶ παντὸς πράγματος ζητήσεις. Ἐνταῦθα οὖν περὶ τοῦ ἔργου μόνον διαλαμβάνων περιττὸν ἡγεῖτο περὶ τῶν λοιπῶν διαλαβεῖν, ἐν γὰρ τῷ εἰπεῖν ὅρον ῥητορικῆς ἠναγκάζετο καὶ τὴν τῆς ῥητορικῆς πᾶσαν κατασκευὴν κατεργάσασθαι· ἄλλως τε καὶ αὐτὸ τοῦτο τῷ Μινουκιανῷ ἐγκαλῶν, τὸ περιττὰ καὶ οὐκ ἀναγκαῖα τῷ προκειμένῳ συγγράμματι λέγειν· καὶ βουλόμενος σαφέστερον καὶ εὐδιακριτώτερον εἶναι αὐτῷ τὸν λόγον, ᾧ ἐναντίον ἦν τὸ ἔξωθέν τινα διαλαβεῖν· ἡμεῖς δὲ καὶ προαπεδείξαμεν, ὅτι τέχνη ἐστὶν ἡ ῥητορικὴ, καὶ νῦν ὅρους αὐτῆς ἐροῦμεν. Ἴδωμεν δὲ πρῶτον, τίς ὁ τεχνίτης· καὶ πρῶτον ἀποδεδώκασιν, ἄνθρωπος καλῶς λέγειν εἰδώς· ἀλλ' οὗτος τοῦ κατ' αὐτοὺς ῥήτορός ἐστιν ὁ ὅρος, οὐ δημαγωγικοῦ καὶ δικανικοῦ· οὐ γὰρ

πάντως ἕπεται τῷ[14] ῥήτορα εἶναι τὸ καὶ ἄνδρα ἀγαθὸν εἶναι. Πολιτικοῦ δὲ ῥήτορος οὗτος· ἀνὴρ πολιτικῶν πραγμάτων ἐπιστήμων, καὶ ἐφ' ἑκάτερα ἐξ ἐνδόξων κατασκευαστής, οὗτος μὲν οὖν τοῦ ῥήτορος ὁ ὅρος, ἡ δὲ ἐξήγησις αὐτοῦ αὕτη· πραγμάτων τὸ γένος, ἐπειδὴ δὲ πραγμάτων καὶ τὰ φιλόσοφα, προσέθηκε πολιτικῶν, ἐπιστήμων δὲ πρὸς τοὺς φιλονεικοῦντας ἐμπειρίαν εἶναι τὴν ῥητορικήν, καὶ ἐξ ἐνδόξων κατασκευαστής, ἀπὸ γὰρ τῶν πιθανῶν αἱ τῶν ῥητορικῶν ἀποδείξεις καὶ οὐ πάντως ἀπὸ τῶν ἀληθῶν, ὅπερ οἰκεῖον φιλοσοφίας. Ὅροι δὲ ῥητορικῆς διάφοροι παρὰ τῶν παλαιῶν ἡμῖν παραδέδονται. Ὁ μὲν οὖν Πλάτων[15] διαβάλλων αὐτὴν καλεῖ πολιτικῆς μορίου εἴδωλον· τοῦτον δὲ οὐδὲ ἐξεταστέον τὸν ὅρον πρὸς διαβολὴν καὶ οὐκ ἀλήθειαν ἔχοντα· ὃν δὲ ὡς ἀληθῆ εἶπεν, οὗτός ἐστιν· πειθοῦς δημιουργός[16]. Οἱ δὲ Στωϊκοὶ ἀντίστροφον τῇ διαλεκτικῇ[17] αὐτὴν καλοῦσιν, οἱ δὲ περὶ Ἑρμαγόραν δύναμιν τοῦ εὖ λέγειν τὰ πολιτικὰ ζητήματα, ἄλλοι δὲ δύναμιν θεωρητικὴν τοῦ περὶ ἕκαστα πιθανοῦ, καὶ οὗτος δοκεῖ Ἀριστοτέλους ὁ ὅρος[18]. Ὁ μὲν γὰρ λέγων αὐτὴν πειθοῦς δημιουργὸν ἀτελῆ ποιεῖ τὴν ῥητορικήν· ἐν ἑτέροις γάρ ἐστι τὸ πείθεσθαι, ὡς καὶ ὁ Δημοσθένης·[19] „ἡ δὲ τοῦ λέγειν δύναμις, ἐὰν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων ἀντιστῇ, διακόπτεται“· πᾶσα δὲ τέχνη ἐν αὑτῇ ἔχει τὸ τέλος, καὶ οὐ μόνον ἐκ τούτου δείκνυται μὴ συνεστηκὼς ὁ ὅρος, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς φύσεως τῶν πραγμάτων· εἰ γὰρ τοῦτό ἐστι ῥητορικὴ τὸ δημιουργῆσαι πειθώ, ἡνίκα ἂν ὁ ῥήτωρ δημιουργῇ τὴν πειθώ, οὐκ ἔστι ῥήτωρ, ὥστε ἐν τοῖς πλείοσιν οὐκ ἔστι ῥήτωρ ὁ Δημοσθένης μὴ πεπεικώς· συμβαίνει δὲ καὶ ἰδιώτην πολλάκις ἢ ἐκ συμβεβηκότος ἢ ἐξ ἄλλης αἰτίας

14 Cod. τό. 15 Gorg. c. 18. p. 463. D. 16 ib. c. 8. p. 453. A. 17 Arist. Rhet. init. 18 Rhet. I. c. 2. 19 In Lept. p. 450.

πεῖσαι, τὸν δὲ ῥήτορα μὴ πεῖσαι· καὶ ἐκ τούτου ἄτοπον ἀναφύεται, τὸν μὲν ῥήτορα ἰδιώτην εἶναι, τὸν δὲ ἰδιώτην ῥήτορα· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ οἱ φιλόσοφοι περὶ τῶν ἰδεῶν πείθουσιν, καὶ ἰατροὶ καὶ οἱ ἄλλοι· οἱ δὲ ὅροι μόνῳ ὀφείλουσιν ἁρμόζειν τῷ οἰκείῳ ὁριστῷ· οἱ δὲ δὴ λέγοντες ἀντίστροφον τῇ διαλεκτικῇ καὶ οὗτοι τὰ μέγιστα πταίουσι· καὶ αὐτὸς ὁ ὅρος μαρτυρεῖ· ἀντίστροφος γάρ ἐστιν ἰσόστροφος, ἰσοδύναμος, τὰ αὐτὰ πράττουσα· οὐδέποτε δὲ δύο πραγμάτων διαφόρων εἷς ὅρος δύναται εἶναι· πῶς οὖν διαλεκτικῆς καὶ ῥητορικῆς τὸν αὐτὸν ὅρον λέγουσιν. εἰ γὰρ τὰ αὐτὰ πράττουσιν, καὶ αἱ αὐταί εἰσιν, ἀλλὰ μὴν διάφοροί εἰσιν αἱ τέχναι, οὐκ ἄρα ἁρμόζει ὁ ὅρος· πῶς γὰρ ἂν εἴη ὅροι μὴ μόνῳ τινι ἁρμόζων πράγματι, διὰ τοῦτα γὰρ καὶ ὅροι ἐκλήθησαν, διὰ τὸ μήτε ἐπιλαμβάνεσθαι ἑτέρου, μήτε ἐλλείπειν τι τοῦ ἰδίου· ὥσπερ οἱ τῶν χωρίων ὅροι πάντα τὰ αὐτῶν περιέχουσιν. Οἱ δὲ δὴ λέγοντες, δύναμις τοῦ εὖ λέγειν τὰ πολιτικὰ ζητήματα, δοκοῦσι μέν πως καλῶς λέγειν τῷ τὰ πολιτικὰ εἰπεῖν καὶ ζητήματα, καὶ ἀποδιαστῆσαι τῶν ἄλλων ζητημάτων καὶ τῷ εἰπεῖν εὖ λέγειν· οὐδὲ γὰρ πάντως πείθει, ἀλλὰ δεῖ πιθανῶς εἰπεῖν· ἐλλιπῶς[20] δὲ ἔχει ὁ ὅρος οὗτος· τὸ γὰρ πανηγυρικὸν οὐ ζήτημα, ἀλλὰ αὔξησις ὁμολογουμένου ἀγαθοῦ. εἰ δὲ μόνα τὰ πολιτικὰ ζητήματα ἐρεῖ ἡ ῥητορική, οὐκ ἔσται μέρος αὐτῆς τὸ πανηγυρικόν· ἐὰν οὖν ἓν τῶν τριῶν εἰδῶν ᾖ τὸ πανηγυρικόν, ἐλλιπῶς ὁ ὅρος ἔχει· οἱ δὴ λέγοντες, δύναμις θεωρητικὴ τοῦ περὶ ἕκαστα πιθανοῦ καὶ οὗτοι δοκοῦσιν εὖ λέγειν, τὸ γὰρ πιθανὸν καὶ οὐ πάντως ἀληθὲς ζητοῦσιν· ἀλλ᾽ οὗτοι τὴν φύσιν τῆς τέχνης ἠγνόησαν· ὅπερ γὰρ φθάσαντες εἰρήκαμεν οὐ μόνον ἐστὶ θεωρητικὴ ἀλλὰ καὶ πρακτική· ἢ οὖν προςθετέον δύναμις θεωρητικὴ καὶ πρα-

κτικὴ

20 Cod. ἐλλειπῶς.

κτικὴ τοῦ περὶ ἕκαστα πιθανοῦ, ἢ ἐλλιπῶς ἔχει καὶ οὗτος. τὸ γὰρ πιθανὸν εὑρεῖν μόνον τῇ τέχνῃ κατέλιπεν, οὐδὲν δὲ ἐκ τοῦ πράττειν· καὶ ἕτεροι δέ τινές εἰσιν ὅροι, οὓς περιττὸν θεῖναι, οὐκ εὖ ἔχοντας· ὁ δὲ δοκῶν εὖ ἔχειν οὗτός ἐστι· δύναμις λογικὴ ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ εὖ λέγειν· δύναμις μὲν οὖν, ὅτι δύναται ἀνασκευάζειν καὶ κατασκευάζειν καὶ ἐν ἀμφοτέροις τούτοις ἐπιτηδείους λόγους εὑρεῖν. ἐπειδὴ δέ ἐστι καὶ χειρῶν δύναμις, ὥσπερ ἡ τῶν ἀγωνιζομένων, προσετέθη λογική. ἐπειδὴ δὲ καὶ οἱ ἰατροὶ δύναμιν λογικὴν ἔχουσι, προσετέθη, ἐν πράγματι πολιτικῷ· οἱ γὰρ ἰατροὶ οὐ περὶ πραγμάτων, ἀλλὰ ὕλης καὶ φύσεως ἔχουσι τὸν λόγον· ἐπεὶ δὲ καὶ οἱ φιλόσοφοι ἔχουσι καὶ δύναμιν λογικὴν καὶ ἐν πράγματι, προσέθηκε τῷ πολιτικῷ, ὅ ἐστιν οἰκεῖον ῥητορικῆς τέλος, „ἔχουσα τὸ εὖ λέγειν“· δεῖ γὰρ τὸν ῥήτορα καλῶς καὶ πιθανῶς εἰπεῖν, μόνον οὐκ ἀναγκαίως πείθειν. Λολλιανὸς δὲ κάλλιστον ὅρον τοῦτον ῥητορικῆς τίθησιν· δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν, ἔστι γὰρ δύναμις τὸ γένος, διὸ προσέθηκε λόγου, εἶτα ἐπειδὴ καὶ οἱ φιλόσοφοι ἔχουσι λόγους, προσέθηκε πιθανοῦ· ἐκεῖνοι γὰρ οὐ πιθανοὺς ἔχουσιν, ἀλλ' ἀληθεῖς· ἐπειδὴ δὲ καὶ οἱ ἰατροὶ πολλάκις ἔχουσι λόγους πιθανούς, δύναμιν προσέθηκεν ἐν πράγματι πολιτικῷ. Πρὸς δὲ τὸν κοινὸν λόγον, ὃν μαθόντες ἔχουσι λόγον πιθανὸν ἐνίοτε, προσέθηκε τὸ „τεχνική“· τέχνῃ γὰρ οἱ ῥήτορες λέγουσιν.

*Πολλῶν ὄντων καὶ μεγάλων*· Ὁ Πλάτων οὐκ ἀνέχεται τὴν ῥητορικὴν τέχνην εἶναι, ἀλλὰ φανερῶς κατασκευάζει, ὅτι ἐστί τις ἐμπειρία καὶ ἄλογος τριβὴ καὶ μιμητική· βουληθεὶς οὖν ὁ Ἑρμογένης τέχνην ἀποδεῖξαι αὐτὴν οὖσαν, φανερῶς μὲν κατασκευάσαι ἀπέφυγεν, ἵνα μὴ αὐτῷ τούτῳ διαβάλλῃ· πᾶν γὰρ κατασκευαζόμενον

ἀμφιβάλλεται· οὐκ ἠβουλήθη οὖν ὅλως ἀμφίβολον ποιῆσαι τὴν ῥητορικὴν τέχνην εἶναι, ἀλλ' οὐδὲ ἀκατάσκευον αὐτὸ παντελῶς εἴασεν, ἵνα μὴ τὸ τοῦ προσώπου ἀξιόλογον πείσῃ· τί οὖν ἐν τῷ προοιμίῳ κατασκευάζει; ὅτι τέχνη ἐστὶν, πᾶν γὰρ πρᾶγμα ἐμπεριεχόμενον ὅρῳ τινὶ ἐκεῖνό ἐστιν, οὗ τῷ ὅρῳ ἐμπεριέχεται; τίς οὖν ὁ κοινὸς ὅρος τῆς τέχνης; σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῷ βίῳ, τοῦτο[21] ἂν εἴη τέχνη. Ἐν τῷ προοιμίῳ οὖν κατασκευάζει ἐκ τῶν πολλῶν, ἵνα μηνύσῃ τὸ σύστημα, καταληφθέντα τὸ ἐκ καταλήψεων, καὶ συγγυμνασθέντα τὸ συγγεγυμνασμένον. πρός τι τέλος εὔχρηστον τῷ βίῳ, πρὸς τοῦτο προσέθηκε „σαφῆ τὴν ὠφέλειαν παρεχόμενα τῷ βίῳ· ὥστε ἀφ' οὗ δέδεικται ἡ ῥητορικὴ ἔχουσα τὰ πολλὰ καὶ τὰ ἐγκαταλήψεων καὶ τὰ συγγυμνασθέντα καὶ τὰ πρός τι τέλος εὔχρηστον τῷ βίῳ, τέχνη ἂν εἴη. καὶ τοῦτο μὲν περὶ τοῦ σκοποῦ τοῦ προοιμίου· ἴδωμεν[22] δὲ, εἰ καλῶς ἔχει καὶ καθ' ἕκαστον τῶν λέξεων. Πολλῶν ὄντων· προοιμίων, ἀγώνων, ἐπιλόγων, σχημάτων, φράσεων· εἶτα ἐπειδή ἐστι πολλὰ μὲν, εὐτελῆ δὲ, τοῦτο δὲ πολλὰ ἂν ὦσιν, εὐτελῆ δὲ, εὐτελὲς καὶ τὸ κατασκευαζόμενον ἐξ αὐτῶν γίνεται· οὐκ ἀρκεσθεὶς τῷ συστῆσαι τέχνην οὖσαν ἀλλὰ καὶ καλὴν καὶ μεγάλην δείκνυσι, προσθεὶς καὶ μεγάλων. Ὅταν οὖν πολλὰ καὶ μεγάλα ᾖ τὰ ποιοῦντα, μέγα εἰκότως ἂν εἴη καὶ τὸ πραττόμενον. ἃ τὴν ῥητορικὴν συνίστησι καὶ τέχνην ποιεῖ· συνίστησιν ἐνταῦθα ἀποδείκνυσι· περὶ δὲ τοῦ „ποιεῖ“ τινὲς αἰτιῶνται τὸν τεχνικὸν λέγοντες, ὅτι τὸ ποιεῖ ὡς μὴ οὖσαν ἐστὶν, ἡμεῖς δὲ ἐροῦμεν, ὅτι αὐτὸ τοῦτο ποιεῖ προϋφεστάναι ἐστὶ τὴν τέχνην· τὰ γὰρ φύσει ὄντα καὶ γίνεσθαι δύναται, ὥσπερ γὰρ εἰ λέγοις, πολλῶν ὄντων τῶν ποιούντων οὐρανὸν, οἷον ἄστρων καὶ τῶν τοι-

21 Cod. τούτῳ, scr. τοῦτο. 22 Cod. εἴδωμεν.

αὐτῶν· οὐ γὰρ οὕτως ποιεῖς οὐρανὸν, ἀλλ' ἀφ' ὧν ἐστι δεικνύεις· τοῦτο δὲ οὐκ ἔστι ποιῆσαι, ἀλλὰ δεῖξαι ὄντα· καὶ ὅταν λέγῃς, πολλῶν ὄντων τῶν ποιούντων ἄνθρωπον, οἷον αἵματος, χυμοῦ, σαρκῶν, νεύρων καὶ τῶν τοιούτων, πάλιν οὐ μὴ ὄντα ποιεῖς ἄνθρωπον, ἀλλ' αὐτὸ τοῦτο, ὅ ἐστι δεικνύεις· οὕτως καὶ ἐνταῦθα οὐ τὸ ποιεῖ ἐστιν ὡς μὴ οὔσης, ἀλλ' ὑφεστηκυίας μὲν, ἀγνοούντων δὲ ἡμῶν, ἀφ' ὧν ὑφέστηκε· τὸ διδάξαι δὲ τὰ αἴτια τῆς ὑποστάσεως οὐ τοῦτό ἐστι τὸ ποιῆσαι· ὥσπερ γὰρ οἱ φιλόσοφοι λέγουσι διδάσκοντες, ὅτι ὁ κόσμος ἐκ τεσσάρων στοιχείων σύγκειται, καὶ ἐκ τοῦ κυκλοειδῆ εἶναι τὸν οὐρανὸν καὶ ἔκ τινων, οὐκ αὐτοὶ ποιοῦσι κόσμον, ἀλλὰ τὸν ὄντα διδάσκουσι δι' ὧν συνέστηκεν, οὕτως καὶ ὁ τεχνικὸς, λέγων πολλῶν ὄντων τῶν ποιούντων, ὧν ἐστι τὸ περὶ διαιρέσεως, οὐ μὴ οὖσαν τὴν τέχνην ποιεῖ, ἀλλὰ διδάσκει τὸν τρόπον τοῦτον, δι' ὧν συνέστηκε· τοῦτο δὲ καὶ ὁ Πλάτων σημαίνει, τὰς ἰδέας εἶναι λέγων· πᾶν γὰρ τὸ δυνάμενον ἀγαθὸν γενέσθαι ἄνωθεν ἔχει παρὰ τοῖς θεοῖς τὴν ἀρχὴν, καὶ τοῦτο καλεῖ ἰδέαν τὴν πρώτην ἔννοιαν τοῦ θεοῦ· ἅμα γὰρ τὸ ποιεῖν ἄνθρωπον ἐνεθυμήθη καὶ ὧν χρεία ἀνθρώπῳ, καὶ αὕτη ἡ ἐνθύμησις ἐκτύπωσίς ἐστιν τοῦ τοιόνδε γίγνεσθαι τὸ ἐνθυμηθὲν, οἷον ἐνεθυμήθη δεῖν αὐτῷ ἰατρικῆς, αὐτὸ τοῦτο τὸ ἐνθύμημα ἐκτύπωμα, ἐκτύπωσίς ἐστιν· ἔτι φαρμάκοις καὶ τοῖς ἄλλοις, οἷς ἰατρικὴ χαίρει, δύναται γίνεσθαι ἡ ἰατρική. Τὰ οὖν μὴ τὴν ἀρχὴν ἐνθυμηθέντα τῷ κρείττονι οὐδὲ τὴν σύστασιν τοῦ γενέσθαι ἔχει, ἀλλ' ὅσα προογίνεται παραφθορᾶς ἐστι τοῦ ἀγαθοῦ, ὅπερ ἄν τις περὶ τῆς συκοφαντίας εἴποι, παραφθορὰν εἶναι τῆς ῥητορικῆς, ὅπερ ἂν καὶ περὶ τῆς τυραννίδος, ὅτι παραφθορά ἐστι τῆς βασιλείας, καὶ περὶ τῶν δηλητηρίων, ὅτι παραφθορὰ τῆς ἰατρικῆς ἐστιν· ἐκ γὰρ ἀγαθοῦ τῆς ῥητορικῆς γνόντες τὴν φύσιν αὐτῶν εἰς φθορὰν αὐτοῖς κατεχρήσαντο·

τῷ οὖν γίγνεσθαι καὶ ἡ ῥητορικὴ ὑφέστηκε παρὰ θεῷ. Καταληφθέντα ἐξ ἀρχῆς. Καταληφθέντα αἰσθήσει καὶ πείρᾳ γνωσθέντα, ὧν ἐδεήθημεν γνόντες αὐτήν· τοῦτο δὲ λέγων ἠβουλήθη ἀναγκαίαν καὶ χρήσιμον ἀποδεῖξαι τὴν τέχνην· τῶν γὰρ τεχνῶν αἱ μὲν ἀναγκαῖαι καὶ χρήσιμοι, ὧν ὁ βίος χωρὶς συστῆναι οὐ δύναται, οἷον ἰατρικὴ, νομοθετικὴ, τούτων γὰρ ἀπελθόντων τοῦ βίου οὐκ ἂν ἔτι συσταίημεν· ἡ μὲν γὰρ ἰᾶται τὰς ψυχὰς, ἡ δὲ τὰ σώματα, ὥσπερ καὶ ὁ Δημοσθένης.[23] „τὰ μὲν γὰρ ἐν τοῖς σώμασι πάθη τοῖς ἰατροῖς θεραπεύεται, τὰς δὲ τῶν ψυχῶν ἀγριότητας αἱ τῶν νομοθετῶν ἐξορίζουσι διάνοιαι,“ αἱ μὲν χρήσιμοι μὲν, οὐκ ἀναγκαῖαι δὲ, οἷον γραμματικὴ, χρήσιμος μὲν γάρ ἐστιν ἡ τέχνη, συσταίη δ᾽ ἂν ὁ βίος χωρὶς γραμματικῆς· αἱ δὲ οὔτε ἀναγκαῖαι οὔτε χρήσιμοι· οἷον ἡ ἡνιοχική· εἰ δέ τις ἐρεῖ κατὰ τὸ τερπνὸν, τοῦτο οὐ χρήσιμον ἴσασιν οἱ παλαιοί. ὅσαι οὖν ἀναγκαῖαι καὶ χρήσιμοί εἰσι τέχναι, αἰσθήσει ἐγνώσθησαν, τουτέστι τῆς φύσεως ἡμῶν δεηθείσης αὐτῶν ἐπενοήθησαν· οἷον πολλῶν ἁρπαζόντων καὶ φόνων ἐκ τούτων γινομένων ὁ νόμοι τῆς ἁρπαγῆς τέθειται· νόμοι[24] δὲ ἐπινενόηνται τῆς χρείας ἐνεγκούσης αὐτοὺς, ὥσπερ ὁ Αἰσχίνης,[25] „ἐκ γὰρ τοῦ γίνεσθαί τινα, ὧν μὴ δεῖ, ἐκ τούτων τοὺς νόμους ἔθεντο οἱ παλαιοί·“ καὶ ὁ Σόλων ἐρωτηθεὶς, κατὰ πατροκτόνου διατί νόμον οὐ τέθεικεν, ἔφη μὴ[26] πιστεύειν δύνασθαι τοῦτο ποιῆσαι τὴν φύσιν. Δῆλον, ὅτι τῇ αἰσθήσει τῆς χρείας νόμοι ἐτέθησαν· καὶ ἐπὶ τῆς ἰατρικῆς ὁμοίως τὰ νοσήματα ἐπίνοιαν τῆς ἰατρικῆς ἤνεγκαν· βουληθεὶς οὖν τὴν ῥητορικὴν καὶ ἀναγκαίαν καὶ χρήσιμον δεῖξαι ἔφη·[27] σαφῶς καταλη-

23 contra Aristogit. II. p. 808. 24 Cod. νόμον, et post ἐπινενόηται repetit νόμοι. — Cfr. Ald. p. 50. 25 contra Timarch. p. 254. Bekk. 26 Diog. L. Vit. Sol. c. X. διὰ τὸ ἀπελπίσαι, ἔφη. 27 ἔφη abest a codice. Eodem modo infra p. 23. l. 2. dicit: βουληθεὶς καὶ

φθέντα· καὶ γὰρ ἐξ αἰσθήσεως ἔγνωσται, οἷον ἀπροοιμιάστως τις εἶπεν καὶ οὐκ ἔσχε τὸ δικαστήριον προσεκτικὸν, καὶ τῇ αἰσθήσει ἔγνω διὰ τοῦτο ἡττηθείς· ἕτερος πρὶν διηγήσασθαι τὸ πρᾶγμα εἰς τοὺς ἀγῶνας ἦλθεν καὶ ἠγνόησαν, ὅτου ἦσαν δικασταὶ οἱ κριταὶ, καὶ ἔγνωσαν, ὅτι δεῖ προηγήσασθαι καὶ τῶν ἄλλων ὁμοίως, ἡ αἴσθησις γὰρ καὶ τούτων ἤνεγκε τὴν χρείαν· ὥσπερ δὲ τῷ πολλῶν προσέθηκε καὶ μεγάλων, οὕτως καὶ ἐνταῦθα τῷ καταληφθέντα προσέθηκεν ἐξ ἀρχῆς, ἵνα μὴ νεωτέρα μηδὲ ἐκ τοῦ νῦν χρόνου εἴη ὑπελθοῦσα ἡ ῥητορικὴ πρὸς ἡμᾶς, ἀλλὰ ἄνωθεν καὶ ἅμα τῷ βίῳ τοῦ ἀνθρώπου· ταῦτο γὰρ ἦν τὸ πλεονέκτημα τῆς ῥητορικῆς τὸ ἀεὶ καὶ πανταχοῦ τυγχάνειν· διὰ τοῦτο προσέθηκε καὶ αὐτὸ τὸ ἐξ ἀρχῆς, ἵνα δηλώσῃ ἅμα τῷ βίῳ λόγον τε ὄντα καὶ ῥητορικήν. Καὶ συγγυμνασθέντα τῷ χρόνῳ· τῶν τεχνῶν πάλιν αἱ μέν εἰσιν ἡδεῖαι καὶ χρήσιμοι, αἱ δὲ ἡδεῖαι μὲν οὐ χρήσιμοι δὲ, αἱ δὲ οὔτε ἡδεῖαι, οὔτε χρήσιμοι· ἡδεῖα[28] μὲν οὖν καὶ χρήσιμος ἡ μουσικὴ, καὶ γὰρ ἡμεροῖ τὰς ψυχὰς, ὅπερ λέγεται περὶ Τιμοθέου, ὅτι παροξυνομένου μὲν τοῦ Ἀλεξάνδρου ἔπαυεν αὐτὸν τῆς ἀκαίρου ὀργῆς· ἀναπεπτωκότα δὲ πάλιν ἐπήγειρεν εἰς τοὺς πολεμίους αὐλῶν· καὶ ὅπερ πάλιν περὶ τοῦ Τερπάνδρου, ὅτι τοῖς αὐλοῖς εἰς ὁμόνοιαν ἤγαγε τὴν Λακεδαιμονίων πόλιν κιθαρῳδὸς ὤν· ἡδεῖαι δὲ οὐ χρήσιμοι, οἷον ἡ ζωγραφικὴ, ἡ νῦν κιθαρῳδία· οὔτε ἡδεῖα οὔτε χρήσιμος ἡ τῶν μηχανικῶν κατασκευή· εἰ δέ τις ἐρεῖ ὡς καὶ ταῦτα χρήσιμα, προσλαμβάνει γὰρ τοὺς πολεμίους, ἐροῦμεν, ὅτι, ἕως ἂν εἴη τὸ γένος τῶν ἀνθρώπων, οὐδὲν πρὸς ἅλωσιν ἀνθρώπων ἐστὶ χρήσιμον, καὶ ὅσον αὐτὸ εἰς διαφορὰν ἑτέρου οὐκ ἔστι χρήσιμον, καὶ ὁ κλέπτης γὰρ ἐκ τοῦ κλέπτειν ὠφελεῖται αὐτὸς, ἀλλὰ ἀδικεῖ τὸν βίον, καὶ ὁ φονεὺς ἐκ τοῦ φονεύ-

καλλιτεχνίαν αὐτὴν δεῖξαι — ἔφη. 28 cfr. Ald. p. 50. l. 25. nostr. ed.

σαι ἴσως ἂν καὶ κερδανεῖ καὶ ἐχθροῦ ἀπαλλαγὴν σχήσει, ἀλλ' οὐ τὸ πρᾶγμα φύσει χρήσιμον πρὸ μοίρας ἀπελθεῖν τὸν τεχθέντα τοῦ βίου· τοῦτο δὲ πρόδηλον, ὡς τὴν ἀρχὴν οὔτε ὅπλα οὔτε ἐπιχειρήσεις πολέμων ἐγένοντο μὴ φθόνου προϋφεστηκότος· οἷς γὰρ ἀλλήλοις ἐπολέμησαν ἄνθρωποι, τούτοις ἑαυτοῖς ἐπεβούλευσαν· πᾶν δὲ, ὃ ἐκ πονηροῦ σκοποῦ ἔσχε τὴν ἀρχὴν τῆς γενέσεως, ἀκόλουθόν ἐστι τῷ σκοπῷ· ὅσαι οὖν οὐκ εἰσὶν ἡδεῖαι καὶ χρήσιμοι, αὗται καὶ ἀτιμώζουσι κατά τινα χρόνον, ὅσαι δὲ ἡδεῖαι καὶ χρήσιμοι, ἅμα τῷ βίῳ ἐλθοῦσαι παραμένουσι παντελῶς· διὰ τοῦτο οὖν εἶπε, συγγυμνασθέντα τῷ χρόνῳ, ἵνα δείξῃ, μηδένα χρόνον ἐκτὸς ὄντα ῥητορικῆς· εἰ γὰρ ἴσμεν, ὅτι κατά τινας χρόνους ἐνέλειπεν, οἷον ἐπὶ ταῖς τυραννίσι καὶ τοῖς Μακεδονικοῖς, ἀλλ' ἐν τῇ φύσει τῇ ἀνθρωπίνῃ· καὶ εἰ παρὰ τοῖς Ἕλλησιν ἐνέλιπεν, οὔπω καὶ πανταχόσε· ὥσπερ δὲ τὰ πολλὰ προειπὼν προσέθηκε καὶ μεγάλων, καὶ ὥσπερ τῷ καταληφθέντα προσέθηκε τὸ ἐξ ἀρχῆς ἑκάστῳ, καὶ ἐνταῦθα εἰπὼν τὸ συγγυμνασθέντα προσέθηκε τῷ χρόνῳ, ἵνα δείξῃ μηδένα χρόνον ἐκτὸς ὄντα ῥητορικῆς. Σαφῆ τε τὴν ὠφέλειαν παρεχόμενα· πάλιν[29] τρεῖς ἰδέαι εἰσὶ τεχνῶν, καλλιτεχνία, κακοτεχνία, ψευδοτεχνία. Καλλιτεχνία μὲν γὰρ, οἷον γραμματικὴ, ἰατρικὴ, αὐτὴ ἡ ῥητορική· εἰς καλὸν γὰρ ἐπινενόηται· κακοτεχνία δὲ ἡ τῶν δηλητηρίων τούτων ποίησις, ψευδοτεχνία δὲ, οἷον ὀρχηστικὴ, σκαλοβατική· αὗται δέ εἰσι ψευδοτεχνίαι, ὅτι τέλος οὐδὲν ἐπάγουσιν, ἀλλ' ἀτελεῖς τινές εἰσι τέχναι, καὶ ἐν ἑαυταῖς σβέννυνται· τί δέ ἐστιν, ὃ λέγω καὶ σαφέστερον εἴπωμεν· ἰατρικὴ ἔχει τέλος τὸ ὑγιάζειν τὰ σώματα, ἡ γραμματικὴ τὸ ὀρθὸν ποιεῖν τὸν λόγον καὶ ἄπτωτον, ἡ ῥητορικὴ τὸ τοῖς δεομένοις συναγωνίζεσθαι, ἐν δικαστηρίοις δὲ πείθειν τὰ χρήσιμα τὴν πόλιν, καὶ πρεσβευτική· ἡ δὲ σφαιροπαικτικὴ καὶ σκαλο-

29 cfr. Ald. p. 51. l. 17. nostr. ed.

βατικὴ καὶ ὀρχηστικὴ οὐδὲν ἔχουσιν, ἀλλ᾽ ἐπιδειχθεῖσαι τέλος οὐδὲν ἑαυτῶν οὐδὲ πέρας προσέθηκαν. Βουληθεὶς καὶ καλλιτεχνίαν αὐτὴν δεῖξαι, ἐπειδὴ ταύτην καὶ μάλιστα Πλάτων συκοφαντίαν ἐκάλεσεν, ὥστε εἶναι καλλιτεχνίαν, ἔφη· σαφῆ τε τὴν ὠφέλειαν παρεχόμενα τῷ βίῳ κἂν ταῖς βουλαῖς κἂν τοῖς δικαστηρίοις καὶ πανταχοῦ· κἂν ταῖς βουλαῖς μὲν τὸ συμβουλευτικὸν, κἂν τοῖς δικαστηρίοις τὸ δικανικόν· τὸ δὲ πανταχοῦ τινὲς μὲν ἐξηγήσαντο εἶναι τὸ πανηγυρικὸν, λέγοντες, ὅτι πλείονες τόποι καὶ χρόνοι εἰσὶ τοῦ πανηγυρικοῦ· καὶ γὰρ πρὸς λιμένι τις προπεμπτικὸν λέγων δημηγορεῖ, καὶ ἐπιθαλάμιον ἐν οἰκίᾳ, καὶ ἐπιτάφιον ἐν τάφῳ, καὶ πᾶς καιρὸς τὴν τοῦ πανηγυρικοῦ χρείαν ἐπιδέχεται, διὸ πανταχοῦ ἐκάλεσεν ἀπὸ τοῦ συμβαίνοντος ἐπ᾽ αὐτῷ· ἐπιχειροῦσι δὲ τὸ προοίμιον ὅρον ποιεῖν ῥητορικῆς λέγοντες, τί ἐστι ῥητορική· πολλὰ καὶ μεγάλα καταληφθέντα ἐξ ἀρχῆς καὶ συγγυμνασθέντα τῷ χρόνῳ, σαφῆ τὴν ὠφέλειαν παρεχόμενα τῷ βίῳ, κἂν ταῖς βουλαῖς κἂν τοῖς δικαστηρίοις καὶ πανταχοῦ· οὐκ ἀκριβὴς δ᾽ ἂν εἴη αὕτη ἡ ἐξήγησις, ἐπειδὴ κατεσκευάσαμεν, ὅτι οὐ περὶ πάσης διαλαμβάνει τῆς ῥητορικῆς, καὶ οὐκ εἰκὸς αὐτὸν ἦν οὐδὲ μνήμην ὅλως ποιήσασθαι τοῦ πανηγυρικοῦ, ἀλλ᾽ ἄμεινον οὕτως ἐξηγήσασθαι, ὅπωςπερ ἐφ᾽ ἑκάστου τῶν ἀπὸ τῆς τέχνης προσέθηκεν ἔπαινον, καὶ εἰπὼν πολλῶν, ᾧ προσέθηκε καὶ μεγάλων, καὶ τὰ ἄλλα ὁμοίως· οὕτω καὶ τὰ ἄλλα πρὸς τὸ τελευταῖον τοῦ ὅρου τῆς τέχνης τὸ πρός τι τέλος εὔχρηστον τῷ βίῳ· εἰπὼν δὲ σαφῆ τὴν ὠφέλειαν παρεχόμενα τῷ βίῳ εἶπεν, καὶ πανταχοῦ, ἵνα ᾖ ἔπαινος τῆς ῥητορικῆς· ἐκ τούτου ἤμελλεν καὶ εὐτελὴς εἶναι τῆς τέχνης ἡ χρεία, εἰ δύο μόνοι τόποι καὶ καιροὶ ταύτην ὑποδέχονται· ἡ δὲ ἰατρικὴ πανταχοῦ χρήσιμός ἐστι καὶ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ· βουλόμενος οὖν καὶ ταύτην δεῖξαι μὴ περιειλημμένην, μηδὲ περιορισθεῖσαν τόπῳ τινὶ

εἶπεν πανταχοῦ· ὁ γὰρ δῆμος δυνάμενος συμβουλεῦσαι πολὺ ἂν ἀκριβέστερον ἑνὶ συμβουλεύσειεν, καὶ ὁ δικαστὰς δυνάμενος πεῖσαι καὶ ἕνα πείσει· καὶ ὁ ἐν πόλει συμβουλεύων καὶ ἐν στρατοπέδῳ συμβουλεύσει· ὥστε ἀκριβεστέρα ἂν εἴη ταύτη ἡ ἐξήγησις. μέγιστον εἶναί μοι δοκεῖ τὸ περὶ διαιρέσεως αὐτῶν. διαίρεσις δέ ἐστιν ἡ ἀπὸ γένους εἰς τὰ ἑπόμενα τμῆσις· ἑπόμενα εἴπομεν, ἵνα κατ' αὐτὸν μὴ εἴπωμεν εἴδη, ἔστι γὰρ καὶ εἰς ἕτερα τμηθῆναι. Περὶ διαιρέσεως αὐτῶν· ἐπειδὴ οὖν τὸ τῆς διαιρέσεως αὐτῶν γενικόν· πᾶσα γάρ, ὅπερ ἔφαμεν, ἀπὸ γένους εἰς[30] εἴδη τμῆσις διαίρεσις καλεῖται, διὰ τοῦτο ἀσφαλιζόμενος προσέθηκεν[31]· „λέγω δὴ οὐ τῆς ἀπὸ τῶν γενῶν εἰς εἴδη, οὔτε ἀπὸ τῶν ὅλων εἰς μέρη“· αὐτὸς μὲν οὖν οὐκ ἐδίδαξεν ἡμᾶς τὴν τούτων διαφορὰν, οὔτε τί γένος, οὔτε τί εἶδος, οὔτε τί ὅλον, οὔτε τί μέρος, ἡμεῖς δὲ εἴπομεν, γένος μὲν οὖν ἐστι τὰ τέλεια καὶ ἀφ' οὗ τέλεια τέμνεται· ὅλον δέ, ὃ ἐτμήθη ἐκ τελείου, τέλειον δὲ καὶ αὐτὸ, καὶ ἐπιδέχεται τὴν εἰς ἕτερα πλείονα τμῆσιν· εἶδος δέ, ὃ ἐκ τοῦ ὅλου τμηθὲν τὴν μετὰ ταῦτα τμῆσιν ἀτελῆ ἔχει· μέρος δὲ ἀπὸ εἴδους τμηθὲν ἀτελές ἐστι· καὶ οὗτοι μὲν τούτων ὅροι· ἴδωμεν δέ, πῶς ἂν εἴη τῆς ῥητορικῆς ἡ εἰς ταῦτα τμῆσις. Οἱ μὲν οὖν τινες οὕτως ἐνόουν, ὅτι ἐστὶ γένος ἡ λογικὴ ἐπιστήμη, αὐτοὶ οἱ λόγοι, ἡ δὲ λογικὴ ἐπιστήμη τέμνεται εἴς τε ἰατρικὴν καὶ φιλοσοφίαν καὶ ῥητορικὴν καὶ γραμματικὴν, καὶ ἔστι ταῦτα ὅλα τῆς λογικῆς ἐπιστήμης· τμηθέντα οὖν ἐξ αὐτῆς τέλειά ἐστι καὶ τὴν εἰς ἕτερα τελείαν τομὴν ἐπιδέχεται· εἴη ἂν οὖν τῆς λογικῆς ἐπιστήμης ὅλον ἡ ῥητορικὴ, εἴδη δὲ αὐτῆς τρία, ἃ ἐτμήθη μὲν ἀπὸ τοῦ ὅλου, δέχεται δὲ ἑτέραν τμῆσιν, εἰς ἀτελῆ μέντοι τὸ δικανικὸν, τὸ συμβουλευτικὸν, τὸ πανηγυρικὸν, μέρη δὲ τὰ ἐκ τοῦ εἴδους

30 εἰς abest a cod. 31 cfr. Ald. p. 62. l. 22.

τμηθέντα καὶ ἀτελῆ τυγχάνοντα, οἷον τοῦ δικανικοῦ κατηγορία καὶ ἀπολογία, τοῦ συμβουλευτικοῦ προτροπὴ καὶ ἀποτροπὴ, τοῦ πανηγυρικοῦ ἐγκώμιον καὶ ψόγος· οἱ δὲ ἄλλως τέμνουσι τὴν διαίρεσιν, ἐπὶ τὸ ἀκριβέστερον φέροντες, καὶ λέγουσι γένος μὲν εἶναι τὴν ῥητορικὴν, ὅλα δὲ τὰ τρία ἃ ἔφαμεν, τό τε συμβουλευτικὸν καὶ δικανικὸν καὶ πανηγυρικόν. εἴδη δὲ τὰς τμήσεις τούτων, οἷον τοῦ δικανικοῦ κατηγορίαν καὶ ἀπολογίαν καὶ τῶν ἄλλων ὁμοίως· μέρη δὲ τὰ κεφάλαια ἤτοι προγυμνάσματα· ταῦτα γὰρ τμηθέντα ἀτελῆ ἐστιν. Ἡ μὲν οὖν διαίρεσις τῶν γενῶν καὶ τῶν ὅλων καὶ τῶν εἰδῶν καὶ τῶν μερῶν αὕτη· αὐτὸς δέ φησι μὴ ταύτην λέγειν, περὶ δὲ τῆς τῶν πολιτικῶν ζητημάτων διαιρέσεως εἰς τὰ λεγόμενα κεφάλαια ὁ λόγος γίνεται. Ἐνταῦθα ὁ σκοπὸς τοῦ βιβλίου πρόκειται· ἐχρῆν γὰρ μετὰ τὸ προοίμιον προτεῖναι τὸν σκοπὸν, ἵνα γινώσκοιμεν, τί ἐξ αὐτοῦ μέλλομεν μαθεῖν· ὁ σκοπὸς οὖν τοῦ βιβλίου οὗτός ἐστιν· διαίρεσις πολιτικῶν ζητημάτων· καλῶς δὲ προσέθηκε πολιτικῶν ζητημάτων, ὅτι ἔστι καὶ φιλόσοφα ζητήματα, καὶ συνώνυμόν ἐστι τὸ ὄνομα, εἰ τὰ λεγόμενα κεφάλαια διὰ τοῦτο εἶπεν, ἐπειδὴ κεφάλαιον καλεῖται τὸ ἐξαίρετον καὶ ἔκκριτον παντὸς πράγματος, ὡσεὶ λέγομεν, τοῦ Ἑλληνικοῦ ναυτικοῦ κεφάλαιον Ἀθηναῖοι, καὶ ὡσανεὶ λέγοιμεν, τὸ κεφάλαιον τῆς πόλεως ἡ ἀκρόπολις, ἢ τόδε τὸ λουτρόν· διὰ τοῦτο οὖν προσέθηκε τὰ λεγόμενα, οὕτως κληθέντα. Ἐκλήθη δὲ καὶ αὐτὰ κεφάλαια, ἐπειδὴ τοῦ σύμπαντος λόγου ἐστὶν ἐξαίρετα καὶ πρὸς ἀπόδειξιν συντελοῦντα, οἷον τοῦ στοχασμοῦ ἡ τῶν ἐλέγχων ἀπαίτησις, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ τὰ λοιπά. Ἔστι δὲ ὁ αὐτὸς λόγος τῷ περὶ εὑρέσεως, πλὴν ὅσον οὐ πάντα ἔχει τὰ τῆς εὑρέσεως. Ἐνταῦθα[32] ἀντιπίπτον λύει ὁ τεχνι-

32 Cfr. Ald. p. 66. l. 7.

κός· ἐπειδὴ γὰρ ἐπηγγείλατο διαίρεσιν κεφαλαίων εἰπεῖν, ἐν δὲ τῇ τούτων διαιρέσει καὶ ἐνθύμημα προστίθησιν, ἀντέπιπτε δὲ αὐτῷ, ὅτι ἕτερόν τι ἐνθύμημα, καὶ ἕτερόν τι διαίρεσις, καὶ τί ἄρα, ὃ ἐπηγγείλατο, ἤμελλεν ἐπεξεργάζεσθαι, τοῦτο λύων τὸ ἀντιπίπτον εἶπεν, ὅτι ὁ αὐτὸς λόγος τῷ περὶ εὑρέσεως. εὑρέσεως δὲ λέγει τῷ περὶ ἐνθυμημάτων. πλὴν ὅσον οὐ πάντα ἔχει τὰ περὶ εὑρέσεως· οὐ γὰρ ὅσα ἄν τις μελετῶν ταῦτα εἰς τὸν χαρακτηρισμὸν τῶν κεφαλαίων εἶπεν ὁ τεχνικός, ἀλλ' ὅσον ἐμφῆναι καὶ διδάξαι τὴν φύσιν τοῦ κεφαλαίου· οὐ γὰρ ἐνῆν ἄνευ ἐνθυμημάτων καὶ παραδείγματος διδάξαι, τί ποτέ ἐστι τὸ κεφάλαιον· εἰ γὰρ διεῖλεν οὕτως, ὅτι ὁ στοχασμὸς διαιρεῖται παραγραφικῷ, ἐλέγχων ἀπαιτήσει, βουλήσει, δυνάμει καὶ τοῖς ἑξῆς, ἀσαφὲς ἂν ἦν, [33] εἰ μὴ προσέθηκεν· ἔτι δὲ τὸ παραγραφικὸν τὸ τὸν ἀγῶνα αἰτιάσασθαι, καὶ πάλιν ἐν τῇ τῶν ἐλέγχων ἀπαιτήσει· τίς παρῆν; τίς σύνοιδε; καὶ τὰ τοιαῦτα· τοῦτο οὖν λέγει, ὅτι ὁ περὶ τῆς διαιρέσεως λόγος κοινωνεῖ μὲν τῷ τῶν ἐνθυμημάτων, μέτρῳ δὲ διενήνοχεν· ἐν μὲν γὰρ τῇ διαιρέσει ἓν ἢ δεύτερον ἐνθύμημα ἀρκεῖ μηνῦσαι τὴν φύσιν τοῦ κεφαλαίου· ἐν δὲ τῷ περὶ ἐπιχειρημάτων πλείονα, καὶ ὅσα ἄν τις εἰς τελείαν μελέτην καὶ ἀπόδειξιν εἴποι. Καὶ πρῶτόν τε, ὅ τί ἐστι πολιτικὸν ζήτημα ῥητέον. Ἐνταῦθα Μινουκιανοῦ ἐπιλαμβάνεται· ἐπειδὴ γὰρ ὁ Μινουκιανὸς ἤρξατο οὕτως, ὁ ῥήτωρ ἐρεῖ πᾶν ζήτημα πολιτικὸν, οὐ προσέθηκε δὲ ὅ τί ποτέ ἐστι τὸ πολιτικὸν ζήτημα, οὐδὲ ἐδίδαξεν ἡμᾶς τὴν διαφορὰν τὴν ἐκ τῶν ἄλλων ζητημάτων, διὰ τοῦτο Ἑρμογένης τίθησιν ὅρον πολιτικοῦ ζητήματος, ἵνα πρῶτον διδάξῃ, ὅ τί ποτέ ἐστι τοῦτο· ἄλλως τε καὶ ἀκόλουθος ἦν ὁ ὅρος· ἐπειδὴ γὰρ ἐκ τοῦ

33 Cod. ἀσαφεστάτην.

προοιμίου ἀπέδειξεν, ὅτι καὶ καλὴ τέχνη, προσέθηκε δεύτερον τὸν σκοπὸν, τοῦτο δὲ εἶναι λέγει τὴν διαίρεσιν τῶν πολιτικῶν ζητημάτων, ἀναγκαῖον ἦν διδάξαι, τί ποτέ ἐστι τὸ πολιτικὸν ζήτημα. ἔστι τοίνυν ἀμφισβήτησις λογικὴ ἐπὶ μέρους, ἐκ τῶν παρ' ἑκάστοις νόμων ἢ ἐθῶν περὶ τοῦ νομισθέντος δικαίου ἢ καλοῦ ἢ συμφέροντος. εἴδωμεν οὖν, εἰ εὖ ἔχει ὁ ὅρος αὐτοῦ. Ἀμφισβήτησις[34], τοῦτο γένος· ἀμφισβήτησις γὰρ λέγεται καὶ ἡ διὰ χειρῶν, ὡς ἀθληταὶ καὶ παγκρατιασταὶ, ὅταν ἀμφισβητῶσι περὶ στεφάνου διὰ χειρῶν, καὶ ἡ δι' ὅπλων ἀμφισβήτησις, ὡς ὅταν Ἀθηναῖοι καὶ Φίλιππος περὶ τῆς Ἀμφιπόλεως, ἢ Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι περὶ τῆς ἡγεμονίας. ἐπειδὴ οὖν κοινὸν ἦν τὸ τῆς ἀμφισβητήσεως, προσέθηκε τὸ λογική. ἐπειδὴ δὲ καὶ οἱ φιλόσοφοι ἔχουσιν ἀμφισβήτησιν λογικὴν, προσέθηκε τὸ ἐπὶ μέρους. τοῖς γὰρ φιλοσοφοῦσι γενικαί εἰσιν αἱ ἀμφισβητήσεις, οἱ γὰρ φιλόσοφοι οὐ ζητοῦσιν, εἰ τόδε δίκαιον Λακεδαιμονίοις, ἀλλ' εἰ δίκαιον πᾶσιν ἀνθρώποις· οἱ δὲ ῥήτορες ἐπὶ μέρους ἔχουσι τὴν ἀμφισβήτησιν, ζητοῦσι γὰρ, τί Ἀθηναίοις δίκαιον, καὶ ἡνίκα μὲν Ἀττικὸν μελετῶσι ζήτημα, δίκαιον ἀποφαίνουσιν εἶναι τὸ τοὺς ξένους παρέχειν μετοίκιον, καὶ ἐπαινοῦσιν τὸ ξένους οἰκεῖν τὴν πόλιν· ἡνίκα δὲ Λακωνικὸν, δίκαιον εἶναι τὴν ξενηλασίαν καὶ ἐπαινοῦσι τὸ πάντη μὴ εἶναι ξένον ἐν Λακεδαίμονι· οὕτως ἐπὶ μέρους αὐτοῖς ἡ ἐξέτασις γίνεται. ἐπειδὴ οὖν καὶ οἱ ἰατροὶ μάλιστα πάντων ἀμφισβήτησιν λογικὴν ἔχουσι μέρους, ζητοῦσι γὰρ, τί τῷδε χρήσιμον καὶ ποίας ὅδε ἐστὶ κράσεως, καὶ τί πλεονάζει ἐν αὐτῷ καὶ τί ἐλλείπει, προσέθηκεν ἐκ τῶν παρ' ἑκάστοις κειμένων νόμων ἢ ἐθῶν· τοῖς γὰρ ἰατροῖς οὐκ ἀπὸ νόμων ἢ ἐθῶν γίνεται ἡ ζή-

34 cfr. Ald. p. 78. l. 13.

τησις, ἀλλ᾽ ἀπὸ τῆς φύσεως καὶ τῶν τοιούτων. Τί δέ ἐστι τὸ ἐκ τῶν παρ᾽ ἑκάστοις κειμένων νόμων ἢ ἐθῶν; ἵνα μὴ Ἀττικὸν ζήτημα μελετῶν Λακωνικοῖς νόμοις χρήσῃ ἢ τὸ ἐναντίον, ἀλλὰ τοῖς παρ᾽ ἑκάστοις χρήσῃ. Διατί εἶπε νόμων ἢ ἐθῶν; ἢ βουλόμενος τὴν ῥητορικὴν ἀρχαιοτάτην οὖσαν δεῖξαι· πρὸ γὰρ τῶν νόμων τὰ ἔθη ἃ μετὰ ταῦτα ἐγγράφως κυρωθέντα νόμοι γεγόνασιν. εἰ γὰρ ἔλεγεν „ἐκ τῶν παρ᾽ ἑκάστοις νόμων", νεωτέραν ἐδείκνυεν αὐτήν, οἱ γὰρ νόμοι νεωστὶ τεθέντες ἦσαν· ἢ βουλόμενος αὐτὴν ὥσπερ τὴν ἰατρικὴν κοινὴν ἀποδεῖξαι, οἱ γὰρ βάρβαροι οὐ νόμοις κέχρηνται, ἀλλ᾽ ἔθεσιν· τοῦτο οὖν βουλόμενος δεῖξαι, ὅτι δύναται καὶ παρὰ βαρβάροις τὴν ἑαυτῆς ἐνδείξασθαι δύναμιν ἡ ῥητορική, ἐν οἷς οὐ νόμοι ἀλλ᾽ ἔθη εἰσὶ τὰ πολιτευόμενα, ἢ ἐπειδὴ πολλάκις οἱ ῥήτορες τὸ ἔθος ἀντὶ νόμου παραλαμβάνουσιν, ὡς ὁ Δημοσθένης· „φήσει [35] τοίνυν τοῦτον τὸν τρόπον ἁπάσας εἰληφέναι τὰς βουλάς·" καὶ ἐν τῷ περὶ τοῦ στεφάνου· „πρῶτον μὲν γὰρ Ναυσικλῆς, ἐφ᾽ οἷς ἐκ τῶν ἰδίων προεῖτο [36], πολλάκις ἐστεφάνωται·" ἢ ὅτι ἐν τῇ πραγματικῇ τὸ ἔθος τὴν τοῦ νόμου χρείαν ἀναπληροῖ· διὸ εἶπε νόμων ἢ ἐθῶν. Ζητεῖται δὲ ἐν τῷ ὅρῳ πρῶτα δύο ταῦτα· τίνος χάριν φησὶ τὴν ἀμφισβήτησιν ἐπὶ μέρους εἶναι, καίτοι πολλάκις φαίνονται καθολικὰ οἱ ῥήτορες ἀποφηνάμενοι· ὡς τὸ, „οὐκ ἔστιν ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι·" [37] καὶ τὸ· πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ." [38] καὶ παρ᾽ Αἰσχίνῃ· „οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο·" [39] καὶ τὸ,

35 Cod. φησί, scripsi φήσει, ut est apud Dem. contr. Androtion. p. 595. 36 Cod. προσεῖτο. Dem. p. 264. προεῖτο. 37 Olynth. II. p. 20. 38 pro cor. p. 258. 39 contra Ctes. p. 441. Bekk.

εἰρήνη γὰρ ἀργίαν οὐ τρέφει,"[40] καίτοι τοιαῦτα πάντα καθολικά ἐστι, καὶ οὐ τῷδε μὲν ἁρμόζοντα, τῷδε δὲ οὔ. Λύομεν οὖν τοῦτο λέγοντες, ὅτι οὐχ ἡ ἀμφισβήτησίς ἐστιν αὐτῷ ἐνταῦθα καθολική· εἰ γὰρ προέκειτο τῷ Δημοσθένει ζητεῖν, πότερον οἱ ἐπιορκοῦντες κινδυνεύουσιν ἢ οὔ, γενικὴ ἦν ἡ ἀμφισβήτησις· καὶ εἰ προέκειτο, πότερον φυσική ἐστιν ἡ πονηρία ἢ δυναμένη μεταβάλλεσθαι τῷ Αἰσχίνῃ, γενικὴ ἦν ἡ ἀμφισβήτησις. Καὶ εἰ προέκειτο, πότερον τόδε τοιῶσδε, νῦν δὲ ἕκαστος μὲν τούτων ἰδίαν ἔχει τὴν ἀμφισβήτησιν, καὶ ἐκ τῶν γενικῶν κατασκευάζεται. Κατασκευάζων γάρ, ὅτι ἀσθενὴς ὁ Φίλιππος ἐκ τοῦ γενικοῦ τὴν κατασκευὴν εἴληφεν· ὅτι πᾶς ἐπιορκῶν ἀσθενής, ὁ Φίλιππος ἐπιορκεῖ, ἀσθενὴς ἄρα Φίλιππος. Καὶ ζητῶν ἀποδεῖξαι, ὅτι καλῶς συνεβούλευσεν ἐν Χαιρωνείᾳ μάχεσθαι, προσέθηκεν, ὅτι πᾶς ἄνθρωπος θνητός, δεῖ οὖν ὑπὲρ ἀρετῆς ἐθέλειν ἀποθανεῖν· καὶ ὁ Αἰσχίνης ζητῶν, ὅτι πονηρὸς ὁ Δημοσθένης, προσέθηκεν, ὅτι καὶ πλουτήσας τὴν αὐτὴν ἔσχε γνώμην, καὶ οὐ διήλλαξεν ἡ περιουσία τὸν τρόπον· ὥστε ἀκριβῶς ἔχει ὁ ὅρος, ὅτι ἡ ἀμφισβήτησις τῶν ῥητορικῶν ἐπὶ μέρους ἐστί· ταῦτα γὰρ οὐ περὶ ἀμφισβητήσεώς ἐστι· καὶ τὸ μὲν πρῶτον τοῦτο· τὸ δὲ δεύτερόν φαμεν, ὅτι ἐκ τῶν παρ' ἑκάστοις νόμων ἢ ἐθῶν ἐστιν ἡ ἀμφισβήτησις· πῶς φαίνεται ὁ Δημοσθένης τῶν Λοκρῶν τε μεμνημένος νόμου[41] καὶ λέγων, ὅτι Λακεδαιμόνιοι καὶ Θηβαῖοι οὐδενὶ τῶν παρ' αὐτοῖς διδόασι τοιαύτας δωρεάς,[42] καίτοι ταῦτα οὐκ ἐξ Ἀττικῶν νομίμων ἐστί· καὶ τοῦτο μὲν αἰτιῶνταί τινες· ἡ δὲ λύσις αὕτη, ὅτι οὐχ ἡ ζήτησις αὐτῶν ἐστι περὶ τῶν ξενικῶν νόμων, ἀλλὰ περὶ μὲν τῶν Ἀττικῶν ἡ κατασκευὴ καὶ ἀμφισβήτησις εἴληπται, πρὸς πίστιν δὲ καὶ ἀπόδειξιν τὰ ξένα νόμιμα· εἰ μὲν γὰρ

---

40 Aesch. de fals. leg. p. 369. Bekk. 41 contr. Timocr. p. 744. 42 in Lept. p. 459.

τούτῳ ἦν αὐτῷ τὸ ζητούμενον, ὅτι Τιμοκράτης οὐκ ἐν βρόχῳ τὸν τράχηλον ἔχων νομοθετεῖ, ἐκ τῶν Λοκρῶν νόμων ἦν ἡ ἀμφισβήτησις· καὶ εἰ τοῦτο ἦν ἐν τῷ πρὸς Λεπτίνην, ὅτι τὸ τῶν ἐφόρων καὶ τῶν γερόντων τάγμα συγγίνεται παρ' αὐτοῖς ἐκ τῶν Λακωνικῶν νομίμων ἡ ἀμφισβήτησις· ἀλλ' ἡ ζήτησίς ἐστι καὶ ἡ ἀμφισβήτησις, εἰ χρηστὸς ὁ Τιμοκράτους νόμος· ὁ δὲ μεμφόμενος τὴν ἑτοιμότητα τοῦ νομοθετεῖν καὶ τὴν εὐχέρειαν ἐμνημόνευσε τοῦ Λοκρῶν νόμου· ὅτι φοβερόν ἐστι παρ' αὐτοῖς τὸ νομοθετεῖν, διὸ καὶ χρηστοῖς ἀεὶ νόμοις χρῶνται· καίτοι αὐτὸς ὁ μεμφόμενος τὸν Λεπτίνην ὡς ἀφελόμενον τὰς δωρεὰς τῶν εὐεργετῶν εἶπεν, ὅτι οἱ ἀλλαχοῦ πολῖται καὶ μείζους παρέχουσι τῆς ἀτελείας δωρεάς, καὶ τοὺς εὐεργέτας τῶν ἰδιωτῶν δεσπότας καθιστῶσι. Περὶ τοῦ νομισθέντος δικαίου ἢ καλοῦ ἢ συμφέροντος· νομισθέντος μὲν οὖν λέγει τοῦ νόμῳ τεθέντος καὶ κυρωθέντος· οὐ γὰρ τὸ ὄντως δίκαιον ζητοῦμεν, ἀλλ' ὅπερ ἂν ὁ νόμος ὁρίζῃ δίκαιον· ποῦ γὰρ ἄν τις φαίη φύσει δίκαιον εἶναι τὸ ξενηλασίαν γίνεσθαι ἢ τὸ μετοίκιον διδόναι τοὺς ξένους, ἢ πωλεῖσθαι τοὺς ἀποστατοῦντας τῶν ξένων· ἀλλ' ἐπειδὴ νόμῳ κεκύρωται, μελετῶντες ἐξετάζομεν αὐτὸ ὡς δίκαιον· τὸ δὲ νομισθέντος, νόμῳ ὁρισθέντος· καλοῦ ἢ δικαίου ἢ συμφέροντος· τρεῖς εἰσιν αἱ πρῶται παντὸς πράγματος ζητήσεις, ὕπαρξις, ἰδιότης, ποιότης, καὶ ἡ μὲν ὕπαρξις ποιεῖ τὸν στοχασμόν, ἡ δὲ ἰδιότης τὸν ὅρον, ἡ δὲ ποιότης τὰς λοιπὰς στάσεις· ἐν γὰρ τῷ στοχασμῷ αὐτὸ τοῦτο, εἰ ὑπῆρξεν ἢ εἰ ὑπάρξει ζητοῦμεν, ἐν δὲ τῷ ὅρῳ τὸ ἴδιον τοῦ πράγματος, ὅπως τὸ ὄνομα ὁρισθῇ τοῦ πραχθέντος· αἱ δὲ λοιπαὶ στάσεις ἔχουσι τὴν ποιότητα. Ἐζήτηται οὖν ἐνταῦθα, πῶς φησιν τὴν ἀμφισβήτησιν εἶναι περὶ δικαίου ἢ καλοῦ ἢ συμφέροντος· τὸ γὰρ δίκαιον τῆς ποιότητός ἐστιν ἢ δίκαιον ἢ ἄδικον, καὶ τὸ καλὸν ἢ

καλὸν πάλιν ὁμοίως τῆς ποιότητος· καὶ εἰ συμφέρον ἢ ἀσύμφορον τῆς ποιότητος· ἐξέπεσεν οὖν ὁ στοχασμὸς καὶ ὁ ὅρος· οὐδεμία γὰρ τούτων τῶν στάσεων περὶ δικαίου ἢ καλοῦ ἢ συμφέροντος ζήτησις, ἀλλ' ἐν μὲν τῷ στοχασμῷ περὶ ὑπάρξεως, ἐν δὲ τῷ ὅρῳ περὶ τῆς ἰδιότητος· οὐ γὰρ ζητοῦμεν, εἰ πονηρὸν ἢ καλὸν τὸ τυπτῆσαι Δημοσθένην, ἀλλ' εἰ τὸ τυπτῆσαι Δημοσθένην ἴδιον τοῦ κληθῆναι δημόσιον ἀδίκημα· καὶ ἐν τῷ στοχασμῷ οὐ ζητοῦμεν, εἰ πονηρὸν ἢ ἀγαθὸν ἡ τυραννὶς, ὡμολόγηται γὰρ, ἀλλ' εἰ τὸ ἀφορᾶν σημεῖόν ἐστι τοῦ ἐθέλειν τυραννῆσαι· λέγων οὖν αὐτὸς περὶ μόνου εἶναι τὴν ἀμφισβήτησιν καλοῦ ἢ δικαίου ἢ συμφέροντος, περὶ τῆς ποιότητος μόνης λέγει τὴν ἀμφισβήτησιν τοῦ πολιτικοῦ ζητήματος, καὶ ἀνάγκη ἀναντίῤῥητος, ἢ μὴ εἶναι στάσεις τὸν στοχασμὸν καὶ τὸν ὅρον, ἢ οὔσας ἐκτὸς εἶναι τοῦ ὅρου τοῦ πολιτικοῦ ζητήματος, καὶ οὕτως αὐτῆς τυγχάνειν τὸν ὅρον· καὶ τὸ μὲν ζήτημα τοῦτο· διαφόρους δὲ λύσεις ἐπενοήσαμεν εἰς αὐτό· καὶ οἱ μὲν λέγουσιν, ὅτι τὰ τρία εἴδη τῆς ῥητορικῆς ἐν ἑνὶ περιλαμβάνει, καλὸν μὲν τὸ ἐγκωμιαστικὸν, δίκαιον δὲ τὸ δικανικὸν, συμφέρον δὲ τὸ συμβουλευτικὸν, ἢ ὅτι τὰ τῆς πραγματικῆς κεφάλαια λέγει· ἐπειδὴ γὰρ εἰς δύο μεμέρισται τὰ πράγματα, εἰς παρεληλυθότα καὶ μέλλοντα, καὶ ὁ μὲν παρεληλυθὼς πάσας ἔχει τὰς στάσεις, ὁ δὲ μέλλων τὴν πραγματικὴν προέκρινε καὶ τὰ αὐτῆς τίθησι κεφάλαια, ἢ ὅτι καλὸν λέγει τὰς λογικὰς στάσεις, δίκαιον δὲ τὰς νομικὰς, συμφέρον δὲ τὴν πραγματικὴν, καὶ ἐν τούτῳ πάσας συλλαμβάνει τὰς στάσεις, ἢ ὅτι ταῦτα τελικὰ ὄντα κεφάλαια ἀναντιῤῥήτως ἐν πάσῃ στάσει ἐμπίπτει· τούτων οὖν ἐμνημόνευσεν τῶν ἀναντιῤῥήτως ἐμπιπτόντων, ἢ ὅτι ἐν πάσῃ στάσει ὁ σκοπὸς μετὰ τὰ ἴδια κεφάλαια, καὶ εἰς ταῦτα ὁρᾷ, τὸ δίκαιον κολασθῆναι τόνδε τινὰ, ἢ συμφέρον ἢ καλὸν ἀφεθῆναι· διὰ ταῦ-

*τα οὖν περὶ τούτων μόνον διέλαβε τῶν κεφαλαίων· αὗται δὲ αἱ ἀπολογίαι πιθαναὶ μὲν, οὐκ ἀληθεῖς δὲ, καὶ ἐφεξῆς ἴδωμεν πάσας. Οἱ μὲν οὖν λέγοντες, ὅτι περὶ τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς διαλαμβάνει, λελήθασιν ἑαυτοὺς τὸ μέγιστον ἀγνοοῦντες, ὅτι ὁ σκοπὸς αὐτῶν οὐ περὶ ὅρου ῥητορικῆς ἐστιν, ἧς εἴδη ταῦτα, ἀλλὰ περὶ πολιτικοῦ ζητήματος· καὶ τὸ μέγιστον, ὅτι ἐγκώμιον οὐ ζήτημά ἐστιν, ἀλλὰ μᾶλλον ὁμολογούμενον ἀγαθόν. Εἰ δὲ λέγουσιν, ἀμφισβήτησις περὶ τοῦ καλοῦ, ἐν οἷς φασιν αὐτὸν σημαίνειν τὸ πανηγυρικὸν, ἀγνοοῦντες τὴν φύσιν τοῦ πανηγυρικοῦ καὶ τὸν ὅρον ἀγνοοῦσιν· ἡ μὲν γὰρ φύσις οὐκ ἀμφισβήτησιν οἶδεν, ἀλλ᾽ ἔπαινον καὶ αὔξησιν τῶν προσόντων τινὶ ἀγαθῶν ἐν τῷ πανηγυρικῷ γιγνομένην· ὅ τε ὅρος τοῦ ἐγκωμίου αὔξησίς ἐστι τῶν ὁμολογουμένων ἀγαθῶν· ὡμολόγηται τοίνυν, ὅτι οὐ περὶ τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς διαλαμβάνει, τί γὰρ ἂν καὶ βουλόμενος διέλαβεν ὁ εἰπὼν ἐν τοῖς ἀνωτέροις, „λέγω δὲ οὐ τῆς ἀπὸ τῶν γενῶν εἰς εἴδη καὶ ἀπὸ τῶν ὅλων εἰς μέρη“· ταῦτα δὲ εἴδη ἤτοι ὅλα ἐστὶ τῆς ῥητορικῆς, περὶ ὧν ἀρνεῖται παντελῶς τὸ λέγειν· οἱ δὲ λέγοντες, ὅτι περὶ τῆς τῶν κεφαλαίων τῆς πραγματικῆς διαιρέσεως διαλαμβάνει, εὔηθες νομίζουσιν, εἰ ὑπολαμβάνουσι μόνον πολιτικὸν εἶναι ζήτημα τὴν πραγματικήν· ἄλλως τε τὸ μέγιστον κεφάλαιον τῆς πραγματικῆς, καὶ δι᾽ οὗ ἡ πᾶσα αὐτῆς ἐστι σύστασις, τὸ νόμιμόν ἐστι, περὶ οὗ μνείαν οὐδεμίαν τίθησι. Τὸ μὲν γὰρ καλὸν οὐδὲ κεφάλαιόν ἐστι τῆς πραγματικῆς, ἀλλ᾽ ἐπεισαγόμενον τοῖς κεφαλαίοις, ὅπερ οὐδὲ καλὸν ἀλλ᾽ ἔνδοξον καλεῖται· ἄλλως τε οὐδὲ ὡς παράδειγμα αὐτὸ εἰσήγαγεν, ὅπερ φασὶν ἀπὸ μέρους αὐτὸν τὸ πᾶν βούλεσθαι δηλοῦν· εἰ μὲν γὰρ ἔλεγεν „ὡσανεὶ περὶ τοῦ δικαίου ἢ καλοῦ ἢ συμφέροντος“, ἐδόκει μέρους μεμνῆσθαι πρὸς διδασκαλίαν τοῦ παντὸς, ἀλλ᾽ ὥσπερ τούτων οὔσης μόνον τῆς ἀμφισβητήσεως οὕτως ἀπεφήνατο· οὐκ*

*ἂν*

ἂν οὖν οὐδὲ περὶ τῆς πραγματικῆς λέγων εἴη· οἱ δὲ λέγοντες, ὅτι τὰ γένη τῶν στάσεων ἀγνοοῦσιν ἐμπίπτουσαν τὴν μετάληψιν· αὕτη γὰρ ἔξωθέν ἐστι περὶ εἰσαγωγῆς ἔχουσα τὴν ζήτησιν· ἐν γὰρ μεταλήψει περὶ οὐδενὸς τούτων ζήτησίς ἐστιν, οὔτε περὶ ὑπάρξεως, οὔτε περὶ ἰδιότητος, οὔτε περὶ ποιότητος, εἰς ἃ ταῦτα ἀναφέρεται, ἀλλ' εἰσακτέον ὅλως τὸν ἀγῶνα, ἄλλως τε κἂν δεχώμεθα τὰ γένη τῶν στάσεων αὐτὸν λέγειν, ὑπ' οὐδενὸς τούτων ὁ στοχασμὸς, οὐδὲ ὁ ὅρος ἀνάγεται, ἀλλ' ἐν ποιότητί εἰσιν αἱ τμήσεις τῶν γενῶν, οὐδὲ αὐτὴ οὖν ἡ ἀπολογία εὖ ἔχει· οἱ δὲ λέγοντες, ὅτι τὰ τελικὰ κεφάλαια ἐν πάσαις στάσεσιν εὑρεθήσονται, ἠγνόησαν, ὅτί ποτέ ἐστι τελικὰ, ταῦτα γὰρ οὐκ ἐν τοῖς ἀγῶσιν ἐστὶν, ἀλλ' ἐν τοῖς ἐπιλόγοις, τὰ δὲ ζητήματα τῶν ἀγώνων εἰσίν· πῶς ὁ ἀφεὶς, ὁ ἐπαγγειλάμενος διαίρεσιν ζητημάτων εἰπεῖν τοὺς ἀγῶνας τῶν ἐπιλόγων ἐποιεῖτό τινα μνήμην; Πρὸς δὲ τὸ φυσικῶς ταῦτα τὰ κεφάλαια ἐμπίπτειν ἐν πάσαις στάσεσιν ἐροῦμεν, ὅτι οὐκ ἔννοιαι τὰ ζητήματα, οὐδὲ στάσεις ποιοῦσιν, ἀλλὰ ἰδικαὶ κατασκευαὶ, καὶ ταῦτα ἐν τοῖς προλεγομένοις ἱκανῶς ἀπεδείξαμεν, ἐν οἷς ἐλέγομεν „οὗ δέ τι[35] ἐπαίνου ἐμπίπτει ἐν τοῖς ζητήμασι, τοῦτο ἤδη καὶ ἐγκώμιον ποιεῖ“· καὶ ἐνταῦθα οὐκ εἰ κοιναί τινες ἔννοιαι ἐμπίπτουσιν, ὅτι καλὸν τὸ κολασθῆναι τόνδε ἢ ἀφεθῆναι ἤ τι τῶν τοιούτων ζητημάτων εἰσὶν, ἀλλ' ἔξωθεν ἐπεισαγόμενα. τὰ γὰρ ζητούμενα ἀνάγκη περί τινος εἶναι τῶν τριῶν, ὑπάρξεώς φημι, ἰδιότητος, ποιότητος. Λείπεται τοίνυν ἐπταῖσθαι τὸν ὅρον, καὶ ἐκ προσθήκης μόνης ἰᾶσθαι δύνασθαι· ἡ δὲ προσθήκη αὕτη ἀμφισβήτησις λογικὴ ἐπὶ μέρους ἐκ τῶν παρ' ἑκάστοις νόμων ἢ ἐθῶν περὶ ὑπάρξεως καὶ ἰδιότητος καὶ ποιότητος καὶ τοῦ νομισθέντος καλοῦ ἢ δικαίου ἢ συμφέροντος· οὕτως γὰρ

35 Cod. οὐκέτι.

ἂν αἱ πᾶσαι συμπεριλαμβάνοιντο στάσεις· εἰ δέ τις ζητεῖ τὴν μετάληψιν, ἐροῦμεν, ὅτι ἡ μετάληψις ἐκ τῶν λογικῶν καὶ νομικῶν συνίσταται· αὗται δὲ ἐμπίπτουσιν ἐν τῇ ποιότητι, ἥ ἐστι μνήμη ποιότητος, καὶ αὐτὴ ἡ φύσις αὐτῆς καὶ ἡ ὕλη ἔγκειται ἐν τῇ ποιότητι, εἰ καὶ μὴ ὁ σκοπὸς τοῦ λόγου καὶ αὐτῇ ἂν ἐμπεριλαμβάνοιτο. Ἄνω δὲ ἐπειδὴ περὶ γενῶν ἦν μόνων ὁ λόγος, ὡς αὐτοί φασιν, ἐξέπιπτεν· ἐνταῦθα δὲ, ἐπειδὴ περὶ σκοποῦ συμπεριλαμβάνεται, ἔνθα γὰρ γένη ἐστὶ τὰ ὁριζόμενα, οὐδὲν τῶν ἐπεισαγομένων κατὰ συμπλοκὴν συμπεριλαμβάνεται· ἐν οἷς δὲ ὁ σκοπὸς τῆς φύσεως τῆς ποιότητός ἐστι, πάντα τὰ ἐκ ποιότητος καὶ φυόμενα συμπεριλαμβάνεται.

Ἢ καὶ πάντων ἅμα ἢ καὶ τινῶν· τοῦτο μεγίστην ἔχει καὶ οὐ τὴν τυχοῦσαν ἔχει τὴν ζήτησιν· πῶς γὰρ δύναται πάντων ἅμα εἶναι ζήτησις; εἰ γὰρ ἔστιν ὅτε πάντων ἅμα ζήτησις γίνεται, πᾶσαι αἱ στάσεις μία ἂν εἴη στάσις, καὶ εἰ τινῶν ἐν ἑνὶ ζητήματι πλείους εὑρεθήσονται στάσεις, τί οὖν βουλόμενος προσέθηκε, πλὴν εἰ μήτε πταῖσμα· ἴδωμεν δὲ καὶ εἰ τοῦτο ἀπολογίας· οἱ μὲν οὖν νομίσαντες αὐτὸν περὶ τῆς πραγματικῆς λέγειν ἐν τοῖς ἀνωτέροις, κἀνταῦθα τῷ πταίσματι ἠκολούθησαν· λέγουσι γὰρ, ὅτι ἡ πραγματικὴ ἐνίοτε καὶ δι' ἑνὸς καὶ διὰ πλειόνων μελετᾶται κεφαλαίων· τοῦτο οὖν ἐστι τὸ „καὶ πάντων ἅμα ἢ τινῶν“· εἰ δὲ λέγουσιν, ὅτι διὰ τὴν μετάληψιν τὴν ἔγγραφόν ἐστιν αὐτῷ ὁ λόγος, ὅτι οὐδέποτε μόνη μελετᾶται, ἀλλ' ἕτερον ἐπαναφυόμενον ἔχει ζήτημα τῇ παραγραφῇ τὸ τῆς εὐθυδικίας· οἱ δὲ λέγοντες, ὅτι ὡς περὶ γενῶν ἄνω στάσεων διαλαμβάνει ἐνταῦθα, οἱ δὲ τὴν ἐπιπλοκὴν καὶ τὴν συγγένειαν τῶν στάσεων, ὅτι πολλάκις πραγματικὴ κατὰ στοχασμὸν εὑρίσκεται, καὶ ἐνίοτε πραγματικὴ κατὰ ἀντινομίαν· ὁ πατὴρ ὁ τὸν υἱὸν τυραννοῦντα ἀνελὼν καὶ ἀξιῶν μὴ γράφεσθαι μετὰ τοῦ σχήματος, νόμου τοῦτο κελεύοντος, καὶ τῆς κατὰ

στοχασμὸν, οἱ βουλόμενοι τῶν πολιορκουμένων τὰς πύλας ἐξαίφνης ἀνοιξάντων· καὶ ἕτεραι δέ εἰσι πολλαὶ στάσεων ἐμπλοκαί· ἢ ὅτι ἐν τοῖς στοχασμοῖς στάσεις περὶ κεφάλαια γίνονται, ὥσπερ ὁ Δημοσθένης, ὁ τὸν[1] παραπρεσβείας μελετῶν ἀντιθέσεις μεταστατικὰς καὶ ἀντιστατικὰς καὶ ἀντεγκληματικὰς τιθείς· ἔτι δὲ ἡ ἀντίληψις τὸ κεφάλαιον, καὶ ἡ μετάληψις γὰρ αὐτῷ τυγχάνει οὖσα,[2] καὶ ταῦτα οὐκ ἀεὶ πάντα ἐμπίπτει, ἀλλ' ἐνίοτε ἐκλείπουσί τινα, ὡς ἡ ἀντίληψις καὶ ἡ μετάληψις, ὅταν μὴ ἀφ' ὧν αὐτός τις ποιήσας ἡ κρίσις, καὶ ὅταν ἀτελὴς, ἢ ἀπὸ τῶν πραγμάτων πᾶσαι, αἵ τε νομικαὶ καὶ λογικαὶ, ἐμπίπτουσιν· ὅταν δὲ ἀπὸ ῥητοῦ ἢ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀντιθετικαὶ μὲν οὐκ εὑρεθήσονται, νομικαὶ δέ· ὅταν δὲ ἀπὸ πραγμάτων, τὸ ἐναντίον ἑτέρα ἀπολογία, ὅτι μετὰ τὸν στοχασμὸν πᾶσαι αἱ λοιπαὶ στάσεις τοῖς ἀλλήλων κεφαλαίοις μελετῶνται κατὰ τὴν τάξιν μόνον ἐναλλαγῆς τινος προσγινομένης. Τί οὖν ἐστι καὶ πάντων ἅμα καὶ τινῶν; τὸ ἐνίοτε ἄλλα πολλὰ ἐμπίπτειν κεφάλαια, ἢ αἱ ἀντιθετικαὶ στάσεις τέσσαρες οὖσαι δι' ἀλλήλων μελετῶνται, ἢ ὅτι αἱ κατασκευαὶ ἀεὶ τῶν στάσεων κοιναί εἰσι· καὶ εἰ καὶ μὴ κεφάλαια εὑρίσκονται, ἀλλ' οὖν ἔννοιαι ἐχόμεναι ἀλλήλων ἐμπίπτουσιν· ἢ ὅτι ἡ πραγματικὴ τὸ μὲν δίκαιον ἔχει διὰ τῶν ἀντιθετικῶν μελετώμενον, τὸ δὲ νόμιμον διὰ τῶν νομίμων, τὸ δὲ συμφέρον στοχαστικῶς· καὶ τούτου παράδειγμα ὁ Δημοσθένης ἐν τοῖς κατὰ Ἀνδροτίωνος καὶ ἀντιληπτικὸν ἀντιτεθεικὼς κεφάλαιον. „Φήσει[3] τοίνυν τοῦτον τὸν τρόπον πάσας εἰληφέναι τὰς βουλὰς", καὶ λύσεις μεταληπτικῶς, „οὐ γάρ ἐστι πώποτε μνήμη, ὡς κατὰ τοὺς νόμους ἐπράχθη", καὶ τὴν πρὸ αὐτοῦ ἀντιτίθησιν[4] κατὰ ἀντινομίαν ἐργασίαν, ὅταν λέγῃ· „ὁ νόμος φησὶ, τῇ βουλῇ μὴ ἐξεῖναι μὴ ποιησαμέ-

1 Cod. ὅταν. 2 Cod. τυγχάνουσι. 3 Cod. φησὶ, ut supra p. 28. 4 Cod. ἀντίθεσιν.

*νῃ*[5] *τὰς τριήρεις αἰτῆσαι τὴν δωρεὰν", τοῦτο γὰρ ἀντινομία ἐστίν· καὶ λύσας αὐτὸ κατὰ ῥητὸν καὶ διάνοιαν, „ἐγὼ δὲ αὖ τοὐναντίον ἡγοῦμαι περὶ τούτων δεῖν τὰ προβουλεύματα ἐκφέρειν μόνον, περὶ ὧν κελεύουσιν οἱ νόμοι". καὶ ἐν τοῖς ἐφεξῆς συλλογισμὸν τέλειον ἐργασάμενος, ἐν οἷς ἀποδείκνυσιν, ὅτι τὸ ἐρωτῆσαι ταὐτόν ἐστι τῷ αἰτῆσαι, λέγων, καίτοι τοὺς μὴ αἰτοῦντας μηδὲ αἰτεῖν ἀξιοῦντας οὐδὲ ἐπερωτᾶν προσήκει τὴν ἀρχήν· ὅτι δὲ τὸ συμφέρον στοχαστικῶς ἐξετάζεται, καὶ εὔηθες ἂν εἴη δεικνύναι· ὅταν γὰρ ὁ Δημοσθένης λέγῃ*[6]*, „ἀλλ' ὦ ταν οὐ βουλήσεται", τοῦτο ὁμολογουμένως στοχασμός ἐστι· καὶ ὅταν παράλληλα τιθεὶς λέγῃ, „ὅτι σωζομένων μὲν Ὀλυνθίων ἐν Μακεδονίᾳ ἔσται ὁ πόλεμος, φθειρομένων δὲ τίς αὐτὸν κωλύει δεῦρο βαδίζειν; Θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσιν",*[7] *ἀκριβέστατα στοχαστικῶς κατασκευάζει· καὶ ὅταν λέγῃ,*[8] *„ὡς ἄδεια τεθήσεται τοῦ παρανομεῖν", ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους λέγει· „εἰ μὲν γὰρ μηδεὶς ἦν, ὃς ἤμελλεν ὁμοίως τῶν ὑμετέρων*[9] *νόμων καταφρονήσας τὰ αὐτὰ γράφειν, ἧττον ἂν ἦν δεινόν· νῦν δὲ ὄντων οὐκ ὀλίγων"· ταῦτα πάντα στοχαστικῶς ἐξετάζεται, ἀρίστη οὖν ἂν εἴη αὕτη ἡ ἀπολογία. Ἔτι δὲ καὶ τοῦτο προστιθέμενον λύσει τὴν πᾶσαν ἀμφισβήτησιν, ὅτι ὁμολογουμένως οὐ περὶ στάσεων ἐνταῦθα διαλαμβάνει, ἀλλὰ περὶ τοῦ παντὸς γένους ἐστὶ τοῦ πολιτικοῦ ζητήματος. Ὡμολόγηται δέ, ὅτι ἐν τῷ πολιτικῷ ζητήματί εἰσί τινες κατὰ συμπλοκὴν στάσεις καὶ ἁπλαῖ, ὡς ἐν τῷ στοχασμῷ καὶ ὅρῳ καὶ ἐν ἀντιλήψει· τοῦτο οὖν*

5 Cod. *ποιησαμένης*. Dem. contra Androt. p. 595. *ποιησαμένῃ*. 6 Olynth. I. p. 16. 7 Cod. *συνεισβάλλουσιν*. Dem. Olynth. I. p. 16. *συνεισβαλοῦσιν*. 8 Contr. Aristocr. p. 652. *τοῖς ἀδικεῖν βουλησομένοις αὖθις ὑμᾶς ἄδειαν δώσετε*. 9 Dem. contra Aristocr. p. 652. *τῶν συμφερόντων ὑμῖν ὀλιγωρήσας γράφειν, ἴσως ἂν ἧττον ἦν δεινόν*.

ἠθέλησε σημᾶναι, ὅτι πολλάκις ἐν αὐτῷ καὶ πλείους εἰσὶ ζητήσεις. Τὸ γὰρ ὡς ἀληθῶς καλὸν ἢ συμφέρον ἢ τὰ τοιαῦτα ζητεῖν οὐ ῥητορικῆς, αὐτὸς γὰρ ἐξηγήσατο, ὅ τί ποτέ ἐστι τὸ νομισθὲν, διδάσκων, ὅτι οὐ περὶ τοῦ ὄντως ἀληθῶς δικαίου ζητοῦμεν, τοῦτο γὰρ φιλοσοφίας ἔργον, καὶ ἱκανῶς ἡμῖν ἔχει ἡ ἐξήγησις τοῦ ὅρου τοῦ πολιτικοῦ ζητήματος· τὴν δὲ ἀμφισβήτησιν ταύτην ἀνάγκη περὶ τὰ πρόσωπα γίνεσθαι καὶ πράγματα. Ἀκόλουθος ἐντεῦθεν ἡ ζήτησις τῆς ὕλης τοῦ πολιτικοῦ ζητήματος· προῤῥηθείσης γὰρ ἤτοι ἀποδειχθείσης ἐν τῷ προοιμίῳ, ὡς ἔστι τέχνη ἡ ῥητορικὴ, καὶ προτεθέντος τοῦ σκοποῦ καὶ ἐπ᾿ αὐτῷ διδασκαλίας προσγενομένης τοῦ πολιτικοῦ ζητήματος, ἀνάγκη τὴν ὕλην εἰπεῖν, ἀφ᾿ ἧς ἐργασθήσεται· ἐπειδὴ γὰρ ὁ σκοπὸς αὐτῷ, ὡς αὐτός φησιν, περὶ τῆς διαιρέσεώς ἐστι τοῦ πολιτικοῦ ζητήματος, τοῦτο δέ ἐστι περὶ τῆς ἐργασίας, ἀναγκαῖον ἦν, ἀφ᾿ ὧν κατασκευάζεται λέγειν, ἵνα τὴν ἐργασίαν διδάξῃ· τί οὖν φησιν, ὅτι τὴν ἀμφισβήτησιν ταύτην τὴν λογικὴν τὴν ἐπὶ μέρους καὶ περὶ τοῦ νομισθέντος δικαίου ἢ καλοῦ ἢ συμφέροντος, ἣν ἐν τῷ ὅρῳ προέταξεν, ἀνάγκη περί τε πρόσωπα γίνεσθαι καὶ πράγματα. Τί μὲν οὖν βούλεται τὸ, „ἀνάγκη γέλοιον ζητῆσαι“; ἀναντίῤῥητον γὰρ, ὅτι λογικῆς οὔσης τῆς ἀμφισβητήσεως ἀναγκαίως ἢ πρόσωπα ἢ πράγματα ἤμελλεν αὐτὴν ποιεῖν, τί γὰρ δεῖ ἕτερον; λέγει οὖν ἐπάγων· „πλείστη δήπου διαφορὰ, τουτέστι προσώπων πρὸς πρόσωπα καὶ πραγμάτων πρὸς πράγματα“· ἀλλ᾿ οὐ ταύτην λέγειν, ἀλλὰ τὴν τοῦ γένους ἑκατέρου διαφορὰν λέγει· ἐξ ὧν δὲ ἐν τοῖς ἐπαγομένοις διακρίνει προσώπων τε διαφορὰν τιθεὶς καὶ ἰδίᾳ πραγμάτων, καὶ ἀφ᾿ ὧν προστίθησιν· „ἣν τοῖς ἐπιγνοῦσι ῥᾴδιον τὰς διαιρέσεις ἤδη ποιεῖσθαι τὰς εἰς τὰ λεγόμενα κεφάλαια“. ἑνὶ τοίνυν λόγῳ τὰς στάσεις ἡμᾶς πάσας διδάσκει, διδάσκων ζητεῖν καὶ φυλάττειν τὰς τῶν προσώπων καὶ πραγμάτων

διαφορὰς, καὶ ὅτι οὐκ εἰκῆ αὐτῷ τοῦτο εἴρηται, σκοπήσομεν πρῶτον, ὅσον ἡ τῶν πραγμάτων ἰσχύει διαφορά. Ἐὰν γὰρ ὁρίσωμεν, πορνοβοσκὸς δέκα νέους κωμάζοντας ἀνεῖλεν, ἀσύστατόν ἐστιν ὁμολογουμένως· τὸ πρόσωπον δὲ ἀμείβων καὶ εἰπὼν „ἢ στρατηγὸς ἢ φιλόσοφος ἢ ἀριστεὺς, ἢ τῶν ἐπαινουμένων προσώπων" πεποίηκε συνεστάναι τὸ ζήτημα· καὶ τὴν στάσιν ἀντέγκλημα· τὸ γὰρ εὐδόκιμον τοῦ προσώπου δύναται τοῖς τὰ αἰσχρὰ πράττουσιν ἀντεγκαλεῖν τὸ δικαίως ἐφ' οἷς ἠσέλγαινον ἀνῃρῆσθαι· ἐπὶ δὲ τοῦ πορνοβοσκοῦ ἡ περὶ τὸ πρόσωπον ἀδοξία οὐκ ἔχει τὸ μέμψασθαι τοῖς ἀσελγαίνουσιν· ἐπὶ δὲ πραγμάτων ὁμολογουμένως πλείστη ἦν ἡ διαφορά· ὁ γὰρ τὸν πεπονθότα αἰτιώμενος ἀντέγκλημα ποιεῖ καὶ ἕτερον αἴτιον εἶναι λέγων τοῦ πράγματος μετάστασιν, καὶ ὁ ἐπ' ἐξουσίας εἶναι τὸ πραχθὲν ἀντίληψιν, καὶ ὁ περὶ μέλλοντος ζητῶν πραγματικὴν, καὶ, ἵνα μὴ καθ' ἕκαστον λέγωμεν, ἕκαστόν τι τῶν χρημάτων τοῦ πράγματος ἀμειβόμενον ἑτέραν οἶδε γιγνομένην τὴν στάσιν· διὰ τοῦτο οὖν προστίθησι τὸ „ὅλως εἰ διαιρεῖσθαι δύναται, διδάσκων, ὡς ἕκαστον τούτων ἀμειβόμενον καὶ ἀσύστατον καὶ συνεστηκὸς ποιεῖ, καὶ ἑτέραν δὲ στάσιν ποιῆσαι δύναται.

Τῶν οὖν προσώπων τὰ μὲν οἷά τέ ἐστι· πρώτη τοίνυν διαίρεσις, τῶν προσώπων τὰ μὲν ἐξετάζεται, τὰ δὲ οὔ· τὸ δὲ ἐξετάζεται ἀναγκαῖον ζητῆσαι, ὅ τί ποτέ ἐστιν· ἐξετάζεται οὐδὲ ἀμφιβάλλεται, ὥς τινες ᾠήθησαν· οὐ γὰρ ἀμφιβάλλομεν, εἰ [10] Αἰσχίνης ἐστὶν ὁ κρινόμενος ἐν τῷ παραπρεσβείας, ἢ Λεπτίνης ἐν τῷ πρὸς Λεπτίνην, ἢ Τίμαρχος ἐν τῷ κατὰ Τιμάρχου, ἀλλ' ἐξετάζεσθαι κυρίως ἐνταῦθα ὡς καὶ ἐκ τῶν ἐπαγομένων μηνύεται, ὅτι τοῦτο βούλεται λέγειν ὁ τεχνικὸς, „ὕλην

---

10 Cod. ἤ. Ald. p. 87. l. 11.

καὶ ἀφορμὴν παρέχει τῷ λόγῳ, ὅ ἐστι πρὸς ἀπόδειξιν τοῦ προκειμένου καὶ κρινομένου συντελεῖ. Τόπον δὲ ἄλλως ἐπέχει προσώπου· τὸ ἄλλως ἐξηγήσατο τὸ πρότερον ἀντὶ τοῦ εἰκῆ καὶ οὐδὲν πρὸς τοῦτο λυσιτελοῦν, ὅπερ συντελεῖ τὰ ἐξεταζόμενα· τοῦτο δέ ἐστι πρὸς τὴν ὕλην τοῦ λόγου καὶ τὴν ἀπόδειξιν· ἐζήτησαν δέ τινες, τί δήποτε ἔφησε μάτην εἶναι πρόσωπον, καὶ τί δήποτε, εἰ[11] μηδὲν συντελοῦν πρὸς τὴν χρείαν τοῦ ζητήματός ἐστιν, ὅμως ἐπάγεται λεγόμενον, ὅτι οὐδὲν ἂν πραχθείη πρᾶγμά τι προσώπου χωρὶς, ἀλλὰ δεῖ προϋφεστηκέναι τὸ ποιοῦν τοῦ γενομένου πράγματος, καὶ φυσικήν τινα τάξιν ἔχειν τὸ πρῶτον εἶναι τὸ πρόσωπον τοῦ πράγματος· διὰ τοῦτο οὖν, ἐπειδὴ οὐκ ἦν δοκεῖν αὐτῷ[12] πεπρᾶχθαι, μὴ ὄντος τοῦ δοκοῦντος πεποιηκέναι, εἰ καὶ ὕλην πρὸς τὸν λόγον παρέχει, ἀλλὰ σχῆμα πρὸς τὸ δοκεῖν γεγενῆσθαι τὸ πρᾶγμα· τὸ γὰρ παρίστατό[13] τις ἐπ' ἐρημίας νεοσφαγεῖ σώματι, ἀπόδειξιν μὲν οὐδ' ἡντιναοῦν παρέχει τοῦ γεγενῆσθαι τὸν φόνον· σχῆμα δὲ τοῦ γεγενῆσθαι αὐτὸν παρέχει· ἐὰν γὰρ εἴπω, ὅτι παρίστατο Δημοσθένης, αἱ ἀποδείξεις ἱκαναὶ, ὡς θαῤῥῶν τῇ ῥητορικῇ δυνάμει, ὡς Νικόδημον ἀνελὼν πρότερον, ὡς Ἀρίσταρχον πείσας τῶν ὁμοίων ἐπιθυμητὴν γενέσθαι· ταῦτα οὖν πάντα καὶ τῷ κατηγόρῳ συντελοῦντα πρὸς ὕλην ἀποδείξεως τυγχάνει, καὶ τὰ ἐναντία τῷ ἀπολογουμένῳ, ὅτι ὁ τοὺς[14] αἰχμαλώτους λυσάμενος καὶ τῆς πόλεως κηδόμενος, ὁ δημαγωγίας ἐρῶν, ὁ σώφρονος βίου φροντίσας οὐκ ἂν εἴη εἰκότως τὸν φόνον πεποιηκώς· ὅρα τοίνυν, ὡς ἐνταῦθα μὲν ἐξεταζόμενον τὸ πρόσωπον ὕλην παρέχει, τοῦτο δέ τι γίγνεσθαι ἢ μὴ γίγνεσθαι· τὸ δέ τις ὕλην μὲν οὐδ' ἡντιναοῦν παρέχει· τοῦ

---

11 Cod. τὸ μηδὲν — ὅλως ἐπάγεται, scripsi εἰ — ὅμως. 12 Ald. p. 87. l. 20. 13 Cod. ἵστατο. Ald. p. 88. l. 2. παρίστατο. 14 Cod. τρεῖς. Ald. p. 88. l. 11.

δὲ συστῆναι τὸ πρᾶγμα ἀφορμή τις καὶ γένεσις καὶ σύστασίς ἐστιν. Ἐζήτησαν δέ τινες, τί δήποτε προσώπων καὶ πραγμάτων ἐπαγγειλάμενος εἰπεῖν διαίρεσιν προέταξε πρῶτον τὴν τῶν προσώπων; Καὶ λέγομεν, ὅτι προϋφέστηκε τὸ ποιοῦν τοῦ ποιουμένου, καὶ φύσει τὰ πρόσωπα τῶν πραγμάτων ἐστίν· οὐ γὰρ πραχθείη πρᾶγμα μὴ προϋφεστῶτος προσώπου· εἰκότως οὖν περὶ τῆς τῶν προσώπων διαιρέσεως πρῶτον διαλαμβάνει. Ἐπειδὴ δὲ τὰ ποιοῦντα τῶν γινομένων πρῶτα τυγχάνει, τῶν δ᾽ αὖ ἐξεταζομένων ἰσχυροτάτην μὲν ἔχει δύναμιν τὰ ὡρισμένα καὶ κύρια, ἐπειδὴ περὶ ὕλης ἐστὶν αὐτῷ ὁ λόγος καὶ ἀφορμῶν ἀποδείξεων, ἡ πᾶσα ζήτησις εἰκότως ἀπὸ ἰσχυροτέρων ἄρχεται· ἰσχυρότερα δέ ἐστι ταῦτα ὕλην τε πλείονα καὶ ἀφορμὰς παρασχεῖν· ποῖα δέ ἐστιν, ἅπερ αὐτός φησιν ὡρισμένα καὶ κύρια; τὸ γὰρ κύριον ὅ τί ποτέ ἐστι δῆλον· ὡρισμένα δὲ εἰπὼν καὶ τὴν φύσιν σημαίνει τῶν πραγμάτων καὶ τὴν τέχνην ἀσφαλίζεται· τί δέ ἐστιν, ὃ λέγει; [15] ἡ μὲν φύσις ὅτι ὡρισμένα λέγει, ὧν ἐν ταῖς ἱστορίαις ἡ ποιότης παρείληπται, καὶ οὔτε προσθεῖναι οὔτε ἀφελεῖν τι τῶν ἐκ τῆς ἱστορίας. οἷον οὐκ ἂν εἴποιμεν Σωκράτην ῥήτορα, οὐδὲ Δημοσθένην γενναῖον, ἀλλ᾽ οὐδ᾽ Αἰσχίνην τὴν ἀρχὴν ἀκμάσαντα, ἀλλ᾽ ἀναγκαῖόν ἐστι ταῦτα περὶ τῶν προσώπων εἰδέναι, ὅσα παρὰ τῆς ἱστορίας εἰλήφαμεν· ἡ μὲν οὖν φύσις τοῦ προσώπου τούτου γνωρίζεται, ἡ δὲ τῆς τέχνης ἀσφάλεια, ὅτι οὔτε προσθεῖναι οὔτε ἀφελεῖν ἐστι παρὰ λαμβάνοντος πρόσωπον, ἀλλ᾽ ἀνάγκη ταύτῃ χωρεῖν πρὸς τὰς ἀποδείξεις τοῦ τοιοῦδέ τινος ζητήματος, ὅταν ᾖ τῷ ὡρισμένῳ ἡ ἱστορία φανερά· ἡ μὲν οὖν ἐξήγησις αὕτη· ὁ μέντοι τεχνικὸς ἐπαγγειλάμενος ἡμῖν διαφορὰν προσώπων καὶ πραγμάτων εἰπεῖν ἀριθμὸν μὲν

---

15 Cod. ὁ φλε, scripsi ὃ λέγει.

ὀκτὼ εἶναί φησιν, τάξιν δὲ πρῶτον καὶ δεύτερον εἶπε, καὶ τὰ ἑξῆς, ἥτις καὶ ἡ τοῦ κυρίου πρὸς τὰ ἑξῆς διαφορὰ ἢ τῶν ἄλλων πρὸς τὰ πρῶτα, οὐδ' ὁτιοῦν εἶπεν· ἀπούσης δὲ διαφορᾶς περιττὸν ἡ τάξις· τάξεως δὲ οὔσης ἀναγκαῖον ἡ διαφορά· πῶς γὰρ ἂν εἴη τάξις, εἰ μηδὲν διενηνόχασιν ἀλλήλων, ὡς αὐτός φησιν, „ὧν πλείστη δήπου διαφορά·“ καὶ ἕτερον ἑτέρου τίνα ἔχει διαφορὰν καὶ ἀλλοίαν [16] ἀφορμὴν πρὸς τὸ παρασχεῖν λόγον, αὐτὸς μὲν οὖν παρῆκεν, εἴπωμεν δὲ ἡμεῖς· τὰ μὲν οὖν ὡρισμένα καὶ κύρια, ταὐτὸν γάρ ἐστιν εἰκότως, τὴν πρώτην ἔχει τάξιν, διπλῆν τινα λόγων ἀφορμὴν παρέχοντα, τήν τε ἀπὸ τῆς ἱστορίας, ἣν περὶ τοῦ ὑποκειμένου προσώπου περιειλήφαμεν, καὶ τὴν ἀπὸ τοῦ προκειμένου πράγματος· σαφέστερον δὲ ἐπεξέλθωμεν ἐπὶ τῶν παραδειγμάτων· εἰ κρίνοιτο Δημοσθένης προδοσίας, ὅ τε κατήγορος ἕξει τὴν ῥητορικὴν δύναμιν καὶ τάδε, ὡς αὐτῷ ἐξεῖναι εἰς δικαστήρια φοιτᾶν καὶ ὡς ἐξ ἀρχῆς Φιλοκράτει σύνεστιν καὶ τὰ ἄλλα, οἷς αὐτὸν Αἰσχίνης διαβάλλειν πειρᾶται· ὁ δὲ ἀπολογούμενος τὰ ἐναντία, ὡς ἀγαθὸς ἀνὴρ καὶ πανταχοῦ σπεύδων πρὸς τὸ τὰ τῆς πολιτείας σώζεσθαι δίκαια καὶ πανταχοῦ διελέγχων καὶ κατηγορῶν Αἰσχίνου, καὶ ποιότητα παρέχων καθαρὰν τοῦ νομίζεσθαι μὴ προδοσίας ἔγκλημα ἔχειν· αὕτη μὲν οὖν ἡ ἀπὸ τῆς ἱστορίας ποιότης, ἡ δὲ ἀπὸ τοῦ προκειμένου, οἷον ὡς ἐπὶ τοῦ παρεστάναι ἢ ἑτέρου τινὸς τῶν σημείων τοῦ στοχασμοῦ· παράδειγμα δὲ σαφέστερόν ἐστιν· Ἀλέξανδρος [17] ἑλὼν Δαρεῖον ἔγραψεν Ἀθηναίοις. ὡς ἐν τοῖς λογισμοῖς εὑρὼν Δημοσθένην πεντήκοντα τάλαντα εἰληφότα, καὶ κρίνεται Δημοσθένης παρ' Ἀθηναίοις, ὅπερ ἔφαμεν ἐν τῇ ἱστορίᾳ αὐτῷ συντελεῖν πρὸς τὸ μὴ δοκεῖν εἶναι προδότην, καὶ τὸ προκείμενον

---

16 Cod. ἄλλοι ἂν. 17 Cfr. Ald. p. 91. l. 16.

πρᾶγμα, ὅτι Ἀλέξανδρος ἐχθρὸς, ὅτι Μακεδόνες ἐχθροὶ τῷ Δημοσθένει, ὅτι οὐκ ἂν ἁλόντων τῶν βασιλέων τὰ γράμματα ηὑρίσκετο, ὅτι εὐπρόσωπος ἡ ἐξέτασις τοῦ Δημοσθένους, οἵα καὶ πρότερον περὶ Φιλίππου τοῦ πατρὸς γέγονε· ταύτην οὖν ἔχει φύσιν πρὸς τὰ ὡρισμένα καὶ κύρια, τήν τε ἀπὸ τῆς ἱστορίας τῆς φθασάσης καὶ τὴν ἀπὸ τοῦ προκειμένου πράγματος· τὰ δὲ παραδείγματα αὐτοῦ Περικλῆς, Δημοσθένης καὶ τὰ τοιαῦτα ὁμοίως ἀπὸ τῆς ἱστορίας εἴληπται, ἵνα καὶ σαφεστέραν ἔχῃ τῆς ὕλης τὴν πίστιν.

Δευτέραν δὲ πρός τι· πρός τι[18] μὲν οὖν ἐστι τὰ πρὸς ἕτερον ἔχοντα τὴν σύστασιν, οἷον, ὡς αὐτός φησι, πατὴρ, υἱὸς, δοῦλος, δεσπότης· οὔτε γὰρ πατήρ εἰμι μὴ ὑφεστηκότος υἱοῦ, οὔτε δοῦλος μὴ ὄντος δεσπότου· ἡ μὲν οὖν φύσις τοῦ ὀνόματος αὕτη· δευτέραν δὲ εἰκότως ἔχει τὴν τάξιν, ὅτι διπλῆν μὲν οὕτως, μίαν μὲν τὴν ἀπὸ τοῦ προκειμένου πράγματος, ἑτέραν δὲ τὴν ἀπὸ κοινῆς φύσεως, ἅ ἐστι πρὸς ἀπόδειξιν γνωμικὰ καὶ καθολικὰ καὶ ἀναντίῤῥητα καὶ πᾶσι δοκοῦντα λέγειν, ὅτι τὸ δοῦλον δεσπόταις πολέμιον, καὶ ὅτι πατὴρ οὐκ ἂν εἴη δύσνους υἱῷ, καὶ ὅτι ζῆλός τις τοῖς ἀδελφοῖς ἕπεται· ταῦτα οὖν φυσικὰ ὄντα καὶ γνωμικὰ ὕλην τινὰ καὶ ἀφορμὴν ἐκ τῶν πᾶσι δοκούντων δίδωσιν; ἥττονα δέ ἐστι τῆς πρώτης, ὅσῳ τὰ ἐκ τῶν κοινῶν πίστεων ἥττονα τυγχάνει τῶν ἐκ παραδειγμάτων· τὰ μὲν γὰρ παραδείγματα ἐκ τῆς πείρας ἔχει τὴν πίστιν, τὰ δὲ ἐκ τῶν κοινῶν πίστεων ἐκ τῆς ἐννοίας· καὶ παραδείγματα μὲν τὰ ἐκ τῆς ἱστορίας, ὧν ἡ πεῖρα τὴν πίστιν ἔχει, κοιναὶ δὲ πίστεις, ἀφ' ὧν οἱ πλείονες ἔννοιάν τινα τοῦ τὸ δέ τι οὕτως ἔχειν λογιζόμεθα.

Τρίτην τὰ διαβεβλημένα· διαβεβλημένα τὰ

---

18 Cod. πρός τι semel tantum habet: posui bis. — Cfr. Ald. p. 94.

μεμισημένα, ὧν ἡ κατηγορία βλάβην οὐ προστίθησι τῷ ἀκροατῇ, ἀλλὰ προλήψει τινὶ καὶ ὑπονοίᾳ πονηρίας εἰσάγεται πρὸς τὸ δικαστήριον· ὁ γὰρ συκοφάντην κρίνων ἢ μοιχὸν ἤ τι τῶν τοιούτων καὶ πρὶν ἐλέγξαι τῷ τῆς γραφῆς ὀνόματι διαβολὴν ἐμπεποίηκε τῷ κρινομένῳ· ταῦτα οὖν συντελεῖ οὐκέτι πρὸς ἀπόδειξιν, ἀλλὰ πρὸς καταδρομήν, καὶ ἔστιν ἐπιλογικὰ καὶ ὅσον εἰς τὸ παροξῦναι· καὶ ἡ μὲν ἀπόδειξις τούτων ἠσθένησε, καὶ ἐκ τοῦ προκειμένου πράγματος μόνον ἔχει τὸν ἔλεγχον· ἡ δὲ καταδρομὴ ἔῤῥωται τῷ τὸν ἀκροατὴν μὴ ἄχθεσθαι ταῖς διαβολαῖς, ἀλλ' ἡδέως πρὸς τὴν προγεγενημένην ὑποψίαν τῆς τοῦ προσώπου διαβολῆς αὐτὴν δέχεσθαι. Τὸ οὖν ὅλον αὐτῶν ἐστι καταδρομὴ καὶ ἐπίλογος. Ἐζήτησαν δέ τινες, πῶς ἐν τοῖς κρινομένοις προσώποις τοὺς μοιχοὺς ἔταξεν, οἱ γὰρ μοιχοὶ οὐ κρίνονται, ἀλλὰ κολάζονται, οὐδ' ἐπὶ τοῖς ὁμολογουμένοις πονηροῖς συνάγονται δικαστήρια, ἀλλὰ κολάσεις· ἐροῦμεν, ὅτι ἕως ἂν περὶ ζητήματος ἀμφισβήτησις οἶδε τοῦ πράγματος, πᾶσα δὲ ἀμφισβήτησις ἀγνοουμένου πράγματός ἐστιν ἐξέτασις, δῆλον ὡς οὐ περὶ ὁμολογουμένου μοιχοῦ τὸν λόγον ποιεῖται· πῶς οὖν ἂν εἴη ἀμφισβήτησις ἢ ὕλη ζητήματος τὸ ὁμολογούμενον, ἀλλ' ὡς ἐν ὑπονοίᾳ καὶ διαβολῇ τυγχάνοντος, μοιχοὺς οὖν καὶ ἐν ὑπονοίᾳ τοιαύτῃ τυγχάνοντας.

Τετάρτην τὰ ἠθικά· ἐνταῦθά τινες ἐνόμισαν καὶ τῶν δοκούντων ἠκριβῶσθαι τέχνην ῥητορικὴν καὶ ἐπελάβοντο τοῦ τεχνικοῦ λέγοντες, ἐλλελεῖφθαι τὰ ἐσχηματισμένα, καὶ προστιθέασιν ἕτερον εἶδος προσώπων τὰ ἐσχηματισμένα, κακῶς εἰδότες, ὡς οὐδέποτε πρόσωπον ἐσχηματισμένον τυγχάνει, ἀλλὰ πρᾶγμα, καὶ οὐδέν ἐστιν ἢ προσώπου κατασκεύασμα τοῦ ἐσχηματισμένου, ἀλλ' ἐκ τῆς ὕλης· καὶ τὰ παραδείγματα μηνύσει τὸ λεγόμενον· τὸ γὰρ Δημοσθένους πρόσωπον καὶ αὐτός φησι

τῶν ὡρισμένων εἶναι καὶ κυρίων, καὶ ἡ πεῖρα δὲ δείκνυσιν· ὅταν ὁ Δημοσθένης μετὰ τὰ ἐν Χαιρωνείᾳ ἑαυτὸν προσαγγέλλῃ, ἀπ' εὐθείας τὸ ζήτημα· ὅταν δὲ ἔχῃ τοιαύτην τινὰ πλάσιν, ὅτι ὁ Φίλιππος δέδωκε τοῖς Ἀθηναίοις αἵρεσιν, ἢ τὸν Δημοσθένην ἢ τὰς τριήρεις ἔχειν, ᾔτησε τρεῖς ἡμέρας εἰς βουλὴν καὶ ἑαυτὸν προσαγγέλλει, ἐσχηματισμένον τὸ ζήτημα· οὐ γὰρ Δημοσθένης ἀποθανεῖν βούλεται, ἀλλ' ὀνειδίσαι τοῖς Ἀθηναίοις τὸ ὅλως τοιαύτην καταδέξασθαι βουλήν· ἐν ἀμφοτέροις οὖν τοῖς ζητήμασι ταὐτόν ἐστι πρόσωπον, ἡ δὲ τῶν πραγμάτων διαφορὰ ἐσχηματισμένον ἐποίησε τὸ ζήτημα· κἂν λέγωμεν, ὅτι ὁ Θεμιστοκλῆς κατηγορίας ἠκούσης ἐκ Λακεδαίμονος, ὡς κοινωνὸς ἂν εἴη τοῦ Παυσανίου, ἀξιοῖ κρίνεσθαι, ἡ στάσις ἐστὶ πραγματικῆς· ἂν δὲ προσθῶμεν, ὅτι νόμου ὄντος, προδότου μηδὲν εἶναι γνώρισμα, οἷον οἱ Θεμιστοκλέους παῖδες, ἵνα μὴ τὴν ἱστορίαν παραδράμωμεν, ὡς φυγάδος μνημονεύοντες ἀξιοῦσι καθαιρεῖσθαι τὰ τείχη, ὁμολογουμένως ἐσχημάτισται τὸ ζήτημα, καὶ ταῦτα τῆς αὐτῆς ὄντα στάσεως, οὔτε γὰρ πεῖσαι ἐλπίζουσι τὸ καθελεῖν τὰ τείχη, οὐδὲ τοῦτο σπουδάζουσιν, ἀλλ' ὀνειδίσαι τοῖς Ἀθηναίοις ὁ ταῦτα κατασκευάσας εἰκότως προδοσίας ὑπόνοιαν δέχοιτο. Ἐν ἀμφοτέροις οὖν ταὐτὸν τοῦ Θεμιστοκλέους πρόσωπον, ἡ αὐτὴ ἱστορία· ἡ δὲ πλάσις τῶν πραγμάτων ἐνήλλαξε, καὶ τὸ μὲν ἐποίησεν ἐσχηματισμένον, τὸ δὲ ἀπ' εὐθείας· καὶ ἀφέντες τὰ ὡρισμένα τῶν προσώπων καὶ ἐκ τῶν ἄλλων εἴδωμεν. Ὅταν εἴπωμεν, πατὴρ καὶ υἱὸς κατὰ ταὐτὸν[19] ἐστρατεύσαντο, καὶ ὁ μὲν υἱὸς ἔλειπε τὴν τάξιν· ὁ δὲ πατὴρ ἠρίστευσε, νόμου ὄντος, τὸν μὲν ἀριστέα αἰτεῖν ὃ βούλεται γέρας, τὸν δὲ λιπόντα τὴν τάξιν φεύγειν πανοικησίᾳ, ἀξιοῖ ὁ πατὴρ εἰς τὸ γέρας μεῖναι τὸν υἱόν·

---

19 Cod. κατ' αὐτόν. Scripsi κατὰ ταὐτόν.

αἴτησίς τίς ἐστι καθαρὰ καὶ οὐδὲν σχῆμα ἔχει· ὅταν δὲ τὰ πράγματα ἐναλλάξω καὶ εἴπω, ὅτι φήμης οὔσης συνιέναι τῷ πατρὶ τὴν γυναῖκα τὴν τοῦ παιδὸς, μετὰ τὴν ἀριστείαν ὁ μὲν αἰτεῖ μένειν τὸν παῖδα μετὰ τῆς γυναικὸς, ὁ δὲ φεύγειν ἀξιοῖς, ὁμοίως μὲν ἡ στάσις ἡ αὐτὴ μένει· ἐσχηματισμένον δὲ γίνεται τὸ ζήτημα· οὕτως οὖν ἡ τῶν πραγμάτων ἐναλλαγὴ ποιεῖ τὰ ἐσχηματισμένα, καὶ οὐχ ἡ τῶν προσώπων· ἐν ἀμφοτέροις γοῦν πατήρ τε καὶ παῖς ἐστιν, ὅπερ ἐστὶ τῶν πρός τι· ἡ δὲ τῶν πραγμάτων ἐναλλαγὴ ἐσχηματισμένον ἐποίησε τὸ ζήτημα. Ἀφέντες οὖν τὴν τούτων ἐξέτασιν κοινὴν ἁπάντων εἶναι προσώπων καὶ ἐκ τῆς τῶν πραγμάτων ποιότητος συνισταμένην, ἐπὶ τὰ ἑξῆς χωρῶμεν, „τετάρτην[20] τὰ ἠθικά.“ ἐντεῦθεν ἀφεῖσα τὴν ἀπόδειξιν ἡ τέχνη ἐπὶ τὴν ὑπόκρισιν μετῆλθεν· ἐπειδὴ γὰρ ἡ συστᾶσα πᾶσα τοῦ Ἑρμογένους τέχνη ἥδε, ἣν νῦν ἡμεῖς μετεῖμεν, οὐχὶ δημαγωγίας τινὰ ἔχει τάξιν, ἀλλ᾽ ἐπιδεικτικῆς χρείας ἐξέτασιν, διὰ τοῦτο καὶ προσεδέησεν αὐτῇ ὑποκρίσεως· τὰ οὖν ἠθικὰ τετάρτην εἰληφότα τὴν τάξιν πρὸς ἀπόδειξιν μὲν οὐδ᾽ ἡντινοῦν συντελοῦσιν, ἀλλ᾽ οὐδὲ τὴν ἐξέτασιν εἰς τοῦτο σπεύδουσαι ἔχουσιν, ἀλλὰ τὴν ὑπόκρισιν καὶ ζήτησιν καὶ σχηματισμὸν τοῦ δύνασθαι σχῆμα προσώπου προσομοιοῦσαι, διὸ καὶ ἠθικὰ προσηγόρευται,[21] ὡς ἤθους μίμησιν ἔχοντα, καὶ οὐ κατηγορίας οὐδὲ ἀποδείξεώς τινα ποιότητα. Τὰ γὰρ πολλὰ τῶν ἠθικῶν εἴ τις τεχνικῶς μετέλθοις πρὸς ἀπόδειξιν κατασκευάζων, καὶ ἀσύστατα ποιεῖ· εἰ γὰρ ἐροῦμεν, ὅτι ὁ γεωργὸς συνεχῶς τὴν γυναῖκα εἰς ἄστυ κατιοῦσαν ἀποπέμπεται, καὶ εἰ πειρώμεθα αὐτὸ ἀποδεικνύναι ὡς ἔγκλημα τὸ εἰς ἄστυ κατιέναι ἀπερίστατον ἂν εἴη· οὐ γὰρ δὴ ἐροῦμεν περίστασιν εἶναι, ὃ κοινῇ πάντες οἱ ἐνοικοῦντες πράττομεν·

20 Cod. τὸ γὰρ τὴν. 21 Cfr. Ald. p. 101. l. 12.

καὶ ἐπὶ ἑτέρου ζητήματος εἰ λέγοιμεν, ὡς δυσκόλου παῖς ὀλισθήσαντος ἐγέλασε τοῦ πατρὸς καὶ ἀποκηρύττεται· ὁμοίως εἰ πρὸς ἀπόδειξιν σπουδάσωμεν τοῦ δεικνύναι ἔγκλημά τε καὶ πταῖσμα τὸ γελᾶν ἀνυπεύθυνον ἀεὶ, εἰκότως ὁ λόγος καὶ τὸ ζήτημα ἔξω περιστάσεως· ὑποκρινόμενον δὲ ῥᾴδιον κατὰ μίμησιν οὐ συνέστηκεν, ὅταν ὑποκρινώμεθα δυσκόλου τραχύτητα καὶ κατηφῶν καὶ τὸ πᾶν ὁτιοῦν τῶν γινομένων μέμφεσθαι, οἷς ἡ κωμῳδία τὰ πολλὰ χαίρει· καὶ ὁ Λυσίας πρὸς τὸ γενναιότερον τοὺς λόγους ἐξάγει· τοῦτο φανερῶς ὁ παρὰ Λιβανίῳ[22] φθονερὸς μηνύει, προσαγγέλλων ἑαυτὸν, ἐφ' οἷς ὁ γείτων πεπλούτηκεν. εἰ γὰρ ἀνέλοις ἐνταῦθα τὴν τοῦ φθονοῦντος ὑπόκρισιν, ζήτησις μὲν οὐδεμία τυγχάνει, καὶ γελωτὸν ἂν εἴη τὸ πρᾶγμα. οὐ γὰρ εἴ τις πλουτεῖ, τοῦτο καθελοῦνται ζητοῦντες οἱ δικασταὶ, ἀλλ' εἴ τις ὑποκρίνοιτο. Τὸ τέταρτον εἶδος τῶν προσώπων ἐπεξείργασται, καὶ κωμῳδίας οὐδὲν ἀπηλλαγμένην δείκνυσι τὴν ῥητορικὴν τέχνην.

Πέμπτην τὰ κατὰ συμπλοκὴν δύο προσηγοριῶν. ἀσθενησάσης λοιπὸν τῆς ὕλης, δύο προσώπων ποιότητες εἰς ἑνὸς χρείαν συνάγονται· νέος πλούσιος· οὔτε γὰρ τὸ νέον εἶναί τινα ἀπόδειξίς ἐστιν τοῦ τόδε τι ποιεῖν, ἀλλὰ προσδεῖ τῷ μὲν τὸ βούλεσθαι, τῷ δὲ τὸ δύνασθαι· διὰ τοῦτο οὖν συνήχθη κατὰ ταὐτὸν ἀμφότερα πρὸς τὸ κρίσιν ἐκδέξασθαι τὸ πρᾶγμα· συμπλακέντα δὲ εἰς ἄμφω δύναται κρίσιν ἐκδέξασθαι. ἀναδέξασθαί φησιν, οἱονεὶ ὕλην παρασχεῖν καὶ ἀφορμὴν λόγου, οὐ γὰρ μόνον ἡ ζήτησίς ἐστι περὶ τῆς κατηγορίας ἢ ἀπολογίας· εἰ οὖν δεξαίμεθα τὸ κρίσιν ἐκδέξασθαι ἀντὶ τοῦ εἰς δικαστήριον ἐνεχθῆναι, μονομερῆ τὴν ἐξέτασιν ποιοῦμεν, ὡς μόνῳ τῷ κατηγόρῳ ἁρμόζουσαν. Ἄμεινον οὖν τὸ κρίσιν ἐκδέξασθαι, οἷον ὕλην καὶ λόγων ποιότητα καὶ ἀφορμὴν παρασχεῖν.

22 Tom. IV. p. 159—180. Reisk.

Ἕκτην τὰ κατὰ συμπλοκὴν προσώπου καὶ πράγματος. Ἔτι ἀσθενησάσης τῆς ὕλης προσεδέησε καὶ πράγματος τοῦ προσώπου πρὸς τὸ ἔχειν ἀφορμὴν λόγων, οἷον μειράκιον καλλωπιζόμενον φεύγει πορνείας· τὸ γὰρ καλλωπίζεσθαι πρᾶγμα ὂν πρόσκειται τῷ προσώπῳ.

Ἑβδόμην τὰ ἁπλᾶ προσηγορικά· ἁπλᾶ προσηγορικά ἐστι τὰ μηδὲ μίαν ἐπεισαγωγὴν ἔχοντα ἔξωθεν, ἀλλὰ κοινὴν τὴν ἁπάντων ποιότητα· διὸ [1] καὶ προσηγορικὰ ἐκλήθη διὰ τὸ κοινὴν ὕλην καὶ ἀφορμὴν λόγων ἐκ τῆς περὶ ἑκάστου προϋποκειμένης ἐννοίας γίνεσθαι, οἷον εἰ λέγοιμεν στρατηγοὶ ἢ ῥήτορες, οὐ περὶ τοῦδε τοῦ ῥήτορος λέγομεν ἢ τοῦδε, ἀλλὰ κοινὰς ἔχομεν περὶ τῶν ῥητόρων ἐννοίας, εἰς ὕλην λόγων προφερομένας· τί δέ ἐστι τοῦτο μᾶλλον ἴσμεν, ὅτι ῥήτορες συκοφαντοῦσι, δικαστηρίοις σχολάζουσι, φιλοπράγμονές εἰσιν. Ἔχομεν μὲν οὖν ἐκ τούτων καὶ τὸ ἐναντίον, ὅτι δημαγωγοί εἰσιν οἱ ῥήτορες καὶ τὰ πολλὰ τῆς πόλεως κήδονται, καὶ σύμβουλοι ἀγαθοὶ, ἀπὸ τῆς κοινῆς ἐννοίας, ἧς ἔχομεν περὶ τῶν πραγμάτων, αἱ ἀφορμαὶ τοῦ λόγου ἡμῖν ἐπιγίνονται· ταὐτὸν δὲ καὶ περὶ τῶν στρατηγῶν καὶ ἑτέρων τοιούτων τις ὑπολάβοι, ἔχει οὖν τὰς ἀποδείξεις εὐθύς· κοινῇ πάντες περὶ πάντων ἐννοίας ἔχομεν τῶν προσώπων.

Ταυτὶ δὲ δῆλον μὲν, ὡς καὶ καθ' ἓν ἐμπίπτει τοῖς ζητήμασι καὶ κατὰ πλείονα. διελὼν τὴν τῶν προσώπων ποιότητα ἐδίδαξεν, ὡς οὐκ ἀναγκαῖον ἰδίᾳ ἑκάστην ἐξετάζεσθαι, ἀλλ' ἔστιν ὅτε καὶ πλείονες ποιότητες εὑρίσκονται κατὰ ταὐτὸν καὶ ἀφορμαὶ καὶ μία, ὅτι καὶ τὸ μὲν παράδειγμα ὁ αὐτὸς εἴρηκεν, αὐτίκα ὁ Δημοσθένης καὶ πατὴρ ἦν καὶ ῥήτωρ καὶ στρατηγός· ἐπὶ τῶν κυρίων ἁρμόζουσι καὶ ὡμολόγηται τὰ ὡρισμένα καὶ κύρια πλείονας ἔχειν ποιότητας· κἂν γὰρ

1 Cfr. Ald. p. 108. l. 8.

*Αἰσχίνην λάβῃς καὶ ἁπλοῦν πρὸς ῥητορικόν· ῥήτωρ γὰρ καὶ πρέσβυς, κἂν ἐθέλῃς εἰπεῖν διαβεβλημένον ὡς προδότην καὶ ἕκαστον ἁπλῶς τῶν κυρίων προσώπων πλείονα ἔχει· ἔστι δὲ καὶ ἐκτὸς τῶν κυρίων εὑρεῖν ἐν ἑνὶ προσώπῳ πλείονας ποιότητας· αὐτίκα ἢν λέγοιμεν, ὅτι τρισαριστεὺς τὸν υἱὸν ἑταιροῦντα ἀπέσφαξε, καὶ κρίνεται φονεὺς τρισαριστεύς· ἐνταῦθα οὖν καὶ ἁπλοῦν προσηγορικόν ἐστι καὶ πρός τι, πατὴρ γάρ· ὥστε οὐ μόνον κατὰ μίαν ἑκάστην, ἀλλὰ καὶ κατὰ πλείονας ἀνάγκη ἐμπίπτειν τὰς ποιότητας τῶν προσώπων.*

*Δεῖ δὲ περὶ ἑκάστου τῆς δυνάμεως διαγνόντα χρήσασθαι, ὡς ἂν ὁ καιρὸς διδῷ· ἐνταῦθα δείκνυσιν ἑαυτὸν ἐνδεῶς εἰπόντα τὴν τῶν προσώπων διαφοράν· κελεύων γὰρ ἰδίᾳ περὶ ἑκάστου γνῶναι τῆς δυνάμεως εἴρηκεν, ἀλλ' οἶδεν μὲν οὖσαν τὴν διαφοράν, οὐκ ἐδίδαξε δέ.*

*Ὡς ἂν ὁ καιρὸς διδῷ· τοῦτο*[2] *περὶ τῶν κυρίων μόνων ἁρμόζει, ἐν γὰρ τοῖς ἄλλοις αἱ αὐταὶ καθόλου ποιότητές εἰσιν· ἐν δὲ τοῖς κυρίοις ἄλλοτε ἄλλη, καὶ δεῖ τοὺς καιροὺς φυλάττειν, καθ' οὓς τὸ ζήτημα μελετῶμεν, ἵνα ταῖς προϋπαρξάσαις πράξεσι χρησώμεθα· οἷον ἐπὶ παραδείγματος, εἰ κρίνοιτο ὁ Δημοσθένης ὡς συμβουλεύσας βοηθεῖν Ὀλυνθίοις, οὐκ ἂν ἔχοις εἰπεῖν, ὅτι καὶ πρὸς Φίλιππον ἀπελθὼν ἀπεσιώπησεν, οὔπω γὰρ γέγονεν οὐδέν· ἢ ὅτι συνεβούλευσεν ἐν Χαιρωνείᾳ μάχεσθαι, οὐδὲν γὰρ τοιοῦτο συμβέβηκεν· ἀλλὰ δεῖ τὰ πρὸ τούτων μόνα θεῖναι· καὶ πάλιν εἰ κρίνοιτο ὁ αὐτὸς Δημοσθένης ὡς συμβουλεύσας βοηθεῖν Βυζαντίοις καὶ Χεῤῥονησιώταις, μνήμην μὲν ἕξεις τῶν Ὀλυνθίων, οὐδέπω δὲ τῶν περὶ Χαιρώνειαν· τοῦτο οὖν κελεύει φυλάττεσθαι τὸν καιρὸν τῶν πραγμάτων, καθ' ὃν μελετᾶται τὸ ζήτημα καὶ τὰ*

προϋ-

2 Cfr. Ald. p. 111.

προϋπαργμένα τοῖς προσώποις λέγειν· τινὲς δὲ κοινὸν αὐτὸ λαμβάνουσι καὶ λέγουσιν, ὡς ἂν ὁ καιρὸς διδῷ, ὡς ἂν εὔκαιρον ᾖ, τουτέστι χρήσιμον, εὔηθες δὲ, ἐπὶ γὰρ τῶν ἄλλων προσώπων πάντα δεῖ τὴν αὐτὴν ἔχειν τάξιν, εἰ γὰρ λάβοιμεν τὸ πρός τι, οὔποτε μὲν ἔχοιμεν ἀπὸ τῆς κοινῆς φύσεως αὐτὸ κατασκευάζειν, ποτὲ δὲ οὔ. Εἰ γὰρ λάβοιμεν διαβεβλημένον, οὔποτε μὲν ὡς ἐπαινούμενον αὐτὸ λαμβάνομεν, ποτὲ δὲ ὡς διαβεβλημένον· ἄλλοτε δ' ἂν τις ἐξετάσῃ τὸ αὐτὸ πρόσωπον, τὴν αὐτὴν ἔχει ποιότητα· ἄδηλον οὖν, ὅτι περὶ τῶν προσώπων μόνον ἁρμόζει τὸ, ὡς ἂν ὁ καιρὸς διδῷ, ἐπὶ μέγιστον ἂν κατασκευασθὲν, οἷον ζήτημα τῷ θέλοντι φιλονείκως δέχεσθαι τὸ ἀπαιτεῖν ἐν τοῖς ἄλλοις προσώποις δεῖξαι καιροῦ διαφορὰν ἐναλλάττουσαν τὴν ποιότητα, ἀλλ' ἡ λύσις αὕτη, ὅτι προσέθηκεν, ὡς τὰ κύρια ἰσχυρὰ καὶ ἀναγκαῖα καὶ τὰ πολλὰ ἐν αὐταῖς παρέχεται, διὸ περὶ αὐτῶν λέγει, ἐξεταζόμενα, ὕλην παρέχοντα καὶ ἀφορμήν.

Καὶ δεῖ τοῖς ἐγκωμιαστικοῖς ἀκολουθοῦντα τόποις χρῆσθαι τοῖς ἐμπίπτουσιν· τόποις μὲν οὖν ὡμολόγηται ὅτι κεφαλαίοις λέγει, μέγιστον δὲ σφάλμα γέγονεν αὐτῷ καὶ τὸ αὐτὸ τῷ προτέρῳ τῷ λέγειν, ὡς ἂν ὁ καιρὸς διδῷ· ἐν ἀμφοτέροις γὰρ μόνον περὶ καιρῶν διαλαμβάνει, καὶ ἀνάγκη, ἢ τὰ λοιπὰ μὴ εἶναι πρόσωπα, ἕως ἂν ᾖ πρόσωπα, ἢ σφάλμα εἶναι τὸ περὶ κυρίων μόνον εἰρῆσθαι, τὸ γὰρ λέγειν τοῖς ἐγκωμιαστικοῖς ἐπὶ μόνων κυρίων ἐστίν· οὔτε γὰρ τοῦ πρός τι ἐστὶν, οὔτε τοῦ διαβεβλημένου, οὔτε τοῦ κατὰ συμπλοκὴν, οὔτε τοῦ ἁπλοῦ προσηγορικοῦ ἐστιν ἢ γένος ἢ πατρίδα, ἤ τι τῶν ἐγκωμιαστικῶν εὑρεῖν· διὸ οὖν κατὰ ταὐτὸν τὰ ἐγκλήματα, ὅτι τε μίαν πάντων εἶπε ποιότητα, ὅπερ ἀδύνατον διαφορᾶς οὔσης· πῶς γὰρ ἂν εἴη ἑπτὰ διαφορῶν οὐσῶν οἷόν τε, τὰ ἑπτὰ μίαν ὕλην ἔχειν καὶ τὸ ἐλλείπειν τὰς τῶν ἄλλων ποιότητας καὶ ἅμα τῇ

διαφορᾷ διδάξαι καὶ τὴν αἰτίαν, δι' ἣν διαφέρουσιν τοῖς ἐμπίπτουσιν ἢ τοῖς χρησιμεύουσιν· οὐδὲ γὰρ πάντως χρησιμεύει κατ' αὐτόν· αὐτίκα τῷ Δημοσθένει οὐκ ἐχρησίμευεν ἀπολογουμένῳ ὑπὲρ αὐτοῦ μνημονεῦσαι τοῦ γένους. τῷ δὲ Αἰσχίνῃ κατηγοροῦντι χρήσιμον, διὸ εἶπεν· „Σκύθης βάρβαρος ἑλληνίζων τῇ φωνῇ," [3] καὶ ἐξετάσαι τὸν Γύλωνα καὶ τὴν μητέρα τοῦ Δημοσθένους Σκυθίδα τὸ ἀρχαῖον οὖσαν, ἅπερ παρῆκε παντελῶς ὁ Δημοσθένης καὶ οὔτε ἐπῄνεσε τὸ γένος, οὔτε μνείαν τινὰ ἐποιήσατο· τὰ δὲ πεπραγμένα αὐτῷ περὶ Χεῤῥονησιτῶν καὶ τὰ ἄλλα τούτῳ [4] μὲν ἔπρεπεν εἰπεῖν, Αἰσχίνῃ δὲ σιωπῆσαι· καὶ πάλιν ἐπὶ Αἰσχίνου τῷ Δημοσθένει ἔπρεπε μνημονεῦσαι τῆς δυσγενείας τῆς Αἰσχίνου, καὶ τῆς ἀνατροφῆς ὡς πονηρὰ, οὐκέτι δὲ μνημονεῦσαι τῆς δημαγωγίας καὶ τοῦ σώφρονος βίου, οὐδὲ τῶν στρατειῶν, ὧν ἐστρατεύσατο, οὐδὲ τῶν στεφάνων, ὧν ἐστεφάνωτο διὰ ἀριστείαν· ἀλλ' ἐκεῖνος μὲν τούτοις κέχρηται, φυλάττεται δὲ τούτων τὴν μνήμην ὁ Δημοσθένης· καίτοι ταῦτα πάντα τῶν ἐγκωμιαστικῶν ἐστι.

Τοῖς ἐμπίπτουσιν, οἷα τοῖς χρησιμεύουσιν, ἵνα μὴ ἑξῆς πάντα λέγῃς τὰ ἐγκωμιαστικὰ, ἀλλὰ τὰ ἁρμόζοντά σοι πρὸς τὴν προκειμένην χρείαν, ἢ τοῖς ἐμπίπτουσιν, ὅπερ ἐστὶν ἄνω, „ὡς ὁ καιρὸς διδῷ," τοῖς κατὰ τὸν καιρὸν, καθ' ὃν τὸ ζήτημα μελετᾶται συμβαίνουσιν· ὡς γὰρ ἔφαμεν, εἰ πρὸ τῶν ἐν Χαιρωνείᾳ κρίνοιτο Δημοσθένης, οὐχ ἕξει Αἰσχίνης εἰπεῖν, „παρενόμησιν ὁ δείλαιος τὴν μόνην καὶ πρῶτον αὐτὸν προσειποῦσαν πατέρα ἀπολέσας," [5] οὔπω γὰρ ἦν γενόμενος· ἢ τοῖς ἐμπίπτουσι τοῖς πρὸς τὴν χρείαν, ἵνα ᾖ ὡς ἐπὶ τὸ πολὺ τοῖς ἔργοις, ἀφ' ὧν καὶ ἐν τοῖς ἑξῆς διελὼν τὸν στοχασμὸν λέ-

---

3 Contra Ctes. p. 441. Bekk. 4 Cod. τούτων, scripsi τούτῳ. 5 ἀπολέσας, quod abest a cod., inserui ex Aesch. in Ctes. p. 406. Bekk.

γει· φύσιν ψυχῆς καὶ σώματος δεῖ τηρεῖν καὶ πράξεις, οὐδαμοῦ δὲ γένους ἢ πατρίδος ἢ τῶν ἄλλων τῶν ἐγκωμαστικῶν ἐμνημόνευσεν.

Οὐκ ἐπιδέχεται δὲ ἐξέτασιν τά τε ἰσάζοντα καὶ τὰ ἀόριστα διόλου· ἀναγκαίως δὲ προσέθηκε τὸ διόλου· βραχεῖα γὰρ ἐμπεσοῦσα διαφορὰ ἐξέτασιν παρέχει· ἢ γὰρ τὸν μὲν δῶς εἶναι νέον, τὸν δὲ πρεσβύτην, ἢ τὸν μὲν πλούσιον, τὸν δὲ πένητα· ἡ διαφορὰ παρέσχεν ὕλην καὶ ἐξέτασιν τῷ πράγματι· τὰ μὲν δὴ ἀόριστα ὡμολόγηται ὅτι οὐδ' ἥντινα ὕλην παρέχει τῷ μηδ' αὖ ἐγνῶσθαι περὶ αὐτῶν· τὰ δὲ ἰσάζοντα οὐκ αἴσχει λόγους ἀχρήστους ἔχει· ὃ γὰρ ἄν τις εἴποι περὶ τοῦ ἐναντίου, τοῦτο καὶ κατ' αὐτοῦ ἁρμόζει· περιττὸν οὖν ταύταις κεχρῆσθαι πρὸς ἀπόδειξιν ταῖς δικαιολογίαις ἀκριβῶς κατασκευάσας σαυτὸν ἐλέγξεις· εἰ γὰρ εἶεν δύο ῥήτορες, ἢ δύο νέοι καὶ πλούσιοι, καὶ λέγοις, ὅτι οἱ ῥήτορες συκοφάνται καὶ τὰ τοιαῦτα, καὶ εἰ λέγοις, ὅτι οἱ νέοι καὶ πλούσιοι καὶ ἐπιθυμηταὶ καὶ ἐπιθυμοῦντες εἰς ἅπαντα καὶ καταφρονοῦντες τῶν νόμων· ταῦτα δὲ κατὰ[6] ἀμφοτέρων ἁρμόζει, καὶ ὅσα ἄν τις εἴποι ὡς κατὰ τοῦ ἑτέρου, καὶ καθ' ἑαυτοῦ φθάσας εἴρηκεν.

Ὥσπερ δὲ τῶν προσώπων, οὕτως δὲ καὶ τῶν πραγμάτων πλείστη διαφορὰ, καὶ ἰσχυροτάτην μὲν ἐξέτασιν ἐπιδέχεται, ἐφ' οἷς τις αὐτὸς ὡς ποιήσας κρίνεται· δευτέραν δὲ, ἐφ' οἷς ἑτέρου ποιήσαντος ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται· τρίτην δὲ τὰ μεταξὺ τούτων·[1] τὴν ἐξ ὑποψίας ἐπαγγειλάμενος ἡμῖν ἀνωτέρω προσώπων καὶ πραγμάτων εἰπεῖν διαφορὰν, τὴν μὲν τῶν προσώπων διαφορὰν ἐπεξῆλθεν, εἰ καὶ ἐκλέλοιπεν τὴν ἑκάστου ὕλην, τὴν δὲ τῶν πραγμάτων διαφορὰν παντελῶς ἠγνόησεν·

---

6 Cod. τὰ ἀμφοτέρῳ. Scr. κατὰ ἀμφοτέρων.

1 τὰ μεταξὺ τούτων cod. om. — Cfr. Ald. p. 121.

τυραννίδος ἐπιθέσεως, συνέστηκεν· ἐὰν δὲ ἀφέλω τὸ δακρύειν αὐτὸν ἢ ἀφορᾷν, οὐκέτι συνέστηκεν· ἐνταῦθα δὲ συνίσταται τὸ ζήτημα ἀφαιρεθέντος τοῦ λέγειν τὸν Περικλέα εἰς δέον ἀνηλωκέναι· πῶς ἂν οὖν εἴη σημεῖον, οὗ ἀφαιρεθέντος μένει ὁμοίως συνεστηκὼς ὁ στοχασμός· ἄλλως τε καὶ λόγων ἀφορμὰς δίδωσι τοῦτο τῷ Ἀρχιδάμῳ· ἐροῦμεν γὰρ, ὡς εἰς τὰ τῆς Ἀθηνᾶς ἄγαλμα ἢ εἰς μισθὸν φανερὸν ἢ εἰς ἕτερά τινα δεδαπάνηκε Περικλῆς· προστεθὲν οὖν τὸ σημεῖον βλάπτει τὸν κατήγορον· πᾶν δὲ σημεῖον εἰς ἀπόδειξιν παρὰ τοῦ κατηγόρου παραλαμβάνεται· διὸ καὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῷ κατηγόρῳ ἁρμόζει· νῦν δὲ αὐτὸς ὁμολογεῖ λέγων· τὸ γὰρ τῶν πεντήκοντα ταλάντων ἀναφέρεται μὲν ἄντικρυς εἰς αὐτὸν οὐδαμῶς· πᾶν δὲ σημεῖον ἄντικρυς εἰς τὸ κρινόμενον ἀναφέρεται πρόσωπον· εἰ δὲ τοῦτο οὐκ ἀναφέρεται, ἀλλὰ δεῖται κατασκευῆς, δύο ἂν εἶεν στοχασμοὶ, ὡς αὐτὸς ἐφεξῆς φησιν· ἐνδέχεται δὲ ἐξετασθῆναι ὡς ἀναφερόμενον· τὸ δὲ ἐνδέχεται ἀποδείξεως ἀκριβοῦς καὶ κατασκευῆς δέεται· οὐδέποτε δὲ σημεῖον δεῖται τοῦ κατασκευασθῆναι, ἀλλὰ αὐτὸ πρὸς κατασκευὴν φέρεται· καὶ ἔτι ἐκ τούτων ῥᾴδιον γνῶναι, ὅτι τὰ εἴδη οὐ κατὰ ἑνὸς μόνου τυγχάνουσι προσώπου, ἀλλ' οἷον ἂν προσθῇς πρόσωπον, σώζεται τοῦ εἴδους ἡ φύσις. Τίς δέ ἐστιν ὁ λόγος, ἐπὶ παραδείγματος ἔσται σαφέστερον. Ἐὰν εἴπω, τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ κρίνεται ὁ τρισαριστεὺς προδοσίας, ὅπερ ὁ τεχνικὸς τίθησι παράδειγμα, συνέστηκε· καὶ ἐὰν δὲ ἀφέλω τὸ τοῦ τρισαριστέως πρόσωπον, καὶ εἴπω, ὅτι εὐδοκιμοῦντος ἐν πόλει ῥήτορος πολέμιοι εἰκόνα ἀνέστησαν, καὶ κρίνεται προδοσίας, συνέστηκε, καὶ οὐδὲν ἐβλάβη τοῦ ζητήματος ἡ σύστασις περὶ τὴν τοῦ προσώπου ἐναλλαγὴν, κἂν ὡρισμένον ποιήσω τὸ πρόσωπον καὶ εἴπω, ὅτι Φίλιππος εἰκόνα ἀνέστησε Δημοσθένει καὶ κρίνεται Δημοσθένης προδοσίας, συνέστηκε· κἂν τὸ Δημο-

σθένους ἀνέλω πρόσωπον ἢ τὸ Φιλίππου, καὶ εἴπω, ὅτι Περικλέους εἰκόνα οἱ πολέμιοι ἔστησαν, καὶ κρίνεται Περικλῆς προδοσίας, κἂν ἐπὶ Φιλίππου ἀντὶ τοῦ Δημοσθένους προσώπου τὸ Ὑπερίδου θείην, συνέστηκεν, οὕτως ἡ τῶν ὀνομάτων ἐναλλαγὴ οὐδεμίαν διαφορὰν ἤνεγκε τῷ εἴδει· καὶ πάλιν τὸ ἀφ᾽ ὧν αὐτός τις πεποίηκε, κἂν ἐπὶ ἀορίστου προσώπου θείημεν, κἂν ἐφ᾽ οἱουδηποτοῦν, τὴν αὐτὴν ἔχει σύστασιν, ἵνα πλῆθος παραδειγμάτων παραθείημεν· ἐὰν δὲ τὸ τοῦ Ἀρχιδάμου πρόσωπον ἀνέλω καὶ εἴπω, ὅτι Περικλῆς ἔφη, εἰς δέον ἀνηλωκέναι πεντήκοντα τάλαντα καὶ κρίνεται Σθενελαΐδας ἢ Ἐναίας ὁ ἔφορος ἢ Λεωτυχίδης ἤ τις τῶν τότε λαμπρῶν ἐν Σπάρτῃ, οὐδεμίαν ἔχει σύστασιν, ἀλλ᾽ ἀπερίστατον γίνεται τὸ ζήτημα· δῆλον οὖν ὡς ἐπὶ τοῦ Ἀρχιδάμου οὐ τὸ σημεῖον τὸ τὸν Περικλέα εἰπεῖν εἰς δέον ἀνηλωκέναι ποιεῖ τὴν σύστασιν, ἀλλ᾽ ἡ ποιότης τοῦ προσώπου· οὐκ ἂν οὖν ἓν εἶδός ἐστι τὸ ἐξ ὑποψίας, ἀλλὰ πρὸς τὸν Μινουκιανὸν φιλονικῶν τοῦτο ἐπινενόηκεν, ἐπειδὴ ἐκεῖνος τῶν στοχασμῶν τοὺς μὲν φησιν ἀτελεῖς εἶναι ἀπὸ προσώπων, ὡς τὸ, παρίστατό τις ἐπ᾽ ἐρημίας νεοσφαγεῖ σώματι, τοὺς δὲ ἀπὸ πραγμάτων, ὡς τὸ, ἀσώτου πατὴρ ἀφανὴς γέγονε καὶ κρίνεται φόνου· βουληθεὶς οὖν καὶ τῷ ἀσώτῳ περιθεῖναι πρᾶγμα, τοῦτο τὸ εἶδος ἐπινενόηκε, καὶ ἐν τῇ ἐπαγωγῇ δῆλόν ἐστι· φησὶ γὰρ, „ἀπέοικε δὲ οὐδὲν τοῦ ζητήματος τούτου καὶ ὁ ἄσωτος ἐπὶ τῷ πατρὶ ἀφανεῖ γενομένῳ κρινόμενος, καὶ οὐκ ἀγνοῶ μὲν, ὡς ᾠήθησάν τινες μὴ εἶναι τὸ πρᾶγμα τὸ κρινόμενον ἐνταῦθα". Τοῦτο πρὸς Μινουκιανὸν ἀποτείνεται αὐτὸ τὸ παράδειγμα τοῦ ἀτελοῦς ἐκ πράγματος στοχασμοῦ τεθέν.

Θαυμάζω δὲ, εἰ μὴ κρινομένου πράγματος αἰτίαν τις ἀποδώσει, καὶ τὸ λεγόμενον χρῶμα· ἀπολογήσεται δὲ ὁ ἄσωτος καὶ ἐρεῖ τι· χρῶμα [1].

1 Cfr. Ald. p. 134, l. 23.

μὲν γάρ ἐστιν ἡ μετάθεσις τῆς αἰτίας· εἴρηται δὲ χρῶμα ἢ παρὰ τὸ πρόφασιν παρέχειν τῆς ἀπολογίας, ἢ παρὰ τὸ χρωννύναι ὅλον τὸν λόγον· ὥσπερ γὰρ τὸ χρῶμα τυποῖ τοιόνδε εἶδος, οὕτω καὶ ἡ μετάθεσις τῆς αἰτίας τυποῖ τὴν ἀπολογίαν ἐν τῷ στοχασμῷ· ὃ δέ φησιν [2] ὅλον τοιοῦτόν ἐστι συλλογισμὸν παραλογιζόμενος, καὶ ἔστιν [3] οὗτος· πᾶς, φησὶ, στοχασμὸς, εἰ συνέστηκεν, ἀπολογίαν ἔχει· ἡ δὲ ἀπολογία ἐστὶν ἐκ τῆς μεταθέσεως τῆς αἰτίας· ἡ δὲ μετάθεσις τῆς αἰτίας πρὸς τὰ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους γίνεται. τὰ δὲ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους ἐστὶ τὰ πράγματα· πᾶς ἄρα [4] στοχασμὸς ἔχει πρᾶγμα, καὶ ὁ συλλογισμὸς αὐτοῦ οὗτος· αὐτὸς γὰρ βούλεται τὸ λέγειν, „ἀπολογήσεται δὲ, οἶμαι, ὁ ἄσωτος καὶ ἐρεῖ τι“· καὶ τὸ „θαυμάζω δὲ, εἰ μὴ κρινομένου πράγματος αἰτίαν ἀποδώσει τις“· ἐροῦμεν οὖν ὡς ταῦτα πιθανὰ μέν εἰσι πρὸς τὸ παραλογίσασθαι, ἀληθείας δὲ οὐχ ἅπτεται. Ἐροῦμεν οὖν ἀντιστρέψαντες αὐτὸ οὕτως, ὅτι πᾶς μὲν στοχασμὸς ἀπολογίαν ἔχει· ἡ μέντοι ἀπολογία οὐ πάντως ἀπὸ τῆς μεταθέσεως τῆς αἰτίας γίνεται, ἀλλ᾿ ἔστι καὶ ἀπὸ τῆς βουλήσεως καὶ ἀπὸ τῆς δυνάμεως καὶ τοῦ παραγραφικοῦ· πάντα γὰρ ταῦτα πρὸς ἀπολογίαν τοῦ φεύγοντος εὕρηται. Πάντες οὖν οἱ στοχασμοὶ οἱ ἀτελεῖς ἀπὸ πράγματος ἔχουσι μὲν ἀπολογίαν, οὐκ ἐκ τῆς μεταθέσεως δὲ τῆς αἰτίας, οὐδὲ ἡ κατηγορία ἐκ τῶν ἀπ᾿ ἀρχῆς ἄχρι τέλους, ὡς καὶ αὐτὸς ἐν τοῖς ἐφεξῆς ἔδειξε λέγων, ὅτι τὸ ἐξισάζον πρᾶγμα οὐ κρίνεται. Εἰ οὖν ἐστιν μὴ κρινόμενον, τὸ θαυμαστὸν καὶ τοῦτο ἐκ τῆς ποιότητος τοῦ προσώπου μὲν εἰς τὴν ἀπολογίαν ἔχειν, ὅπερ ἐστὶν ἡ βούλησις καὶ ἡ δύναμις, ὥσπερ ἡνίκα ἀτελὴς ἀπὸ προσώπου ἐστὶν, ἐκλείπει μὲν ἡ βούλησις καὶ ἡ δύναμις· ἐκ δὲ τῶν

2 Cfr. Ald. p. 133. l. 16. 3 Cod. ἔστι καὶ, scripsi καὶ ἔστιν. 4 Cod. γάρ, scr. ἄρα.

ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ τῶν λοιπῶν ἡ κρίσις γίνεται· εἰ δὲ ἔχει μετάθεσιν αἰτίας, ἐχρῆν αὐτὸν εἰπόντα, „ἀπολογήσεται δὲ, οἶμαι. ὁ ἄσωτος καὶ ἐρεῖ τι", προςθεῖναι τὸ τί, ὅτι μὲν γὰρ ἐρεῖ τι οἶδα· τοῦτο δέ ἐστιν ἐκ τῆς βουλήσεως καὶ τῆς δυνάμεως· εἰ δὲ εἶχεν μετάθεσιν αἰτίας, αὐτὸς ἂν προσέθηκεν αὐτήν· δῆλον οὖν ὡς ὁ Μινουκιανοῦ λόγος ἔῤῥωται καὶ ἀτελής ἐστιν ἐκ πράγματος, καὶ ὁ συλλογισμὸς, ὃν ὁ Ἑρμογένης πλέκει, πρὸς τὸ παραλογίσασθαι μόνον ἐπινενόηται.

**Μετὰ ταῦτα τοίνυν ἐστὶν ἐξ αὐτῶν γνῶναι τά τε συνεστῶτα καὶ διαιρεῖσθαι δυνάμενα τῶν ζητημάτων καὶ ὅσα μὴ συνέστηκεν.** Ἐνταῦθα περὶ ἀσυστάτων διαλαμβάνει κατὰ ἀκολουθίαν πρὸς τὸν λόγον ἁρμοσάμενος· εἰπὼν γὰρ τὸ προοίμιον, ἀποδείξας ὅτι τέχνη καὶ προςθεὶς τὸν σκοπὸν τοῦ βιβλίου, ὅτι περὶ πολιτικῶν ζητημάτων διαιρέσεως καὶ διδάξας[5], ὅ τι τὸ πολιτικὸν ζήτημα, καὶ ἐπ' αὐτὸ, τίς ὕλη τοῦ πολιτικοῦ ζητήματος, καὶ ἔτι προςθεὶς τὴν διαφορὰν τῆς ὕλης, τουτέστι τῶν τε προσώπων καὶ πραγμάτων, ἀναγκαίως ἐπὶ τὸν λόγον τῶν συνεστώτων καὶ ἀσυστάτων ἔρχεται· ὅρον οὖν τοῦ συνεστῶτος ζητήματος λέγων πάντα τὰ ἀσύστατα περιλαμβάνει κατὰ τὸ ἐναντίον· γίνεται δὲ οὕτως τά τε συνεστηκότα καὶ τὰ ἀσύστατα· συνέστηκε δὲ ἐκ τριῶν τούτων, αἰτίου, συνέχοντος, κρινομένου· καὶ αἴτιον μέν ἐστιν ἡ τοῦ κατηγόρου φωνὴ, ὡς καὶ ἐκ τοῦ ῥήματος δείκνυται, παρὰ τὸ τὴν αἰτίαν τῆς κρίσεως μηνύειν· συνέχον δὲ ἡ ἀπολογία παρὰ τὸ εἰς αὐτὴν συνάγεσθαι τὸν λόγον· κρινόμενον δὲ, περὶ οὗ οἱ δικασταὶ ζητοῦσι. Τοῖς οὖν συνεστηκόσι τῶν ζητημάτων ἀνάγκη τὰ τρία εἶναι, ἓν γὰρ ὁτιοῦν ἐλλεῖψαν ἀσύστατον ποιεῖ τὸ ζήτημα· εἴ τε γὰρ μὴ ἔχει αἴτιον, ἀσύστατόν ἐστιν, ὡς

5 Cfr. Ald. p. 139. l. 20.

τὰ ἀπίθανα τῶν ἀσυστάτων, εἴτε μὴ ἔχοι συνέχον, ὁμοίως ἀσύστατόν ἐστιν, ὡς τὰ μονομερῆ· εἴτε μὴ ἔχοι κρινόμενον, ὡς τὰ ἰσάζοντα καὶ ἄπορα. Δεῖ τοίνυν εἰδέναι ὡς ἓν μὲν ἐλλελειμμένον ἀσύστατον ποιεῖ τὸ ζήτημα, τῷ δὲ συνεστηκότι τῶν τριῶν τούτων δεῖ· ἔσφαλται οὖν αὐτῷ λέγοντι· „μετὰ ταῦτά ἐστιν ἐπιγνῶναι τά τε συνεστηκότα τῶν ζητημάτων καὶ ὅσα μὴ συνέστηκε“· τὰ γὰρ μὴ συνεστῶτα οὐκ ἂν εἴη ζητήματα· εἰ γὰρ μὴ συνέστηκε, πῶς ζητεῖται; ἓν δὲ ἢ ἑνὸς τῶν προκειμένων ὄντα· ἐχρῆν οὖν εἰπεῖν ἀντὶ τοῦ ζητημάτων προβλημάτων, αὐτὸς γὰρ διακρίνει· καὶ πρόβλημα μὲν τὸ ἀόριστον καλεῖ τὸ μήπω ὅρον ἔχον, εἴτε συνέστηκεν εἴτε μή, παρὰ τὸ βάλλεσθαι· προβάλλονται γὰρ καὶ τὰ ἀσύστατα· ζήτημα δὲ τὸ εἰς κρίσιν φερόμενον.

Τὰ μὲν γὰρ ἤτοι ἄμφω καὶ πρόσωπον ἔχοντα καὶ πρᾶγμα κρινόμενον· ἐνταῦθα τὸ ἀπερίστατον σημαίνει· ἀπερίστατον[6] δέ ἐστιν, ὃ μήτε ἐκ προσώπου μήτε ἐκ πράγματος ὕλην ἔχει. Φθάσαντες γὰρ ἐδιδάξαμεν, ὅπερ καὶ αὐτὸς ἐπάγει, ὅτι καὶ ἐξ ἑνὸς ἵσταται κρίσις ἐλλελειμμένου τοῦ ἑτέρου· παράδειγμα τούτου τὸ φόνος ἐγένετο ἐν πόλει καὶ κρίνεταί τις· τὸ γὰρ τὶς ἀόριστόν ἐστι καὶ κρίσιν οὐκ ἐπιδέχεται καὶ μηδὲν ἐπὶ τῷ χρόνῳ τυγχάνον ὁμοίως οὐδεμίαν ἐπιδέχεται κρίσιν· καὶ τὸ ἀποκηρύττει τὶς τὸν υἱὸν ἐπ᾿ οὐδεμιᾷ αἰτίᾳ· εἰ γὰρ καὶ τὸ τοῦ υἱοῦ πρόσωπον δοκεῖ εἶναι, ἀλλ᾿ ὕλην οὐ παρέχει, ἐπ᾿ αἰτίας γὰρ υἱὸς ἀποκηρύττεται· εἰ δὲ προσθείης, ὅτι φόνος ἐγένετο ἐν πόλει καὶ εὕρηταί τις ᾑμαγμένος, καὶ κρίνεται, περίστασίς ἐστι τὸ ᾑμαγμένος· κἂν εἴπῃς, ὅτι συνεχῶς τις κρινόμενος φόνου ἀπέφυγεν, ἐγένετο φόνος καὶ ὑπάγεται τῇ αἰτίᾳ, ἡ ποιότης πάλιν τοῦ προσώπου, καίπερ μὴ ὄντος ἐκ τοῦ πράγματος σημείου δύναται

6 Cfr. Ald. p. 141. l. 12.

κρίσιν δοῦναι· ὅταν δὲ μήτε ἡ ποιότης τοῦ προσώπου ὑποψίαν ἔχῃ, ὥσπερ ἐπὶ τοῦ ἀσώτου, μήτε τὸ πρᾶγμα, ὡς ἐπὶ τοῦ παρίστατά τις, ἀπερίστατον ἂν εἴη παντελῶς.

Ἢ τὸ ἕτερόν γε πάντως· ἐνταῦθα ἔλαθεν ἑαυτὸν ἐξελέγξας κακῶς πρὸς τὸν Μινουκιανὸν φιλονεικῶν· εἰπὼν γὰρ ἢ τὸ ἕτερόν γε πάντως δείκνυσιν, ὅτι καὶ εἰ προσώπου μόνου μόνον ἐστὶν ὑποψία· εἰ μὲν γὰρ ἔλεγεν „ἢ τὸ πρᾶγμα πάντως“, ἐνέμενεν ἐπὶ τῷ αὐτῷ σκοπῷ· νῦν δὲ εἰπών, ὅτι ἕτερον, ἓν τῶν δύο σημαίνει, ὅπερ ἐστὶν ἢ πρόσωπον ἢ πρᾶγμα, καὶ κατὰ τὴν αὐτοῦ τοίνυν φωνὴν ἔσται ἀτελὴς ἀπὸ πράγματος στοχασμὸς ἐκ τῆς ποιότητος τοῦ προσώπου τὴν κρίσιν ἔχων, καὶ τοὺς ἐξ ἑκατέρου μέρους λόγους· τοῦτο διὰ τὸ μονομερὲς ἐξ ἑκατέρου μέρους οὐκ ἔχει τοὺς λόγους, ἀλλ᾽ ἢ κατηγορίαν ἰσχυρὰν ἀπολογίας ἀπούσης, ἢ ἀπολογίαν μὲν ἰσχυρὰν, κατηγορίαν δὲ οὐδὲ ὅλως, κἂν οὐκ ἀγνοῶμεν, ὡς ᾠήθησάν τινες τὰ μονομερῆ μόνον γίγνεσθαι, ὅταν ἐκλελοιπυῖαν ἔχῃ τὴν ἀπολογίαν· δείκνυται δὲ καὶ ἐξ ὧν αὐτός φησιν, „ἐξ ἑκατέρου δέ“· οὐκ εἶπεν, „ἐκ τοῦ ἑνὸς μέρους,“ ἢ „ἐκ τοῦ φεύγοντος μέρους“, ἀλλ᾽ „ἐξ ἑκατέρου“, ὃ σημαίνει καὶ τὸν κατήγορον καὶ τὸν ἀπολογούμενον· δῆλον οὖν, ὅτι ἐστὶ καὶ τὸ κατὰ τὴν κατηγορίαν ἐλλειπὲς εἶναι μονομερές, ἐφ᾽ ᾧ καὶ παράδειγμα τοιοῦτον· μειρακίου ὡραίου σωφρονοῦντος ἤρων πολλοί, καὶ ἀποτυγχάνοντες ἀνῄρουν ἑαυτούς· μαθὼν τὸ μειράκιον ὑπεξῆλθεν καὶ ἀνδρωθεὶς πάλιν κατῆλθεν ἐν τῇ πόλει, καὶ κρίνεται φόνου· ἐνταῦθα ἔρρωται μὲν ἡ ἀπολογία τοῦ μειρακίου, τό τε τὴν σωφροσύνην περὶ πολλοῦ ποιεῖσθαι καὶ τὸ ὑποχωρεῖν τῇ τύχῃ καὶ ὑπεξελθεῖν καὶ μὴ διδόναι πρόφασιν μηδεμίαν καθ᾽ ἑαυτοῦ, καὶ τὸ μηδένα εἶναι εἰς τοσοῦτον ἀναισχυντίας ἥκοντα κατήγορον, ὡς αἰτιᾶσθαι τὸ μὴ πεπορνευκέναι· ἡ δὲ κατηγορία ἐλλέλειπται, οὐδὲ γὰρ ἂν εἴη δίκη καὶ εὐθῦναι σωφροσύνης,

Δῆλον[7] οὖν ὡς ἐπὶ τῷ πορνοβοσκῷ τῷ τοὺς δέκα νέους αποκτείναντι πάντα πρὸς κατηγορίαν ἐπινενόηται, ἵνα πᾶσα ἐκλείπει ἀπολογία· τὸ ἄδοξον τοῦ προσώπου, τὸ πλῆθος τῶν νέων, τὸ πρᾶγμα, ὅτι οὐδὲν ἀπεχθὲς[8] ἦν τὸ κωμάζειν· οὐδὲ γὰρ ἐπεβούλευον ἢ ἔκλεπτον, ἢ ἄλλο τι τῶν τοιούτων ἐποίουν, ἐὰν ἔχῃ ἐκ τούτων ἀπολογίαν, καὶ τῷ δόλῳ ἀνῃρῆσθαι αὐτούς. οὕτως κἀνταῦθα[9] ἐκ τοῦ ἐναντίου τὸ σωφρονεῖν τὸ μειράκιον ἐπὶ πάντων, καὶ μὴ τοῖς μὲν πείθεσθαι, τοῖς δὲ οὔ, τό τε ἀγνοεῖν ἐξ ἀρχῆς τὸ γινόμενον καὶ μετὰ τὸ γνῶναι ὑπεξελθεῖν καὶ ὑποχωρῆσαι, καὶ τὸ ἀναμεῖναι τὸν καιρὸν τὸν ἔχοντα τὴν τοιαύτην ἀφορμὴν καὶ αὖθις κατελθεῖν καὶ τὸ τοῦ πράγματος ἀνεύθυνον ἀπολογίαν μὲν ἰσχυρὰν δίδωσι, κατηγορίαν δὲ οὔ. Σὺν τῷ πιθανῷ· διὰ τὸ ἀπίθανον, ἀπίθανον δέ ἐστι τὸ τὴν κατηγορίαν παντελῶς ἐναντίαν τῆς τοῦ προσώπου ποιότητος γίνεσθαι, εἰ Σωκράτης ἐγκαλεῖται πορνείας, ἢ Ἀριστείδης κλοπῆς· ταῦτα γὰρ τὰ πρόσωπα σαφῆ τὸν ἔλεγχον ἔχει, ὁ μὲν εἰς τὸ σῶφρον, ὁ δὲ εἰς τὸ καθαρόν. Διαφόρους τε· διὰ τὸ ἰσάζον, τοῦτο γὰρ ἔχει μὲν λόγους[10], τοὺς αὐτοὺς δέ, δύο νέοι ὡραίας ἔχοντες γυναῖκας καὶ ἐκ τοῦ αὐτοῦ φωράσαντες ἀλλήλους ἐκ τῶν ἀλλήλων ἐξιόντας οἰκιῶν καὶ κατηγοροῦντες ἀλλήλοις. Καὶ ταῖς πίστεσιν ἰσχυρούς· διὰ τὸ ἀντιστρέφον. ἔστι δὲ ἀντιστρέφον, ὅταν ἄν τις λέγῃ πρότερον τἀναντία λέγῃ ὕστερον, καὶ τὰ μὲν ἑαυτοῦ φεύγῃ, τοῖς δὲ τοῦ ἐναντίου πρὸς ἀπόδειξιν χρήσηται· ὡς ὁ τὸ δάνειον ἀπαιτῶν πρότερον καὶ ἐπειδὴ ἐγένοντο χρεῶν ἀποκοπαὶ παρακαταθήκην εἶναι λέγων, ὅπερ ὁ ἀπαιτούμενος πρότερον ἔλεγεν· ἐνταῦθα γὰρ οὐκέτι πίστις τοῖς δικασταῖς, ὅταν τὰ μὲν ἑαυτοῦ φεύγῃ, τὰ δὲ τοῦ ἐναντίου πρὸς ἀπόδειξιν φέρῃ.

7 Cfr. Ald. p. 142. l. 3. 8 Ald. l. 7. ἐπαχθές. 9 Cfr. Ald. p. 142. l. 17 sqq. 10 λόγους posui in lacuna codicis.

Ἔτι τε ὅπερ ἐστὶ παρὰ τοῖς δικασταῖς, τὸ τῆς κρίσεως ἀφανὲς, ἀλλὰ μὴ προειλημμένον, δυνάμενόν τε πέρας λαβεῖν· διὰ τὸ ἀδύνατον καὶ ἄπορον· ἐν ἀμφοτέροις γὰρ τούτοις τὸ πέρας καὶ ἡ τῶν δικαστῶν κρίσις ἐκλέλοιπεν· τό τε γὰρ ἄπορον αὐτὸ ἑαυτῷ ἐναντιοῦται περὶ τὴν κατασκευὴν καὶ τὸ ἀδύνατον τὸ μάχεσθαι τῇ φύσει.

Τὰ δὲ οὔτινος οὖν τούτων ἐνδεᾶ ταῦτα ἀσύστατα. Φθάσαντες εἰρήκαμεν ὡς τοῖς μὲν συνεστηκόσι πάντων τούτων δεῖ πρὸς τὸ συνεστηκέναι· ἐν γὰρ τῷ εἰρημένῳ ἐλλελειπὸς ἀσύστατον ποιεῖ τὸ πρόβλημα· τοῖς δὲ ἀσυστάτοις ἑνὸς μόνου. εἰρήσεται δὲ καὶ κατ' εἶδος. Ἐζήτηται, τί δήποτε πρῶτον μὲν περὶ ἀσυστάτων διέλαβε καὶ ταῦτα τῶν μὲν ἀσυστάτων καὶ χρηστῶν ὄντων προσεξέτασεν· τῶν δὲ συνεστηκότων εἰς χρῆσιν φερομένων καὶ αὐτὸς περὶ τῆς διαιρέσεως τῶν ζητημάτων ἐπαγγειλάμενος ποιεῖσθαι τὸν λόγον· ὅτι δὲ τὰ ἀσύστατα· οὐ διαιρεῖται καὶ αὐτός μαρτυρεῖ λέγων· ταῦτα γὰρ οὐκ ἂν εἴη ζητήματα, μήτε διαιρούμενα μήτε πρὸς χρῆσιν φερόμενα προκέκριται τῶν διαιρουμένων καὶ ζητουμένων καὶ ὠφελίμων τυγχανόντων· ἐροῦμεν, ὅτι πᾶν τὸ μὴ ὂν φύσει πρῶτόν ἐστι τοῦ πραττομένου, ἐκ γὰρ τοῦ μὴ εἶναι τὸ πραττόμενον ἵσταται, καὶ ἐκ τῶν οὖν ἀσυστάτων ἐπὶ τὰ συνεστηκότα φερόμεθα, ὡς ἐφεξῆς ἐροῦμεν καθ' ἕκαστον ἀσυστάτων πῶς συνιστάναι δύναται. Καὶ ἄλλως ἡ τῶν συνεστηκότων ζήτησις πολυειδής τίς ἐστι καὶ διάφορος, ἡ δὲ τῶν ἀσυστάτων μία· ἑνὶ γὰρ κανόνι, ὅπερ ἔφαμεν, ἓν τῶν τριῶν ἐλλελειμένον [1] αἴτιον ἢ συνέχον ἢ κρινόμενον, ἀσύστατον ποιεῖ· τὰ δὲ συνεστηκότα πλείονος δεῖται καὶ λόγου καὶ ἐξετάσεως τῇ τῶν πραγμάτων διαφορᾷ· ἀκολούθως οὖν τὰ μονοειδῆ

1 Cod. ἐλλιμμένον. Cfr. Ald. p. 147. l. 18.

ὡς ἀτελειότερα ληφθῆναι καὶ σαφῆ πρὸς ἐξέτασιν προτέτακται τῶν πολυτελεστέρων, [2] καὶ ἄλλως τε σαφηνείας πανταχῆ δεόμενος ἐπὶ τῷ διακρῖναι τὰ πράγματα οὕτως ἠναγκάσθη τὸν λόγον ποιήσασθαι· ὥσπερ γὰρ ἐπὶ τῶν προσώπων εἶπεν ὅτι τὰ μέν ἐστιν οἷα ἐξετάζεσθαι, τὰ δὲ οὔ, καὶ διὰ τί τὰ ἐξεταζόμενα προέταξεν πάλιν εἰρήκαμεν, οὕτως καὶ ἐνταῦθα ὥσπερ κανόνα τινὰ προτεθείκαμεν, ὅτι τῶν προβλημάτων τὰ μὲν ἀσύστατά ἐστιν, τὰ δὲ συνεστῶτα· καὶ τὰ μὲν ἀσύστατα τῶν ἐλλελειμμένων γίνεται, τὰ δὲ συνεστῶτα τῶν ὑγιέων· [3] τοῦτο γὰρ ὁ ὅρος βούλεται λέγειν· ἐν οἷς γὰρ τῶν συνεστηκότων ὅρον λέγει, τῶν ἀσυστάτων σημαίνει τὴν φύσιν. Τῶν δὲ συνεστηκότων διαιρέσεις πλείονες, ἃς καὶ ἐφεξῆς ἐπάγει ἐν τῇ μεθόδῳ· διὰ ταῦτα τοίνυν ἀναγκαίως προτέτακται.

Καὶ πρῶτόν γε ἀσυστάτων εἶδος τὸ *μονομερές*, ᾧ μὴ τὰ τῶν λόγων *ἑκατέρωθέν ἐστιν ἰσχυρά*· ὥσπερ ἐν [4] τῇ τῶν προσώπων ἐξετάσει καὶ ἐν τῇ τῶν πραγμάτων ἀπὸ τῶν ἰσχυροτέρων ἤρξατο· ἔν τε γὰρ τοῖς προσώποις ἰσχυρά εἰσι τὰ ὡρισμένα καὶ κύρια πρὸς τὸ παρέχειν ὕλην, καὶ ἐν τοῖς πράγμασιν τὸ ἀφ' ὧν τις αὐτὸς ὡς ποιήσας κρίνεται, οὕτως καὶ ἐνταῦθα ἐν τῷ περὶ τῶν ἀσυστάτων λόγῳ ἀπὸ τοῦ πάντη μηδεμίαν ὕλην παρέχοντος, ἀλλ' ἀκριβῶς ἀσυστάτου ἤρξατο· εἰδέναι δὲ χρή, ὡς τὸ μονομερές, ἢν μὲν ἐκ τοῦ τὸ συνέχον ἐκλελοιπέναι τυγχάνῃ γενόμενον, ἐνδόξου προσώπου ἐπιλαμβανόμενον συνέστηκε, ἢν δὲ ἐκ τοῦ τὸ αἴτιον, ἀδόξου. Τί δέ ἐστιν ὃ λέγω, ἐπὶ παραδείγματος ἔσται σαφέστερον· ὁ πορνοβοσκὸς πανταχόθεν ἄδοξον πρόσωπον, διὰ τοῦτο οὖν αὐτῷ ἡ ἀπολογία ἐκλέλοιπε καὶ τὸ μονομερὲς ἔχει τὴν κατασκευήν· εἰ οὖν ἀμείψαν-

---

2 Ald. l. 21. πολυϋλιτέρων. 3 Cod. τῷ ὑγιεῖ. 4 Cfr. Ald. p. 148.

τις τὸ τοῦ πορνοβοσκοῦ ὄνομα θείημεν στρατηγὸν ἢ φιλόσοφον ἤ τι τοιοῦτον ἐπαινούμενον πρόσωπον ὡς ὑπεδέξατο τοὺς δέκα νέους, συνέστηκεν· ἡ γὰρ τοῦ προσώπου ποιότης χώραν δίδωσι τῷ ἀντεγκλήματι· ἐνταῦθα δὲ τὸ τοῦ προσώπου ἄδοξον τοῦ πορνοβοσκοῦ παντελῶς ταύτην οὐκ ἔχει τὴν ὥραν· καὶ πάλιν, ὅταν ἐκλελοιπότος αἰτίου, ὡς ἐπὶ τοῦ μειρακίου τοῦ σωφρονοῦντος καὶ ὡραίου, ἐὰν ἀμείψωμεν καὶ εἴπωμεν, ὅτι μειράκιον ὡραῖον εἶχε πλείονας ἐραστὰς καὶ ἐνίοις ἑαυτὸν προσνέμων ἑτέρων ἠμέλει, καὶ οἱ ἀποτυγχάνοντες ἀνήρτων ἑαυτούς, πάλιν τὸ πρόβλημα δέχεται σύστασιν· ἔχει γὰρ κατηγορίαν, τῷ προδιαβεβλῆσθαι τὸ πρόσωπον ἐν τῷ πρὸς ἀσέλγειαν ἐνίοις ἑαυτὸν ἐκδεδωκέναι.

*Δεύτερον δὲ τὰ ἰσάζοντα διόλου*· καλῶς προσέθηκε τὸ διόλου,[5] ὅτι ὀλίγη τις ἐμπεσοῦσα διαφορὰ ἢ τοῖς προσώποις ἢ τοῖς πράγμασι συνεστάναι ποιεῖ· εἰ γὰρ ὁ μὲν εἴη πρεσβύτης, ὁ δὲ νέος, ἢ ὁ μὲν πένης, ὁ δὲ πλούσιος, εἴτε ἐν τοῖς πράγμασιν ὁ μὲν φωραθείη διαλεγόμενος, ὁ δὲ ἐξιών, ἢ ὁ μὲν ἀγγελίαν εἰσπέμπων, ὁ δὲ ἄλλο τι πράττων, ἡ τῶν πραγμάτων διαφορὰ παρέχει τὴν σύστασιν τῷ προβλήματι· εἰκότως δὲ ταῦτα δευτέραν ἔχει τὴν τάξιν· κοινωνεῖ γὰρ τῷ μονομερεῖ κατὰ τοῦτο, καὶ ὅτι λόγους οὐκ ἔχει, καὶ ὥσπερ διπλοῦν μονομερὲς ἂν εἴη· παρ' οὐδετέρου γὰρ μέρους λόγοι εὑρίσκονται· τούτῳ δὲ διαφέρει τῷ ἐν μὲν τῷ[6] μονομερεῖ ἐκ τοῦ ἑνὸς μέρους πάντῃ μὴ εἶναι λόγον, ἐνταῦθα δὲ εἶναι μὲν ἐξ ἑκατέρων, ἀχρήστους δὲ τοὺς αὐτοὺς εἶναι.

*Τρίτον τὸ ἀντιστρέφον· ἀπῄτει τις δάνειον καὶ τόκους*· ἀκολούθως τὸ ἀντιστρέφον τρίτην τάξιν εἴληφεν, ἐπειδὴ γὰρ δοκεῖ πως ἔχειν λόγους καὶ

5 Cfr. Ald. p. 150. l. 25. 6 Cod. διαφέρει τῷ μονομερεῖ, sequente brevi lacuna: correxi ex Ald. p. 151. l. 13.

ταύτῃ τοῦ ἰσάζοντος διενήνοχεν, κοινωνεῖ γὰρ καὶ αὐτὸ τῷ μονομερεῖ καὶ ἰσάζοντι· τῷ μὲν μονομερεῖ κατὰ τὸ μὴ ἐξεταζομένους ἔχειν τοὺς λόγους, καὶ τῷ ἰσάζοντι ὁμοίως· διαφέρει δὲ ἀμφοτέρων, ὅτι οὐ τοὺς αὐτοὺς διαφόρους ἔχει καὶ ἀχρήστους, καθάπερ τὸ ἰσάζον, ἀλλ' ἐν τῷ μὴ πάντα τὰ αὐτὰ παρ' ἑκατέρου μέρους λέγεσθαι τὴν διαφορὰν εἴληφεν· ἐνταῦθα γὰρ οὔτε διάφορα οὔτε ἰσχυρὰ τὰ τῶν πίστεων αὐτοῖς. Ἐζήτηται, πῶς οὐ διάφορα, καίτοι διάφορα τὰ τῶν λόγων εἰσὶν αὐτοῖς· ἕτερον γάρ τί ἐστι τὸ λέγειν δάνειον εἶναι καὶ ἕτερον παρακαταθήκην ἀπαιτεῖν· τί οὖν ἐστι τὸ οὐδὲ ἔχοντα διάφορον τὴν ἀπόδειξιν τῶν λεγομένων, ἀλλὰ μίαν; πρὸς τὸ παρὰ τοῦ ἀντιδίκου ταῦτα εἰρῆσθαι καταφεύγουσιν, διὰ τοῦτο, φησὶν, οὐκ ἰσχυρὰ λέγει, οὐ πίστιν ἔχοντα, οὐ δυνάμενα προσαγαγέσθαι τὸν ἀκροατήν· οἱ τὰ οἰκεῖα ἀρνούμενοι ἐπὶ τὰ τοῦ ἀντιδίκου καταφεύγουσιν· εἰδέναι δὲ χρὴ, ὅτι καὶ τοῦτο σύστασιν δέχεται ἐναλλαγῇ πράγματος· ἐὰν γὰρ ὁρίσω, ἀπῄτει τις παρακαταθήκην, ὁ δὲ ἠρνεῖτο μὴ ἔχειν· ὁ δῆμος πεποίηται χρεῶν ἀποκοπὰς, καὶ ὡς χρέος οὐκέτι ἀποδέδοται, σύστασιν δέχεται, διάφορα γὰρ τὰ τῶν πίστεων γίνεται, καὶ οὐκέτι εἰς ἀλλήλους καταφεύγουσιν.

Τέταρτον τὸ ἄπορον· ἄπορον ἐναντίαν τῷ κατασκευαζομένῳ τὴν κατασκευὴν δέχεται· ὅταν [7] γὰρ συμβουλεύσῃς, δεῖν πείθεσθαι τοῖς ὀνείροις, αὐτῷ τῷ νῦν γεγενημένῳ ἠπίστησας· ὅταν δὲ μὴ πείθεσθαι, αὐτῷ ἐπίστευσας τῷ συμβουλεύοντι μὴ πείθεσθαι· κοινωνεῖ δὲ καὶ τοῦτο τοῖς προλαβοῦσι τῷ ἀχρήστους ἔχειν τοὺς λόγους· διαφέρει δὲ τοῦ τε ἰσάζοντος καὶ τοῦ ἀντιστρέφοντος, ὅτι τῷ μὲν ἰσάζοντι οὐ τοὺς αὐτοὺς οὐδὲ τοὺς ἴσους λόγους ἔχει, τῷ δὲ ἀντιστρέφοντι, ὅτι οὐ τὰ προει-

7 Cfr. Ald. p. 154. l. 5.

εἰρημένα ἀρνούμενος ἐπὶ τὰ τοῖς ἐναντίοις λεχθέντα καταφεύγει· ἀλλὰ διάφορόν τι ἔχει τὴν ἐξέτασιν καὶ ἐκ διαφόρων δυναμένην ἀποδείξεων κατασκευάζεσθαι, ὅπερ ἐν τῷ ἀντιστρέφοντι οὐκ ἔστιν· καὶ γὰρ ὁ συμβουλεύων ὀνείροις πείθεσθαι πολλὰ καὶ ἱκανὰ πρὸς ἀπόδειξιν ἔχει τοῦ πεῖσαι, καὶ ὁ μὴ συμβουλεύων ὁμοίως· τὸ δὲ πέρας τῆς συμβουλῆς αὐτὸ ἑαυτῷ ἐναντιούμενον οὐκ ἔχει τὴν κατασκευήν· οὐ γὰρ οἱ λόγοι πίστιν οὐκ ἔχουσιν ἐνταῦθα, ἀλλὰ τὸ κατασκευαζόμενον, ἐναντίον ὂν τοῖς κατασκευάζουσι τὴν ἀπορίαν, δίδωσι τῷ ἀκροατῇ· ἔστι δὲ καὶ τοῦτο σαφῶς ἐπὶ τοῦ μάντεως τὸ παράδειγμα· μάντεως θυγατέρα ἥρπασαν οἱ πολέμιοι· ὤμοσαν αὐτῷ πρεσβευομένῳ ἀποδώσειν αὐτήν, εἰ τἀληθῆ περὶ αὐτῆς μαντεύσαιτο· ὁ δὲ ἔφη, ὡς οὐκ ἀποδίδοταί μοι, καὶ ὡς τἀληθῆ μαντευσάμενος ἀπαιτεῖ· ἐνταῦθα μὴ ἀποδιδόντες μὲν ἐπιορκοῦσι, τἀληθῆ γὰρ μαντευσαμένῳ οὐκ ἀποδιδόασιν· ἀποδόντες τε ἐπιορκοῦσιν ὁμοίως, ὅτι μὴ τἀληθῆ μαντευσαμένῳ ἀποδιδόασιν, καὶ οὕτως τὸ μὲν ἑαυτῷ κατασκευάζειν ὀφείλοντι λαβεῖν τὸ μὴ ἀληθῆ μαντεύεσθαι κατασκευάζει, ἐν οἷς δὲ ἐκεῖνοι τὸ μηδὲν δοῦναι τὰ ἀληθῆ μαντεύσασθαι καὶ μὴ ἀποδοῦναι αὐτῷ· ἔοικε δὲ τούτῳ καὶ τὸ κατὰ Τισίαν καὶ Κόρακα πρόβλημα· σύστασιν δὲ τοῦτο δέχεται προσδιοριζομένου χρόνου· ἐὰν γὰρ προσθῇς, ὅτι Ἀλέξανδρος ὄναρ εἶδε τοῖς περὶ αὐτοῦ ἢ τοῖς μεθ' αὐτὸν ὀνείροις μὴ πιστεύειν, δύναται σύστασιν λαβεῖν, καὶ ἐπὶ τοῦ Τισίου καὶ Κόρακος, ἐὰν προσδιορισθῇ, ὅτι εἴσω δύο ἐτῶν ἢ εἴσω πλείονος χρόνου νικήσας τὴν πρώτην δίκην δύναται σύστασιν λαβεῖν· ἁπλῶς οὖν εἰπεῖν χρόνος προσδιοριζόμενος σύστασιν παρέχει τῷ ἀπόρῳ.

Πέμπτον τὸ ἀπίθανον· ἀσθενησάντων [8] τῶν ἀσυστάτων ἐπὶ τὸ μᾶλλον ἔχον [9] λόγον κατ' ὀλίγον

8 Cfr. Ald. p. 157. 9 Cod. ἔχειν, Ald. τὸν μᾶλλον

πρόεισι· σκόπει γάρ, ὡς τὸ μὲν μονομερὲς ἐκ τοῦ ἑνὸς λελειμμένους πάντη ἔχει, τὸ δὲ ἰσάζον ἔχει μὲν, τοὺς αὐτοὺς δέ· τὸ δὲ ἀντιστρέφον ἔχει λόγους καὶ οὐ τοὺς αὐτοὺς, πίστιν δὲ οὐκ ἔχοντας· τὸ δὲ ἄπορον καὶ λόγους ἔχει καὶ οὐ τοὺς αὐτοὺς καὶ πίστιν δεχομένους· ἐκ δὲ τοῦ κατασκευαζομένου τὸ ἀσύστατον· τὸ δὲ ἀπίθανον ὕλην ἔχει πάντων πλείονα, καὶ σχεδὸν συνέστηκε, καὶ ζητήσειεν ἄν τις, πῶς ὅλως ἀσύστατόν ἐστιν, ὅτε καὶ Σωκράτης καὶ Ἀριστείδης ἀμφότεροι γραφὰς ὑπέμειναν, καὶ ὁ μὲν ἐξωστρακίσθη, ὁ δὲ θανάτῳ ἐζημιώθη· εἰ δὲ μὴ ἦν κατὰ τούτων κατηγορία, πῶς ἔργῳ ἐκβᾶσα φαίνεται; Λύσις οὖν αὕτη, καὶ διδάσκει, πῶς συστῆναι δύναται, καὶ τὴν διαφορὰν φθάσαντες εἰρήκαμεν· ὅτι ἐνταῦθα καὶ λόγοι εἰσὶν καὶ πέρας δυνάμενοι δέξασθαι. Πῶς οὖν καὶ συστῆναι δύναται καὶ λύσις τοῦ εἶναι ἀπίθανον; ἐροῦμεν, ὅταν καὶ αὐτὸ τὸ τοῦ προσώπου ἔνδοξον ἡ κατηγορία γίνηται, τότε ἀσύστατόν ἐστι πάντη· ὅταν δὲ καθ᾽ ἕτερόν τι σύστασιν δέχηται, πρόσωπον μὲν γὰρ οὐδὲν ἀναμάρτητον πάντη· ἔστιν δὲ ὅπου καθ᾽ ὑπερβολὴν διαπρέπει, ὡς ὁ Σωκράτης ἐν τῷ σωφρονεῖν· ὁ δὲ Ἀριστείδης ἐν τῷ μὴ χρημάτων ἐφίεσθαι· εἰ οὖν τὸν μὲν Ἀριστείδην γράψεταί τις λειποταξίου ἢ ὑπερηφανίας, ὅπερ αὐτῷ καὶ τὸ ἐξωστρακισμένον ἐποίει, συνεστηκὸς εἴη τὸ πρόβλημα· εἰ δὲ καὶ τὸν Σωκράτην ἑτέρου τινὸς ἀσεβείας, ἧς καὶ γραφὴν ὑπέμεινεν, ἢ ἑτέρου τοιούτου, πλὴν πορνείας, ἐν ᾧ πάλιν σαφῆ ἔχει τὸν ἔλεγχον τοῦ σωφρονεῖν, κἀκεῖνο δέχεται σύστασιν· τούτων δὲ ἔστω καθολικὸν ἐπὶ πάντων παράδειγμα· οἷον Ἀχιλλέα μὲν οὐδὲν ἀπεικὸς εἶναι προδότην καὶ χρημάτων ἥττονα· δειλὸν δὲ ἢ λειποτάκτην οὐκ ἂν ἔχοις γράφεσθαι· καὶ τὸν Αἴαντα ἐπίβουλον μὲν τῶν Ἀχαιῶν ἢ θρασὺν ἢ βουλόμενον διαφθεῖραι τὸ στρατόπεδον, δειλὸν δὲ ἢ ἐκλε-

ἔχοντα. Scripsi ἔχον.

λοιπότα τὴν τάξιν οὐκ ἂν ἔχοις εἰπεῖν· δῆλον οὖν ὅτι τὸ ἀπίθανον γίνεται, ὅταν αὐτῇ τῇ ἀκριβεῖ ἀρετῇ τῆς ποιότητος τοῦ προσώπου ἐναντίαν ἔχῃ τὴν κατηγορίαν.

Ἕκτον δὲ τὸ ἀδύνατον, εἰ Σιφνίοις ἢ Μαρωνείταις.[10] Τὸ ἀδύνατόν τινες βούλονται πρὸ τοῦ ἀπιθάνου τάττεσθαι, καὶ δοκοῦσι καλῶς ἐρεῖν· εἰ γὰρ ἑνὶ κανόνι βούλεται ὁ τεχνικὸς ἐκ τῶν σφόδρα ἀσυστάτων ἀκολούθως ἐπὶ τὰ ἧττω καταβαίνειν, ὥσπερ ἐπὶ τῶν προσώπων ἐκ τῶν σφόδρα παρεχόντων ἐπὶ τὰ ἐλάττω παρέχοντα, οὕτως καὶ ἐνταῦθα ἐχρῆν τὸ ἀδύνατον προτάττεσθαι τοῦ ἀπιθάνου. Τὸ γὰρ ὅλως μὴ δύνασθαι πῶς οὐκ ἂν εἴη μᾶλλον ἀσύστατον τοῦ παρὰ τὴν ποιότητα τοῦ προσώπου ἐναντιουμένου· ἀλλ' ἡ ἀπολογία αὕτη, ὅτι πανταχοῦ βούλεται ὁ τεχνικὸς τὰ πρόσωπα τῶν πραγμάτων προτάξαι καὶ ταῦτα καλῶς καὶ κατὰ τέχνην, ἐπειδὴ τοίνυν τὸ μὲν ἀπίθανον παρὰ τὴν τοῦ προσώπου ποιότητα γίνεται, τὸ δὲ ἀδύνατον παρὰ τὴν τοῦ πράγματος, εἰκότως τὸ ἀπίθανον προέταξε, τὸ ἐκ τοῦ προσώπου ἔχον τὸ ἀσύστατον· καὶ γὰρ προτείνας ἐξ ἀρχῆς ὕλην τοῦ πολιτικοῦ ζητήματος καὶ φήσας ταύτην ἐκ προσώπων καὶ πραγμάτων γίνεσθαι, πρῶτον τὴν τῶν προσώπων ἐξέτασιν ἔταξεν· ἄλλως[11] τε καὶ τὸ ἀπίθανον ἀδυνάτου τάξιν ἔχει· εἰ γὰρ ἀπίθανόν ἐστιν, οὐκ ἂν ἐγένετο, οὐδὲ δυνατὴν ἔχει τὴν κατηγορίαν, ὡς ἐπαναβεβηκός· τὸ δὲ ἀδύνατον δύναται μὲν ἔχειν πιθανοὺς λόγους, τὸ δὲ πέρας ἀδύνατον, ὅπερ, ὡς ἔφαμεν, οἰκεῖόν ἐστι τοῦ πράγματος. Κοινωνεῖ δὲ σφόδρα τοῦτο τῷ ἀπόρῳ· ὥσπερ τοῦ ἀπόρου τὸ πέρας ἀδύνατον, οὕτως καὶ τούτου· διαφέρει δὲ, ὅτι ἐνταῦθα μὲν κατὰ τὴν φύσιν τὴν κοινὴν τῶν πραγμάτων ἁπάντων ἐστὶν ἀδύνατον, ἐκεῖ δὲ

10 Cod. *Μαρωνίταις*. 11 Haec usque ad p. 69. ἕβδομον τὸ ἄδοξον consentiunt cum Ald. p. 160.; sed in brevius contracta sunt illis.

μόνῃ τῇ[12] αὐτοῦ τοῦ κατασκευαζομένου, οἷόν τι λέγω τῷ ὀνείρῳ τοῦ Ἀλεξάνδρου μὲν ἐναντίον ἐστὶν ἡ κατασκευὴ καὶ τῇ προτάσει τοῦ μάντεως, οὐ τῇ κοινῇ φύσει τῶν πραγμάτων· ἐνταῦθα δὲ ἐὰν εἴπω τὸν Πύθιον ψεύδεσθαι, καὶ τῇ κοινῇ φύσει τῶν πραγμάτων ἐναντίον ἐστὶν, οὐδέποτε γὰρ ψευσάμενος φαίνεται· κἂν εἴπω, ὅτι Θεσσαλοὶ βούλονται τὴν Ὄσσαν ἐπὶ τῷ Ὀλύμπῳ θέντες βατὸν ποιῆσαι τὸν οὐρανὸν, τῇ φύσει τῶν πραγμάτων ἐναντίον ἐστὶ, κατ' οὐδὲν γάρ ἐστι βατὸν ποιῆσαι τὸν οὐρανόν· τὸ δὲ παράδειγμα τοῦτο τῶν Σιφνίων ἢ τῶν Μαρωνειτῶν[13] τινες ᾐτιάσαντο[14] λέγοντες, εἰ καὶ σμικραὶ σφόδρα αἱ πόλεις αὗται καὶ ἀσθενεῖς πρὸς τὴν τοιαύτην ἐπιχείρησιν· ἀλλ' οὖν κατὰ Ἡρόδοτον πολλὰ πολίσματα γέγονε καὶ μικρὰ καὶ μεγάλα, καὶ κατὰ Θουκυδίδην, ἐν οἷς περὶ τῶν Λακεδαιμονίων διαλαμβάνει·[15] τί οὖν ἀπεικὸς, φασὶ, καὶ τοὺς Σιφνίους ἢ Μαρωνείτας ἔν τισι χρόνοις δύνασθαι ἐπιλαμβανομένους καιροῦ καὶ διὰ τὴν τύχην καὶ πρὸς τοῦτο ἰδεῖν; ἐροῦμεν οὖν, ὅτι ἡ τέχνη αὕτη συνέστηκε τῶν Ἑλληνικῶν πραγμάτων παντελῶς ἀνῃρημένων, καὶ τῶν Ῥωμαίων ἀρχῆς γενομένης, ἐν οἷς διόλου τοὺς Σιφνίους καὶ Μαρωνείτας ἀσθενεῖς παρειλήφαμεν· διὸ ὥσπερ πίστιν ἐχόντων προσώπων πρὸς ἀσθένειαν τὸ ζήτημα πέπλασται· τοῦτο δὲ σύστασιν δέχεται, εἰ προστεθείη προσώπου ἐναλλαγή· εἰ γὰρ εἴπω, ὅτι βουλεύονται ἀμβατὸν ποιῆσαι τὸν οὐρανὸν, ἐκ τῆς τοῦ προσώπου ἐναλλαγῆς καὶ ἱστορίας δύναται συνεστάναι καὶ λόγον ἔχειν· καὶ εἰ εἴπω ἀντὶ Μαρωνειτῶν Λακεδαιμονίους ἢ Ἀθηναίους, συνέστηκε, καὶ εἰ ἐπὶ τοῦ Πυθίου εἴπω τὴν πρόμαντιν, δύναται συστῆναι· καὶ γὰρ

12 Cod. μόνην τὴν, Ald. μόνῃ τῇ. 13 Cod. Μαρωνιτῶν et in sqq. Μαρωνίτας. 14 Cod. ᾐτήσαντο, scr. ᾐτιάσαντο. 15 I, 10.

ὁ Δημοσθένης πολλάκις τὴν Πυθίαν φιλιππίζειν ἔλεγε, καὶ ἀπὸ ἱστοριῶν φαίνεται πολλὰ οὐ κατὰ τὴν τοῦ θεοῦ ἐπίπνοιαν, ἀλλὰ κατὰ τὴν αὐτῆς γνώμην λέγουσα.

Ἕβδομον τὸ ἄδοξον· ἐκμισθώσας τις τὴν ἑαυτοῦ γυναῖκα· τοῦτο τὸ εἶδος [16] παρὰ Αἰσχίνου ἐπινενόηται, ὃ σαφῶς κατὰ Τιμάρχου δείκνυσιν· ἐν οἷς γὰρ διαλαμβάνει περὶ τοῦ κατὰ γραμματεῖον ἡταιρηκέναι καὶ κατασκευάζει, ὡς ἄχρηστον, τουτέστι δὲ παρὰ τοῦ πεποιηκότος καὶ παρὰ τοῦ πεπονθότος μὴ δυνάμενον ἐμφανισθῆναι, ἀλλὰ διὰ τὴν τῶν ἀκροωμένων αἰσχύνην κραυγῆς τε καὶ θορύβου τὸν λέγοντα ἀπολαύειν λέγων ἐδίδαξε τοῦτο, ὅτι συστῆναι οὐ δύναται· ἐν οἷς ὁ ἀκροατὴς διὰ τὴν ἑαυτοῦ αἰσχύνην, ἵνα μὴ τοιαῦτα ἐπιτηδεύματα δοκῇ ἡ πόλις ἔχειν, τὸν λόγον οὐ προςδέχεται· εἰ δὲ προςτεθείη νόμος ἢ ἔθος τοῦ δύνασθαι τοῦτο πράττεσθαι, σύστασιν δέχεται.

Ὄγδοον τὸ ἀπερίστατον· ἀποκηρύττει τὶς τὸν υἱὸν ἐπ᾽ οὐδεμιᾷ αἰτίᾳ. Τοῦτο [1] πρὸ πάντων τάξας ἐν τῷ ὅρῳ τῶν συνεστώτων ζητημάτων καὶ καλῶς τάξας, ἐνταῦθα οἰκείως τελευταῖον αὐτὸ τάττει· καὶ γὰρ ὅλων πλέον τὸ ἀσύστατον ἔχει· καὶ γὰρ ἕκαστον τῶν προῤῥηθέντων ἔχει μὲν λόγους, κατὰ τὰ προειρημένα δὲ τὸ ἄχρηστον αὐτοῖς γίνεται· τοῦτο δὲ πανταχόθεν λόγους οὐκ ἔχει· προσέθηκε τὸ ἀπερίστατον, ὡς μηνῦσαι βουλόμενος, ὅτι τοῦτο μᾶλλον τῶν ἄλλων ἂν εἴη· ἀλλὰ διὰ τὸ σφόδρα σαφῶς αὐτοῦ οὐδὲ ἐδεήθη ἐξετάσαι· ἀλλ᾽ ὥσπερ ὑπόμνησιν πρὸς εἰδότας ποιούμενος. Τοῦτο δὲ ὡμολόγηται, ὡς περιστάσεως λαμβανόμενον συνέστηκε, διὸ οὐδέτερον ἔταξε πρὸς παράδειγμα, ὅπερ ἐφ᾽ ἑκάστῳ τῶν ἄλλων ἐποίησεν· ἔφαμεν δὲ, ὅτι ἓν τῶν τριῶν μὴ προσὸν, αἴτιον, συνέχον, κρινόμενον, ποιεῖ τὰ ἀσύ-

---

16 Cfr. Ald. p. 162.

1 Cfr. Ald. p. 164.

στατα· εἴπομεν οὖν ἕκαστον τῶν ἀσυστάτων ἐν κεφαλαίῳ παρὰ τὸ τί γίνεται· ἐροῦμεν οὖν τὸ μὲν μονομερὲς ὡς ἐπὶ τὸ πολὺ παρὰ τὸ συνέχον, ἐνίοτε δὲ καὶ παρὰ τὸ αἴτιον· τὸ ἰσάζον παρὰ τὸ κρινόμενον· τὸ ἀντιστρέφον ὁμοίως καὶ τὸ ἄπορον· τὸ ἀπίθανον παρὰ τὸ αἴτιον. Τὸ ἀπερίστατον ὡμολόγηται παρὰ τὰ τρία, ἐπινενοήκασι δὲ καὶ ἄλλοι τινὲς ἀσυστάτους ὅρους, οὓς καὶ ἑτέροις προσαγορεύουσιν ὀνόμασιν· ἕκαστος δὲ τούτων εἰς τούτους συντελεῖ, τό τε κατὰ τὸ ἄχρηστον πέρας, οὗ παράδειγμα τοῦτο· νόμος ἐξ ἀδιαθέτου τοὺς υἱοὺς ἐξ ἴσου κληρονομεῖν· ἔχων τις δυὸ παῖδας ἀπεκήρυξε τὸν ἕτερον· μετὰ ταῦτα ἐγένετο ὑπὸ λῃσταῖς· ἔγραψε περὶ λύτρων· φθάσας ὁ ἀποκήρυκτος ἐλυτρώσατο τὸν πατέρα· ὁ δὲ ἐπανελθὼν ἔλυσεν αὐτῷ τὴν ἀποκήρυξιν, καὶ διαθήκην θέμενος ἐξ ἴσου κληρονόμους ἔταξε τοὺς παῖδας· καὶ γράφεται ὁ ἐπὶ τῆς οἰκίας τὰς διαθήκας παρανοίας. Εἰ τούτοις τὸ τέλος ἄχρηστόν ἐστι, κἂν γὰρ ἀνέλῃ τὰς διαθήκας, κατὰ τὸν νόμον τὸν κελεύοντα τὸν παῖδα ἐξ ἴσου κληρονομεῖν, οὐδὲν πλέον ἕξει· τίς οὖν ἡ δίκη, ἐν ᾗ ἐξ ἀμφοτέρων καὶ νικῶν καὶ νικώμενος ταῦτα πείσεται, κατὰ τὴν ἀντίῤῥητον ἀπολογίαν, ὅταν τὸ ἀναντίῤῥητον ἔχῃ ὁ ἀπολογούμενος, ὡς ἐπὶ τοῦ πρεσβεύοντος Δημοσθένους· ἐδολοφονήθη Δημόνικος, καὶ κρίνεται Δημοσθένης· ἐνταῦθα γὰρ ἀναντίῤῥητον τὸ μὴ ἐπιδημεῖν αὐτὸν τὸν Δημοσθένην· τοῦτο ἔοικε τῷ μονομερεῖ τῷ κατὰ τὸ ἐλλείπειν τὴν κατηγορίαν γενομένῳ· διαφέρει δέ, ὅτι ἐκεῖ μὲν πάντη τῷ κατηγόρῳ λόγοι οὐ τυγχάνουσι, διὸ καὶ μονομερές ἐστιν· ἐνταῦθα δὲ εἰσὶ μὲν λόγοι, καὶ γὰρ ἡ ἔχθρα λειποταξίου, καὶ πάντα ταῦτα συντελεῖ πρὸς κατηγορίαν τοῦ Δημοσθένους· ἀναντίῤῥητος δέ ἐστιν ἡ ἀπολογία τὸ μὴ παρεῖναι Δημοσθένην· εἰ μὲν γὰρ ἐκρίνετο αὐτὸς συνειδότος ἢ ἐπιβουλῆς ἤ τινας τῶν τοιούτων, ὁ δὲ ἀπὼν ἠδύνατο ποιῆσαι, εἶχε χώραν ἡ κατη-

γορία· νῦν δὲ φόνου κρίνεται καὶ διὰ τοῦτο ἀσύστατόν ἐστιν· ἔοικε δὲ ἠρέμα πως τῷ ἀπιθάνῳ· καὶ γὰρ ἐκεῖ εἰσὶ μὲν λόγοι, οὐδὲν δὲ συντελοῦντες εἰς ἀπόδειξιν· διαφέρει δὲ, ὅτι ἐκεῖ μὲν παρὰ τὴν ποιότητα τοῦ προσώπου οἱ λόγοι ἐναντίαν ἔχουσι τῇ φύσει τοῦ προσώπου τὴν κατηγορίαν, καὶ ἄχρηστοί εἰσιν· ἐνταῦθα δὲ οἱ μὲν λόγοι ἁρμόζουσι τῇ ποιότητι τοῦ προσώπου καὶ πιθανοί εἰσιν, ὅσον κατα τὸ κρινόμενον πρόσωπον· ἐκ περιστάσεως δὲ ἄχρηστοι γίνονται. Ἔστιν ἐν τούτοις καὶ τὸ παράνομον [2] τῆς γραφῆς, ὡς εἴ τις φόνον πεποιηκὼς κρίνοιτο προδοσίας, καὶ τοῦτό ἀσύστατόν ἐστιν, ὅταν, ὃ πάντη μὴ πεποίηκεν, ἐγκαλῆται· ἔστι δὲ καὶ ἕτερα εἴδη, ἅπερ ὀνόματι διαφέρει τὰ αὐτὰ ὄντα, ὅ τε πριονίτης, ὃς ὁ [3] αὐτός ἐστι τῷ ἰσάζοντι· κέκληται δὲ παρ' ἐνίων τεχνικῶν πριονίτης διὰ τὸ καθάπερ ἐπὶ πρίονος· ἀμφοτέρους ἐξ ἴσου ἀνέχεσθαι πανταχοῦ· ἔστι δὲ καὶ ἕτερα, ἀλλὰ περιττὸν εἰς ἄπειρον μῆκος προάγειν, ἐκ τούτων γὰρ, καὶ εἰ ἄλλα εὑρεθείη, ῥᾴδιον κρῖναι.

*Παρὰ δὲ ταῦτα εἴδη ἐστὶν ἐγγὺς μὲν ἀσυστάτων, μελετώμενα δὲ ὅμως.* Καλῶς [4] καὶ προσηκόντως τῇ τέχνῃ διαλαβὼν περὶ τῶν πάντη μὴ παρεχόντων λόγους, ἀλλὰ ἀσυστάτων ὄντων, οὐκ εὐθὺς ἐπὶ τὰ συνεστηκότα ἔρχεται, ἀλλὰ πρῶτον τάττει, ἃ ἔχει μέν τινας ἀφορμὰς λόγων, οὐ συνέστηκε δὲ, ἀλλ' ὥσπερ μεσότητά τινα ἔχει μεταξὺ τοῦ συνεστηκέναι τε καὶ ἀσύστατα εἶναι, ἵνα οὕτως ἐπὶ τὰ τελείως συνεστηκότα ἔλθῃ.

*Καὶ πρῶτον μὲν τὸ ἑτερορρεπές·* ἑτερορρεπὲς δέ ἐστιν, [5] ὃ μήτε τοὺς αὐτοὺς λόγους ἔχει ἑκατέρωθεν ἰσχυροὺς, μήτε πάντη ἐλλελειμμένους, ἀλλ' ἑνὶ μὲν μέρει ἰσχυροὺς καὶ πλείονας· τῷ δὲ ἑτέρῳ εὐτελεστέρους μὲν,

---

2 Cod. παράνομα. 3 ὁ abest a cod. 4 Cfr. Ald. p. 170. 5 Cfr. Ald. p. 171.

ἔχοντας δὲ πρὸς τὴν ἀπολογίαν ἰσχὺν, ὡς δὲ βουλευόμενοι τὸν Κριτίαν ἀποσπᾶν ἐκ τῶν Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνων· ἐνταῦθα γὰρ ἡ μὲν κατηγορία καὶ ἡ ποιότης τοῦ προσώπου τοῦ Κριτίου τὴν μεγίστην ἰσχὺν ἔχει καὶ καταδρομήν· ἡ δὲ ἀπολογία βραχεῖά τίς ἐστι καὶ γλίσχρα,[6] οὔτε γὰρ ἐπαινέσαι δύνασαι τοῦτον ὑπὲρ οὗ τοὺς λόγους ποιεῖται, ὅπερ ἐστὶν ἀεὶ ἐν ταῖς ἀπολογίαις, οὔτε ἐλλελειμμένης τῆς ποιότητος τοῦ προσώπου ἐπὶ τὰ πράγματα καταφεύξεται· καὶ οὐ δεινὰ τὰ πεπραγμένα αὐτῷ, ἀλλ᾽ ἀμφοτέροις τούτοις ἁλισκόμενος ἐπὶ τὸν τῶν εἰκόνων νόμον, καταφεύξεται, ὡς χρὴ τούτοις τὴν δημοκρατείαν κυρῶσαι, τῷ μὴ τὸν παρ᾽ αὐτῇ κρατοῦντα νόμον λυθῆναι· καὶ αὐτὸς δέ πως ἀσθενής ἐστι, τύραννον εἰς τυραννοκτόνων εἰκόνα οὐκ ἐχρῆν καταφεύγειν, ὁποῖοι εἰ ἔζων αὐτοὶ ἦσαν οἱ πολεμοῦντες αὐτῷ· εἶτα τὸ κακόπλαστον· κακόπλαστόν δέ ἐστι τὸ παρὰ ἱστορίαν, ὅταν μὴ ἀκολούθως ταῖς ἱστορίαις τὴν πλάσιν ἔχῃ· ὅταν συμβουλεύῃ τις Περικλέα στρατηγεῖν ἐν Χαιρωνείᾳ, ἢ Δημοσθένην πρεσβεύειν ἐν τοῖς Πελοποννησιακοῖς· οὔπω γὰρ ἦν γενόμενος· τούτοις δὲ ἔοικε τῷ ἀδυνάτῳ·[7] λόγους μὲν γὰρ ἔχει καὶ πιθανοὺς καὶ ἱκανούς, ἀδύνατον δὲ τὴν ἔκβασιν, πῶς δ᾽ ἂν μελετηθείη προςδιορίσατο ἐν τῷ ὅρῳ, ὅτι καθ᾽ ὑπόθεσίν ἐστιν ὁ λόγος, ὥσπερ καὶ κατὰ μέρος ἔν τισι λόγοις ὁ Δημοσθένης τὸ καθ᾽ ὑπόθεσιν σχῆμα τίθησιν· εἰ ἐκρινομένην μὲν ἐγὼ, κατηγόρει[8] δὲ Αἰσχίνης, Φίλιππος ἦν ὁ κρίνων· ταῦτα γὰρ οὔτε ἐγένετο, οὔτε ἐδύνατο·[9] ἀλλὰ τῷ καθ᾽ ὑπόθεσιν τὴν κατασκευὴν ἔχει, οὐ τῷ καθ᾽ ὑπόθεσιν, οἷον εἰ ὁρίσαιο ἐνταῦθα, ὅπως ἂν εἰ παριόντος

6 Cod. γλίσχρη. 7 Cfr. Ald. p. 174. 8 Cod. κατηγορεῖ. Dem. de fals. leg. p. 407. κατηγόρεις. 9 Cod. οὔτε ἐγίνετο, scripsi οὔτε ἐδύνατο, sc. γενέσθαι.

Περικλέους οἱ λόγοι γίνονται, ἢ γεγονότος Δημοσθένους; ἄλλως γὰρ ἀδύνατόν τε καὶ εὔηθές ἐστιν. Ἐν τούτοις καὶ τὸ προειλημμένον δὲ, ἔνθα πρόδηλος ἡ τοῦ δικαστοῦ κρίσις διὰ τὴν ποιότητα τοῦ κρινομένου προσώπου, ἢ ἀναντίῤῥητον [10] ἔχουσα τὴν ἀρετὴν καὶ διὰ τοῦτο προδήλως σωζομένη, ἢ ἀναντίῤῥητον κακίαν καὶ διὰ τοῦτο προδήλως ἀπολλυμένη· καὶ ὁ μὲν τεχνικὸς δι᾽ ἀρετὴν μόνον λέγει τὸ προειλημμένον· γίνεται δὲ καὶ διὰ κακίαν, ὡς εἰ Πολυτίων κρίνοιτο προαγωγείας, [11] προείληπται γὰρ κρίσις, ὅτι καταψηφιοῦνται αὐτοῦ τὸ εἶναι προαγωγὸν, ἢ ὅταν ὁμολογουμένως ἡταιρηκὼς κρίνηται, ὅπερ Αἰσχίνης κατασκευάζει ἐν τῷ κατὰ Τιμάρχου, λέγων τοὺς Τιμάρχου τοὺς κατηγόρους ἢ ἐκ τῶν ἡταιρηκότων ἢ ἐκ τῶν χρωμένων τοῖς παισὶν, ἢ ἐκ τῶν ἀσώτων εἶναι· τοῦτο γὰρ οὐχ ἁπλῶς λέγει, ἀλλὰ προκαταλαμβάνων τὸν δικαστὴν εἰς τὸ πάντως καταψηφίσασθαι, δεδιότα μὴ ἐκ τοῦ ἀφεῖναι τὴν ὁμοίαν ὑπόνοιαν λάβῃ Τιμάρχῳ. Ἐζήτηται δὲ ζήτημα καὶ σφόδρα ἱκανὸν, τί δήποτε ἐν μὲν τῷ ὅρῳ τῶν συνεστώτων ἐν τοῖς ἀσυστάτοις ἔλαβε, τὸ προειλημμένον· ἐνταῦθα δὲ ἐν τοῖς δυναμένοις μελετᾶσθαι· εἰ γὰρ ἐδείξαμεν, ὅτι κατὰ τὸ ἐναντίον τὰ ἀσύστατα λέγει, εἰπὼν τὰ ἔχοντα ἐξ ἑκατέρων λόγους, ἵνα σημαίνῃ τὸ μονομερὲς ὡς μὴ ἔχον, καὶ τὸ πιθανὸν, ἵνα σημαίνῃ τὸ ἀπίθανον, καὶ τὰ ἑξῆς, ὁμοίως ἐν οἷς φησιν, ἔστι δὲ, ὅπερ ἐστὶ παρὰ τοῖς δικασταῖς τὸ τῆς κρίσεως ἀφανὲς καὶ μὴ προειλημμένον ἐκ τοῦ ἐναντίου, ὡς εἴγε προείληπται ἀσύστατον τοῦτο οἶδεν· πῶς οὖν ἐκεῖ ἐν τοῖς πάντῃ ἀσυστάτοις αὐτὸ ἔλαβεν, καὶ ἐνταῦθα ἐν τοῖς δυναμένοις μελετᾶσθαι· ἡ λύσις αὕτη ἦν, αὐτὸς μὲν οὐ τέθεικεν, ἔστιν δὲ εἰπεῖν, ὅτι παρὰ μὲν

---

10 Cod. ἀντίῤῥητον, scripsi ἀναντίῤῥ. Vid. Ald. p. 176. l. 3.
11 Cod. προαγωγίας.

τοῖς εὐεργετηθεῖσι δικασταῖς πάντη ἀσύστατον, οὐδὲ γὰρ εἰς ἀντιλογίαν ἔρχονται εἰς τὸ τὸν εὐεργέτην ἀφεῖναι· παρὰ δὲ ἑτέροις δικασταῖς οὐ προείληπται· πάντες γὰρ οἱ δικασταὶ, ὅταν αὐτοὶ μὴ ἀδικῶνται, κρίνηται δὲ εὐεργέτης ὁ τῶν δήποτε ἀναγκαίων, τινὰ εὔνοιαν αὐτῷ ἔχουσιν, ὡς ἐλευθερώσαντι δημοκρατίαν ἄλλην.

*Τάχα δ᾽ ἂν καὶ παρὰ ταῦτα εὑρεθείη*· οἶδε[12] καὶ αὐτὸς παρείς τινα, ὧν πρῶτόν ἐστι τὸ κατὰ ἦθος καὶ μάχην, νόμος τοὺς πρεσβευτὰς μὴ συμπλεῖν· πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικὰ ἐπρέσβευον ἀμφότεροι· ἡ τοῦ πένητος ναῦς ἐναυάγησεν, προσενήξατο ὁ πένης τῇ τοῦ πλουσίου νηΐ, οὐκ ἐλάμβανεν αὐτὸν, καὶ ἀπέθανεν, καὶ κρίνεται ὁ πλούσιος· ἐνταῦθα μὲν τὸ ἦθος· ὡμολόγηται γὰρ, ὅτι ὡς ἐχθρὸν αὐτὸν οὐκ ἂν ἔλαβεν, ἡ δὲ τοῦ νόμου ἰσχὺς δίδωσι λόγους· καὶ κατὰ μὲν τὴν μάχην τῶν λόγων ἐξετάζεται, τὸ δὲ ἦθος πρόδηλόν ἐστιν. ἔοικε δὲ τοῦτο ἠρέμα τῷ προειλημμένῳ, πλὴν ὅσον τοῦτο μὲν ἔχει τὰς νομίμους ἀπολογίας· ἐκεῖ δὲ ἀπὸ τῆς ποιότητος τοῦ προσώπου τὸ προσειλῆφθαι ἔχει.

*Εἴδους γὰρ ἕνεκα προβλημάτων καὶ τρόπου περίεργον ἂν εἴη λέγειν.* Ἐνταῦθα πρὸς Μινουκιανὸν ἀνίττεται ἐπιχειρήσαντα περὶ εἴδους εἰπεῖν, ἐσφάλη δὲ εἰπὼν, προβλήματα γάρ· προβλήματα σημαίνει τὰ ἀσύστατα, ἅπερ τῷ μὴ μελετᾶσθαι οὔτε τρόπον οὔτε εἶδος ἔχει· ἐχρῆν οὖν εἰπεῖν ζητημάτων.

*Τὰ μὲν γὰρ εἴδη καὶ τοὺς τρόπους διὰ τοῦτο μανθάνομεν, ἵνα ταῖς οἰκείαις ἰδέαις τῶν λόγων χρώμενοι τὰ προβλήματα μελετῶμεν, οἷον δικανικῶς τὸ δικανικόν*· καὶ σφόδρα ἀκριβῶς τὸν[13] περὶ ἰδεῶν λόγον αὐτὸς ἐπιστάμενος τὰ μέγιστα διέσφαλται. ὡς ἀναντίῤῥητόν τι ἐπάγων, ὅτι δεῖ

---

12 Cfr. Ald. p. 180. 13 Cod. τῶν.

ἀκολούθως τῷ εἴδει τοὺς λόγους γίνεσθαι· δείκνυται γάρ, ὅτι οὐ πάντοτε τὸ δικανικὸν δικανικῶς μελετᾶται, ἐν οἷς τὸν περὶ στεφάνου λόγον ὁ Δημοσθένης δικανικὸν ὄντα οὐ δικανικῶς ἐμελέτησε, καὶ τὸν πρὸς Λεπτίνην μικτῶς· καὶ συμβουλευτικῶς τὸ συμβουλευτικόν· καὶ δικανικὸς μὲν χαρακτήρ ἐστιν ὁ λεπτὸς καὶ πυκνὸς καὶ συλλογιστικός, ὡς καὶ αὐτός φησιν, οἷον ὁ κατὰ Τιμοκράτους, ὁ κατὰ Ἀριστοκράτους; συμβουλευτικοῦ δ' ἡμῖν χαρακτῆρος ἰδέαν οὐκ ἔταξεν. Πῶς οὖν λέγει συμβουλευτικῶς τὸ συμβουλευτικόν, καὶ πανηγυρικῶς τὰ ἔνδοξα; αὐτὸς μὲν παρῆκεν, ἀναγκαῖον δὲ εἰπεῖν. Τέσσαρα εἴδη παντοίων ζητημάτων, ἔνδοξα, ἄδοξα, ἀμφίδοξα, ἑτερόδοξα. καὶ ἔνδοξα μέν, ἔνθα καὶ τὰ πρόσωπα καὶ τὰ πράγματα εὐδοκιμεῖ, οἷον συμβουλεύει Θεμιστοκλῆς πολεμεῖν τῷ Πέρσῃ· ἢ Περικλῆς περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖ, ἐνταῦθα γὰρ ἔνδοξον τὸ πρᾶγμα· εἰσηγούμενοι δὲ τὸ πρόσωπον ἀκολούθως τῷ περὶ αὐτοῦ λόγῳ· ἄδοξα δέ, ὅταν τὸ ἐναντίον ἢ Φρύνων προαγωγείας κρινόμενος· ἀμφίδοξα δέ, ὅταν τὰ μὲν πρόσωπα ἔνδοξα ᾖ, τὰ δὲ πράγματα ἄδοξα· οἷον Περικλῆς κρίνεται προδοσίας, διὰ τὸ μὴ τμηθῆναι τοὺς ἀγρούς· ἑτερόδοξα δέ, ὅταν πονηρὸν πρόσωπον ἔνδοξον πρᾶγμα πεποιηκὸς ᾖ· οἷον ἑταίρα τύραννον ἀπέκτεινε καὶ δωρεὰν αἰτεῖ ἀριστεῖ συνοικεῖν· ἐνταῦθα γὰρ ὥσπερ ἐναλλαγαί εἰσι καὶ διάφοροι δόξαι· τὸ μὲν γὰρ εἶναι ἄνωθεν ἑταίραν διαβέβληται, τὸ δὲ ἀποκτεῖναι τὸν τύραννον εὐδοξεῖ· καὶ τὸ αἰτεῖν δωρεὰν ἐπαινετόν· τὸ δὲ ἀριστεῖ συνοικεῖν τῇ τοῦ ἀριστέως ποιότητι καὶ τῇ τῆς ἑταίρας ἀλλοίαν τὴν δόξαν δίδωσιν· ἀλλοῖαι γὰρ καὶ διάφοροι ποιότητες ἐν τοῖς τοιούτοις εὑρίσκονται ζητήμασι· καὶ εἴδη μὲν ταῦτα· τρόποι δὲ πανηγυρικόν, περιπαθές, ἀπαθές, μικτόν· πανηγυρικὸν μέν, ὅταν μηδὲν ἕτερον, ἢ ἀγαθῶν τῶν πεπραγμένων ὄντων πανηγυρικόν τινα τύπον ὁ λόγος ἔχῃ· οἷον

Μιλτιάδης μετὰ τὰ ἐν Μαραθῶνι συμβουλεύει θύειν Πανί· περιπαθὲς δὲ, ὡς ὁ τὸν παῖδα τῶν σαρκῶν ἑαυτοῦ γευσάμενον ἀποκτείνας καὶ κρινόμενος παρὰ τῆς γυναικὸς, πάθος γὰρ παντελὲς τοῦτο· ἀπαθὲς δὲ, ὃ μήτε πανηγυρικόν ἐστι, μήτε πάθος ἔχει, ὡς τὰ κοινὰ τῶν ζητημάτων. Παρίστατό τις ἐπ' ἐρημίας νεοσφαγεῖ σώματι καὶ φόνου φεύγει· ἐνταῦθα γὰρ οὔτε πάθος πέπονθεν, ἵνα περιπαθὲς ᾖν, οὔτε ἡδονῆς ἐντός ἐστιν, ἵνα πανηγυρικὸν ᾖ, καὶ τὰ ἄλλα ὁμοίως· ταῦτα μὲν οὖν τὰ ἀπαθῆ. μικτὰ δὲ, ἐν οἷς καὶ πάθος ἐστὶ καὶ φιλοτιμία· ὡραίου μειρακίου τύραννος ἐρασθεὶς ᾔτησεν ἀπειλήσας πόλεμον εἰ μὴ λάβοι· εἵλετο τὸν πόλεμον ἡ πόλις· μετὰ ταῦτα ἐπεστράτευσεν ὁ τύραννος, πολιορκουμένης τῆς πόλεως ὁ πατὴρ τὸν υἱὸν ἀπέσφαξε καὶ ἀπέδειξε τῷ τυράννῳ, καὶ ἀνέζευξε καὶ κρίνεται φόνου· ἐνταῦθα γὰρ τὸ μὲν τελευτῆσαι τὸν παῖδα πάθος ποιεῖ, ἡ δὲ ἀπαλλαγὴ τῆς πολιορκίας καὶ τὸ ὑπὲρ ἀρετῆς καὶ σωφροσύνης ἀναιρεθῆναι, καὶ τὸ πρότερον ὄντα ἐπαινούμενον ἐπισφραγῖσαι τῷ θανάτῳ τὴν ἀρετὴν δίδωσιν αὐτῷ, φιλοτιμίαν ἅμα καὶ τὸ ἐν τούτοις πανηγυρίσαι· καὶ εἴδη μὲν καὶ τρόποι προβλημάτων οὗτοι.

Μηδὲ αὐτὸ δὴ τοῦτο τὰς καλουμένας στάσεις. οὐ τίθεται τῷ λόγῳ τοῦ Μινουκιανοῦ· ὁ γὰρ Μινουκιανὸς λέγει τὴν στάσιν ἀπὸ τούτου εἰρῆσθαι, ἀπὸ τῆς γενικωτέρας τῆς ἐν ταῖς πόλεσι στάσεως· διὰ τοῦτο οὖν εἶπε τὰς λεγομένας στάσεις οὐκ οἶδα ὅπως αὐτὸ τοῦτο ὄνομα ἐχούσας, ὡς ἐκ τῶν παρακατιόντων σημαίνει, λέγων ὡς οὐ περιεργάζομαι, ὅθεν εἴρηται τὸ ὄνομα, ἀλλὰ κοινὸν ᾖ καὶ συμβεβηκὸς ἐᾷ, τοῦτο τυγχάνειν.

Ἄλλως τε κἂν ἐπιχειρήσωμεν λέγειν, ἐνταῦθα τὸ ἑαυτοῦ σύγγραμμα ἐπαινεῖ, τὸν περὶ ἰδεῶν λόγον

ἐξαίρετον καὶ ἰδιάζοντα καὶ οὐ δυνάμενον μετά τινος ἄλλου ζητεῖσθαι. ἐν αὐτῷ λέγει.

*Διαιρήσει τοίνυν ὀρθῶς·* φθάσαντες ἀπεδείξαμεν, ὡς ἡ τῶν προσώπων καὶ πραγμάτων διαφορὰ συνεστηκός τε καὶ ἀσύστατον ποιεῖ ζήτημα· καὶ τὰς στάσεις ἀμείβει· ὥσπερ ἐπὶ τοῦ πορνοβοσκοῦ εἰ ἀμείψεις τὸ πρόσωπον καὶ ποιήσεις φιλόσοφον ἢ ἀριστέα, συνεστηκός ἐστι τὸ ζήτημα· δῆλον οὖν ὡς αὐτός φησιν, ὡς ἀναγκαῖόν ἐστι τὴν τῶν προσώπων καὶ πραγμάτων διαφορὰν γνωρίσαι.

*Ὅθεν γὰρ εἴρηται στάσις, εἴτε ἀπὸ τοῦ στασιάζειν τοὺς ἀγωνιζομένους·* ταῦτα[1] πρὸς τὸν Μινουκιανὸν αἰνίττεται· ὁ γὰρ Μινουκιανὸς εἶπεν, ὅτι εἴρηται στάσις ἢ παρὰ τὸ στασιάζειν ἐν ἑαυτοῖς τοὺς στασιαζομένους, ἢ παρὰ τὸ ἵστασθαι εἰς τὸ βῆμα, ἢ παρὰ τὸ ἐνίστασθαι τοῖς δικαίοις ἑαυτοῦ ἕκαστον, ἢ παρὰ τὸ τοὺς δικαστὰς ἐν ἑαυτοῖς ἀμφιβάλλειν, οὐδέποτε γὰρ ἅμα πάντες ὁμογνώμονες γίνονται οἱ δικασταί· ἐπεὶ προειλημμένον ἐστὶ τὸ ζήτημα, ἢ ἄλλως ἀσύστατον· ἢ στάσις εἴρηται παρὰ τὸ σταθηρὰς ἔχειν τὰς ἀποδείξεις πρὸς ἀντιδιαστολὴν τῶν ἀσυστάτων· καὶ γὰρ ἐκεῖνα οὐκ ἔχουσι σταθηράς.

*Ὄνομα δὲ ἀφεὶς τοῦτο κοινόν·* ὅπερ ἔφαμεν, δείκνυται τοῦτο δεικνύμενος, ὅτι πρὸς τὴν γενικωτέραν στάσιν εἴρηται· τὸ γὰρ κοινὸν, ὡς πρὸς ἄλλο ἐστίν· τοῦτο οὖν λέγει, ὅτι κοινὸν, ὡς τῆς τῶν πολλῶν στάσεως ὄνομα. Εἴπωμεν οὖν ὅρον στάσεως· στάσις ἐστὶ φάσις, τοῦ ἢ[2] πεπρᾶχθαι ἢ κληθῆναι, ἢ ποιότητος ἐξέτασις· φάσις ἐστὶν ἀπόφασις καὶ κατάφασις, ὃ σημαίνει τὸ αἴτιον καὶ τὸ συνέχον, καὶ περὶ τοῦ κρινομένου ὁ ὅρος διαλαμβάνει· ἐν γὰρ τῷ εἰ πέπρακται, ἡ ζήτησίς ἐστι

---

1 Cfr. Ald. p. 199. 2 Cod. εἰ. — Cfr. Ald. p. 202. l. 7.

στοχαστική. ἐν δὲ τῷ ἐγκληθῆναι ἡ ὁρική· ἐν δὲ τῇ[3] ποιότητι αἱ λοιπαὶ στάσεις· ὥστε τὰ τρία, περὶ ὧν αἱ πᾶσαι τῶν στάσεων ζητήσεις, ὁ ὅρος περιέλαβεν· οἱ δὲ οὕτως· φάσις μερικῶν ἐν ἀμφισβητήσει πολιτικῶν πραγμάτων. Φάσις μὲν οὖν ἐδηλώσαμεν ἢ ἀπόφασις καὶ κατάφασις μερικῶν καὶ διὰ τοὺς φιλοσόφους· καὶ οὗτοι γὰρ ἔχουσι ζήτησιν, ἀλλ᾽ οὐ περὶ μερικῶν, ἀλλὰ καθολικῶν πραγμάτων. διὰ τοὺς ἰατρούς· κἀκεῖνοι γὰρ ἔχουσι μερικὴν φάσιν καὶ ἀπόφασιν, ἀλλ᾽ οὐ περὶ πολιτικῶν πραγμάτων. οἱ δὲ οὕτως· ζήτησις πολιτική, ἐφ᾽ ἣν αἱ κατὰ μέρος πίστεις ἀνάγονται τῶν ἐν τῷ ζητήματι ζητουμένων· ζήτησις μὲν οὖν, ὅτι ἐζήτηται, καὶ οὐχ ὡμολόγηται· πολιτικὴ δὲ διὰ τοὺς ἰατροὺς καὶ φιλοσόφους, ἐφ᾽ ἣν αἱ κατὰ μέρος πίστεις ἀνάγονται. τῶν ἐν τῷ ζητήματι, ἐπειδὴ ἑκάστη στάσις ἴδια ἔχει κεφάλαια· αἱ κατὰ μέρος οὖν πίστεις εἰσὶ τὰ κεφάλαια τὰ ἐν τῷ ζητήματι ζητούμενα ἁρμοζόντως εἶναι τῇ στάσει. Καὶ οὗτοι μὲν εὖ ἔχοντες ὅροι· εἰσὶ δὲ καὶ ἄλλοι μὴ ἀκριβεῖς, οὓς περιττὸν προθεῖναι, ὥσπερ οὗτος ὁ καὶ δοκῶν Ἑρμαγόρου εἶναι. Φάσις πολιτικὴ πρὸς ἀπόδειξιν φερομένη τοῦ ζητήματος· ὑγιῶς ὁ ὅρος οὐκ ἔχει· ἡ γὰρ φάσις οὐ πρὸς ἀπόδειξιν φέρεται, ἀλλ᾽ αὐτὴ ἀποδείκνυται, οἷόν τε[4] λέγω, ἐὰν εἴπω ὅτι καὶ τὸ τῆς αἰτίας[5] κατ᾽ αὐτὸ τὸ εἰπεῖν μὴ[6] ὅτι —— εἰς ἀπόδειξιν φέρεται, ἀλλὰ δι᾽ ἑτέρων πρὸς ἀπόδειξιν· οὐχ ἡ φάσις οὖν ἀποδείκνυσιν, ἀλλ᾽ αὐτὴ κατασκευάζεται. περιττὸν οὖν πλείονας οὐκ εὖ ἔχοντας ὅρους εἰπεῖν.

Τὴν μέθοδον ἐνταῦθα προθεὶς ποιήσομαι τὴν ἀρχὴν τῆς διαιρέσεως ἀπὸ στοχασμοῦ. ἐπειδὴ γὰρ περὶ ὑπάρξεως ἦν ἡ ζήτησις, πᾶσα δὲ ὕπαρξις πρὸ τῶν ἄλλων ἐστὶ φυσικῶς, ἀδύνατον ἦν πρὶν δει-

---

3 In cod. ante τῇ est τῷ. 4 Cod. οἷον τί. 5 Cod. ἔτου, scripsi αἰτίας. 6 Cod. με ὅτι, sequente brevi lacuna.

χθῆναι ὅτι ὑπῆρξε τὸ πρᾶγμα, ἑτέρου τινὸς τὴν ἐξέτασιν γενέσθαι· καὶ ἐπειδὴ φυσικῶς ὁ στοχασμὸς κἂν ταῖς ἄλλαις ὑποπίπτει στάσεσιν, ἢ κατὰ τὴν τῶν νομοθετῶν διάνοιαν ἡνίκα ἐξετάζεται, ἢ κατὰ τὴν τοῦ πεπονθότος ὡς ἐν ταῖς ἀντιθετικαῖς, ἢ καθ᾿ ἕτερά τινα, ἀναγκαῖον, ὃ φυσικῶς ἐν πάσαις ἐστὶ, πρῶτον εἶναι τῶν ἄλλων· ἐπινενόηται δὲ ἡμῖν πρὸς σαφήνειαν ἑτέρα μέθοδος, δι᾿ ἧς τὰς στάσεις ἐπιγνωσόμεθα, ᾗ καὶ ὑποτέτακται. Μέθοδος διάφορος παρὰ τῶν ἀρχαίων δέδοται τῶν στάσεων διαιρέσεως. καὶ ὁ μὲν Ἑρμαγόρας ἑπτὰ μόνας στάσεις, στοχασμὸν, πραγματικὴν, ποιότητα, νομικὴν, δικαιολογίαν καὶ μετάληψιν, ἣν τέμνουσιν εἴς τε ἔγγραφον καὶ ἄγραφον· οἱ δὲ μεταγενέστεροι ἕξ· στοχασμὸν, ὅρον, πραγματικὴν, ἀντίθεσιν, νομικὴν, μετάληψιν. Λολλιανὸς δὲ στοχασμὸν, ὅρον, ποιότητα, μετάληψιν· ἡ δὲ ἀκριβεστέρα διαίρεσις τῶν καθ᾿ ἕκαστα στάσεων αὕτη ἐστίν· πᾶν πρᾶγμα πρώτην ἔχει ζήτησιν περὶ τοῦ δῆλον εἶναι ἢ ἀφανὲς, λέγει δὲ οὐ κατὰ τὴν κρίσιν τῶν δικαστῶν· κοινὸν γὰρ τοῦτο τῶν στάσεων, ἐπεὶ πᾶν πρᾶγμα ὑπὸ μίαν στάσιν ἀνάγεται· εἰ γὰρ εἴη δῆλον, ἀσύστατον ἔσται, ἀλλ᾿ ἀφανές ἐστιν κατὰ τὸ εἰ ἐγένετο ἢ μέλλει γενέσθαι ἢ γίνεται. Κἂν μὲν ἄδηλον ᾖ, στοχασμὸν ποιεῖ· στοχασμὸς γάρ ἐστιν, ἔνθα ὁ μὲν κατήγορος ἀνατίθησιν ὅλον τῷ φεύγοντι, ὁ δὲ φεύγων ἀρνεῖται πεποιηκέναι παντελῶς· σημεῖον δέ τι σαφὲς καὶ ἀνεύθυνον πρὸς ἀπόδειξιν φέρεται παρὰ τοῦ κατηγόρου, ὡς ἐπὶ τούτου· πλούσιος ἐν συμποσίῳ ὤμοσε τυραννήσειν· ὁ πένης ἀντώμοσε τυραννοκτονήσειν· ηὕρηται νεκρὸς ἀσκύλευτος ὁ πένης τῇ ὑστεραίᾳ καὶ κρίνεται ὁ πλούσιος φόνου· ἐνταῦθα ἡ ζήτησις περὶ τοῦ εἰ ἐφόνευσεν ἐστίν· καὶ ὁ μὲν ἀπολογεῖται περὶ τοῦ μηδὲν ὅλως ἐπικεχειρηκέναι, ὁ δὲ ὅλον αὐτῷ ἀνατίθησιν τὸ ἀδίκημα· σημεῖον δέ ἐστι σαφὲς τὸ ὀμόσαι τοῦτον τυραννοκτονήσειν· οἰκεῖον δὲ στοχασμοῦ τὸ

ἕτερον εἶναι τὸ γεγενημένον· ἕτερον δὲ τὸ ἐγκαλούμενον· ἐὰν μὲν τὸ γεγενημένον δῆλον ᾖ, ὅτι ἐγένετο ἡ ζήτησις εἰ τελείως γέγονεν ἢ ἀτελῶς κατὰ τὸ ἔχειν ὄνομα τὸ πρᾶγμα, καὶ ποιεῖ ὅρον· ὅρος γάρ ἐστιν ὀνόματος ζήτησις, ὅτι δεῖ κληθῆναι τὸ γεγενημένον, ἤγουν ἀμφισβήτησις ἐκ τοῦ ἐλλείπειν τί γίνεται, ὃ προςτεθὲν λύει τὴν ἀμφισβήτησιν, ὡς ἐπὶ τούτου· συνεχῶς τῷ πένητι ἐπανέτεινεν ὁ πλούσιος τὴν χεῖρα, καὶ κρίνει αὐτὸν ὕβρεως· ἐνταῦθα γὰρ πέπρακται μὲν τὸ ἐπανατείνασθαι τῷ πλουσίῳ, λείπει δὲ τὸ τυπτῆσαι, ἵνα μηκέτι ἀμφισβήτησις ᾖ τῷ ὀνόματι· ἐὰν δὲ σαφὲς ᾖ καὶ τέλειον, ἤτοι περὶ τοῦ μέλλοντός ἐστιν, ἐν ᾧ ζήτησις, εἰ συμφέρει τόδε γενέσθαι ἢ κυρωθῆναι ἢ δοθῆναι καὶ ποιεῖ πραγματικήν· πραγματικὴ γάρ ἐστι μέλλοντος πράγματος δοκιμασία, εἰ δεῖ γενέσθαι ἢ δοθῆναι τάδε τι· καὶ τούτου παράδειγμα οἱ συμβουλευτικοί· καὶ τοῦ εἰ δεῖ δοθῆναί τι, Κλέων μετὰ τὰ ἐν Πύλῳ ἀξιοῖ Πύθιος καλεῖσθαι· ἐνταῦθα γὰρ τὸ μὲν δοθῆναι οὐκέτι ζητεῖται, τὸ δὲ μέγεθος τῆς δωρεᾶς ἐζήτηται· ἐὰν δὲ πεπραγμένον εἴη, ἡ ζήτησις αὐτοῦ περὶ τὴν ποιότητα γίνεται, ἥτις τέμνεται εἰς δύο· ἢ γὰρ ῥητὸν παραβεβασμένον ἢ δοκοῦν παραβεβάσθαι ποιεῖ τὴν ζήτησιν· ἢ τὸ πρᾶγμα αὐτὸ καθ᾽ αὐτὸ δοκιμαζόμενον· κἂν μὲν ῥητὸν ᾖ, ποιεῖ τὰς νομικάς, περὶ ὧν ὕστερον ἐροῦμεν· ἐὰν δὲ τὸ πρᾶγμα ὁμολογῇ πεποιηκέναι ὁ φεύγων καὶ οὐδὲ ἀδίκημα ᾖ τὸ γεγενημένον, ἀλλ᾽ ἐπ᾽ ἐξουσίας γίνεσθαι κατὰ φύσιν ἢ νόμον, ἢ τέχνην, ποιεῖ ἀντίληψιν· ἀντίληψις γάρ ἐστι πράγματος εἶναι δοκοῦντος ἀνευθύνου ὡς ἐπὶ τὸ πολὺ ἐκ περιστάσεως κατηγορία γινομένη· ὡς ἐπὶ τούτου· ἐν πόλει δημοκρατουμένῃ ῥήτωρ ἔγραψε τυραννίδος ἐγκώμιον, πολλοὶ ἁλίσκονται ὁμονοίᾳ τυραννίδος ἐπιθέσεως, καὶ κρίνεται ὁ ῥήτωρ. ἐὰν δὲ ὁμολογῇ τὸ ἀδίκημα εἶναι ὁ φεύγων, πάντως αἰτίαν, δι᾽ ἣν ἐποίησεν, ἐρεῖ· ἡ δὲ αἰτία εἰς δύο τέμνεται· ἢ γὰρ ὁμο-

λογεῖ

λογεῖ ἑκὼν πεποιηκέναι, καὶ τοῦτο τὸ ἑκούσιον εἰς δύο τέμνεται· κἂν μὲν γὰρ εὐεργέτημα μεῖζον ἐπιδείξῃ, ποιεῖ ἀντίστασιν· ἀντίστασις γάρ ἐστιν ἐξ ἀδικήματος ὁμολογουμένου ἀναφυομένη εὐεργεσία, ὡς ἐπὶ τούτου· ἐξέφερέν τινα ἐπὶ τοὺς πολεμίους ἵππος, συστρατιώτης παραδραμὼν ἀπέσφαξε τὸν ἵππον, μετὰ τὴν μάχην κρίνει αὐτὸν βλάβης· ἐνταῦθα γὰρ ἑκούσιον ἀδίκημα τὸ ἀποκτεῖναι τὸν ἵππον· ἐξ αὐτοῦ δὲ ἀναφύεται εὐεργέτημα μεῖζον, ἡ σωτηρία τοῦ στρατιώτου· ἢ ὁμολογῶν εἶναι ἀδίκημα ἄξιον εἶναι τὸν πεπονθότα λέγει καὶ διὰ τοῦτο πεποιηκέναι, καὶ ποιεῖ ἀντέγκλημα, ὡς ἐπὶ τοῦ „τρισαριστεὺς τὸν υἱὸν ἑταιροῦντα ἀπέσφαξε καὶ κρίνεται φόνου“· ἐνταῦθα γὰρ ὁ μὲν φόνος πονηρὸν, ἡ δὲ ποιότης τοῦ ἀριστέως καὶ ἡ διαβολὴ τοῦ ἡταιρηκότος δίδωσιν αὐτῷ ἐξουσίαν τοῦ λέγειν, ὡς ἄξιος εἴη ταῦτα παθεῖν. Τὸ δὲ ἕτερον, τὸ μὴ βεβουλῆσθαι, πάλιν εἰς δύο τέμνεται· ὁμολογεῖ μὲν γὰρ εἶναι ἀδίκημα, βεβιάσθαι δὲ λέγει, κἂν μὲν εἴς τι τῶν ἔξωθεν ἀναφέρηται τὴν αἰτίαν καὶ δείξῃ ἕτερον τὸ βεβιασμένον, μετάστασιν ποιεῖ, ὡς ἐπὶ τούτου· σκηπτοὶ συνεχεῖς εἰς τὴν Πλαταιέων πολιορκίαν κατῆεσαν· ἔζευξεν ὁ Ἀρχίδαμος καὶ κρίνεται· ἐπὶ τοὺς σκηπτοὺς τὴν αἰτίαν ἀνατίθησιν· εἰ δὲ τὴν ψυχὴν αὐτοῦ βεβιάσθαι λέγῃ, καὶ ἢ φόβον ἢ ἄγνοιαν ἤ τι τῶν τῆς ψυχῆς παθῶν αἴτιον εἶναι λέγῃ, ποιεῖ συγγνώμην, ὡς ἐπὶ τούτου· δι᾽ ἔρωτα τὸν υἱὸν ἔμελλεν ἀποκηρύττειν ὁ πατήρ· ἐπηγγείλατο μετ᾽ ἐνιαυτὸν παύσασθαι τοῦ ἔρωτος, παρελθόντος τοῦ ἐνιαυτοῦ ὁμοίως ἤρα καὶ ἀποκηρύσσεται· ἢ οὕτως, τύραννος ἀπῄτησεν υἱὸν τυπτῆσαι τὸν πατέρα· οὐ βουλόμενον ἀπέσφαξε, καὶ τὸν δεύτερον ὁμοίως καὶ αὐτὸν οὐ βουλόμενον ἀπέσφαξεν· ὁ τρίτος ἐτύπτησε· καταλυθείσης τῆς τυραννίδος νόμου ὄντος τὸν πατραλοίαν θανάτῳ ζημιοῦσθαι, ὑπάγεται τῷ νόμῳ καὶ ἀπολογεῖται· ἐνταῦθα γὰρ τὸ δέος καὶ τὴν ἀπὸ τοῦ τυράννου ἀνάγ-

κην προφέρει καὶ ποιεῖ συγγνώμην· ἐὰν δὲ ἀπὸ τοῦ ῥητοῦ καὶ περὶ τὸ ῥητὸν ὑπάρχῃ τις ζήτησις, ἤτοι ἐναντίον ῥητὸν ἕτερον φέροντες λύομεν τὸ παραβεβασμένον ῥητὸν καὶ ποιοῦμεν ἀντινομίαν· ἀντινομία γάρ ἐστι δύο ῥητῶν οὐ φύσει μὲν ἐναντίων, ἐκ συμβεβηκότος δέ τινος ἐναντίωσιν ἐχόντων ὡς ἐπὶ τούτου, τὸν μοιχὸν μὴ εἰσιέναι εἰς τὸ ἱερὸν, καὶ τὸν ἀριστέα εἰς ἱερὸν ἀνατιθέναι τὴν σκευήν· ἁλούς τις μοιχείας ἠρίστευσε καὶ ἀνέθηκε τὴν σκευὴν εἰς ἱερὸν, καὶ ὑπάγεται τῷ νόμῳ· ἐνταῦθα γὰρ πρὶν μὲν τὸν μοιχὸν ἀριστεῦσαι οὐδ' ἡντιναοῦν πρὸς ἑαυτοὺς ἐναντίωσιν εἶχον οἱ νόμοι· τῷ δὲ συμβεβηκέναι τοῦτον ἀριστεῦσαι τὴν ἐναντίωσιν ποιεῖ· εἰδέναι δὲ χρὴ, ὡς καὶ ἐκ πλειόνων ῥητῶν πολλάκις ἀντινομία γίνεται καὶ ἑνὸς, ὅταν ἀμφότεροι ἐξ ἴσου χρῶνται αὐτῷ· ἐὰν δὲ μὴ λέγῃ παραβεβάσθαι τὸ ῥητὸν, ἀλλὰ μηδὲ τοῦτο τὴν ἀρχὴν κεκωλύσθαι τὸ νῦν πεπραγμένον, καὶ περὶ τὴν διάνοιαν ἵστηται τοῦ νόμου ἡ ἐξέτασις αὐτῆς, ῥητὸν καὶ διάνοια γίνεται· ῥητὸν γὰρ καὶ διάνοιά ἐστι ῥητοῦ δοκοῦντος παραβεβάσθαι ζήτησις, εἰ τὴν ἀρχὴν παραβέβασται ἢ μή|, |καὶ τοῦτο σημαίνει ὁ νόμος, ὡς ἐπὶ τοῦ τὸν ῥίψαντα τὴν ἀσπίδα θανάτῳ ζημιοῦσθαι· πολιορκίας οὔσης ἀφείς τις τὴν ἀσπίδα ἀπέκτεινε τὸν τῶν πολεμίων στρατηγόν· ἀνέζευξαν οἱ πολέμιοι καὶ ὑπάγεται τῷ νόμῳ· ἐνταῦθα γὰρ τοῦ κατηγόρου χρωμένου τῷ ῥητῷ, ὅτι ῥίψασπις εἶ, ἐκεῖνος ἐπὶ τὴν διάνοιαν φεύγει, ὡς ὁ νόμος οὐκ ἐκώλυσεν ἐπὶ ἀριστείᾳ ἀφεῖναι, καὶ ζήτησις περὶ τούτου ἵσταται, ὅ τί ποτε ὁ νόμος βούλεται· ἐὰν δὲ μήτε περὶ τὴν διάνοιαν ἵστηται τοῦ νόμου μήτε ἕτερον ἀντεισφέρῃ ῥητόν· ἐὰν μὲν ὅμοιον τῷ γεγραμμένῳ τὸ πεπραγμένον δεικνὺς ταὐτὸν εἶναι λέγῃ τῷ κεκωλυμένῳ, συλλογισμὸν ποιεῖ, συλλογισμὸς γάρ ἐστιν ὁμοίου πράγματος παρεξέτασις, ὡς ἐπὶ τούτου· νόμος τὸν ἡταιρηκότα μὴ λέγειν, Τίμαρχος ἁλοὺς ἑταιρήσεως διδάσκει

παῖδας καὶ ὑπάγεται τῷ νόμῳ· ἐνταῦθα γὰρ ὁμοίως οὔτε ἐξ ἐναντιώσεως νόμου ἡ ζήτησις συνίσταται, οὔτε περὶ τὴν διάνοιαν ἵσταται· ἐξομοίωσις δέ ἐστι τοῦ λέγειν τὸ διδάσκειν παῖδας· οἰκεῖον δὲ συλλογισμοῦ τὸ ῥητὸν μὲν φέρειν τὸν φεύγοντα, τὴν διάνοιαν δὲ τὸν διώκοντα. Ἐὰν δὲ ἀπὸ προσῳδίας ἢ διαστάσεως συλλαβῶν ἢ ὁμωνυμίας ἀναφαίνηται ἡ ζήτησις, ἀμφιβολία γίνεται. καὶ προσῳδίας μὲν παράδειγμα· ἑταίρα χρυσία εἰ φοροίη δημοσία ἔστω· ἥλω ἑταίρα φοροῦσα, καὶ ὁ μὲν κατήγορος ἀναγινώσκει „δημοσία ἔστω“ παροξυτόνως, αὐτὴν δημοσίαν λέγων, ἡ δὲ „δημόσια ἔστω“ προπαροξυτόνως, τὰ χρυσία δηλοῦσα· διαστάσεως δὲ συλλαβῶν, ἀριστεὺς τελευτῶν ἔγραψεν ἐν ταῖς διαθήκαις, Ἄρεα γενέσθαι χρυσοῦν δόρυ ἔχοντα. καὶ οἱ μὲν κληρονόμοι ἀναγινώσκουσι μετὰ διαστάσεως τὴν διαθήκην, Ἄρεα, χρυσοῦν δόρυ ἔχοντα. Ὁμωνυμίας δὲ, τοὺς ἡγεμόνας[1] ἔχρησεν ὁ θεὸς φυλάττεσθαι· καὶ ἀμφισβητοῦσιν οἱ ῥήτορες καὶ οἱ στρατηγοί· καὶ αὗται μὲν περὶ ὑπάρξεως καὶ ἰδιότητος καὶ ποιότητός εἰσι στάσεις. Ἔστι δέ τις γενικὴ κατὰ πασῶν καὶ πρὸ πασῶν καὶ μετὰ πάσας περὶ εἰσόδου τὴν ἀρχὴν ἔχουσα τὴν ζήτησιν· αὕτη δὲ εἰ μὲν ὠχυρωμένον ἔχει τὸν φεύγοντα τῷ ῥητῷ, τελεία τε ἐκβολὴ τῆς εὐθυδικίας ἐστὶ καὶ παραγραφὴ γίνεται, ὥσπερ αἱ παρὰ Δημοσθένει παραγραφαὶ, ὡς καὶ ἡ κατὰ Τιμάρχου παραγραφή· ἐὰν δὲ ἐπὶ τὴν ἐξουσίαν ὁ κατηγορούμενος καταφεύγῃ, ὁ δὲ διώκων πᾶσαν μὲν τὴν ἐξουσίαν μὴ ἀνέλῃ, αἰτιᾶται δέ τι τῶν περιστατικῶν, τόπον ἢ πρόσωπον ἢ αἰτίαν ἢ χρόνον ἢ τρόπον, μετάληψίς γίνεται· καὶ αὕτη μὲν παρ' ἡμῶν ἐπινενόηται μέθοδος· ζητήσωμεν δὲ καὶ αὐτὴν αὐτοῦ εἰ ἀκριβῶς ἔχει.

Π α ν τ ὸ ς  ο ἱ ο υ δ η π ο τ ο ῦ ν  π ρ ο τ ε θ έ ν τ ο ς  ζ η τ ή-

1 Dem. de fals. leg. p. 436.

ματος, εἰ συνεστήκοι· ἐνταῦθα [2] περιττὸν τὸ προστεθῆναι εἰ συνεστήκοι· ὅλως γὰρ εἰ ζήτημα, καὶ συνέστηκε· τὰ γὰρ ἀσύστατα οὐ ζητήματα· ἤρκει οὖν ὀνομάσαι ζήτημα καὶ δηλῶσαι συνεστηκός· κατὰ γὰρ τὸν αὐτοῦ λόγον, ὃν ἀνωτέρω εἶπεν, ταῦτα [3] οὐκ ἂν εἴη ζητήματα, ὡς τῶν συνεστηκότων ζητημάτων ὄντων· περιττὸν οὖν τὸ εἰ συνεστήκοι.

Ἐπισκοπεῖν δεῖ τὸ κρινόμενον, περὶ οὗ ἡ κρίσις. Ἐζήτηται, πῶς τριῶν ὄντων, αἰτίου, συνέχοντος, κρινομένου, τῶν ποιούντων τὰς στάσεις, μόνον φησὶ δεῖν τὸ κρινόμενον ἐπισκοπεῖν· λέγομεν, ὅτι εἰπὼν τὸ κρινόμενον περιείληφε τὰ ἄλλα δύο, εἰ μὴ γὰρ προϋφεστήκοι αἴτιον καὶ συνέχον, οὐ ζητεῖται κρινόμενον· ὡς ὁμολογούμενον οὖν τοῦτο ἅπαξ εἰπὼν ζήτημα οἶδεν ὅτι ἔχει αἴτιον καὶ συνέχον· τὸ κρινόμενον οὖν λέγει, περὶ οὗ ἡ κρίσις. εἰ ἀφανές [4] ἐστιν ἢ φανερόν· καλῶς ἐπὶ ἀσφαλείας, ἐπὶ παντὸς γὰρ πράγματος ἡ τῶν δικαστῶν κρίσις ἀφανές ἐστι, καὶ ἐπὶ παντός ἐστί τι ἀφανές, οἷον ἐν τῇ ἀντιλήψει ἐστὶ τὸ ἐπ᾽ ἐξουσίας αὐτὸ ποιεῖν, καὶ ἐν τῷ ὅρῳ ἀφανές ἐστι τὸ τί ἐστι τὸ πεπραγμένον. Ἐνταῦθα οὖν τὸ ἀφανὲς περὶ τῆς ὑπάρξεώς ἐστιν, εἰ ὅλως ὑπῆρξε τὸ πρᾶγμα, ἢ ὅλως ὑπάρξει. τινὲς μὲν γὰρ βούλονται καὶ ἐνεστῶτος χρόνου τιθέναι στοχασμὸν, [5] καὶ τιθέασι τούτου παράδειγμα τὸ „νύκτωρ τις μεταιτῶν λῃστείας κρίνεται·" ἐν γὰρ τῷ κλέπτειν ἐστὶν, φασὶν, κακῶς εἰδότες, ὅτι ἐνεστώς ἐστιν αὐτὸς ὁ χρόνος, καθ᾽ ὃν εἰς τὸ δικαστήριον ἕστηκεν καὶ ἡ κρίσις γίνεται· ἐκεῖνον δὲ ὁμολογουμένως οὐ λῃστεύει τὸν χρόνον, ὥστε τοῦτο παρεληλυθὸς ἂν εἴη· δοκεῖ δὲ τοῦτο ἐνεστῶτος στοχασμοῦ εἶναι παράδειγμα· οἷον Ἀθηναίων πλεόντων ἐπὶ Συρακούσας Ἑρμοκράτης λέγει, ὅτι ἔρχονται Ἀθηναῖοι

2 Cfr. Ald. p. 207. 3 In cod. sequitur γάρ. 4 Cod. ἀσφαλές. 5 Cfr. Ald. p. 208. l. 11.

οὔτε γὰρ Ἀθηναῖοι ἔπλεον· καὶ Ἑρμοκράτης ἔλεγεν, ἀλλὰ καὶ τούτου τὸ μὲν παρελήλυθεν, τὸ δὲ μέλλει· παρελήλυθε μὲν γὰρ ὅσον τούτοις διήνυσται τοῦ πλοῦ, μέλλει δὲ τὸ ἐπιβῆναι Συρακουσῶν. Δέδεικται οὖν ὁμολογουμένως, ὅτι παρεληλυθὼς καὶ μέλλων χρόνος τὸν στοχασμὸν ἔχει. τὸ γὰρ ἀφανὲς τοῦ στοχασμοῦ ἐστιν, εἰ ἐγένετο ἢ μέλλει γενέσθαι.

Ἔστι γὰρ στοχασμὸς ἀδήλου πράγματος ἔλεγχος οὐσιωδῶς, ἀπό τινος φανεροῦ σημείου. Ἴδωμεν οὖν, εἰ εὖ ἔχει ὁ ὅρος, ἀδήλου πράγματος ἔλεγχος· καλῶς· ἡ γὰρ φύσις τοῦ στοχασμοῦ ἡ ἄρνησίς ἐστιν, ὡς προειρήκαμεν· εἶτα ἐπειδὴ καὶ ἐν ἄλλαις στάσεσιν, ὅπερ ἔφαμεν, ἀδήλου πράγματος ἔλεγχος, καὶ μάλιστα ἐν τῇ πραγματικῇ· ἄδηλον γὰρ πρᾶγμά ἐστιν, εἰ συμφέρει βοηθῆσαι Ὀλυνθίοις ἢ οὔ· προσέθηκεν οὐσιωδῶς, ἵνα τὸ οἰκεῖον μηνύσῃ τοῦ στοχασμοῦ, τὸ περὶ τῆς ὑπάρξεως ἔχειν τὴν ἀδηλίαν ἀπό τινος φανεροῦ σημείου· μόνος γὰρ ὁ στοχασμὸς τῶν ἄλλων στάσεων ἴδιον ἔχει τοῦτο, τὸ δύο πράγματα ἔχειν, καὶ τὸ μὲν ἀνεύθυνον εἶναι καὶ σημεῖον καὶ φανερὸν, τὸ δὲ ἀφανὲς καὶ ὑπεύθυνον. Ἴδωμεν οὖν, εἰ εὖ ἔχει ὁ ὅρος, καὶ εἰ ἀπό τινος μόνου φανεροῦ σημείου ὁ στοχασμὸς συνέστηκεν· ἐκπεπτώκασι [6] γὰρ ὅ τε παράδοξος καὶ ὁ ἀπὸ γνώμης καὶ οἱ ἀντεγκληματικοὶ, καὶ οἱ ἀτελεῖς ἀπὸ πράγματος, οἵπερ καὶ ἐξ ὑποψίας καλοῦνται· ἐν πᾶσι γὰρ σημεῖον οὐκ ἔστιν· οὔτε γὰρ ἀπὸ γνώμης, οὗ παράδειγμα τοῦτο· μητρυιὰ ἐν δόξῃ μανίας τὸν μὲν πρόγονον ἀπέκτεινε, τὸν δὲ υἱὸν ἔτρωσε, καὶ ἀνενεγκοῦσα κρίνεται· ἐνταῦθα γὰρ ὁμολογουμένου τοῦ πράγματος ὄντος ζητοῦμεν, εἰ ὄντως ἐμαίνετο ἢ οὔ· καὶ πάλιν ὁ παράδοξος, ἐὰν εἴπω, ὅτι μάγος ἐν τρισὶν ἡμέραις τύραννον καθελεῖν ὑπέσχε-

6 Cfr. Ald. p. 210. l. 29.

το· σκηπτὸς ἐπ' αὐτὸν κατενεχθεὶς ἀνεῖλε καὶ ἀπήτει τὴν δωρεάν· ἐνταῦθα πάλιν ὡμολόγηται τὸ πεπραγμένον, καὶ σημεῖόν ἐστιν· εἰ δέ τις λέγῃ εἶναι σημεῖον τὸ κατενεχθῆναι τὸν σκηπτὸν, καὶ τὴν μητρυιὰν τὸν μὲν τρῶσαι, τὸν δὲ ἀνελεῖν, ταῦτα πάλιν εἰς τὴν ὑποψίαν ἀνατρέχει τοῦ προσώπου· εἰ μὴ γὰρ ἡ ὑποψία τοῦ εἶναι μάγον, οὐ ποιεῖ τὸ δοκεῖν κατενεχθῆναι τὸν σκηπτὸν, καὶ εἰ μὴ ὑποψία τοῦ εἶναι μητρυιὰν, οὐ ποιεῖ δοκεῖν ἐπιβεβουλευκέναι τῷ προγόνῳ· εἰ δέ τις καταδέξεται κἂν ὁτιοῦν πρᾶγμα τοσοῦτον ἔχειν τοὺς στοχασμοὺς, ἀτελὴς ἀπὸ πράγματος, ὡς ὁ ἀσώτου πατὴρ ἀφανὴς γέγονε καὶ κρίνεται ὁ ἄσωτος φόνου· ἐνταῦθα δέδεικται μὴ ἔχων πράγματα· μὴ ἔχων δὲ πράγματα φανερὸν οὐκ ἔχει σημεῖον, ἀλλὰ ἡ ποιότης τοῦ προσώπου ἐστὶν ἡ κρινομένη· ἡ γὰρ ἀσωτία οὐ πρᾶγμά ἐστιν, ἀλλ' ἡ τοῦ προσώπου ποιότης· εἰ δέ τις ἐρεῖ, ὅτι τοῦτον τὸν στοχασμὸν οὐκ οἶδεν αὐτὸς, οὐδὲ ἀνέχεται μὴ ἔχειν, ἀλλ' οἱ ἀντεγκληματικοὶ πρᾶγμα οὐκ ἔχουσιν, ὃν αὐτὸς τίθησιν· τρισαριστεὺς ἀπέθανεν ἐπὶ σημείοις φαρμάκων, ἔχων μητρυιὰν καὶ αἰχμάλωτον παλλακίδα καὶ ἀντεγκαλοῦσιν ἀλλήλαις· ἐνταῦθα οὔτε τῇ μητρυιᾷ οὔτε τῇ αἰχμαλώτῳ πέπρακταί τι, ὃ πρὸς σημεῖον συντελεῖ τῆς πραγματείας, ἀλλ' ἡ ποιότης τῶν προσώπων ἑκατέρων ἔχει τὴν ὑποψίαν· ὁμολογουμένως οὖν ἐλλείπει ὁ ὅρος, ἐπεὶ οὐκ ἂν εἶεν οὗτοι στοχασμοί· δεῖ γὰρ τὸν ὅρον πάντα περιλαμβάνειν, καὶ δεῖ τοῦτον ἰᾶσθαι προσθήκῃ ἀπό τινος φανεροῦ σημείου, ἢ ἐκ τῆς περὶ τὸ πρόσωπον ὑποψίας. οὕτω γὰρ πάντες συμπεριλαμβάνονται οἱ στοχασμοί. Ηὕρηται δὲ στοχασμὸς ὁ κατὰ ἀμφισβήτησιν, ὁ ἀντεγκληματικὸς καλούμενος, ἐν ᾧ οὐκ ἔστιν ἔγκλημα, ἀλλ' ἀμφισβήτησις, ὡς τὸ σημεῖον ἔχει κατασκευαζόμενον· καὶ τιθέασι τούτου παράδειγμά τινες· τύραννος ὑποπτεύσας ἰατρὸν αὐτοῦ δηλητήριον αὐτῷ δεδωκέναι μετε-

στείλατο ἐκ τῆς κάτω πόλεως ἰατρὸν, ὁ δὲ ἔδωκεν αὐτῷ ὡς ἀλεξιφάρμακον καὶ κατελθὼν εἶπεν, ὅτι τεθνήξεται· καὶ ἀμφισβητοῦσιν οἱ δύο ἰατροὶ τῆς τοῦ τυραννοκτόνου δωρεᾶς· καὶ ἐνταῦθα γὰρ τὰ σημεῖά ἐστι κατασκευαζόμενα· καὶ ὁ μὲν τὸ ἑαυτοῦ ἀλεξιφάρμακον δηλητήριον λέγει εἶναι, διὸ καὶ προειρηκέναι καὶ τοῦτο κατασκευάζει, ὁ δὲ τὴν ὑποψίαν τοῦ τυράννου ἀληθῆ εἶναι, καὶ τοῦτο κατασκευάζει. Ἀλλ᾽ ἔχοι τις ἂν ἐνταῦθα φιλονεικῶν ἐνταῦθα εἰπεῖν, ὡς ἔχουσι πράγματα ἐνταῦθα ἀμφότεροι· ὁ μὲν τὴν ὑποψίαν, ὁ δὲ τὸ δοῦναι τὸ δοκοῦν ἀλεξιφάρμακον· οὗτος δὲ ὁ στοχασμὸς οὐδ᾽ ὁτιοῦν πεπραγμένον παρὰ τῶν ἀμφισβητούντων, ἀλλ᾽ οὐδὲ ἡ ὑποψία τῶν ἀμφισβητούντων ἐστὶν αὐτῷ σημεῖον, ἀλλ᾽ ἔξωθέν τί ἐστι σημεῖον καὶ κατασκευάζεται· ἀποδημοῦντος ἀτελοῦς φήμη γέγονεν ὅτι τέθνηκεν, ἀμφισβητοῦσιν οἵ τε ἐπίτροποι καὶ οἱ ἐκ γένους τῆς οὐσίας· οἱ μὲν ὡς ἤδη τεθνηκότος δεσπόται βουλόμενοι γενέσθαι, οἱ δὲ ὡς ἤδη περιόντος φυλάττειν· ἐνταῦθα γὰρ οὔτε παρὰ τῶν κληρονόμων, οὔτε παρὰ τῶν ἐπιτρόπων οὐδὲν ἐπέπρακται, ἀλλὰ φήμη ἐστὶν ἡ ζητουμένη, καὶ οἱ μὲν ἀληθῆ εἶναι κατασκευάζουσιν, οἱ δὲ ψευδῆ· οὗτος οὖν μόνος ὁ στοχασμὸς σεσημείωται ἔξωθεν ὢν, καὶ ἰδικὴν ἔχων τὴν ποιότητα. Περὶ μὲν οὖν ὅρου στοχασμοῦ ἱκανῶς εἴρηται· αἰτιῶνται δέ τινες τὸν τεχνικὸν περὶ τοῦ παραδείγματος,[7] ὅτι παράδειγμα τιθεὶς ἀτελὲς τέθεικε· τὸ γὰρ παρίστατό τις ἐπ᾽ ἐρημίας ἀτελὲς ἀπὸ προσώπου ἐστίν· διδάσκων δὲ ποιότητα στοχασμοῦ τέλειον ὤφειλεν θεῖναι, ἵνα μὴ τοῦτο αὐτὸ πλανήσῃ. Ἔοικεν δὲ ἀκολουθεῖν τῷ ἑαυτοῦ ὅρῳ· ἐπειδὴ γὰρ ἀπὸ μόνου σημείου τὸν στοχασμὸν λέγει γίγνεσθαι, καταπεφρόνηκε παντελῶς τοῦ προσώπου· ἀπὸ γὰρ τοῦ κατηγορεῖν τοῦ παρεστάναι φα-

7 Cod. περὶ τοῦ παράδειγμα τιθεὶς, excidisse videtur παραδείγματος ὅτι.

νεροῦ ὄντος, ἀφανές τι πρᾶγμα ζητοῦμεν, τίς ὁ φονεύσας. Ἐνταῦθα μέγιστον αὐτῷ ἐστι πταῖσμα τὸ λέγειν, τίς ὁ φονεύσας· οὐ γάρ τοῦτό ἐστι ζητούμενον, ἀλλ᾽ εἰ οὗτος ἐφόνευσε· τὸ γὰρ λέγειν, τίς ὁ φονεύσας, ἀντεγκληματικὸν ποιεῖ, οὗτος ἢ ὁ δεῖνα· ἔδει οὖν μᾶλλον εἰπεῖν, εἰ οὗτος ἐφόνευσεν.

*Ἐὰν δὲ ᾖ φανερὸν, ἐπισκεπτέον, εἰ τέλειόν ἐστιν ἢ ἀτελές· λέγω δὲ ἀτελὲς, ᾧ προστεθέντος τινὸς ὡς λείποντος*· καλῶς πάνυ τὸ ὡς λείποντος, οὐδὲ γὰρ δυνατόν ἐστί ποτε ἀτελὲς πρᾶγμα εἰς δικαστήριον εἰσενεχθῆναι, ἀλλὰ φύσει μὲν πᾶν πρᾶγμα κρινόμενον τέλειόν ἐστιν, ἡ δὲ ἀτέλεια αὐτοῦ περὶ τὸ ἔχειν ὄνομά ἐστι· διὰ τοῦτο οὖν ἡ ἐπαγωγή· ὄνομά τε εὐθὺς γίνεται, ὡς εἰδὼς ὅτι φύσει τέλειόν ἐστι καὶ ἅμα τῷ προστεθῆναι τὸ ὄνομα, περὶ οὗ καὶ ἡ ἀμφισβήτησις, τέλειον γίνεται.

*Ὀνόματος ζήτησις περὶ πράγματος*· καλῶς, οὐ γὰρ τοῦ πεποιηκότος ζητοῦμεν τὸ ὄνομα, ὁ γὰρ πεποιηκὼς ἔχει ὁτιδήποτε ὄνομα, ἀλλ᾽ αὐτὸ τὸ πρᾶγμα τί κληθήσεται.

*Οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει πρὸς αὐτοτέλειαν τοῦ ὀνόματος*· ἀσφαλῶς ὃ μικρῷ πρότερον ἐλέγομεν, ὅτι πᾶν πρᾶγμα τέλειόν ἐστιν εἰσαγόμενον εἰς δικαστήριον, καὶ οὐδὲν ἀτελὲς ἔχει, τοῦτο ἐνταῦθα ἐμήνυσεν εἰπὼν, τὸ δὲ λείπει πρὸς αὐτοτέλειαν τοῦ ὀνόματος, οὐ τοῦ πεπρᾶχθαι, ἀλλὰ τοῦ ἔχειν ὄνομα ἰδίᾳ· περὶ μὲν τούτου ταῦτα· ἀναγκαῖον δὲ εἰπεῖν καὶ περὶ [8] κοινωνίας καὶ διαφορᾶς τῶν στάσεων, ὅπως μὴ τῇ ὁμοιότητι πλάνη τις γένηται· κοινωνεῖ ὁ ὅρος ὁ κατὰ αἴτησιν τῷ στοχασμῷ τῷ παραδόξῳ· ἐν ἀμφοτέροις γὰρ αἰτοῦσι δωρεὰν, καὶ ἡ ζήτησίς ἐστι περὶ τοῦ εἰ δεῖ αὐτοῖς δοθῆναι ἢ οὔ· κατὰ αἴτησιν οὖν ὅρος· νόμος τὸν

8 περὶ Cod. om.

προσκτησάμενον πόλιν αἰτεῖν δωρεάν. Δημοσθένης ἔπεισεν Ἀμφίπολιν ἀποδοῦναι τὸν Φίλιππον καὶ αἰτεῖ δωρεάν· ἐν ἀμφοτέροις γάρ ἐστιν ἡ ζήτησις τοῦ κρινομένου· ὃ λέγει δεῖν ἐπισκοπεῖν ὁ τεχνικὸς περὶ τοῦ εἰ δεῖ δοθῆναι· τί οὖν διοίσουσι; λέγομεν, ὅτι ἐν μὲν τῷ στοχασμῷ τὸ πᾶν ζητεῖται, εἰ ὅλως πέπρακται, καὶ οὕτως ὡμολόγηται τὸ δεῖν δοθῆναι· ἐν δὲ τῷ ὅρῳ τὸ ὁμολογούμενον ὥσπερ πεπραγμένον ζητεῖται, εἰ ἄξιόν ἐστι τοῦ λαβεῖν· ἔτι δὲ οἱ κατὰ ἀμφισβήτησιν στοχασμοὶ καὶ ὅροι οἱ κατὰ ἀμφισβήτησιν πλείστην ἔχουσι κοινωνίαν, καὶ παράδειγμα στοχασμοῦ μὲν κατὰ ἀμφισβήτησιν τοῦτο· τύραννος ὑποπτεύσας τὸν ἰατρὸν ἑαυτοῦ δεδωκέναι δηλητήριον αὐτῷ κέκληκεν ἐκ τῆς κάτω πόλεως ἰατρόν, ὁ δὲ δέδωκεν αὐτῷ φάρμακον ὡς ἀλεξιφάρμακον, καὶ κατελθὼν εἶπεν, ὅτι τεθνήξεται, καὶ τεθνηκότος αὐτοῦ ἀμφισβητοῦσιν ἀμφότεροι τῆς τοῦ τυραννοκτόνου δωρεᾶς· ὅρου δὲ τοῦτο· ἐπεδίωκέ τις τὸν τύραννον, ἕτερος ὑπαντήσας ἀνεῖλε καὶ ἀμφισβητοῦσι τῆς δωρεᾶς· πλείστη οὖν ἡ κοινωνία· καὶ γὰρ ἐν ἀμφοτέροις ζήτησις, τίνα δεῖ λαβεῖν, ἐστὶ, καὶ ἐν ἀμφοτέροις πέπρακται παρ' ἑκατέρου προσώπου· καὶ ἐν τῷ στοχασμῷ ὁ μὲν τῶν ἰατρῶν ὑποψίαν ἔχων, ὁ δὲ κατελθὼν καὶ εἰπὼν ὅτι τεθνήξεται· καὶ ἐν τῷ ὅρῳ ὁ μὲν διώξας, ὁ δὲ ὑπαντήσας καὶ ἀνελών· καὶ ἡ μὲν κοινωνία αὕτη, ἡ δὲ διαφορά, ὅτι ἐν μὲν τῷ ὅρῳ ὡμολόγηται τὸ παρ' ἑκατέρων πεπραγμένον· καὶ ἔστιν ἀτελὲς καὶ δεῖται τῆς ἀπὸ τοῦ ἑτέρου πράξεως, καὶ ὅτι μείζονα ἔχει τὴν ζήτησιν τὸ διῶξαι ἢ τὸ ἀνελεῖν· ἐν δὲ τῷ στοχασμῷ οὐχ ὡμολόγηται τὸ παρ' ἑκατέρων πεπραγμένον, οὐδὲ περὶ τοῦ μείζονος ἀμφισβητοῦσιν, ἀλλ' ἑκάτερος τὸ [9] τοῦ ἑτέρου παντελῶς ἀνελὼν τὸ πᾶν ἑαυτῷ περιτίθησιν· ἔτι δὲ ὁ στοχασμὸς ὁ κατὰ φυγὴν καὶ δίωξιν· καὶ ὁ ὅρος κοινωνεῖ τῷ [10] ἐν ἀμφοτέροις

9 Cod. τὸ om.. 10 Cod. τό.

ἀρνεῖσθαι τὸ πεπραγμένον· διαφέρουσι δὲ, ὅτι ὁ μὲν ὅρος τὸ πεπραγμένον ἀρνούμενος ἕτερον ὁμολογεῖ, ὁ δὲ στοχασμὸς οὐδὲν ὁμολογεῖ, καὶ τῷ ἐν τῷ στοχασμῷ τὸ πραχθὲν εἰς ἑτέρου σημεῖον λαμβάνεσθαι· ἐν δὲ τῷ ὅρῳ τὸ πραχθὲν τὸ ἐγκαλούμενον.

Ἡ ζήτησις περὶ τὴν ποιότητα τοῦ πράγματος ἵσταται, οἷον εἰ δίκαιον, εἰ συμφέρον, ἢ ἔννομον, ἤ τι τῶν τούτοις ἐναντίων. περιττὸν ἡ προσθήκη τούτων· οὐ γὰρ ἰδίᾳ μὲν ζητοῦμεν τὸ δίκαιον, ἰδίᾳ δὲ τὸ ἄδικον, ἀλλ' ἐν ᾧ ἐζήτηται, ἄλλο κατασκευάζεται· αὐτὴ γὰρ ἡ φύσις τῶν ζητημάτων τὸ τὰ ἐναντία ἐξ ἑκατέρου μέρους κατασκευάζεσθαι. Ἡ τοίνυν τοῦ δικαίου ζήτησις καὶ τὴν τοῦ ἐναντίου ἔχει, οὐδὲ γὰρ οἴονται ζητεῖν, εἰ δίκαιον εἰ μὴ, ἑτέρου λέγοντος, ὅτι ἄδικον, οὐδὲ συμφέρον, εἰ μὴ τοῦ ἐναντίου τὸ ἀσύμφορον· ἤρκει οὖν εἰπεῖν, ἢ δίκαιον, ἢ συμφέρον· τοῦτο γὰρ καὶ τὸ ἐναντίον περιελάμβανε.

Καὶ ὄνομα μὲν ὡς γενικὸν τοῦτο ποιότης· οὐδὲ γάρ ἐστιν ἡ ποιότης στάσις, ἀλλὰ γένος στάσεων· διὸ εἶπεν, ὡς γενικὸν, ὡς ἄν τις πλῆθος θέλων μηνῦσαι φυομένων στάσεων, περὶ πρᾶγμα ἔχει ἢ περὶ ῥητόν· κἂν μὲν περὶ πρᾶγμα, λογικὴν ποιεῖ τὴν στάσιν· καίτοι καὶ αἱ νομικαὶ διὰ λόγων ἔχουσι τὰς ἀποδείξεις· πῶς οὖν ἐξαίρετον τὸ ὄνομα ταύταις ταῖς στάσεσιν λογικαῖς καλεῖσθαι, πασῶν τῶν στάσεων λόγοις βεβαιουμένων καὶ ἀποδεικνυμένων; ἐροῦμεν, ὅτι αἱ πίστεις τῶν νομικῶν περὶ τὴν τῶν ῥητῶν ἐξέτασίν εἰσιν, τῶν δὲ λογικῶν περὶ τὰς τεχνικὰς καλουμένας ἀποδείξεις. Αἱ γὰρ τῶν νόμων ἄτεχνοι πίστεις εἰσίν· εἰ γὰρ εἴη νόμος, μὴ ἐξεῖναι τὸν μοιχὸν εἰς ἱερὰ εἰσελθεῖν, οὐδεμιᾶς τέχνης ἡ ἀπόδειξις δεῖται τῷ εἰσιόντι πρὸς τὸ μὴ παραβεβηκέναι τὸν νόμον· αἱ μὲν τοίνυν λογικαὶ στάσεις τὰς ἐντέχνους ἔχουσι στάσεις, αἵπερ γίνονται προστάσεσί τε καὶ ἐπα-

γωγαῖς καὶ συλλογισμοῖς καὶ παραδείγμασι καὶ τῆς ἐκ τοῦ ὁμοίου παραθέσεως, ἃς ἡ τοῦ λόγου τέχνη ἐπινενόηκεν· διὸ εἰκότως αὗται λογικαὶ κέκληνται, αἱ τὴν ἐξέτασιν τῆς δυνάμεως δεχόμεναι τοῦ λόγου.

*Πραγματική ἐστιν ἀμφισβήτησις πράγματος μέλλοντος, εἰ δεῖ γενέσθαι τόδε τι ἢ μὴ γενέσθαι.* Ἀτελῶς [11] σφόδρα τὴν πραγματικὴν ὡρίσατο· τεσσάρων γὰρ ὄντων γενικῶν εἰδῶν τῆς πραγματικῆς, τοῦ τε συμβουλευτικοῦ καὶ τοῦ κατὰ ἀμφισβήτησιν καὶ τοῦ κατὰ αἴτησιν καὶ τῆς τῶν παρανόμων γραφῆς, ἐνταῦθα δύο μόνα ἔταξε, τό τε συμβουλευτικὸν καὶ τὸ κατὰ αἴτησιν οὐκ ἀκριβῶς, καὶ πρῶτόν γε ὡς ἐκπεπτώκασι τὰ ἕτερα εἴδη, δείξομεν ἐν τῇ τῶν παρανόμων γραφῇ, οὔτε εἰ δεῖ γενέσθαι τόδε τι ἢ μὴ γενέσθαι, οὔτε εἰ δεῖ δοῦναι, ἀλλ' εἰ δεῖ κυρωθῆναι, εἰ τὸ κυρωθῆναι εὖ ἔχει· ὥστε ταύτης γε οὐκ ἂν εἴη εἶδος ἡ τῶν παρανόμων γραφή, εἰ τὰ δύο μόνα εἴδη τῆς πραγματικῆς καὶ ταῦτα ζητεῖ, τὸ γενέσθαι, ὅπερ ἐστὶ τοῦ συμβουλευτικοῦ, καὶ τὸ εἰ δεῖ δοῦναι, ὅ ἐστι κατὰ αἴτησιν· καὶ ἐν τῷ κατὰ ἀμφισβήτησιν ἡ ζήτησίς ἐστι, τίνι δεῖ δοθῆναι· πολλῷ δὲ διαφέρει τὸ, εἰ ὅλως δεῖ δοῦναι τοῦ ὁμολογεῖσθαι μὲν, τὸ δὲ τίνι ἀμφιβάλλεσθαι· ἔφαμεν δὲ, ὅτι καὶ αὐτὸ τὸ κατὰ αἴτησιν οὐκ ἀκριβῶς εἶπεν· εἰπὼν γὰρ, εἰ δεῖ δοθῆναι τόδε τι ἢ μὴ δοθῆναι κοινωνίαν πρὸς τὸν κατὰ αἴτησιν ὅρον καὶ τὸ παράδοξον κατασκευάζει στοχασμόν· καὶ ἐκείνοις γὰρ ἡ ζήτησις περὶ τοῦ εἰ δεῖ δοθῆντι τόδε τι ἢ μὴ δοθῆναί ἐστιν· δεῖ οὖν τὸν ὅρον πάντα ἰάσασθαι προσθήκῃ· τὸ μὲν οὖν εἰ δεῖ δοθῆναι προσθήκης δεῖται, ἢ ἕτερόν τι· ταύτῃ γὰρ διαφέρει ἡ πραγματικὴ ἡ κατὰ αἴτησιν τοῦ ὅρου τοῦ κατ' αἴτησιν, ὅτι ἐν μὲν τῷ στοχασμῷ καὶ ὅρῳ, εἰ ὅλως δεῖ δοθῆναι, ἐστὶν ἡ ζήτησις, ἐν δὲ τῇ πραγματι-

11 Cfr. Ald. p. 226.

κῇ τὸ μὲν δεῖν δοθῆναι ὡμολόγηται· τὸ δὲ εἶδος τῆς δωρεᾶς ἐστι τὸ ζητούμενον· ὁ γὰρ Δημοσθένης ὁ προσκτησάμενος τὴν Ἀμφίπολιν καὶ τὴν δωρεὰν αἰτῶν οὐχ ὁμολογουμένως ἔχει τὸ δεῖν λαβεῖν, ἀλλ' αὐτὸ τοῦτο ζητεῖται, εἰ δεῖ λαβεῖν, ὅπερ ἴδιον ὅρου· ἐν δὲ τῇ πραγματικῇ· Κλέων μετὰ τὰ ἐν Πύλῳ ἀξιοῖ Πύθιος καλεῖσθαι· τὸ μὲν δοθῆναι αὐτῷ ὡμολόγηται· οὐ τοῦτο δὲ, ἀλλὰ στέφανον, ἢ ἀτέλειαν, ἢ σίτησιν ἤ τι τῶν ἄλλων τῶν πολιτικῶν δωρεῶν· ὁ ἐναντιούμενος οὐκ ἀρνεῖται παντελῶς τὸ δεῖν δοθῆναι αὐτῷ, ἀλλὰ περὶ τοῦ μεγέθους ἀμφιβάλλουσι τῆς δωρεᾶς, καὶ ταύτῃ διαφέρει ἡ πραγματικὴ κατὰ αἴτησιν ὅρου καὶ στοχασμοῦ, ὅτι ἐκεῖ μὲν περὶ τοῦ δοθῆναι καὶ περὶ τούτου ἐστὶν ἡ ζήτησις, ἐν δὲ πραγματικῇ ὡμολόγηται τὸ δεῖν δοθῆναι· τὸ δὲ μέγεθός ἐστι τῆς δωρεᾶς τὸ ζητούμενον. Ποιητέον οὖν τὸν ὅρον οὕτως· ἀμφισβήτησις περὶ μέλλοντος πράγματος, εἰ δεῖ γενέσθαι ἢ δοῦναι τόδε τι ἢ ἕτερόν τι, καὶ τίνι δεῖ δοῦναι, καὶ εἰ δεῖ κυρῶσαι τόδε τι ἢ μὴ κυρῶσαι, οὕτω γὰρ πᾶσαν περιλαμβάνομεν τὴν πραγματικήν· καὶ τὴν μὲν κοινωνίαν τῆς πραγματικῆς, καὶ ἐν ᾧ τὸν ὅρον διορθούμεθα τὸν κατὰ αἴτησιν ἐφθάσαμεν εἰπόντες· κοινωνεῖ δὲ ἡ κατὰ ἀμφισβήτησιν πραγματικὴ σφόδρα τῷ ὅρῳ τῷ κατὰ ἀμφισβήτησιν, καὶ λεπτήν τινα καὶ ἀκριβῆ τὴν διαφορὰν ἔχει, ὡς καὶ τοὺς σφόδρα τεχνίτας διασφάλλεσθαι μὴ κατανοοῦντας τὴν διαφοράν· καὶ παράδειγμα μὲν ὅρου κατὰ ἀμφισβήτησιν τοῦτο· τοῖς ἐκ Πύλου στρατηγοῖς γέρας πρόκειται, ἀμφισβητοῦσι Κλέων καὶ Δημοσθένης. πραγματικῆς; ἀρίστοις στρατηγοῖς γέρας πρόκειται, ἀμφισβητοῦσιν Εὐρυβιάδης καὶ Θεμιστοκλῆς· εἰ δὲ καὶ τοὺς αὐτοὺς ἐθέλεις εἰπεῖν, Κλέων καὶ Δημοσθένης, ὁμοίως ἐστὶ πραγματική· τίς οὖν ἡ διαφορά; ἐν μὲν τῇ πραγματικῇ περὶ ὅλου βίου ἐστὶν ἡ ζήτησις, τίς ἐν ὅλῳ τῷ βίῳ γέγονεν ἄριστος στρατηγὸς, ἢ τίς ἀγαθὸς πολίτης,

ἢ τίς ἀγαθοὺς ἐκτήσατο παῖδας· ἐν δὲ τῷ ὅρῳ περὶ μιᾶς ἐστι πράξεως, τίς μᾶλλον ταύτην τὴν πρᾶξιν πεποίηκεν, ὅπερ ἐστὶν ἐν τοῖς ἐκ Πύλου στρατηγοῖς· τῷ μὲν γὰρ ἡ ἀρχὴ τῆς ἐπιχειρήσεως πέπρακται, τῷ δὲ τὸ πέρας τῆς ἁλώσεως· τῷ δὲ κατὰ ἀμφισβήτησιν στοχασμῷ, τῷ καὶ ἀνεγκλήτῳ καλουμένῳ, κοινωνεῖ ἡ πραγματικὴ, ὅτι ἐν ἀμφοτέροις ζήτησις περὶ τοῦ τίνα δεῖ λαβεῖν ἐστιν, ὡς ἐπὶ τῶν κληρονόμων καὶ τῶν ἐπιτρόπων· διαφέρει δὲ, ὅτι ἐν μὲν τῷ στοχασμῷ οὐδέτερον τῶν προσώπων οὐδὲν πέπραχε καὶ ἀμφισβητεῖ τὸ λαβεῖν, ἐν δὲ τῇ πραγματικῇ ἀμφότερα τὰ πρόσωπα πράξεις ἔχει, καὶ περὶ τοῦ ποῖαι μείζους εἰσὶν ἐστὶν ἡ ζήτησις.

Κοινὸν μὲν ὄνομα τούτῳ δικαιολογία, ὥσπερ ἐκείνῳ[1] ποιότης. Ἐζήτηται, τίνος χάριν τοῦτο τὸ μέρος τῆς ποιότητος δικαιολογίαν ἐκάλεσεν, καίτοι καὶ ἡ πραγματικὴ δικαιολογούμενον ἔχει ἐν ταῖς τῶν παρανόμων γραφαῖς τὸν φεύγοντα· εἰ γὰρ διὰ τοῦτο δικαιολογία κέκληται πρὸς ἀντιδιαστολὴν τῶν νομικῶν, ὅτε ἐκεῖναι ἐκ ῥητῶν πιστῶν ἔχουσι τὰς ἀποδείξεις, καὶ οὐκ ἐκ δικαιολογιῶν, οὐδ᾽ ἐκ λόγου δυνάμεως, καὶ ἐν τῇ πραγματικῇ τοῦτ᾽ ἐστίν· ἐροῦμεν οὖν, ὅτι τῆς πραγματικῆς οὔτε τὸ συμβουλευτικὸν ἔχει δικαιολογίαν, οὐδεὶς γὰρ συμβουλεύων δικαιολογεῖται ἀλλ᾽ ἀποδείκνυσιν, οὔτε τὸ κατὰ κρίσιν οὔτε τὸ κατὰ ἀμφισβήτησιν· εἰ δέ τις ἐρεῖ τὴν τῶν παρανόμων γραφὴν ὡς νομική ἐστιν ἡ στάσις, καὶ γὰρ αὕτη ῥητῶν ἐξέτασιν ἔχει παραβεβασμένων ἢ μὴ παραβεβασμένων, ὅπερ οἰκεῖον ταῖς νομικαῖς, ἀνθ᾽ οὗ δὲ μὴ νομική ἐστιν ἡ στάσις, ἐν τῇ διαφορᾷ τῶν λογικῶν καὶ νομικῶν ἀκριβέστερον λελέξεται.

Ἢ[2] γὰρ ἐρεῖ τι πεποιηκέναι ὡς ἀδίκημα ὁ φεύγων καὶ κατά τι κεκωλυμένον ἢ οὔ. Κακῶς

---

1 Cod. ἐκεῖνο. — Cfr. Ald. p. 231. l. 3. 2 Cod. εἰ.

σφόδρα τὸ εἰπεῖν· ἢ γὰρ ἐρεῖ τι πεποιηκέναι ὡς ἀδίκημα, οὐδέποτε γὰρ ὁ φεύγων ὁμολογεῖ ἀδίκημα πεποιηκέναι, ἀλλὰ καὶ ἐπὶ τῶν ὁμολογουμένων ἄρνησις ἢ πρόφασίς ἐστι· περιττὸν οὖν τοῦτο, ἐχρῆν δὲ οὕτως εἰπεῖν·[3] ἢ γὰρ ἐρεῖ τι πεποιηκέναι κεκωλυμένον ὁ φεύγων ἢ οὔ· οὕτω[4] γὰρ τήν τε ἀντίληψιν καὶ τὰς ἀντιθετικὰς περιελάμβανεν.

*Ἡ γὰρ ἀντίληψίς ἐστιν ἀνευθύνου πράγματος εἶναι δοκοῦντος ὡς ὑπευθύνου κατηγορία·* δύο εἰδῶν ὄντων[5] τῆς ἀντιλήψεως, ὡς καὶ αὐτὸς ἐν τοῖς ἐφεξῆς ὁμολογεῖ, μιᾶς μὲν ἐπ' αὐτῷ τῷ πεπραγμένῳ τὴν κρίσιν ἐχούσης, ὡς Ἀλκιβιάδης ὁ κρινόμενος ὁ τὰ περὶ Σικελίαν γράψας· ἑτέρας δὲ τῆς ἐκ περιστάσεως, ὁ ζωγράφος κρινόμενος γεγραφὼς τὰ ναυάγια τῶν ἐμπόρων μὴ καταιρόντων, ὁ ὅρος μόνην περιλαμβάνει τὴν ἐπ' αὐτῷ τῷ πεπραγμένῳ κρινομένην· εἰ γὰρ ἀνευθύνου πράγματός ἐστιν εἶναι δοκοῦντος ὑπευθύνου κατηγορία τὸ[6] ἐπ' αὐτῷ μόνον περιλαμβάνει· ἀτελῶς οὖν ὁ ὅρος ἔχει καὶ δεῖ προσελθεῖν, ὡς ὑπευθύνου ἐκ περιστάσεως κατηγορίας, ἐπεὶ ἀτελῶς ὁ ὅρος ἔχει, καὶ ἐξέπεσε τὸ ἓν τῆς ἀντιλήψεως εἶδος, διὸ καὶ τὸ παράδειγμα, ὁ ἀποκηρυττόμενος παῖς ὑπὸ τοῦ γεωργοῦ, ἀκόλουθον ἐτέθη τῷ ὅρῳ, ἐπ' αὐτῷ τῷ πεπραγμένῳ καὶ τὴν κρίσιν ἔχον·[7] κοινωνεῖ ἡ ἀντίληψις τῷ στοχασμῷ, ὡς ἐπὶ τούτου· συνεχῶς τις ἐν τοῖς θεάτροις συρίττεται[8] καὶ κρίνεται κακοῦ βίου, καὶ στοχασμὸς οὗτος· ἀντιλήψεως δὲ παράδειγμα, τοὺς φυγάδας ἐξεῖναι ἀναιρεῖν, πολλούς τις καταστείχοντας[9] ἀναιρεῖ φυγάδας· καὶ

---

3 Cfr. Ald. p. 232. l. 19. 4 Cod. οὔτε, scripsi οὕτω, ut Ald. l. 21. 5 Cfr. Ald. p. 233. l. 18. 6 Cod. τῷ. 7 Cod. ἔχων. — Cfr. Ald. p. 235. l. 16. 8 Cod. εὑρίσκεται. Ald. l. 17. συρίττεται. 9 Cod. καταστίχοντας.

κρίνεται κακοῦ βίου· ἐνταῦθα γὰρ ἀντιληπτικόν ἐστι τὸ ζήτημα· ἐν ἀμφοτέροις τε βίου ἐστὶν ἐξέτασις καὶ ἡ γραφὴ ἡ αὐτή· διαφέρει δὲ κατὰ Μινουκιανὸν, ὅτι ἐν μὲν τῷ στοχασμῷ ἀφ᾽ ὧν ἕτεροι πεποιήκασι τὰ τοιαῦτα τὴν κρίσιν ἔχει· ἀπὸ γὰρ τοῦ συρίττειν οὗτος τοῦ κακοῦ βίου ἔγκλημα ἔχει· ἐν ἀντιλήψει δὲ, ἀφ᾽ ὧν αὐτὸς πεποίηκεν· ἀπὸ γὰρ τοῦ αὐτὸς ἀποκτιννύναι κρίνεται· ἡ δὲ ἀληθὴς διαφορὰ παντὸς στοχασμοῦ καὶ ἀντιλήψεως αὕτη, ὅτι ἐν τῷ στοχασμῷ ἄλλο ἐστὶν τὸ πραχθὲν, ἄλλο[10] τὸ κρινόμενον, ἐν δὲ ἀντιλήψει αὐτὸ τὸ πραχθὲν, κακὸν βιὸν εἶναι λέγειν, καὶ πολλοὺς ἀποκτιννύναι· οὕτως γὰρ καὶ οἱ στοχασμοὶ οἱ ἀφ᾽ ὧν αὐτός τις πεποίηκε τὴν κρίσιν ἔχοντες μάλιστα κοινωνοῦσι· διὸ καὶ ἀντιληπτικὸν ἔχουσι κεφάλαιον· γυνὴ συνεχῶς νύκτωρ δακρύει καὶ κρίνεται μοιχείας, καὶ δολοφονηθέντος τοῦ πένητος ἕπεται ὁ υἱὸς αὐτοῦ τῷ πλουσίῳ δακρύων καὶ κρίνει αὐτόν· ἐν ἀμφοτέροις γὰρ τὴν ἐξουσίαν τοῦ δακρύειν προτείνονται, ἀλλ᾽ ἡ διαφορὰ πολλὴ, ὅτι ἐν μὲν τῷ στοχασμῷ σημεῖον τοῦ ἀδικήματός εἰσι τὰ δάκρυα, ἐν δὲ τῇ ἀντιλήψει αὐτὰ τὰ δάκρυά ἐστι τὸ ἀδίκημα. Ἔτι ἡ ἀντίληψις τῷ στοχασμῷ κοινωνεῖ, ὡς ἐν τοῖς κατασοφισμοῖς· οἷον τὸν ἄπαιδα μὴ στρατηγεῖν· θετόν τις ἔθετο παῖδα καὶ ἐστρατήγησε· μετὰ τὴν στρατηγίαν αὐτὸν ἀπεκήρυξε καὶ κρίνεται κατασοφισμοῦ· ἐνταῦθα ἀρνεῖται πάντη τὸ διὰ τοῦτο θέσθαι τὸν παῖδα, ἵνα στρατηγήσῃ, ἂν γὰρ ὁμολογήσῃ, ἀσύστατον· ἔχει οὖν καὶ μετάθεσιν ἐν πάσῃ τὴν ἀταξίαν[11] τοῦ παιδὸς ἢ τὸ μὴ ὡς πατέρα αὐτὸν στέργειν καὶ τοιαῦτα ὅσα ἄν τις διελὼν εἴπῃ· ἀντιλήψεως δὲ παράδειγμα, ἐξεῖναι τοῖς πατράσιν ἰσοκληρονόμους τοὺς νόθους τάττειν τοῖς γνησίοις· ἔχων τις ἀπὸ δούλης παῖ-

10 ἄλλο τὸ κριν. — πραχθὲν exciderunt in cod., inserui ex Ald. l. 27. 11 Cod. ἀτοξίαν. Ald. p. 236. l. 13. ἀταξίαν.

δα ἰσοκληρονόμον αὐτὸν ἔταξε τῷ γνησίῳ· ὁ νόθος δέδωκε τῆς νομῆς τὴν ἐξουσίαν τῷ γνησίῳ, ὁ δὲ τὴν πᾶσαν οὐσίαν μίαν μερίδα θεὶς ἀντέθηκεν αὐτῇ τὴν μητέρα τοῦ νόθου· καὶ κρίνει αὐτὸν κατασοφισμοῦ· ἐνταῦθα γὰρ ἀντιληπτικόν ἐστι· φησὶ γὰρ ὁ παῖς· ἔξεστί μοι, ὡς βούλομαι, διανέμειν· διαφέρει δὲ, ὅτι ἐν μὲν τῷ στοχασμῷ ἐπὶ συμβάντι τὸ τοῦ στοχασμοῦ ἔγκλημα ποιεῖται· τὸ γὰρ ἀποκηρύξαι τὸν παῖδα ὑπόνοιαν πεποίηκε τοῦ κατασοφισμοῦ· εἰ γὰρ μὴ ἀπεκήρυξεν, οὐδ᾽ ἂν τὴν ἀρχὴν ἐνεκαλεῖτο· ἐν δὲ ἀντιλήψει αὐτὸ κατ᾽ αὐτὸ τὸ πεπραγμένον ὑπεύθυνον εἶναι δοκεῖ· κοινωνοῦσι δὲ μάλιστα αἱ ἀντιλήψεις τοῖς ὅροις, ἐν ἀμφοτέροις γὰρ ἐξουσία εὑρίσκεται, καὶ ζήτησις περὶ τοῦ, εἰ τοῦτό ἐστι τὸ ἀδίκημα· εὐνοῦχόν τις εὑρὼν ἐπὶ τῇ γυναικὶ ὡς μοιχὸν ἀπέκτεινε καὶ κρίνεται φόνου· τοῦτο ὁριστικὴν ἔχει τὴν ζήτησιν, εἰ μοιχὸς ὁ εὐνοῦχος· πέπρακται μὲν γὰρ αὐτῷ τὸ συνεῖναι τῇ γυναικὶ, λείπει δὲ τὸ καὶ τὴν χρῆσιν ἔχειν δύνασθαι, καὶ οὗτος μὲν ὁ ὅρος· ἀντίληψις δὲ, τρισαριστέα τις μοιχὸν ἀπέκτεινε καὶ κρίνεται φόνου· ἐνταῦθα γὰρ, φησὶν, ἔξεστί μοι· δύναται δὲ καὶ ὁ τὸν εὐνοῦχον ἀνελὼν τὴν ἐξουσίαν προβαλέσθαι· τῆς δὲ ἀντιλήψεως [12] παράδειγμα τῆς κατὰ ὅρον ἐξεταζομένης· ἔγραψέ τις τὰ περὶ Σικελίαν καὶ προὔθηκε δημοσίᾳ· κρίνεται δημοσίων ἀδικημάτων· ἀντίληψις μὲν γὰρ ἡ στάσις· δύναται δὲ νομίζεσθαι περὶ ὀνόματος ἔχειν τὴν ζήτησιν, ὅπερ οἰκεῖον ὅρου, εἰ τοῦτο δημόσιον τὸ ἀδίκημα· ἡ δὲ διαφορὰ αὕτη, ὅτι ἐν μὲν τῇ ἀντιλήψει ὅλον πέπρακται τὸ ἀδίκημα, καὶ οὐδενὸς προσδεῖται, ἐν δὲ τῷ ὅρῳ ἐπὶ μέρει· λείπει γὰρ τῷ εὐνούχῳ τὸ μοιχεύειν· τῷ δὲ ἀριστεῖ τῷ ἀναιρεθέντι τοὐναντίον· ἡ δὲ διαφορὰ κατὰ Μινουκιανὸν, ὅτι ἐν μὲν τῷ ὅρῳ περὶ ὁμολογουμένου ἀδικήματος, μήπω δὲ πεπραγμένου ἡ ζήτησίς ἐστιν, ἐν

12 Cfr. Ald. p. 237. l. 2.

ἐν δὲ τῇ ἀντιλήψει αὐτὸ τοῦτο ζητοῦμεν, εἰ ἀδίκημα, οὐδὲ γὰρ ὡμολόγηται τὸ ἀδίκημα εἶναι τὸ γράφειν, ἂν τις βούληται, ἢ τὸ τὸν [13] μοιχὸν ἀποκτιννύναι, ἐὰν δὲ ὁμολογῇ πεποιηκέναι ἀδίκημα, πανταχοῦ ἐὰν ὁμολογοῦντα τιθῇ ἀδίκημα, πταῖσμά ἐστιν, οὐδαμοῦ γὰρ ἀδίκημα ὁμολογεῖ· ὄνομα μὲν αὐτῷ ὡς γενικόν· ἐπειδὴ γὰρ [14] οἱ πρὸ τούτου τεχνικοὶ πλὴν τοῦ Μινουκιανοῦ ἀντίθεσιν μίαν ἴσασι στάσιν, διὰ τοῦτο, ἵνα μὴ πλάνη τις ἐμπέσῃ, προσέθηκε τὸ „ὡς γενικόν," ἵνα μηνύσῃ, ὅτι οὐ στάσις ἐστὶν, ἀλλὰ γένος ἐστὶ στάσεων· ἕκαστον γὰρ γένος εἰς γένος ἕτερον τέμνεται, καὶ εἰς μίαν στάσιν· ἡ μὲν ποιότης εἰς νομικὴν καὶ λογικήν· ἡ δὲ γενικὴ γένος οὖσα στάσεων τέμνεται εἴς τε ἀντίληψιν καὶ ἀντίθεσιν, ἡ δὲ ἀντίθεσις εἰς τέσσαρας ἀντιθετικάς· διατί δὲ αὐτή τε καὶ αἱ ἐξ αὐτῆς τεμνόμεναι ἐκλήθησαν ἀντιθετικαὶ ἐροῦμεν· ὅτι ἐν ταύταις μόναις ταῖς στάσεσιν προδήλου τινὸς ὄντος ἀδικήματος ὁ φεύγων ἀντιτίθησι τί τὸ ὥσπερ κωλῦον καὶ σβεννῦον τὸ ἔγκλημα· ἐν δὲ ταῖς προλαβούσαις οὐδέν ἐστι πρόδηλον ἀδίκημα· ἀλλ' αὐτὸ τοῦτο ζητεῖται, εἴτε ἐν ὅρῳ εἴτε ἐν ἀντιλήψει, εἴτε ἐν στοχασμῷ ὡμολόγηται τὸ ἀδίκημα παρὰ τοῦ δικαστοῦ, οὐδαμοῦ γὰρ παρὰ τῷ φεύγοντι ομολογεῖται, ἀλλ' ὁ δικαστὴς ἐν ταῖς ἀντιθετικαῖς οἶδεν τὸ ἀδίκημα ὂν, πρὸς ὃ ὁ φεύγων ἀντιτίθησί τι λυτικὸν ὄν· τό τε γὰρ κατασκάψαι τὸ τεῖχος παρὰ τῷ δικαστῇ ἀδίκημα κρίνεται, πρὸς ὃ τὴν νίκην ἀντιτίθησι, καὶ τὸ τὸν πατέρα τυπτῆσαι οἶδεν ὁ δικαστὴς ὂν ἀδίκημα, πρὸς ὃ τὸν φόβον ἀντιτίθησι· καὶ τὸ ἀνελεῖν τὸν υἱὸν οἶδεν ὁ δικαστὴς ἀδίκημα, πρὸς ὃ τὸ ἡταιρηκέναι αὐτὸν ἀντιτίθησι, καὶ τὸ πρεσβεῦσαι ἐν τῇ ὡρισμένῃ προθεσμίᾳ ὡμολόγηται ἀδίκημα, πρὸς ὃ ἀντιτίθησι τὴν τοῦ ταμίου αἰτίαν·

13 Inter τὸν et μοιχὸν in codice est brevis lacuna. — l. 5. Cod. τίθησιν. 14 Cfr. Ald. p. 238.

εἰκότως οὖν αὗται ἀντιθετικαὶ λέγονται, ὅτι πρὸς τὸ προεγνωσμένον ἀδίκημα ἀντιτίθησί τι ὥσπερ λυτικὸν ὁ φεύγων.

Ἂν δὲ εἰς ἕτερον μεθιστῇ, πάλιν διαιρετέον, ἢ γὰρ εἰς ὑπεύθυνόν τι δυνάμενον γενέσθαι πρᾶγμα ἢ πρόσωπον μεθίστησι τὸ ἔγκλημα· ἐνταῦθα [1] οὐδὲ αὐτὸς ὁ τεχνικὸς ἀγνοεῖ ὃ ἔσφαλται, παρακατιὼν γὰρ λέγει· „εἰ δέ τις ἡμῖν ἀμφισβητεῖ συγγνώμης πέρι καὶ μεταστάσεως, ἀκριβέστερον ἐν τῷ περὶ ἀντιθέσεως λελέξεται“, ὡς ἐνταῦθα μὴ ἀκριβῶς εἰπών· τίς γὰρ οὕτως ἠλίθιός ἐστιν, ὅστις οἴεται πρᾶγμα εἶναι ὑπεύθυνον; ὑπεύθυνον γάρ ἐστι τὸ εἰς εὐθύνας καὶ δικαστήριον καὶ δίκην ἀγόμενον πρᾶγμα· διὸ εἰς ταῦτα οὐ φέρεται οὔτε χειμὼν οὔτε βρονταί, οὔτε σκηπτοί, οὔτε τὰ τοιαῦτα· περιττὸν οὖν τὸ εἰπεῖν ὑπεύθυνον γενέσθαι πρᾶγμα· ἤρκει γὰρ εἰπεῖν τὸ „ἢ εἰς πρόσωπον, ἢ εἰς πρᾶγμα μεθίστησι καὶ ποιεῖ μετάστασιν“· οὕτω γὰρ σαφής τε ἂν εἴη ἡ διαφορὰ καὶ ἐσώζετο τὸ ἴδιον τῆς μεταστάσεως, ὡς καὶ τῆς συγγνώμης· νῦν δὲ πρὸς πλείονας τῶν μεταστάσεων αὐτὴν ἐκτίθενται οἱ τεχνικοὶ κατὰ τὸν αὐτὸν λόγον τῷ μὴ εἰς ὑπεύθυνα εἶναι· παντάπασιν ἔχοι τις ἂν συγγνώμην εἰπεῖν τόν τε Ἀρχίδαμον τὸν λύσαντα τὴν πολιορκίαν τὴν Πλαταιέων διὰ τοὺς σκηπτούς, καὶ πάλιν, τὸ τὸν αὐτὸν ἀναζεῦξαι διὰ τὸν λοιμόν· ἀλλὰ δῆλον, ὅτι καὶ τοῦτο περιττόν, καὶ τὸ ἐφεξῆς, οἱ δέκα στρατηγοὶ διὰ τὸν χειμῶνα τὰ σώματα μὴ ἀνελόμενοι· μετάστασις γάρ ἐστιν αὕτη, ἄμεινον γὰρ εἰπεῖν· „ἡ μὲν εἴς τι τῶν ἔξωθεν ἀναφέρεται, ἡ δὲ συγγνώμη ἐπὶ μόνα τὰ πάθη τῆς ψυχῆς“· καὶ ἡ μὲν ἐξήγησις αὕτη· κοινωνεῖ [2] ἡ μετάστασις τῷ στοχασμῷ τῷ ἀφ᾽ ὧν αὐτός τις κρίνεται, ὡς ἐπὶ τούτου· νόμος νύκτωρ μὴ ἀνοίγειν τὰς πύλας· Κλέωνος ἄγοντος τοὺς τριακοσίους Νικίας οὐκ

1 Cfr. Ald. p. 245. 2 Cfr. Ald. p. 246. l. 7.

ἤνοιξεν· ἀπέδρασαν αὐτόν, καὶ κρίνεται αὐτὸν βλάβης· ἐνταῦθα γὰρ προβαλλομένου τοῦ Νικίου τὸν νόμον ἀναφύεται στοχαστικὴ ζήτησις, πότερα φθόνῳ τοῦ κατορθώματος οὐκ ἤνοιξεν, τῇ ἀληθείᾳ δὲ[3] δέει τοῦ νόμου· ἔστι δὲ ἡ στάσις μετάστασις, διαφέρει δέ, ὅτι οὐ σώζεται τὸ οἰκεῖον τοῦ στοχασμοῦ, τὸ ἐν παντὶ στοχασμῷ δύο εἶναι τὰ πράγματα, ἐνταῦθα δὲ ἕν ἐστι τὸ πρᾶγμα αὐτὸ τὸ μὴ ἀνοῖξαι· ἔτι κοινωνεῖ ἡ μετάστασις σφόδρα αὐτῇ τῇ ἀντιλήψει τῇ ἐπὶ νόμον· ἐὰν γὰρ εἴπω, „νόμος μὴ ἀνοίγειν τὰς πύλας, αἰχμάλωτοι φεύγοντες ἐδάκρυον, οὐκ ἤνοιξαν οἱ στρατηγοί, ἐπελθόντες οἱ πολέμιοι ἀπέκτειναν", δύναται εἶναι ἀντίληψις καταφεύγοντος αὐτοῦ ἐπὶ νόμον „τόδε ἔξεστί μοι"· διαφέρει δέ, ὅτι ἐν μὲν μεταστάσει ὁμολογουμένως καὶ πάντως ἐστὶ τὸ πεπραγμένον φαῦλον, βοηθεῖται δὲ τῇ περιστάσει τοῦ νόμου· ἐν δὲ τῇ ἀντιλήψει τὸ ἐναντίον οὐ φύσει ἐστὶ φαῦλον, ἀλλ' ἐκ περιστάσεως ἔχει τὸ ἔγκλημα· τὸ γὰρ μοιχὸν ἀποκτεῖναι χρηστόν ἐστιν, ἀλλὰ τὸ εἶναι ἀριστέα τὸν ἀνῃρημένον τὴν περίστασιν πεποίηκεν· ἔτι ἑτέρα διαφορά· ἐν μὲν γὰρ τῇ ἀντιλήψει συγκεχωρηκέν τι ὁ νόμος, ἐν δὲ τῇ μεταστάσει κεκώλυκεν· καὶ ὁ ποιῶν ἐν μὲν τῇ ἀντιλήψει ἀκόλουθα νόμῳ ποιεῖ, ὁ δὲ μὴ ποιῶν ἐν τῇ μεταστάσει οὐκ ἀκόλουθα· τὰ μὴ κεκωλυμένα γὰρ ποιεῖ· κοινωνεῖ τὸ ἀντέγκλημα στοχασμῷ καὶ ἀντιλήψει· ἐν ἑκατέροις γὰρ στοχαστική ἐστιν ἡ ζήτησις τῆς γνώμης τοῦ πεποιηκότος, καὶ γὰρ ὁ στρατηγήσας καὶ ἀποκηρύξας ὕστερον τὸν θετὸν υἱὸν στοχαστικῶς ἐξετάζεται· καὶ οἱ τύραννον ἐν Ὀλυμπίᾳ ἀποκτείναντες στοχαστικῶς ἐξετάζονται, πότερον ἐν ἀπορίᾳ τοῦ δύνασθαι καὶ ἄλλοτε αὐτὸν ἑλεῖν ἢ καταφρονήσει τῶν ἱερῶν αὐτὸν ἀπέκτειναν· καὶ ἐν ἀμφοτέροις ἐστὶν ἀντεγκλήματος ἐξουσία· καὶ γὰρ καὶ οἱ τύ-

---

3 Cod. δὲ εἰ τοῦ ν., scr. δὲ δέει, coll. Ald. p. 246. l. 14.

ραννον ἀνελόντες δύνανται ἀντεγκαλέσαι ὡς ἀξίῳ ὄντι παθεῖν· καὶ ὁ τὸν στοχασμὸν ἐγκαλέσας τῷ παιδὶ, ὡς ἄξιόν τι ἀποκηρυχθῆναι· καὶ ὁ τὸν υἱὸν ἑταιροῦντα ἀποσφάξας ἀντεγκλήματός ἐστιν· διαφέρει δὲ τὸ ἀντέγκλημα στοχασμοῦ μὲν, ὅτι πρόδηλόν ἐστιν ἐν ἀντεγκλήματι τὸ ἀδίκημα, τὸ ἑταιρεῖν τὸν υἱόν· ἐν δὲ στοχασμῷ αὐτὸ τοῦτο ζητεῖται, εἰ ἄξιον ὄντα ἀποκηρυχθῆναι ἀπεκήρυξε καὶ οὐ κατασοφισμοῦ χάριν· ἀντιλήψεως δὲ, ὅτι, ἐὰν μὲν κατὰ νόμον ᾖ τὸ πεπραγμένον γεγενημένον, ἀντίληψιν ποιεῖ, ἂν δὲ εὐλόγως μὲν, οὐ νομίμως δὲ, ἀντέγκλημα· τὸ γὰρ τὸν υἱὸν ἀποκτεῖναι εὐλόγως μὲν πέπρακται, νόμον δὲ οὐκ ἔχει τοῦτο κελεύοντα· ὁ δὲ τὸν ἀριστέα ἀνελὼν κατὰ νόμον τοῦτο ἔπραξε. Κοινωνεῖ ἡ ἀντίληψις πρὸς ἀντίστασιν· ἔν τε γὰρ ἀντιλήψει οὐ φαῦλον εἶναι τὸ γεγενημένον λέγει, ἀλλὰ καὶ χρηστὸν, ὥσπερ ὁ ζωγράφος, ὁ λέγων συμβουλῆς χάριν γεγραφηκέναι τοῖς πλέουσι τὰ ναυάγια, ἵνα μάθοιεν τὰ δυσχερῆ τὰ ἐν τῷ παρὰ καιρὸν πλεῖν, καὶ ἐν τῇ ἀντιπαραστάσει εὐεργεσίαν πεποιηκέναι ἐξ αὐτοῦ τοῦ ἀδικήματος ὁ φεύγων ἐρεῖ· διαφέρει δὲ, ὅτι ἐν μὲν ἀντιλήψει οὐκ αὐτὸ τὸ πεπραγμένον φαῦλον εἶναι λέγει, ἀλλὰ καὶ χρηστὸν, ἐν δὲ τῇ ἀντιστάσει τὸ μὲν πεπραγμένον ἀνεύθυνον εἶναι λέγει, ἕτερον δὲ ἐξ αὐτοῦ συμβὰν ἀγαθόν· κοινώνεῖ[4] δὲ ἡ συγγνώμη πάντη τῇ ἀντιλήψει, οἷον νόμος τοὺς κατιόντας φυγάδας ἐξεῖναι ἀποκτιννύναι· καταστείχοντάς τις φυγάδας ἀπέκτεινε καὶ κρίνεται· συγγνώμη[5] δὲ, ἐρασθέντι τῷ υἱῷ παρεχώρησεν ὁ πατὴρ τοῦ γάμου τῆς μητρυιᾶς, καὶ κρίνονται οἱ τρεῖς κακοῦ βίου· κοινωνοῦσιν οὖν μάλιστα τῷ ἐν ἀμφοτέροις καὶ ἐπὶ τῷ πεπραγμένῳ εἶναι τὸ ἔγκλημα καὶ κακοῦ βίου εἶναι τὴν γραφήν· διαφέρουσι δὲ τῷ τὰ μὲν τῆς ἀντιλήψεως ὁμολογουμένως εἶναι ἑκούσια, τὰ δὲ τῆς συγγνώμης

4 Cfr. Ald. p. 247. l. 1. 5 Cod. συγγνώμης, scr. συγγνώμη.

ἀκούσια[6], οὐ γὰρ ἑκὼν ὁ νεανίσκος ἐρᾷ· οὐδὲ ἑκὼν ὁ πατὴρ παραχωρεῖ, ἀλλὰ δι' ἔλεον τοῦ παιδὸς, οὐδὲ ἡ μητρυιὰ, ἀλλὰ διὰ τὸ πάντα πείθεσθαι τῷ ἀνδρί· κατὰ γὰρ τοὺς Ἀττικοὺς νόμους παρειλήφαμεν, ὡς ἐξῆν τοῖς ἀνδράσι τὰς ἑαυτῶν ἐπιγαμίζειν ἑτέροις γυναῖκας. Διὸ καὶ σύστασιν ἔχει τὸ ζήτημα, ἐπειδὴ κατὰ τὸ ἀπίθανον ἔμελλεν εἶναι· ἔτι δὲ σφόδρα κοινωνεῖ, ὡς καὶ αὐτὸς ὁ τεχνικὸς ὁμολογεῖ, λέγων μηδὲν διαφέρειν αὐτὰς, ἡ μετάστασις πρὸς τὴν συγγνώμην· ἐν ἀμφοτέραις γὰρ λέγουσι βεβιάσθαι· ἢ ἀπὸ καιροῦ, ἢ ἀπὸ τύχης, ἢ ἀπὸ προσώπων ἢ ἀπὸ πραγμάτων τινῶν, καὶ αὕτη μὲν ὑπὸ πάντων προφερομένη διαφορὰ, ὅτι συγγνώμης μὲν ἴδιον ἐπὶ μόνα τὰ τῆς ψυχῆς φέρειν πάθη, μεταστάσεως δὲ ἐπὶ τὰ ἔξω· ἔστι δὲ καὶ ἑτέρα ἀκριβεστέρα, ὅτι ἐν μὲν τῇ μεταστάσει κρίνεται ὁ φεύγων ὡς πεποιηκώς τι ὧν οὐκ ἐχρῆν. Καὶ μεταστάσεως μὲν παράδειγμα ὁ πρεσβευτὴς, ὁ διὰ τὸ μὴ λαβεῖν τὰ ἐφόδια μὴ πρεσβεύσας· συγγνώμης δὲ ἡ γυνὴ, ἡ ληφθεῖσα παρὰ τῶν πολεμίων χοηφοροῦσα τῷ παιδὶ καὶ τυπτομένη, ἢ τὰ ἀπόῤῥητα ἐξειποῦσα, καίτοιγε, ὡς ᾠήθησάν τινες τὴν μετάστασιν ἐπὶ πρόσωπον μόνον φέρειν, ὡς ὁ τεχνικὸς, τὴν δὲ συγγνώμην ἐπὶ πρᾶγμα· ἀλλ' ἐνταῦθα ἐπὶ πρόσωπον ἑκάτεροι φέρουσιν, ὁ μὲν τὰ τοῦ ταμίου[7], ἡ δὲ τὸ τῶν πολεμικῶν· ἔτι δὲ συγγνώμης ἡ τῆς γυναικὸς, ἀλλ' ἡ διαφορὰ δήλη ἐστὶν τὴν ἀκρίβειαν φυλάττουσα, ὅτι διὰ τοῦτο συγγνώμη ἐστὶν ἐπὶ τῆς γυναικὸς, ὅτι ἐφ' οἷς ἐποίησε δέον[8] μὴ ποιεῖν τὴν κρίσιν ἔχει, ἐπὶ δὲ τοῦ ταμίου μετάστασις, ὅτι ἐφ' οἷς οὐκ ἐποίησε δέον ποιῆσαι.

*Τὰς μὲν οὖν λογικὰς τῶν στάσεων ἐκ τούτων ἐπιγνωσόμεθα, τὰς δ' αὖ νομικὰς οὕτως,*

---

6 τὰ δὲ τῆς συγγν. ἀκούσια Cod. om., recepi ex Ald. p. 247. l. 9. 7 Cod. ταμείου, h. l. et paullo post l. 27. 8 Cod. δεῖν.

πρῶτον μὲν περὶ ῥητὰ τὴν ζήτησιν εἶναι. σαφῶς ἀλλ' οὐ καλῶς τὴν διαφορὰν γενικὴν ἡμᾶς ὁ τεχνικὸς ἐδίδαξε τῶν νομικῶν καὶ τῶν λογικῶν· εἰ γὰρ [9] καὶ ἐν ταῖς λογικαῖς εὑρίσκονται νόμοι, ὥσπερ ἐν τῇ μεταστάσει τῇ ἐπὶ ῥητῷ φερούσῃ, καὶ ἐν ἀντιλήψει καὶ ἐν ὅρῳ δὲ καὶ ἐν ἄλλαις πολλάκις, [10] τί διοίσουσιν αἱ νομικαὶ τῶν λογικῶν, ὅτι καὶ ἐν ἐκείναις καὶ ἐν ταύταις ῥητά ἐστι; λέγομεν, ὅτι ὁ τεχνικὸς μηνύει, ὅτι ἐν ταῖς λογικαῖς ἀπὸ ῥητοῦ μὲν ἡ ζήτησις, οὐκέτι δὲ περὶ ῥητὸν, ἐν δὲ ταῖς νομικαῖς καὶ ἀπὸ ῥητοῦ καὶ περὶ ῥητόν. ἐπὶ δὲ τοῦ παραδείγματος σαφέστερον ἔσται ὃ λέγω· ἐν τῇ ἀντιλήψει τῇ ἐπὶ νόμον, ὅταν λέγῃ ἐξεῖναί τὸν μοιχὸν ἀποκτιννύναι, τρισαριστέα δὲ ἀνελών τις κρίνηται, οὐδὲ μία πρὸς τὸ ῥητόν ἐστι ζήτησις, οὐδὲ λέγομεν ὅτι τοῦτο σημαίνει, οὐδὲ λέγομεν, ὅτι ἕτερον ῥητόν ἐστιν ἐναντίον, ὅπερ οἰκεῖόν ἐστι νομικῶν· ἀλλ' ὡμολόγηται μὲν τὸ ῥητὸν, περὶ δὲ τὴν τοῦ πράγματος περίστασιν ἡ ζήτησις γίνεται· οἷον τὸ εἶναι τρισαριστέα· καὶ πάλιν ἐν τῇ μεταστάσει τῇ ἐπὶ ῥητὸν, ὅταν λέγωμεν, νόμος νύκτωρ μὴ ἀνοίγειν τὰς πύλας, τῶν αἰχμαλώτων παρόντων οὐκ ἤνοιξεν ὁ στρατηγός· ἀνῄρηνται καταλαβόντων τῶν πολεμίων καὶ κρίνεται· πάλιν οὐδεμία ζήτησίς ἐστι πρὸς τὸ ῥητὸν, ὥσπερ ἐν ῥητῷ καὶ διανοίᾳ, οὐδὲ ζητοῦμεν ὅ τί ποτε ὁ νόμος ἔχει, ἀλλ' ὡμολόγηται μὲν ὁ νόμος ἔχων καὶ ἐπὶ τούτοις κείμενος, ἡ δὲ τοῦ πράγματος περίστασις τὸ εἶναι αἰχμαλώτους φεύγοντας ποιεῖ τὴν ζήτησιν· ἐν δὲ ταῖς νομικαῖς αὐτό ἐστι τὸ ῥητὸν τὸ ζητούμενον ἢ κατὰ τὴν διάνοιαν, εἰ τοῦτο σημαίνει, ἢ καθ' ἕτερον ἐναντίον ῥητὸν, ἢ καθ' ἕτερόν τι ὧν ἑξῆς ἐροῦμεν.

Ῥητὰ δὲ λέγω, διαθήκας, νόμους, ψηφί-

9 Cfr. Ald. p. 251. l. 7. 10 Cod. addit: αἱ ἐν ὅρῳ, orta ex antecedente καὶ ἐν ὅρῳ. — l. 13. Cod. κρίνεται.

σματα, ἐπειδὴ ῥητὰ οἱ νόμοι καλοῦνται, διὰ τοῦτο καλῶς ἀσφαλιζόμενος ὁ τεχνικὸς ἐδίδαξεν, ὡς οὐκ ἀπὸ νόμου μόνου αἱ νομικαὶ γίνονται, ἀλλ' ἁπάντων ἁπλῶς τῶν γεγραμμένων ἢ ὡρισμένων, ἵνα καὶ τὰ ψηφίσματα περιλάβῃ.

Ταύτην δὲ τὴν ζήτησιν ἤτοι περὶ ἓν ἢ καὶ πλείονα γενέσθαι συμβαίνει ῥητά, λέγω δὲ καὶ πλείονα, κἂν ἐπὶ τούτων εἰς δύο μέρη διαιρῆται, καὶ μέρει μὲν ὁ ἕτερος, μέρει δὲ ὁ ἕτερος τῶν δικαζομένων χρῶνται. Περὶ τούτου ῥητοῦ, ὡς οὐ συνέστηκεν, ἐν τοῖς ἐφεξῆς ἀποδείξομεν. ἢ περὶ τὰς τούτου διανοίας, ἢ καθ' αὐτὸ [11] θάτερον τῶν μερῶν γίνεται, ποιεῖ ῥητὸν καὶ διάνοιαν· καλῶς [12] πάνυ τὸ θάτερον τῶν μερῶν, οὐχὶ ὥς τινες ᾠήθησαν, πάντως δεῖν τὸν φεύγοντα μὲν ἔχειν τὴν διάνοιαν, τὸν δὲ κατήγορον τὸ ῥητόν· φαίνεται γάρ ποτε καὶ τὸ ἐναντίον· δεῖ δὲ καθολικὸν κανόνα εἰπεῖν, ὅτι ἐν μὲν τοῖς πρώτοις καταφυγὴν καὶ δίωξιν ὁ κατήγορος ἔχει τὸ ῥητὸν, τὴν δὲ διάνοιαν ὁ διώκων· ἐν δὲ τοῖς ῥητοῖς κατὰ ἀξίωσιν πάντως ὁ φεύγων ἔχει τὸ ῥητὸν, καὶ ὁ ἐναντιούμενος ἔχει τὴν διάνοιαν· καὶ τοῦ μὲν κατὰ φυγὴν καὶ δίωξιν παράδειγμα· ὁ ῥίψας τὴν ἀσπίδα καὶ ἀνελὼν τὸν τῶν πολεμίων στρατηγὸν καὶ κρινόμενος· τοῦ δὲ κατὰ ἀξίωσιν ὁ Ἀριστογείτων, ὁ ἡττηθεὶς τὴν τῶν παρανόμων γραφὴν καὶ ἀξιῶν ἔντιμος εἶναι· ἢ ὁ ἄσωτος ὁ ἑαυτὸν πηρώσας καὶ ἀξιῶν δημοσίᾳ τρέφεσθαι τοῦ νόμου κελεύοντος τὸν πεπηρωμένον τρέφεσθαι. ἐζήτηται δὲ, πῶς τῶν λογικῶν πασῶν καὶ ἐπιγραφὰς καὶ ὅρους προσέθηκεν, ἐν δὲ ταῖς νομικαῖς ὅρον οὐ προσέθηκεν, ἀλλὰ μόνον τὸν τόπον τοῦ πῶς γίνεται ἐκθεὶς εὐθὺς ἧκεν ἐπὶ τὸ παράδειγμα· λέγομεν, ὡς τοῦ

11 Ald. κατ' αὐτό. 12 Cfr. Ald. p. 256.

τόπου τάξιν ὅρου ἔχοντος, καὶ γὰρ αὐτὸ τοῦτο ὅρος ἐστὶν, ὅταν λέγῃ τὴν φύσιν δι᾽ ἧς γίνεται· εἴπομεν δὲ ὅρον ἡμεῖς ῥητοῦ καὶ διανοίας. ἔτι ζήτησις περὶ τοῦ ὅ τί ποτε βούλεται τὸ ῥητὸν μηνύειν ἢ τὸ φανερῶς πεπραγμένον, ἢ κατηγορούμενον ἢ ἕτερόν τι. ἐζήτηται δὲ, τί δήποτε ταύτην πρώτην ἔταξε πασῶν τῶν νομικῶν, καίτοιγε ἀτελεστέραν οὖσαν πασῶν· οὐ γὰρ δὴ ἀγνοοῦμεν, ὡς ἡ ἀντινομία δύο νόμους ἔχουσα τελειοτέρα τῆς μιᾶς ἐστιν· καὶ ὁ συλλογισμὸς τέλειον τελείῳ συνάπτων ἐπαναμένει, ἀλλ᾽ ἐροῦμεν, ὅτι ὃν τρόπον ὁ στοχασμὸς πασῶν τῶν λογικῶν προτέτακται, διὰ τὸ ἐν πάσαις ἐμπίπτειν, οὕτω καὶ τὸ ῥητὸν καὶ ἡ διάνοια προτέτακται, ἐπειδὴ ἐν πάσαις ἐμπίπτει· ἡ γὰρ ἀντινομία ὡς καὶ αὐτὸς ὁ τεχνικός φησι, διπλοῦν ἐστι ῥητὸν καὶ διάνοια· ἔδει οὖν τὰ ἁπλᾶ πρῶτον μαθεῖν· καὶ ὁ συλλογισμὸς πάλιν ἔχει τὴν διάνοιαν τοῦ νομοθέτου. ἔδει οὖν πρῶτον μαθεῖν, ὅ τί ποτέ ἐστι ῥητὸν καὶ διάνοια, ἵν᾽ ἐν τούτῳ εἰδῶμεν [13] αὐτοῦ τὴν φύσιν· καὶ ἔτι καὶ τὸ ἀτελὲς εἶναι· οὐ γὰρ ἐχρῆν τὰ τέλεια πρὸ τῶν ἀτελῶν τάττεσθαι, ἀλλὰ κατ᾽ ὀλίγον ἐπαναλαμβάνειν. τῷ ῥητῷ δὲ προστίθησί τι πρᾶγμα, εἰς ταὐτὸν ἄγων τὸ ἔγγραφον τῷ ἀγράφῳ καὶ ποιεῖ συλλογισμόν. Ἐζήτηται τί δήποτε δεύτερον ἔταξε τὸν συλλογισμὸν καὶ τὴν ἀντινομίαν ἀκόλουθον οὖσαν πρὸς τὸ ῥητὸν καὶ τὴν διάνοιαν· λέγομεν, ὅτι τῇ αὐτῇ αἰτίᾳ, ἧπερ τὸ ῥητὸν καὶ ἡ διάνοια, εἰ γὰρ ὁ συλλογισμὸς ἐμπίπτει τῇ ἀντινουίᾳ, ἐν οἷς τὸ περιεχόμενον καὶ τὸ περιέχον ζητοῦμεν συλλογισμῷ δηλῶσαι φυλάττομεν αὐτόν· [14] καὶ ἔτι ὁ συλλογισμὸς φύσιν ἔχει ῥητοῦ καὶ δια-

---

13 Cod. εἴδομεν, omisso praecedente ἵν᾽. correxi ex Ald. p. 257. l. 27. 14 Cod. φυλαττόμενον, scripsi φυλάττομεν αὐτόν. — Cfr. Ald. p. 260. l. 3.

νοίας, δοκεῖ γὰρ καὶ αὐτὸς κατὰ μὲν ἓν μέρος ἔχειν τὸ ῥητὸν, καθ' ἕτερον δὲ τὴν διάνοιαν καὶ λέγειν, μὴ τοῦτο [15] σημαίνειν τὸν νόμον· ἀκόλουθον οὖν ἦν πᾶσαν τὴν τῶν ἁπλῶν ζήτησιν πρώτην ἐξετασθῆναι, καὶ οὕτω τὴν τῶν διπλῶν, ὅ ἐστι τὴν τῆς ἀντινομίας. Ἐζήτηται δὲ, τίνος χάριν ἐπιγραφὴν προσθεὶς πρῶτον ὅρον ἐπήγαγεν τοῦ συλλογισμοῦ· λέγομεν, ὅτι ὁ συλλογισμὸς πλείστην ἔχει πρὸς τὸ ῥητὸν καὶ διάνοιαν κοινωνίαν· καὶ οὐκ ἤρκει ἡ ἐπιγραφὴ μηνῦσαι τὴν φύσιν αὐτῶν, καὶ γὰρ ἄγραφόν τί ἐστι καὶ ἡ διάνοια, ἔγγραφον δὲ τὸ ῥητόν· διὰ τοῦτο προσέθηκε τὸν ὅρον αὐτοῦ, ἵνα τῷ ὅρῳ καὶ τῇ ὑπογραφῇ σαφέστερος γενόμενος ἀπυδιαστήσῃ τῶν ἄλλων· εἰδέναι δὲ χρὴ, [16] ὅτι συλλογισμῶν εἴδη τέσσαρα ἐκ τοῦ ἴσου, ὡς ὁ ἐκ τοῦ πόρνου κωλυόμενος λέγειν τοῦ νόμου τὸν ἐξαίρετον κωλύοντος· ἴσον γάρ φησιν ἐκ τοῦ ἀκολούθου, ὅπερ ἐστὶν ἐκ τοῦ μείζονος, ὡς ὁ ἀποκτείνας ἐν τῷ στίζειν τοῦ νόμου κελεύοντος ἐξεῖναι καταστίζειν τὸν μοιχὸν, ἐνταῦθα γὰρ συλλογίζεται τὸ ἐκβὰν λέγων, ὅτι εἰ τὸ στίζειν δέδωκε, καί τι μεῖζον ἐξ αὐτοῦ δέδωκε, καὶ ἐκ τοῦ ἥττονος, ὡς ἐπὶ τούτου· νόμου ὄντος τοὺς μοιχοὺς ἀνελεῖν μὴ ἀνελών τις ἀλλὰ στίξας κρίνεται· ἐνταῦθα γὰρ συλλογίζεται, εἰ τὸ μεῖζον τὸ ἀναιρεῖν δέδωκε, πολλῷ πλέον τὸ εὐτελέστερον τὸ καταστίζειν, καὶ ἐκ τοῦ ἐναντίου, νόμος τὸν λιπόντα τὴν τάξιν κολάζεσθαι· ἀριστεύς τις αἰτεῖ δωρεὰν, εἰ γάρ, φησὶν, ὁ λιπὼν τάξιν κολάζεται, δῆλον ὅτι ὁ ἀριστεύσας τιμηθήσεται.

*Ἐὰν μὲν περὶ δύο ῥητὰ ἢ καὶ πλείονα καὶ ἓν διαιρούμενον ἡ ζήτησις, ἢ ὅτε [1] καὶ ἐκ πλειόνων ῥητῶν, γίνεται ἀντινομία.* Παρά-

---

15 Cod. τοῦτον. 16 Cfr. Ald. p. 260. l. 11.

1 Cod. ὅτι scr. ὅτε.

δειγμα τοῦτο μηνύει· νόμος τὸν πεπηρωμένον ὑπὸ τῆς γυναικὸς χειραγωγεῖσθαι, καὶ προδότῃ τοὺς παῖδας συμφεύγειν, καὶ τὸν καταστείχοντα φυγάδα ἀνελεῖν· πέφευγέ τις θυγατέρα ἔχων ἄνδρα ἔχουσαν τυφλὸν, ἔμεινεν αὐτὸν χειραγωγοῦσα· ἀπέκτεινέν τις αὐτὴν καὶ κρίνεται· ἐνταῦθα γὰρ τρεῖς εἰσιν οἱ νόμοι· ὅ τε τὸν φυγάδα κελεύων ἀνελεῖν [2] καὶ ὁ τὸν ἄνδρα κελεύων χειραγωγεῖσθαι ὑπὸ τῆς γυναικὸς· καὶ ὁ κελεύων συμφυγεῖν τοὺς παῖδας μετὰ τοῦ πατρός.

Ἢ καὶ ἓν διαιρούμενον· ὅτι τοῦτο οὐ συνέστηκεν ἐν τοῖς ἐφεξῆς ἐροῦμεν· ὅτι δέ ἐστιν ἀντ' αὐτοῦ πάλιν προσθήσομεν, „μὴ φύσει ἐναντίων κατὰ περίστασιν δὲ μάχη.“ [3] ὡμολόγηται, [4] ὅτι πολιτεία οὐκ ἂν συσταίη, ἐν ᾗ φύσει ἐναντίοι ἀλλήλων εἰσὶν οἱ νόμοι· πῶς γὰρ ἂν κατὰ τὸν Δημοσθένη [5] ταὐτὰ κύρια καὶ μὴ κύρια ἐστὶν εὑρεῖν· ἀλλ' ἡ περίστασις, ὅπερ ἐστὶ τὸ συμβεβηκὸς, ποιεῖ τὴν μάχην καὶ τὴν ἐναντίωσιν· ἐὰν γὰρ εἴπω, ὅτι τὸν μοιχὸν μὴ ἐξεῖναι εἰς ἱερὸν ἰέναι καὶ τὸν ἀριστέα εἰς ἱερὸν ἀνατιθέναι τὴν σκευὴν, οὐδεμία ἐστὶν ἐναντίωσις· ἐὰν δὲ συμβῇ, τὸν αὐτὸν εἶναι καὶ μοιχὸν καὶ ἀριστέα, τὸ συμβὰν τοῦτο ποιεῖ τὴν ἐναντίωσιν· φησὶ δὲ, ὡς διπλῆ περίστασις ῥητοῦ καὶ διανοίας· εἰ γὰρ [6] πᾶν ῥητὸν ἢ ἑτέρῳ ῥητῷ ἢ διανοίᾳ λύεται, ἕκαστον δὲ τῶν ῥητῶν παρὰ τοῦ ἐναντίου τῇ διανοίᾳ λύεται, διπλοῦν ἂν εἴη ῥητὸν καὶ διάνοια· περὶ δὲ τοῦ κατὰ ἓν ῥητὸν διαιρούμενον γίνεσθαι ἀντινομίαν, παράδειγμα αὐτὸς τίθησι τὸν κατὰ ταὐτὸν δύο βιασάμενον, καὶ τὴν μὲν αἱρουμένην αὐτοῦ θάνατον, τὴν δὲ γάμον ἄπροικον· τοῦτο, ὡς εἰρήκαμεν, αὐτὸ τὴν

---

2 Cod. ἀνελεῖν (superscr. αιρ) 3 Cod. μάχης. 4 Cfr. Ald. p. 261. l. 16. 5 In orat. deperdita. — καὶ μὴ κύρια Cod. om. 6 εἰ γὰρ abest a codice, inserui coll. Ald. p. 264. l. 25.

ἀρχὴν σύστασιν οὐκ ἔχει, ἀλλ' ἔστιν ἀσύστατον κατὰ τὸ ἀπίθανον καὶ ἀδύνατον· πῶς γάρ ἐστι κατὰ ταὐτὸν τὰς δύο βιάσασθαι, ἀλλ' ἀνάγκη τὴν μὲν πρότερον, τὴν δὲ ὕστερον· ἔπειτα καὶ κατὰ ἄλλα ὁ νόμος ἰσάζει· εἰ γὰρ καὶ διάφοροι αἱ αἰτήσεις αὐτῶν, ἀλλ' ἡ τοῦ νόμου περίστασις μία τίς ἐστιν, ἐξ ἴσου γὰρ ἡ ἐξουσία αὐταῖς δέδοται, καὶ ἔτι τὰ εἴδη ἐπὶ πλειόνων συνίσταται, ἐπ' οὐδενὸς δὲ ἄλλου ζητήματος εὑρεθείη τοιοῦτον παράδειγμα. Ἀντεισακτέον οὖν ἀντὶ τούτου τοῦ εἴδους τῆς ἀντινομίας τοῦ καθ' ἓν ῥητὸν διαιρούμενον τὴν ἀντινομίαν ταύτην, ἣν αὐτὸς μὲν ὁ τεχνικὸς ἀγνοεῖ, πλείονες δὲ ἴσασι, καὶ ἡ πεῖρα διδάσκει· αὕτη δέ ἐστιν ἡ κατὰ ἓν ῥητὸν μὴ διαιρούμενον, ἀλλ' ἐξ ἴσου παρ' ἀμφοτέρων προφερόμενον τῶν μερῶν γινομένη, οὗ τὸ παράδειγμα τοῦτο· νόμος τὸν μὴ ἐπαμύνοντα δεομένοις τοῖς γονεῦσιν ἄτιμον εἶναι· ῥήτορος γονεῖς ἔθεντο διαζύγιον, ἐκάλεσαν ἀμφότεροι τὸν ῥήτορα εἰς τὸ δικαστήριον εἰς συνηγορίαν, συνηγόρησε τῇ μητρὶ καὶ ὁ πατὴρ ἡττηθεὶς ὑπάγει αὐτὸν τῇ ἀτιμίᾳ καὶ ἡ μήτηρ ἀντιλέγει· ἐνταῦθα γὰρ τὸ μὲν ῥητὸν οὐ διαιρεῖται ἐξ ἴσου, οὐδὲ παρ' ἀμφοτέρων προφέρεται, τοῦ τε πατρὸς μὴ βεβοηθηκέναι προβαλλομένου, καὶ δια τοῦτο ἀτιμοῦντος, καὶ τῆς μητρὸς [2] τὸ βεβοηθηκέναι καὶ διὰ τοῦτο ἐναντιουμένης· [3] ἐξ ἴσου δὲ οἱ δύο τὸ ῥητὸν ἀναγινώσκουσι, τὸν μὴ βοηθήσαντα τοῖς γονεῦσιν ἄτιμον εἶναι· ἕτερον δὲ παράδειγμά ἐστιν, ὃ καὶ μεμελέτηται, τὸν μὴ βοηθήσαντα δεομένοις τοῖς γονεῦσιν ἄτιμον εἶναι· ληφθείς τις ὑπὸ λῃσταῖς ἔγραψε περὶ λύτρων· ἡ γυνὴ αὐτοῦ δακρύουσα ἐτυφλώθη, ὁ παῖς ἐξελθὼν δέδωκεν ἑαυτὸν ἀντὶ τοῦ πατρὸς, ἐναπέθανεν

1 Cfr. Ald. p. 266. l. 30. sqq. 2 In cod. sequitur πρὸς, quod delevi. 3 Cod. ἐναντιουμένοις.

ὁ παῖς δεσμοῖς, ἔῤῥιψαν αὐτὸν οἱ λῃσταὶ εἰς τὴν θάλασσαν, προσηνέχθη τῇ πόλει· βούλεται αὐτὸν ὁ πατὴρ θάψαι, καὶ ἡ μήτηρ ἀντιλέγει ὡς ἀμελήσαντος αὐτοῦ ἐν τῇ πηρώσει τῆς μητρός· ἐνταῦθα γὰρ πάλιν τὸ ῥητὸν οὐ διῄρητο, ἀλλ' ἐξ ἴσου ἀμφότεροι ἔχουσιν, ἡ μὲν ὡς οὐ βεβοήθηκέ μοι τετυφλωμένῃ, ὁ δὲ ὡς ἐν δεσμοῖς ὄντα με ἐῤῥύσατο· ἄμεινον οὖν ταύτην τὴν ἀντινομίαν εἰσενεγκεῖν τὴν καὶ ἐν πείρᾳ [4] οὖσαν καὶ διὰ πλειόνων παραδειγμάτων συστῆναι δυναμένην ἀντὶ τῆς „ἢ ἓν ῥητὸν διαιρούμενον."

Ἔστι γὰρ ἀμφιβολία ἀμφισβήτησις περὶ ῥητὸν ἐκ προσῳδίας ἢ διαστάσεως συλλαβῶν γινομένη· τελευταία τῶν νομικῶν ἡ ἀμφιβολία·[5] αὐτὴ δὲ καθ' ἑαυτὴν ἡ σύστασις μελέτην ἢ ζήτησιν οὐκ ἂν ἐπιδέξαιτο, ἀσθενής τις οὖσα καὶ εὐτελής, ἐν ἑτέραις δὲ ἀναφύεται στάσεσιν, ὡς καὶ ὁ Δημοσθένης ἐν τῷ παραπρεσβείας [6] φαίνεται τὴν χρῆσιν αὐτῆς εἰδὼς λέγων, „εἰ μὲν οὖν πολεμοῦσιν ἡμῖν ἀνεῖλεν ὁ θεὸς τοὺς ἡγεμόνας φυλάττεσθαι, τοὺς στρατηγοὺς λέγει, εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς [7] ἐπὶ τῆς πολιτείας ἐφεστηκότας." Δύο δὲ εἴδη μόνον οἶδεν αὐτὸς ὁ τεχνικὸς ὄντος ἑτέρου καὶ τρίτου καὶ ἀναγκαιοτέρου καὶ μάλιστα ἐν τῇ χρήσει τυγχάνοντος. τοῦτο δέ ἐστιν ὃ καλεῖται ὁμωνυμία, ὅταν ἓν ὄνομα δύο προσώποις ἢ πράγμασιν ἁρμόττῃ, [8] ὡς ἐπὶ τοῦ, „τοὺς ἡγεμόνας ἀνεῖλεν ὁ θεὸς φυλάττεσθαι καὶ ἀμφισβητοῦσι πρὸς ἑαυτοὺς οἱ ῥήτορες καὶ οἱ στρατηγοί," ἀμφιβολία ἐστὶν, τίς θεὸς κελεύει φυλάττεσθαι.

Ἠσάν τῳ δύο παῖδες· τοῦτό ἐστιν οὐ τὸ τυχὸν πταῖσμα τοῦ τεχνικοῦ, ἀσύστατον γὰρ παντελῶς ἐστι τὸ ζήτημα κατὰ τὸ ἰσάζον· κατὰ τί γὰρ ἕξει τὴν ἀμφισβή-

4 Scriptum videtur ἐμπείρα. 5 Cod. ἀμφισβήτησιν, scripsi ἀμφιβολία ex Ald. p. 271. l. 18. 6 p. 436. 7 τοὺς — ἐφεστηκότας per lacunam om. Cod. 8 Cod. ἁρμόττει.

τησιν ᾖ τὴν ἀπόδειξιν· ἢ ὁ συνηγορῶν τῷ λέγοντι „πάντα τὰ ἐμὰ Λέοντι," ἢ ὁ λέγων „πάντα τὰ ἐμὰ Πανταλέοντι." οὐ μέντοι φημὶ αὐτὸ τὸ εἶδος ἀσύστατον εἶναι, ἀλλὰ τὸ ζήτημα κατὰ τὴν περίστασιν ἀδύνατον εἶναι· δύναιτο δ' ἂν καὶ τοῦτο τὸ ζήτημα συστῆναι, εἰ περιστάσεως λάβοιτο· εἰ γὰρ οὕτως ὁρίσῃς, ὅτι ἦσάν τῳ δύο παῖδες, Λέων μὲν ἰατρὸς ἦν,[9] Πανταλέων δὲ ῥήτωρ· ἔγραψεν ἐν ταῖς διαθήκαις, βούλομαι τἀμὰ πάντα Λέοντι· καὶ ὁ μὲν ἀναγινώσκει πάντα Λέοντι, ὁ δὲ ὑφ' ἓν Πανταλέοντι· ἡ ἐναλλαγὴ τῆς ποιότητος τῶν προσώπων δύναται τὴν ἀμφισβήτησιν δέξασθαι, τοῦ μὲν ἐροῦντος, ὡς τιμιώτερον ἡγήσατο τὸ τοῦ ῥήτορος, τοῦ δὲ ὡς ἀναγκαιότερον τὸ τοῦ ἰατροῦ, καὶ ἡ τῶν ἐπιτηδευμάτων διαφορὰ τὴν ποιότητα τῶν λόγων ἐκδέχεται, καὶ τοῦτο μὲν τὸ ζήτημα οὕτω συσταίη· εἰσὶ δὲ τοῦ εἴδους τούτου παραδείγματα ἕτερα οὐκ ἰσάζοντα· οἷον ἀριστεὺς τελευτῶν ἔγραψεν ἐν ταῖς διαθήκαις γενέσθαι Ἄρεα χρυσοῦν δόρυ ἔχοντα· καὶ ὁ μὲν ἱερεὺς ἀναγινώσκει ὑποστίζων Ἄρεα χρυσοῦν, εἶτα δόρυ ἔχοντα, ἵνα τὸ πᾶν ἄγαλμα ᾖ χρυσοῦν· οἱ δὲ κληρονόμοι Ἄρεα, εἶτα χρυσοῦν δόρυ ἔχοντα, ἐνταῦθα γὰρ διαφορὰν ἔχει πλείστην τὸ πρᾶγμα· τοῦ μὲν λέγοντος, ὅτι αὐτὸ τὸ δόρυ, δι' οὗ ἦν ἀριστεὺς, ἠβούλετο εἶναι χρυσοῦν, καὶ οὐ τὴν πᾶσαν οὐσίαν δαπανῆσαι εἰς τὴν τοῦ ἀγάλματος ποίησιν, τοῦ δὲ ὡς οὐκ ἐβούλετο ἐν μέρει τὸν θεὸν τιμᾶν, καὶ ἐν μέρει ὑβρίζειν.

*Τὴν δὲ μετάληψιν οὐκέτι ὁμοίως, ἀλλ' ὅταν ζήτησις ᾖ περὶ τοῦ εἰ δεῖ τὸν ἀγῶνα εἰσελθεῖν.* ἐνταῦθα μέγιστόν ἐστι τοῦ τεχνικοῦ πταῖσμα,[10] οὐδὲ γὰρ πᾶσα μετάληψις περὶ τοῦτ' ἐστιν, ἀλλ' ἡ ἔγγραφος. Τῆς γὰρ μεταλήψεως, ὡς καὶ αὐτὸς ἐπάγει,

9 Cod. ἦ. 10 Cfr. Ald. p. 276. l. 21.

εἴδη δύο, ἡ μὲν ἔγγραφος, ἡ δὲ ἄγραφος, ἣ πᾶσα εὐθυδικία ἐστὶ, καὶ οὐ περὶ εἰσαγωγῆς ἔχει τὴν ζήτησιν, ἀλλὰ περὶ τῆς τοῦ πράγματος περιστάσεως· ἐὰν γὰρ εἴπω, ἐξέστω τὸν μοιχὸν καὶ τὴν μοιχευομένην ἀποκτεῖναι, Ὀρέστης ἀπέκτεινε μοιχευομένην, καὶ κρίνεται, οὐ περὶ εἰσόδου ἐστὶν ἡ ζήτησις, ἀλλὰ περὶ αὐτῆς τῆς εὐθυδικίας μεταλαμβάνεται· ἐκ τοῦ προσώπου, ὅτι σε παῖδα ὄντα οὐκ ἐχρῆν φονεῦσαι· ἐχρῆν οὖν μὴ οὕτως ὁρίσαι, ἀλλ' εἰπεῖν· „τὴν μετάληψιν οὐκ ἔτι ὁμοίως ἐπιγνωσόμεθα, ἔστι γὰρ αὐτῆς ἡ ζήτησις περὶ τοῦ τὸν ἀγῶνα εἰσελθεῖν, ἢ περί τινος τῶν περιστατικῶν“· ἵνα καὶ τὴν ἄγραφόν περιέλαβε τὴν ἔχουσαν περὶ εὐθυδικίας τὴν ζήτησιν, μεταλαμβανομένην δὲ ἀπό τινος τῶν περιστατικῶν, καὶ τὴν ἔγγραφον τὴν τελείαν οὖσαν ἀπαγωγὴν τῆς εὐθυδικίας. Ὅτι δὲ διαφέρει παραγραφὴ παραγραφικοῦ ἐν τῷ περὶ διαιρέσεως τοῦ στοχασμοῦ ἀναγκαῖον εἰπεῖν· εἰ γὰρ κἀκεῖνο δοκεῖ ἀπαγωγῆς εἶναι τῆς εὐθυδικίας, ἀλλὰ τὴν ἀκριβῆ αὐτοῦ διαφορὰν ἐκεῖσε ἐροῦμεν· εἰδέναι [11] δὲ χρὴ, ὡς πᾶσα παραγραφὴ, ἥτις ἐστὶ καὶ ἔγγραφος μετάληψις, μεταλαμβάνεται γὰρ, εἴδη ἔχει δύο, ὥσπερ καὶ ἡ πραγματικὴ, ἡ μὲν ἔγγραφος, ἡ δὲ ἄγραφος. Καὶ ἡ μὲν ἄγραφος ὁμωνύμως τῷ γένει μετάληψις καλεῖται, ἡ δὲ ἔγγραφος παραγραφὴ καλεῖται, παρ' ἐνίων δὲ ἔγγραφος μετάληψις· ἡ μὲν ἔγγραφος αὕτη μετάληψις κατὰ δύο στάσεις μελετᾶται, μίαν μὲν τὴν προτέραν τὴν νομικὴν, ἥτις ἂν ἐμπέσοι· ἑτέραν δὲ τὴν εὐθυδικίαν, ἥτις ἐκ τῆς φύσεως τοῦ πράγματος ἀναφύεται· οἷον δ' ἐπὶ τῆς παραγραφῆς τῆς ὑπὲρ Φορμίωνος στοχαστικὴ ἀνεφύη ἡ δευτέρα, ἥτις εὐθυδικίας ζήτησις, πότερον χρεωστεῖ τὴν ἐνθήκην τῆς τραπέζης Φορμίων ἢ οὔ· ἐπὶ δὲ τῇ πρὸς Πανταίνετον μεταστατικῇ

11 Cfr. Ald. p. 384. l. 11.

ἐπὶ Εὐέργου[12] μὲν ἢ Εὐβούλου μετάγοντος, τῆς τε εἰς τὸ διπλοῦν ἐγγραφῆς, καὶ τῆς τοῦ μετάλλου ἐμπειρίας. ὡμολόγηται οὖν αὐτὸ τοῦτο, ὅτι ἡ μὲν πρώτη ζήτησις ἡ περὶ τῆς παραγραφῆς κατὰ μίαν τῶν νομικῶν ἔχει τὴν ζήτησιν· ἡ δὲ ἑτέρα εὐθυδικία οὐ κεχωρισμένην[13] τινὰ ἀλλ᾽ ἀπὸ τῆς φύσεως τοῦ πράγματος· τὸ μὲν παράδειγμα, ὅτε ἔθηκεν[14] αὐτὸς, ὀνομάζει εἶναι ῥητὸν καὶ διάνοιαν τὸ τοῦ ἀνδροφόνου κακῶς νομισθέν· ἀλλ᾽ ἐπειδὴ τὴν καθ᾽ ὁμωνυμίαν ἀμφιβολίαν ἠγνόησεν,[15] εἰκότως καὶ ἐνταῦθα πεπλάνηται· ἐστὶ γὰρ ἡ πρώτη ζήτησις κατὰ ἀμφιβολίαν, πότερον δίκας λέγει τὰς τιμωρίας ἢ αὐτὸ τὸ δικάσασθαι· οὐδὲ γὰρ ἡ τοῦ ῥητοῦ διάνοια ζητεῖται, ἀλλ᾽ αὐτὸ τὸ ὄνομα τί σημαίνει.

Ἡ δὲ ἄγραφος ἐστὶ μὲν ἀπαγωγὴ τῆς εὐθυδικίας. ἔμεινεν ἐπὶ τοῦ πταίσματος ὁμοίως·[16] παντελῶς γὰρ οὐκ ἔστιν ἀπαγωγὴ τῆς εὐθυδικίας ἡ ἄγραφος, ἀλλ᾽ εὐθυδικία ταύτῃ εἰσαγώγιμος· εἰ μὲν γὰρ ἐρεῖ, ὅτι διαβολὴ γίνεται ἀπ᾽ ἀρχῆς τῆς εὐθυδικίας ἐν ἀρχῇ τοῦ φεύγοντος ἐπὶ τὴν ἐξουσίαν καταφεύγοντος, καὶ ἐν ἀντιλήψει τοῦτο συμβαίνει, καὶ ἐν στοχασμῷ, καὶ καθόλου ἐν οἷς τί ἐστιν ἐπταισμένον τῶν περιστατικῶν, διαβολή ἐστι τοῦ ἀγῶνος, οὐ μὴν διὰ τοῦτο ἀπαγωγὴ τῆς εὐθυδικίας τελεία, ὥσπερ καὶ ἐν τῇ διαιρέσει τῆς ἀντιλήψεως αὐτὸ πρῶτον κεφάλαιον ἔθηκεν τὰ μόρια τοῦ δικαίου καὶ τὸ πρόσωπον δεύτερον, ἀμφότερα παραγραφικοῦ τάξιν ἔχοντα, οὐκ ἐπειδὴ διαβάλλουσι τῇ τοῦ παραγραφικοῦ τάξει ἀμφότερα τὰ κεφάλαια, ἐν τῇ ἀντιλήψει ἤδη καὶ ἀγωγή ἐστι τῆς εὐθυδικίας· καὶ τὸ παραγραφικὸν δὲ τοῦ στοχασμοῦ ὅταν ἐμπέσῃ, διαβολὴν ποιεῖ τοῦ ἀγῶνος, ἀλλ᾽ οὐκ ἤδη ἀπαγωγὴ τῆς εὐθυδικίας ὁ

---

12 Cod. εὐεργέτου, scr. Εὐέργου, coll. Dem. adv. Pantaen. p. 965. 13 Cod. χωρισμένην. 14 Cod. ἔθεικεν. 15 Cfr. Ald. p. 284. l. 30. 16 Cfr. Ald. p. 289. l. 7.

στοχασμός· μέγιστον οὖν αὐτῷ πταῖσμα τὸ νομίσαι τὴν ἔγγραφον καὶ τὴν ἄγραφον τὴν αὐτὴν ἔχειν[17] φύσιν· ἀλλὰ περί τι τῶν περὶ τὸ πρᾶγμα τῶν περιστατικῶν λέγει ὃ καὶ ἐπάγει, „ὅταν τὸ μὲν πρᾶγμα συγχωρῶμεν, ἐν δὲ τούτων αἰτιώμεθα μεταλαμβάνοντες·" εἰ συγχωροῦμεν τὸ πρᾶγμα, πῶς ἀπαγωγή ἐστι τῆς εὐθυδικίας; ἐν γὰρ τῇ ἀπαγωγῇ τῆς εὐθυδικίας ὅλως οὐ συγχωροῦμεν τὸ πρᾶγμα, ὡς μαρτυρεῖ ἡ πεῖρα τῶν παραγραφῶν τῶν παρὰ τοῖς ῥήτορσι μεμελετημένων, οὔτε γὰρ ὁ Αἰσχίνης συνεχώρησε τῷ Τιμάρχῳ τὸ πρᾶγμα, ἀλλ' ὀρθὸν ἐξέβαλε τὸ πρόσωπον, ὡς αἱ παρὰ Δημοσθένει παραγραφαὶ οὐ συγχωροῦσι τὸ πρᾶγμα, ἀλλὰ τὴν ζήτησιν ἔχουσι περὶ τοῦ εἰ δεῖ εἰσελθεῖν· διὸ καὶ ἀντιστρέφουσι τὸν ἀγῶνα· τὸν γὰρ φεύγοντα πρῶτον ποιοῦσι λέγειν κατηγόρου τάξιν ἔχοντα, ὡς καὶ ὁ Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου·[18] „προλαβὼν δὲ τὸ πρότερος λέγειν διὰ τὸ παραγραφὴν ἀγωνίζεσθαι·" ἤγουν συγχωροῦμεν τὸ πρᾶγμα, οὔτε ἀντιστρέφομεν τὸν ἀγῶνα, οὔτε ἀπαγωγή ἐστι τῆς εὐθυδικίας τελεία.

*Εἰδέναι δὲ δεῖ, ὡς τὰ περὶ στοχασμοῦ λεγόμενα σχεδὸν εἰς ἅπαντα συντελεῖ.* καὶ τοῦτο κακῶς εἶπεν, οὐδὲ γὰρ τῶν περὶ στοχασμοῦ λεγομένων εἰς ἄλλας στάσεις συντελεῖ, ἀλλ' αὐτὴ μόνη ἡ στάσις ἴδια κεφάλαια ἔχει· ὁ μὲν γὰρ ὅρος καὶ τὰ ἑξῆς κοινὰ ἔχουσι τὰ κεφάλαια ἀλλήλων τῆς διαφορᾶς ἢ ἐν τῇ ἐναλλαγῇ ἢ ἐν τῇ τάξει γινομένης, τὰ δὲ τοῦ στοχασμοῦ κεφάλαια οὐδενὶ ἁρμόττει. τοῦτο οὖν ἠθέλησε μηνῦσαι, ὅτι αὐτὸς ὁ στοχασμὸς πλείοσιν ἁρμόζει στάσεσι. Καλῶς οὖν εἶπεν, ὅτι τὰ περὶ αὐτοῦ λεγόμενα. ἀλλ' ἐχρῆν εἰπεῖν, ὅτι εἰδέναι δυσχερῆ, ὡς ὁ στοχασμὸς ἐν πλείοσιν ἐμ-

---

17 Cod. ἔχει. 18 Contra Steph. I. p. 1103. — Cod. οἱ προλαβὼν, natum οἱ ex praeced. Στεφάνου.

ἐμπίπτει στάσεσι, διὸ καὶ πρῶτος τῶν ἄλλων τέτακται. ὅτι δὲ ἐν πλείοσιν ἐμπίπτει στάσεσιν, ἐν τῷ περὶ αὐτοῦ λόγῳ λελέξεται· καὶ ἡ μὲν μέθοδος αὕτη· ἐφεξῆς δὲ καὶ περὶ τῆς διαιρέσεως ἐροῦμεν. Κοινωνεῖ σφόδρα τὸ ῥητὸν καὶ ἡ διάνοια, καὶ ὁ ὅρος κατὰ νόμον γενόμενος τῷ[19] ἀμφότεροι ἐπὶ τὴν τοῦ ῥητοῦ ἐξέτασιν καταφεύγειν, καὶ παράδειγμα μὲν ῥητοῦ καὶ διανοίας ὁ ῥίψας τὴν ἀσπίδα καὶ ἀποκτείνας τὸν τῶν πολεμίων στρατηγὸν, καὶ κρινόμενος ὡς ῥίψασπις· τοῦ δὲ ὅρου τὴν τρὶς γαμηθεῖσαν ἄτιμον εἶναι· ἀπολιποῦσά τις τὸν πρότερον ἄνδρα ἐγαμήθη δευτέρῳ, πάλιν διαλυσαμένη αὐτὸν πρὸς τὸν πρῶτον ὑπέστρεψε καὶ κρίνεται· ἐνταῦθα γὰρ τοῦτο αὐτό ἐστι τὸ ζητούμενον, εἰ τοῦτό ἐστι τὸ τρὶς γαμηθῆναι· ὥσπερ οὖν ἐν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ λέγομεν, μὴ τοῦτο σημαίνειν τὸ πρᾶγμα, ὃ λέγει ὁ νόμος· ἐν δὲ τῷ ὅρῳ λέγομεν μὲν μὴ εἶναι τοῦτο τρὶς γαμηθῆναι, καὶ οὐ τὴν διάνοιαν ἐξηγούμεθα τοῦ νόμου, ἀλλ' ὁμολογοῦντες τὴν διάνοιαν προσαπεναντιούμεθα· διαφέρουσιν οὖν, ὅτι ἐν μὲν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ ὁμολογούμενόν ἐστι τὸ ῥητὸν καὶ κρατοῦν καὶ ἰσχύον· τὸν δὲ σκοπὸν αὐτοῦ ζητοῦμεν, διατί[20] διανοίᾳ χρώμεθα· ἐν δὲ τῷ ὅρῳ πρὸς αὐτὸ τὸ ῥητόν ἐστιν ἡ μάχη, εἰ ὅλως παραβέβασται. Οἱ συλλογισμοὶ τοῖς ὅροις κοινωνοῦσιν, ὡς καὶ αὐτὴ ἡ φύσις τοῦ πράγματος ἐδίδαξε κεφάλαιον τοῦ ὅρου τὸν συλλογισμὸν ποιήσασα· ὁ γὰρ ὁριζόμενος ἀνάγκην ἔχει καὶ συλλογίσασθαι, ὅτι τοῦτο τούτου οὐδὲν διαφέρει· διαφέρει δὲ, ὅτι ἐν μὲν τοῖς ὅροις πρὸς τὸ ῥητὸν μαχόμεθα μὴ εἶναι τοῦτο λέγοντες, ἐν δὲ τοῖς συλλογισμοῖς τὸ ἐναντίον τὸ ῥητὸν ἀφομοιοῦμεν τῷ πεπραγμένῳ· καὶ ὅτι ἐν συλλογισμῷ τὸ ῥητὸν ἐξ ἀνθυποφορᾶς λαμβάνει, ἔπειτα

19 Cod. τό. 20 διατί abest a cod. Adjeci sensu tale quid postulante. — l. 22. Cod. πρὸς αὐτῷ. et l. 25. ποιήσας.

ἀφεὶς τὸ ὁρίζεσθαι ἐπὶ τὸ ὅμοιον αὐτὸ δεικνύναι μεταβαίνει. Παράδειγμα ὅρου, τὸν μὴ ὁλόκληρον μὴ ἱερᾶσθαι, μὴ γελῶν τις κωλύεται ἱερᾶσθαι· συλλογισμοῦ δὲ, νόμος τὸν ἡταιρηκότα μὴ λέγειν, Τίμαρχος ἑταιρήσεως διδάσκων παῖδας κρίνεται· κοινωνεῖ τὸ ῥητὸν καὶ ἡ διάνοια τῇ πραγματικῇ τῇ κατὰ ῥητὸν καὶ διάνοιαν μελετωμένῃ, ὅτι ἐν ἀμφοτέραις ταῖς στάσεσιν ἡ τοῦ ῥητοῦ διάνοια ἐξετάζεται, καὶ πραγματικῆς μὲν παράδειγμα, τὸν ἀστράτευτον μὴ στρατηγεῖν, ἀστράτευτος ἀποκτείνας τύραννον ἀξιοῖ στρατηγεῖν· καὶ τὸν ῥίψαντα τὴν ἀσπίδα τεθνάναι, ῥίψας τις τὴν ἀσπίδα ἀπέκτεινε τὸν τῶν πολεμίων στρατηγὸν καὶ ὑπάγεται τῷ νόμῳ· διαφέρει δὲ, ὅτι ἐν μὲν τῇ πραγματικῇ ὑπὲρ τοῦ τι πραχθῆναι εἴς τι μήν ἐστιν ἡ ζήτησις, ἐν δὲ τῷ ῥητῷ καὶ διανοίᾳ ὑπὲρ τοῦ τιμωρηθῆναι, καὶ ὅτι ἐν μὲν τῇ πραγματικῇ ἰσχυρὰ σφόδρα ἐστὶν ἡ τοῦ ῥητοῦ καὶ τῆς διανοίας ζήτησις. Λέγεται γὰρ, εἴτε δεῖ ὅπλα φορέσαι, ἐφόρεσεν, εἴτε μάχεσθαι, ἐμαχέσατο, εἴτε πολέμιον ἀποκτεῖναι, πολέμιος ὁ τύραννος ὁ ἀνῃρημένος· ἐν δὲ ῥητῷ καὶ τῇ διανοίᾳ ἀσθενής ἐστιν, οὐ γὰρ δύναται ἰσχυρῶς ἀγωνίζεσθαι, ὅτι οὐ τὸ ῥῖψαι ἐστὶν τὴν ἀσπίδα· ἐγχειρήματι μὲν χρῆται, ὅτι οὐ τοῦ ῥῖψαι τὴν ἀσπίδα ἀλλ' ἀριστεῦσαι, οὐκ ἰσχυρῶς δὲ, ἀναισχυντεῖ γὰρ, ἀλλ' ὁμολογεῖ μὲν τοῦτο ῥῖψαι εἶναι τὴν ἀσπίδα, ἐπὶ ὠφελείᾳ δὲ, ἐκεῖ δὲ ἐναγωνίζεται τὸ μηδὲ ἀστράτευτον εἶναι λέγειν. Κοινωνεῖ τὸ κατὰ αἴτησιν ῥητὸν καὶ διάνοια[21] τῇ πραγματικῇ καὶ τῷ ὅρῳ τοῖς κατὰ αἴτησιν τῷ εἶναι πανταχοῦ αἴτησιν καὶ τὴν ζήτησιν εἰ δεῖ δοθῆναι, διαφέρει δὲ ὅτι[22] ἐν μὲν τῇ πραγματικῇ τῇ κατὰ αἴτησιν δοθῆναι ὡμολόγηται, ἐν δὲ τῷ ῥητῷ καὶ τῇ διανοίᾳ οὐχ ὡμολόγηται, ἀλλ' αὐτό ἐστι τὸ ζητούμενον, καὶ πραγματικῆς μὲν παράδειγμα ὁ Κλέων

---

21 Cod. διάνοιαν. 22 Cod. τῷ, scr. ὅτι.

ἀξιῶν Πύθιος καλεῖσθαι· ὁ δὲ Δημοσθένης ὁ πείσας Φίλιππον ἀποδοῦναι Ἀμφίπολιν. Τοῦ δὲ ῥητοῦ καὶ τῆς διανοίας ὁ ἄσωτος ὁ πηρώσας ἑαυτὸν καὶ ἀξιῶν τρέφεσθαι ἐκ τοῦ δημοσίου, τοῦ νόμου τοὺς πεπηρωμένους τοῦτο ἔχειν κελεύοντος. Εἴπομεν οὖν τῆς πραγματικῆς τὴν πρὸς τὸ ῥητὸν καὶ διάνοιαν διαφοράν· τὴν δὲ τοῦ ὅρου εἴπομεν, ἐπειδὴ καὶ ἐν αὐτῷ ἔδει δοθῆναι ὅλως. ἐστὶν ἡ ζήτησις, ὅτι ἐν μὲν τῷ ὅρῳ ζητοῦμεν, εἰ τὸ πεπραγμένον ταὐτόν ἐστι τῷ ῥητῷ, καὶ διωμολόγηται τὸ δοθῆναι· ἐν δὲ τῷ ῥητῷ καὶ τῇ διανοίᾳ ὡμολόγηται μὲν, ὅ τοῦτό ἐστι τὸ εἶναι πεπηρωμένον, οὐ γὰρ πρὸς τὸ πραχθὲν πρᾶγμα ἐναντιούμεθα, οὐδὲ λέγομεν αὐτὸν μὴ τετυφλῶσθαι, ἀλλὰ τὴν διάνοιαν τοῦ νόμου ζητοῦμεν· τόν ποτε πεπηρωμένον λέγει τὸν ἀπὸ τῆς τύχης ἢ ἑκουσίως· τὸ ῥητὸν καὶ ἡ διάνοια καὶ ὁ συλλογισμὸς κοινωνοῦσι σφόδρα, ὡς ἐπὶ τούτου τοῦ παραδείγματος. νόμος τὸν ἄπαιδα μὴ στρατηγεῖν· τῷ πατρὶ συνεστρατεύοντο παῖδες, πεπτώκασι καὶ κωλύεται στρατηγεῖν· δοκεῖ γὰρ τῷ συλλογισμὸς εἶναι ὅτι ταὐτόν ἐστι τῷ μηδὲ ὅλως ἔχειν τὸν ἔχοντα ἀποκαλεῖν καὶ οὐδὲν διαφέρει· οὐ μέντοι ἐστὶν ἡ στάσις συλλογισμὸς, ἀλλὰ ῥητὸν καὶ διάνοια, τοῦ φεύγοντος ἐπὶ τὴν διάνοιαν καταφεύγοντος καὶ ἐξηγουμένου, ὅτι ἄπαιδα λέγει τὸν μὴ ἔχοντα παῖδα, οὐ τὸν διὰ τύχην καὶ ἀριστείαν ἀποβάλλοντα. Τίνι οὖν διαφέρει; ὅτι ἐν μὲν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ καταφυγὴν καὶ δίωξιν, ὁ κατήγορος ἔχει τὸ ῥητὸν καὶ ὁ φεύγων τὴν διάνοιαν· ἐν δὲ τῷ συλλογισμῷ τὸ ἐναντίον ὁ φεύγων τῷ ῥητῷ χρῆται, καὶ ὁ κατήγορος τῇ διανοίᾳ· ὅταν γὰρ ᾗ τὸν ἐκ πόρνης μὴ λέγειν, καὶ ἐκ πόρνου γεγονότα τις κωλύει, ἐνταῦθα ὁ φεύγων τῇ διανοίᾳ χρῆται λέγων, ὅτι τὸν[23] ἐκ πόρνης ὁ νόμος ἐτιμωρήσατο, ὁ δὲ τῇ διανοίᾳ ὁ διώκων ταὐτὸν εἶναι λέγων καὶ μηδὲν διαφέρειν, ἀλλὰ τὴν

23 Cod. τῶν.

δυσγένειαν εἶναι τὴν μεμισημένην· οὐ δύναται γὰρ τῷ νόμῳ ὁ κατήγορος χρήσασθαι, ἀλλὰ τῇ διανοίᾳ κατασκευάζει ταὐτὸν [24] εἶναι τοῦτο λέγων. Κοινωνοῦσιν ἡ ἀντίστασις καὶ τὸ ῥητὸν καὶ ἡ διάνοια σφόδρα τῷ εὐεργεσίαν ἐν ἀμφοτέροις παρὰ τοῦ φεύγοντος δείκνυσθαι πραχθεῖσαν· διαφέρει δὲ, ὅτι ἐν μὲν τῇ ἀντιστάσει πονηρόν ἐστι τὸ πεπραγμένον· ἐν δὲ τῷ ῥητῷ καὶ τῇ διανοίᾳ οὐ φύσει πονηρόν ἐστιν, ἀλλὰ τὸ ῥητὸν αὐτὸ ποιεῖ πονηρὸν εἶναι· ἀναιρεθέντος γὰρ τοῦ ῥητοῦ ἀσύστατος ἡ ὑπόθεσις· ἐν δὲ τῇ ἀντιστάσει ἡ φύσις ἐστὶν αὐτὴν τὴν κατηγορίαν ποιοῦσα· δόξειε δ᾽ ἂν καὶ ὁ συλλογισμὸς τῷ ἀντεγκλήματι κοινωνεῖν, ὡς ἐπὶ τοῦ Τιμάρχου τοῦ διδάσκοντος παῖδας καὶ κωλυομένου, δύναται γὰρ λέγειν, ὅτι εἰ μὴ τοῦτο ὁ νόμος κελεύει, ἀλλ᾽ ἀνάξιος εἶ διὰ τὸ πεπορνευκέναι· διαφέρει δὲ, ὅτι ἐν μὲν τῷ ἀντεγκλήματι περὶ τοῦ γεγονότος ἐγκαλοῦμεν, ἐν δὲ τῷ συλλογισμῷ περὶ τοῦ μέλλοντος, εἰ δεῖ αὐτὸν ὡς ἄξιον τόδε τι παθεῖν· καὶ κοινωνεῖ ἡ ἀντίληψις σφόδρα τῇ μεταλήψει, τὴν ἐξουσίαν γὰρ ὁ φεύγων ἐν ἀμφοτέροις προβάλλεται, ὡς ἐπὶ τούτου [ὁ νόμος] [25]· νόμος ἐξεῖναι τοῖς πατράσιν ἀκρίτως τοὺς παῖδας ἀποκτιννύναι· στρατηγοῦντά τις τὸν υἱὸν ἀπέκτεινε καὶ κρίνεται δημοσίων ἀδικημάτων· καὶ τρισαριστέα τις μοιχὸν ἀπέκτεινε καὶ κρίνεται φόνου· ἀμφοτέροις γὰρ καὶ φόνος ἐστὶν, καὶ τὴν ἐξουσίαν ἔχουσιν ἀμφότεροι κατὰ νόμον πεποιηκότες προβάλλεσθαι. Διαφέρει δὲ, ὅτι ἴδιον μὲν ἀντιλήψεως τὸ ἀκόλουθον ἔχειν τὸ ὄνομα τῆς γραφῆς τῷ πεπραγμένῳ· μεταλήψεως δὲ τὸ ἕτερον εἶναι τὸ ὄνομα τοῦ ἐγκλήματος· ἐν γὰρ τῷ ἀριστεῖ φόνον ποιήσας φόνου κρίνεται, διὸ ἀντίληψις· ἐν δὲ τῇ μεταλήψει ἀντεγκλήματι φόνον ποιήσας ὁ πατὴρ δημοσίων ἀδικημάτων κρίνεται, διὸ καὶ

24 Cod. σὸν, et l. 4. τὸ εὐεργ. 25 ὁ νόμος uncis inclusi.

μετάληψις αὕτη μεταλαμβανομένου ἀπὸ τοῦ προσώπου, ὅτι στρατηγὸν οὐκ ἐχρῆν, τοῦτο γὰρ τὴν πόλιν ἀδικεῖ, ἔτι δὲ ἡ μετάληψις κοινωνεῖ τῷ συλλογισμῷ, ὡς ἐπὶ τούτου· μοιχόν τις λαβὼν ἀπέκτεινεν καὶ κρίνεται· δύναται δοκεῖν εἶναι σύλλογισμὸς, τῷ συλλογίζεσθαι τὸν φεύγοντα, καὶ λέγειν μηδὲν διαφέρειν, εἴτε νῦν εἴτε ἄλλοτε ἀνῄρηται, ὅτε ὁ νόμος ἐδίδου μοι τὸ ἀνελεῖν· ἀλλ' αὕτη ἡ διαφορὰ, ὅτι ἐν μὲν τῷ συλλογισμῷ ὁ μὲν φεύγων τὸ ῥητὸν προβάλλεται, ὁ δὲ κατήγορος τὴν ὁμοιότητα.[26] καὶ αὗται μὲν αἱ τῶν στάσεων διαφοραὶ καὶ κοινωνίαι.

## Σωπάτρου περὶ στοχασμοῦ.

Ἐζήτηται, τί δήποτε περὶ στοχασμοῦ πρῶτον ὁ τεχνικὸς διαλαμβάνει· ἐροῦμεν οὖν, ὅτι ὁ στοχασμὸς περὶ ὑπάρξεως[1] ἔχει τὴν ζήτησιν· ἡ δὲ ὕπαρξις πρὸ πάντων ἐστὶ τῆς τε ἰδιότητος καὶ τῆς ποιότητος· καὶ ὅτι φυσικῶς ἐν πάσαις ἐμπίπτει ταῖς στάσεσιν καὶ ταῖς νομικαῖς καὶ ταῖς λογικαῖς· ἢ κατὰ γνώμης ἐξέτασιν, ἢ κατὰ νομοθέτου ἢ κατά τι τῶν τοιούτων· ἢ ὅτι ἡ στοχαστικὴ ζήτησις ἐξ αὐτοῦ τοῦ ὀνόματος τὴν πίστιν ἔχει πρὸ πάντων οὖσα. Τὰ γὰρ ἄδηλα πρὸ τῶν δήλων ἀναγκαῖον κατασκευάζεσθαι· ἡ μὲν οὖν αἰτία τοῦ πρῶτον διαλαβεῖν περὶ τοῦ στοχασμοῦ αὕτη· ἐπισκεψόμεθα δὲ καὶ τὰ κεφάλαια τῶν τοῦ στοχασμοῦ κεφαλαίων· τὰ μέν ἐστι τοῦ προσώπου, τὰ δὲ τοῦ πράγματος, τὰ δὲ κοινὰ ἀμφοτέρων· καὶ μία μὲν ἐν αὐτῇ διαίρεσις, καὶ ἡνίκα μὲν ἐκλείπει τὸ πρόσωπον, ἐκλείπει τὰ τοῦ προσώπου κεφάλαια· ἡνίκα δέ τε ἐκλείπει τὸ πρᾶγμα, ἀναγκαίως ἐκλείπει τὰ τοῦ πράγματος· ἔστιν οὖν τοῦ μὲν προσώπου βούλησις

26 Sequitur in cod. ὁ δὲ κατήγορος τὸ ῥητόν.

1 Cfr. Ald. p. 305. l. 28.

καὶ δύναμις, τοῦ πράγματος τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, μετάθεσις αἰτίας, ἀντίληψις, μετάληψις, εἰ ἐμπίπτει, καὶ πιθανὴ ἀπολογία· τὸ δὲ παραγραφικὸν, καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις κοινά ἐστιν ἀμφοτέρων, ἄν τε γὰρ πρόσωπον ἐκλείποι, εὑρεθήσεται παραγραφικὸν, καὶ ἐλέγχων ἀπαίτησις, εἴγε ἔχει φύσιν εἶναι παραγραφικὸν κατὰ τὴν αὐτοῦ φύσιν· εἴ τε πάλιν ὁμοίως πρᾶγμα ἐκλείπῃ, ταῦτα εἶναι τὰ κεφάλαια δύναται· διὸ καὶ κοινὰ ἀμφοτέρων εἰσὶν, ἢ οὐδέτερον, ὅτι παρ᾽ οὐδενὸς ἀπουσίᾳ βλάπτονται· καὶ αὕτη μὲν μία διαίρεσις, ἑτέρα δὲ αὕτη· τῶν τοῦ στοχασμοῦ κεφαλαίων τὰ μέν ἐστι τοῦ κατηγόρου, τὰ δὲ τοῦ φεύγοντος, τὰ δὲ πάλιν ὑπ᾽ ἀμφοτέρων κοινῶς ἐξετάζεται [2], καὶ τοῦ κατηγόρου μὲν τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους καὶ μετάληψις· φεύγοντος δὲ παραγραφικὸν, ἢ τῶν ἐλέγχων ἀπαίτησις, καὶ μετάθεσις αἰτίας καὶ ἀντίληψις, καὶ πιθανὴ ἀπολογία· ἡ δὲ βούλησις καὶ ἡ δύναμις κοινά ἐστιν ἀμφοτέρων, τοῦ τε κατηγόρου κατασκευάζοντος, ὅτι καὶ ἡ βούλησις καὶ ἡ δύναμις, καὶ τοῦ φεύγοντος τὸ ἐναντίον, ὅτι οὔτε ἠβουλόμην οὔτε ἠδυνάμην· καλῶς δὲ σφόδρα ὁ τεχνικὸς προησφαλίσατο λέγων· „ὅτε καὶ πρόσωπα ἔχοι καὶ πράγματα [3] κρινόμενα“, δι᾽ ἣν εἰρήκαμεν τάξιν ὅτι ἐκλελοιπότος τοῦ προσώπου τὰ τοῦ προσώπου ἐκλείπουσι κεφάλαια, καὶ τοῦ πράγματος ἐκλελοιπότος τὰ τοῦ πράγματος ἐκλείψει· ἔλαβε δὲ αὐτὸν ὁ τεχνικὸς ἐλέγξας εἰπὼν, „ὅτε καὶ πρόσωπα ἔχει καὶ πράγματα κρινόμενα“· αὐτὸς γὰρ φιλονεικήσας εἶπεν, ὡς ἀτελὴς ἀπὸ πράγματος στοχασμὸς οὐδέποτε ἔσται· ἐνταῦθα δὲ ἔχει ἑαυτὸν εἰπὼν, ὅτε καὶ πρόσωπα ἔχει καὶ πράγματα, ὡς ἐνίοτε ὄντος ἐν ᾧ μή ἐστιν πρᾶγμα κρινόμενον· οἱ δὲ ἀπολογούμενοι περὶ αὐτοῦ λέγουσιν, ὅτι διὰ τὸν ἰσάζοντα στοχασμὸν τοῦτο προσέθηκεν, πλὴν οὗτος οὐκ ἐσα-

---

2 Cod. ἐξετάζεσθαι. 3 Cod. πρᾶγμα.

φήνισεν. ἡ μὲν τῶν κεφαλαίων διαίρεσις αὕτη, ἡ δὲ αἰτία τῆς τάξεως ἥδε· ἡ τῶν κεφαλαίων διαίρεσις ἡ μέν ἐστι φυσική, ἡ δὲ τεχνική, καὶ αὕτη μέν ἐστι φυσικὴ ἡ παρὰ τοῦ τεχνικοῦ τεταγμένη, ἀκόλουθος οὖσα καὶ αἰτίαν ἔχουσα, δι' ἣν ἕκαστον ἑτέρου προτέτακται· ἡ δὲ τεχνική, ἣν ὁ ῥήτωρ ἐμελέτησεν πολλάκις τὰ πρῶτα τεταγμένα ὕστερα μελετήσας· νῦν δὲ περὶ τῆς τεχνικῆς διαλαμβάνοντες διαιρέσεως εἴπωμεν ἑκάστου τὴν αἰτίαν. Ἐζήτηται[4] οὖν τοῦτο πρῶτον, τί δήποτε πάσης τῆς λογικῆς στάσεως ὁμώνυμον ἑαυτῇ κεφάλαιον ἐχούσης ὁ στοχασμὸς μόνος καὶ ἡ πραγματικὴ οὐκ ἔχει. Περὶ μὲν οὖν τῆς πραγματικῆς ἐν τῷ περὶ αὐτῆς λόγῳ λέγομεν, καὶ τὸ μὲν ζήτημα τοῦτο· ἡ δὲ λύσις αὕτη· τῶν στάσεων πασῶν ἡ πρότασις ὡμολόγηται, οἷον ἐν ὅρῳ ὡμολόγηται τὸ τετυπτηκέναι Δημοσθένην, ἐν τῇ ἀντιλήψει τὸ γεγραφηκέναι τὰ ναυάγια, ἐν μόνῳ δὲ τῷ στοχασμῷ ἄδηλός ἐστιν· οὐκ ἠδύνατο οὖν ἄδηλον ἀδήλου κατασκευὴ γίνεσθαι· ἐκεῖ δὲ τὸ δῆλον εἰς κατασκευὴν προβάλλεται τοῦ ἀμφισβητουμένου· εἰκότως οὖν οὐκ ἠδύνατο ὁμώνυμον ἑαυτοῦ κεφάλαιον ἔχειν ὁ στοχασμὸς ἄδηλος ὢν καὶ ἄδηλον κατασκευάζειν μὴ δυνάμενος.

*Παραγραφικῷ.* πρῶτον πάντων κεφάλαιον τὸ παραγραφικόν. Ἐζήτηται σφόδρα καὶ μέγιστον ζήτημα, τί δήποτε τῆς φύσεως τῆς τέχνης τοῦτο ἀπαιτούσης καὶ πάσης στάσεως πρῶτον κεφάλαιον ἀπὸ τοῦ κατηγόρου ἐχούσης, ὃ καλεῖται προβολή, μόνος ὁ στοχασμὸς οὐκ ἔχει· ἐροῦμεν οὖν τὴν ἀπολογίαν, ὅτι ὁ στοχασμὸς μόνος ἀδήλου πράγματός ἐστι ζήτησις· τί οὖν ἔχει προβάλλεσθαί τις εἰς πρότασιν; οὐ γὰρ αὐτὸ τὸ κατασκευαζόμενον εἰς πρότασιν ἔχει προβάλλεσθαι· ἐν μὲν τῷ ὅρῳ ἡ προβολή· „τὰ μὲν[5] οὖν εἰς ἐμὲ καὶ τοὺς φυλέτας καὶ τὰ

4 Cfr. Ald. p. 309, l. 8. 5 Dem. in Mid. p. 521. — Cfr. Ald. p. 309. l. 27.

περὶ τὴν ἑορτὴν ἀδικήματα, ἐφ' οἷς αὐτὸν προυβαλόμην ταῦτά ἐστιν" · ἐν δὲ τῇ ἀντιλήψει ἐπὶ τοῦ κρινομένου ζωγράφου ἡ προβολή· τὰ ναυάγια γράψας τὴν πόλιν ἠδίκησας[6], καὶ ἐφ' ἑκάστου οὕτως. Ἐν μόνῳ δὲ τῷ στοχασμῷ τὸ πεπραγμένον οὐκ ἔστιν ἔγκλημα, ἀλλὰ σημεῖον ἐγκλήματος· οὐκ ἠδύνατο οὖν προβολὴ εἶναι μὴ ὑπάρχον ἔγκλημα, οὔτε ἔγκλημα προβολὴ, αὐτὸ τοῦτο ζητούμενον· εἰκότως οὖν πρῶτον κεφάλαιόν ἐστι τοῦ φεύγοντος τὸ παραγραφικόν. Τὸ δὲ παραγραφικὸν πρῶτον ἐγένετο, ἢ ὅτι φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει τὸ τὸν ἀγῶνα μέμφεσθαι, καὶ πάντες οἱ κατηγορούμενοι πρῶτον αἰτιῶνται, ὅτι κατηγόρηνται, καὶ ἔπειτα ἀπολογοῦνται· τὸ δὲ παραγραφικὸν εἰς τοῦτο ὁρᾷ, εἰς τὸ μέμφεσθαι τὸ ὅλως κρίνεσθαι, ἢ ὅτι εὔηθές ἐστι, τὸν ἅπαξ ἀπολογησάμενον καὶ καταδεξάμενον τὴν κρίσιν αὖθις παραγράφεσθαι, ἢ ὅτι ἡ παραγραφὴ ἐκβολὴ οὖσα τῆς εὐθυδικίας ἀντιστρέφει τὸν ἀγῶνα καὶ τὸν φεύγοντα κατήγορον ποιεῖ καὶ φύσει πρώτη γίνεται τοῦ πράγματος, καὶ παραγραφικὸν οὐ, εἰ καὶ τὰ μάλιστα μία ἐστὶν ἐκβολὴ τῆς εὐθυδικίας, ἀλλ' οὖν γε τὴν φύσιν τῆς παραγραφῆς σώζει, καὶ εἰκότως πρὸ τῶν ἄλλων τέτακται.

Ἐλέγχων ἀπαιτήσει. Ἐζήτηται, τί δήποτε ἐφεξῆς τοῦ φεύγοντος δύο κεφάλαια ἔταξε, καὶ μὴ τοῦ φεύγοντος ἓν, καὶ τοῦ κατηγόρου ἕν· λέγομεν ὅτι τὸ παραγραφικὸν οὐκ ἀεὶ ἐμπίπτει, ἀλλ' ἐκλείπει διὰ τὰς αἰτίας, ἃς ἐφεξῆς ἐροῦμεν· ὡς μὴ ἐπιπίπτοντος οὖν παραγραφικοῦ ἐτάγη δευτέρα ἡ τῶν ἐλέγχων ἀπαίτησις· ἵνα ᾖ τοῦ φεύγοντος πρῶτον κεφάλαιον, καὶ ἔτι τὸ παραγραφικὸν καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις, ὡς καὶ ἐν τῇ διαιρέσει τῶν κεφαλαίων εἰρήκαμεν, κοινά ἐστι προσώπου καὶ πράγματος· εἰκότως οὖν ταῦτα δύο προστεταγμένα εἰσὶν, τὰ μήτε

6 ἠδίκησας Cod. om., inserui ex Ald. p. 310. l. 2.

διὰ πρόσωπον, μήτε διὰ πρᾶγμα ἐκλείποντα, ἀλλ᾽ ἐν ἀμφοτέροις ἐξέτασιν ἔχοντα.

Βουλήσει, δυνάμει. Ἀναγκαίως[7] ταῦτα τὴν ἐφεξῆς ἔχει τάξιν, ἐπειδὴ γὰρ τὸ πρόσωπον φύσει προϋφέστηκε τοῦ πράγματος, ἅτε ποιητικὸν ὂν τοῦ πράγματος, ταῦτα δὲ κεφάλαια τοῦ προσώπου ἐστὶν, εἰκότως πρῶτον τοῦ πράγματος καὶ πρῶτα μετὰ τὰ κοινὰ τεταγμένα ἐστὶν, ἡ δὲ βούλησις πρὸ τῆς δυνάμεως τέτακται εἰκότως φύσει πρώτη οὖσα· δεῖ γὰρ βουληθῆναί τινα, εἶτα πράξειν, οὐδεὶς γὰρ πρὶν βουληθῆναι πράττει, καὶ ἔτι ἡ βούλησις καὶ ἡ δύναμις κοινά ἐστιν ἀμφοτέρων, κατηγόρου καὶ ἀπολογουμένου· εἰκότως οὖν τὰ κοινῇ παρὰ τῶν ἀμφοτέρων ἐξεταζόμενα πρὸ τῶν ἰδικῶν ἑκάστου τεταγμένα τυγχάνει.

Ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. Τοῦτο πρῶτον[8] κεφάλαιόν ἐστιν ἰδικὸν τοῦ κατηγόρου, πλὴν ὅτι ἐν σπανίοις κοινόν τε καὶ ἴδιον τοῦ κατηγόρου εὑρίσκεται ὡς ἐφεξῆς ἐροῦμεν· εἰκότως οὖν, ἐπειδὴ μετὰ τὸ πρόσωπόν ἐστι τὸ πρᾶγμα, τὰ δὲ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους αὐτὰ τὰ πράγματά ἐστι, μετὰ τὴν βούλησιν καὶ τὴν δύναμιν τεταγμένα ἐστίν· ἡ γὰρ ὁδὸς ταύτην ἔχει τὴν τάξιν· ἠβουλόμην πρᾶξαι, πρᾶξαι δὲ τόδε τι, ὅ τί ἐστι τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἵνα πρὸς ταῦτα ἡ ἀπολογία γένηται.

Ἀντιλήψει. Αἰτιῶνταί τινες τὸν τεχνικὸν καὶ δικαίως πρὸ τῆς μεταθέσεως τῆς αἰτίας ἀντίληψιν τάξαντα· πρῶτον μὲν γὰρ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους φύσιν ἐχόντων αὔξειν τὸ πρᾶγμα καὶ μέγεθος περιτιθέναι τῷ ἀδικήματι τολμηρόν ἐστιν[9] καὶ θρασὺ εὐθὺς ἐπ᾽ ἐξουσίαν καταφεύγειν καὶ πρὸς ὀργὴν ἄγειν τὸν δικαστὴν, καὶ μὴ ἀποδεικνύναι πρῶτον ὅτι οὗτος πεποίηκεν· ἡ δὲ μετάθεσις τῆς αἰτίας ἀπολογία τέ ἐστι καὶ τῆς ἀρνή-

7 Cfr. Ald. p. 312. 8 Cfr. Ald. p. 313. 9 Cfr. Ald. p. 313. l. 24.

σεως κατασκευὴ, καὶ ἔτι τὸ μὲν ἀντιληπτικὸν οὐκ ἀεὶ ἐμπίπτει, εἰ μὴ ὅταν ἀφ᾽ ἄν τις ποιήσας κρίνηται· [9*] ἡ δὲ μετάθεσις τῆς αἰτίας ὄντων ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐμπεσεῖται πάντως, ἔδει οὖν τὴν ἀντιῤῥήτως ἐμπίπτουσαν προτίθεσθαι τοῦ ἐνίοτε ἐκλείποντος κεφαλαίου. Εἰκότως οὖν ὁ Μινουκιανὸς καὶ οἱ λοιποὶ τεχνικοὶ προτάττουσι τὴν μετάθεσιν [10] τῆς αἰτίας· δεῖ γὰρ ἁρμόσασθαι πρὸς ἀμφοτέρους, καὶ κατηγοροῦντας μὲν τάττειν τὴν ἀντίληψιν μετὰ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους πρὸς βάρος φεύγοντας, [11] ἀπολογουμένους δὲ τὴν μετάθεσιν τῆς αἰτίας μετὰ τὴν ἀντίθεσιν τὴν ἐκ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους γινομένην. Εἰκότως δὲ ἀντίληψιν προτάξας ἐπήγαγε καὶ μετάληψιν, λυτικὴν οὖσαν τῆς ἀντιλήψεως.

Μετάθεσιν αἰτίας ἔφημεν, ὅτι προταχθῆναι ἔδει τὴν μετάθεσιν τῆς αἰτίας· τελευταία [12] δὲ πασῶν διὰ τὸ ἀσθενὲς ἡ πιθανὴ ἀπολογία τέτακται· εἰ καὶ τὰ μάλιστα δοκεῖ ἀντιστρέφειν τὸν ἀγῶνα· ἀλλ᾽ ὅμως γλίσχρον τέ ἐστιν καὶ τὸ ὄνομα αὐτοῦ κατηγορεῖ τὴν ἀσθένειαν· οὐ γὰρ ὡμολόγηται, ἀλλὰ πιθανή τίς ἐστιν ποιότης καὶ γνώμη. Ταῦτα τῶν ἐπιλόγων ἐστὶ καὶ κοινὰ πασῶν τῶν στάσεων· ἡ μὲν αἰτία τῆς τάξεως τῶν κεφαλαίων αὕτη, ἴδωμεν δὲ ἐφεξῆς ἀκριβέστερον καὶ τὴν ἑκάστου φύσιν.

Τὸ παραγραφικὸν γίνεται κατὰ τρόπους τέσσαρας, ἤτοι ἀπὸ τοῦ ἐλλείποντος, καὶ τὰ ἑξῆς. Ἀναγκαῖον ζητῆσαι τὴν φύσιν τοῦ παραγραφικοῦ, καὶ ὅπως γίνεται· ὁ μὲν γὰρ τεχνικός φησιν αὐτὸ κατὰ τέσσαρας γίνεσθαι τρόπους, τοὺς δὲ τέσσαρας, οὓς εἶπεν, εἰς δύο συντελοῦσιν. Εἴπωμεν οὖν ἡμεῖς πῶς

9* Ald. κρίνεται. 10 Cod. διάθεσιν. — Post δεῖ insequi γὰρ, quod potuit absorberi syllaba sequente. 11 Cod. φεύγοντος, ἀπολογουμένου. 12 Cfr. Ald. p. 314. l. 22.

γίνεται, καὶ πρῶτον ζητήσωμεν, τί διαφέρει παραγραφικὸν παραγραφῆς· λέγομεν, ὅτι ἡ μὲν παραγραφὴ ἀπὸ ῥητοῦ γίνεται, καὶ ἔστιν εὐθυδικίας ἐκβολὴ, τὸ δὲ παραγραφικὸν διαβολὴ μόνον ἐστὶ καὶ οὐκ ἐκβολὴ τῆς εὐθυδικίας· καὶ τὸ παραγραφικὸν ἀπό τινος τῶν περιστατικῶν γίνεται καὶ οὐκ ἀπὸ ῥητοῦ. ζητήσειε δ' ἄν τις, εἰ ἀπὸ τῶν περιστατικῶν γίνεται, τί διαφέρει μεταλήψεως; λέγομεν, ὅτι ἡ μετάληψις ἀπὸ τῶν περιστατικῶν γίνεται ἀρξαμένη· ἀντιλήψεως, τὸ δὲ παραγραφικὸν ἀπὸ τοῦ φεύγοντός ἐστι, γίνεται δὲ κατὰ πάντα τὰ περιστατικὰ, ἅπερ ἐστὶ, τρόπος, χρόνος, πρόσωπον, αἰτία, τόπος· καὶ ἀπὸ μὲν χρόνου· δειλοῦ παῖς ἠρίστευσε καὶ κρίνει τὴν γυναῖκα μοιχείας· ἀπὸ δὲ τρόπου, πλούσιος ᾔτησεν ἐχθροῦ πένητος φόνον ἀριστεύσειν ἐπαγγειλάμενος· οὐκ ἔλαβεν, ηὕρηται ὁ πένης νεκρὸς ἀσκύλευτος καὶ κρίνεται φόνου, ἐνταῦθα γὰρ τὸν τρόπον αἰτιᾶται, ὅτι οὐκ ὀφείλω τούτῳ τῷ τρόπῳ κρίνεσθαι, ἀλλ' ἐλεγχθέντος τοῦ φόνου· πρόσωπον· ἔθετο τὸν τοῦ πένητος παῖδα ὁ πλούσιος, ηὕρηται ὁ πένης νεκρὸς ἀσκύλευτος καὶ κρίνεται ὁ πλούσιος ὑπὸ τοῦ θετοῦ· ἐνταῦθα γὰρ ἀπὸ τοῦ προσώπου γίνεται τὸ παραγραφικὸν, ὅτι οὐκ ὀφείλεις υἱός μου ὢν κρίνειν με· ἀπὸ αἰτίας· ἔγραψεν Ἀλέξανδρος ἐν τοῖς Δαρείου λογισμοῖς εὑρηκέναι Δημοσθένην εἰληφότα πεντήκοντα τάλαντα καὶ κρίνεται Δημοσθένης· ἐνταῦθα ἡ αἰτία, ὅτι οὐκ ὀφείλω κρίνεσθαι ἐπὶ ταύτῃ τῇ αἰτίᾳ, τῷ ἐχθρόν μου εἶναι τὸν γεγραφότα· ἀπὸ τόπου δὲ, ὡς ἂν εἴ τις Ἀθηναῖος ὢν ἐν Λακεδαίμονι κρίνοιτο, ἤ τι τῶν τοιούτων· ὃ μέντοι λέγει „κατὰ τρόπους τέσσαρας, ἤτοι ἀπὸ τοῦ λείποντος·" τὸ δὲ ἀπὸ τοῦ λείποντός ἐστιν ἀπὸ τῆς αἰτίας· ὅταν γὰρ ὁ ἄσωτος κρίνηται [13] καὶ φάσκῃ δεῖν δειχθῆναι τὸν φόνον,

---

13 Cod. κρίνεται καὶ φάσκει.

πρῶτον ἡ αἰτία ἐστὶν, ἐπὶ ταύτῃ γὰρ τῇ αἰτίᾳ φησὶν μὴ δεῖν κρίνεσθαι· ἢ ἀπὸ τοῦ ὑπερβάλλοντος, οἷον οἱ δέκα νέοι· ἢ ἐφ᾽ οἷς ἕτεροι πεποιήκασιν, ὡς ὁ τρισαριστεύς· ἢ κατὰ χρόνον, δειλοῦ παῖς ἠρίστευσεν· ταῦτα δὲ πάντα ἀπὸ τοῦ προσώπου ἐστίν· καὶ γὰρ ὁ τρισαριστεὺς ἐρεῖ, ὅτι οὐκ ὀφείλω ἀφ᾽ ὧν ἐποίησαν οἱ πολέμιοι κρίνεσθαι, καὶ οἱ δέκα νέοι ἀπὸ προσώπου ἐστὶν, καὶ ὁ ἄσωτος ἀπὸ προσώπου ἐστὶν, ὥστε δύο μόνα τῶν περιστατικῶν εἶπεν, τὸ ἓν εἰς τρία διελών· δεῖ δὲ εἰδέναι, ὅτι κατὰ πάντα τὰ περιστατικὰ γίνεται· εἰδέναι δὲ χρὴ, ὅτι τὸ [14] τῶν δέκα νέων οὐ συνίσταται· τὸ μὲν γὰρ ζήτημα συνίσταται, αὐτὸ δὲ τὸ κεφάλαιον τὸ παραγραφικὸν οὐκ ἔχει χώραν, εἰ γὰρ, [15] καὶ τὰ μάλιστα οἱ δέκα νέοι πλῆθός εἰσιν, ἀλλ᾽ οὖν γε μίαν ἔχουσι ποιότητα, τὸ ἀόριστον εἶναι· ἐπὶ μὲν οὖν τῶν δέκα νέων διὰ τὸ ἀόριστον εἶναι τὴν ποιότητα αὐτῶν οὐ συνίσταται, ἐπὶ δὲ τούτου τοῦ ζητήματος χώραν ἔχει. Αἰσχίνης καὶ Δημοσθένης ἐπανήκοντες ἐκ τῆς πρὸς Φίλιππον πρεσβείας εὕρηνται ὁ μὲν χρυσίον κατορύττων, ὁ δὲ παραπρεσβείας ἀπολογίαν γράφων, καὶ Ὑπερίδης ἀμφοτέρων κατηγορεῖ· ἐνταῦθα γὰρ διάφορος οὖσα τῶν προσώπων ἡ ποιότης [16] χώραν ἔχει λέγειν, ὅτι ἰδίᾳ θέλω κρίνεσθαι, καὶ μὴ μετέχειν τῆς ἐκείνου ποιότητος· καὶ περὶ μὲν παραγραφικοῦ τοιαῦτα. Ἐζήτηται δὲ, τί δήποτε ἡ βούλησις καὶ ἡ δύναμις μὴ προτέτακται τῆς τῶν ἐλέγχων ἀπαιτήσεως, καὶ ταῦτα τῆς βουλήσεως καὶ τῆς δυνάμεως λυτικῆς οὔσης ὡς ἐπὶ τὸ πολὺ τοῦ παντὸς ἐγκλήματος· ὅταν γὰρ ἀποδείξῃς τὴν ποιότητα τοῦ προσώπου ἀνοίκειον οὖσαν πρὸς τὸ ποιῆσαι ἢ ὁ κατήγορος οἰκεῖον ἅπαν τὸ πρᾶγμα ἀποδείξῃ, [17] λέγομεν, ὅτι ἄτεχνοι πίστεις τῶν ἐν-

---

14 τὸ Cod. om. 15 Cfr. Ald. p. 317. l. 14. 16 ἡ ποιότης Cod. om., recepi ex Ald. p. 317. l. 23. 17 Cod. ἀποδείξας.

τέχνων πανταχοῦ ἰσχυρότεραί εἰσιν· ἄτεχνοι μὲν οὖν εἰσιν μαρτυρίαι, νόμοι καὶ τὰ τοιαῦτα, ἔντεχνοι δὲ αἱ διὰ τῆς τῶν ἀποδείξεων καὶ τῆς τοῦ λόγου δυνάμεως. Ἐπειδὴ οὖν ἡ τῶν ἐλέγχων ἀπαίτησις τῶν ἀτέχνων ἐστὶ, προτέτακται.

Ἡ τῶν ἐλέγχων ἀπαίτησις διττή ἐστιν. Ἐζήτησάν τινες πῶς ἐν στοχασμῷ δύναται εἶναι ἐλέγχων ἀπαίτησις· εἰ γὰρ ἄδηλον πρᾶγμά ἐστιν ὁ στοχασμὸς, πῶς ἔχει [1] ἐλέγχων ἀπαίτησιν, τῶν γὰρ δήλων εἰσὶν οἱ ἔλεγχοι· καὶ οἱ μὲν λέγουσιν, ὅτι τῶν σημείων οἱ μάρτυρες, καὶ οὗτοι ἐγκλήματος, καὶ τοῦτο δὲ σφόδρα εὔηθες· εἰ μὴ γὰρ ὁμολογούμενον εἶναι λάβοιμεν τὸ σημεῖον, οὐ συνέστηκεν ὁ στοχασμός· ὁμολογουμένου περιττὸν ἄγειν μάρτυρας, καὶ ἔτι τὸ σημεῖον ἀνεύθυνόν ἐστιν· τῶν ἀνευθύνων δὲ ἀποδείξεις ἢ μάρτυρας κομίζειν σφόδρα εὔηθες· ἡ οὖν ἀκριβὴς ἀπολογία αὕτη· ὅτι αὐτὸ τοῦτο μόνον, τὸ εἶναι ἀδήλου πράγματος ζήτησιν, ποιεῖ τὴν τῶν ἐλέγχων ἀπαίτησιν· τῷ γὰρ μὴ εἶναι ὁ φεύγων ἀπαιτεῖ τὰς ἀποδείξεις. Τὸ μὲν οὖν κεφάλαιον διὰ τοῦτό ἐστιν· ὁ μέντοι τεχνικός φησιν, „ἢ εἰσὶν οἱ μάρτυρες ἢ οὐκ εἰσίν·“ εὔηθες σφόδρα, οὐδέποτε γὰρ δύνανται μάρτυρες εἶναί ἐν στοχασμῷ, ἀλλὰ καὶ ὃ ἔθηκε παράδειγμα τῆς γυναικὸς τῆς κρινομένης φόνου, ὅτι μνωμένῳ τὴν θυγατέρα αὐτῆς ἔφη θᾶττον τεθνήξεσθαι ἢ ἐκείνῳ συνοικήσειν· καὶ μετὰ ταῦτα ἐπὶ σημείοις φαρμάκων ἀποθανούσης τῆς παιδὸς, καὶ μετὰ ταῦτα βασανίζων τὰς θεραπαίνας ὁ πατὴρ περὶ μὲν φόνου οὐδὲν ἔγνω, μοιχείαν δὲ τῆς γυναικὸς πρὸς τὸν μνηστῆρα, καὶ κρίνεται τὴν γυναῖκα φόνου· ἐνταῦθά φησιν εἶναι τοὺς μάρτυρας ὁ τεχνικὸς τὰς θεραπαινίδας· εἰδέναι δὲ χρὴ, ὅτι οὐ τοῦ ἐγκλήματός εἰσιν οἱ μάρτυρες, ἀλλὰ τοῦ σημείου· ἡ γὰρ μοιχεία σημεῖόν ἐστι τοῦ φόνου· εἰ μὲν

1 Cod. ἔχη.

γὰρ ἐκρίνετο ἡ γυνὴ μοιχείας, τοῦ ἐγκλήματος ἤμελλον εἶναι οἱ μάρτυρες, νῦν δὲ φόνου μέν ἐστιν ἡ κατηγορία, μοιχείας δὲ οἱ μάρτυρες, ὥστε πάλιν τοῦ σημείου ἂν εἴη· εἰδέναι δὲ χρὴ, ὅτι οὐδεμίαν ἔχουσι χώραν οἱ μάρτυρες· ἐνταῦθα δεῖ γὰρ εἶναι ὁμολογούμενον τὸ σημεῖον· ἀλλ' ἁπλῶς, ἅ φησιν αὐτὸς, ὅτι δεῖ διαλαβεῖν τοὺς μάρτυρας, ὕλης ἐστὶν ἐμπεσούσης· ἠδύνατο γὰρ καὶ οὕτως εἶναι τὸ ζήτημα, ὅτι περιεργαζόμενος ὁ πατὴρ περὶ μὲν τοῦ φόνου μεμάθηκεν οὐδὲν, μοιχείας δὲ τῆς γυναικός· ἐνταῦθα πάλιν τὸ ζήτημα συνέστηκε, καὶ χώραν οὐκ ἔχει τὸ προσενεγκεῖν τὸν κατήγορον, ὥστε ὅ φαμεν ἐπὶ τοῦ Ἀρχιδάμου οὐ δύναται εἶδος εἶναι, ὃ ἐπὶ ἑνὸς ζητήματος ηὑρέθη, καὶ ἀφαιρεθὲν οὐδὲν βλάπτει τὸ ζήτημα. ἀρνήσειε δ' ἄν τις ἐπὶ τούτου τοῦ ζητήματος τὰ περὶ τῶν δούλων ἐνθυμήματα τῷ παραγραφικῷ, ἵνα εἴπῃ, ὅτι οὐ δεῖ με κρίνεσθαι ἐφ' οἷς αἱ θεράπαιναι ἐχθραί μου οὖσαι κατεῖπον.

Δεῖ δὲ ἀντιτιθέναι τοῖς μάρτυσι τοὺς μάρτυρας, πότεροι ἀξιοπιστότεροί εἰσιν, ὡς ἐν τῷ κατὰ Κόνωνος· ἐνταῦθα εἰ μίσει ἐναντίῳ θήσεται, πῶς στοχασμοῦ ὄντος εἰσὶν οἱ μάρτυρες εἰς αὐτὸ τὸ ἔγκλημα, καὶ δοκεῖ πως ἐναντίως εἰρῆσθαι, οἷς ἀρτίως εἰρήκαμεν, ὅτι οὐ δύναται τὰ ἄδηλα μάρτυρας ἔχειν· ἐροῦμεν, ὅτι ἐν μὲν τῷ κατὰ Κόνωνος ἡ ἀλήθεια τοῦ παραδείγματος ἐβιάζετο τὴν τέχνην, ὥσπερ καὶ ἐν ἄλλοις πολλοῖς εὑρίσκομεν τοὺς ἀληθεῖς ἀγῶνας βιαζομένους τὴν τέχνην καὶ εἰσάγοντάς τινα ἀναγκαῖα μὴ ὄντα ἐν τῇ τέχνῃ· ὥσπερ ἐν αὐτῷ τῷ κατὰ Κόνωνος αἰκίας τὸ ὁμολογῆσαι τὸν φεύγοντα τετυπτῆσθαι τὸν κατήγορον, ὅπερ ἐστὶν ἀδύνατον ἐν στοχασμῷ· ἄλλως τε ἀμφοτέρων τῶν μερῶν ἐχόντων μάρτυρας, εἰς τὸ ἐναντίον δοκοῦσιν ἰσάζειν οἱ μάρτυρες, καὶ οὐκέτι προσάγον-

ται οὐδὲ πίστιν ἔχουσι· τῷ γὰρ ὑφ' ἑαυτῶν ἀνῃρῆσθαι[2] τὴν ἐφ' ἑαυτῶν ὠφέλειαν ἑκατέρῳ μέρει ἀνεῖλον· ἐσώθη δὲ ἡ τοῦ στοχασμοῦ φύσις τῷ εἶναι ἄδηλον καὶ ἐξ ἄλλων ἀποδείκνυσθαι.

Εἰ δὲ μὴ εἶεν[3] οἱ μάρτυρες, ὁ μὲν φεύγων χρήσεται ἀπαιτῶν αὐτοὺς τοῖςδε, προσώποις. ἑνὶ λόγῳ πᾶσι τοῖς περιστατικοῖς καὶ ἐν τῇ τῶν ἐλέγχων ἀπαιτήσει δεῖ χρῆσθαι καὶ περιττὸν καθ' ἕκαστα λέγειν τὸ „αὐτὸς ἐποίησεν·" ταῦτα δὲ δύναται σφόδρα διαιρούμενα πλατύνεσθαι, ὅταν εἴπω, „τίς ὁ δούς;" τὸ τίς οὐ μονογενές ἐστι, δύναται γὰρ ἐπενεγκεῖν, ἢ δοῦλος, ἢ ἐλεύθερος, ἢ ξένος, ἢ πολίτης, ἢ οἰκεῖος, ἢ ἀλλότριος, καὶ πάντα τὰ τοιαῦτα πλῆθος ἀποδείξεων ὑποδιαιρούμενα κατεργάζεται· εἰδέναι δὲ χρὴ, ὡς ἐν τοῖς ἀντεγκληματικοῖς στοχασμοῖς ἡ τῶν ἐλέγχων ἀπαίτησις ἐκλείπει, καὶ τὸ παραγραφικὸν ἐν τοῖς κατὰ ἀμφισβήτησιν, ἰσάζειν γάρ πως δοκεῖ ἀμφοτέρῳ τῶν μερῶν ἀπαιτούντων, τότε γὰρ μόνον ἐμπεσεῖται, ὅτε διάφορος ἡ τῶν ἐγκαλουμένων προσώπων ποιότης ἐπὶ τούτου τοῦ ζητήματος· δύο τις ἔχων παῖδας ἀπεκήρυξε τὸν ἕτερον· μετὰ ταῦτα τελευτῶν ἐπὶ σημείοις φαρμάκων ἔφη „παῖς με ἀναιρεῖ," καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις· ἐνταῦθα γὰρ ὁ ἀποκήρυκτος ἔχει παραγραφικοῦ μοῖραν φάσκων, μηδὲν κρίνεσθαι μηδὲ τὴν ἀρχὴν ὢν παῖς· ὁ γὰρ ἀποκήρυκτος οὐκέτι παῖς· ἐν δὲ τῇ τῶν ἐλέγχων ἀπαιτήσει πάλιν τότε ἐμπεσεῖται, ὅταν ἀμφότεροι διάφορον ἔχωσι[4] τύχην οἱ ἀμφισβητοῦντες, καὶ ὁ μὲν τυραννεῖται, ὁ δὲ δημοκρατεῖται, ὡς ἐπὶ τούτου τοῦ ζητήματος· τύραννος ἔλαβέ τι ὡς σωτήριον παρὰ τοῦ ἰατροῦ, καὶ ὑποπτεύων εἶναι δηλητήριον μετεπέμψατο ἀπὸ τῆς κάτω πόλεως τῶν δημοκρατουμένων ἰατρόν· ὁ δὲ δέδωκεν αὐτῷ ἀλεξιφάρμακον καὶ κατ-

2 Cod. ὑφ' ἑαυτὸν ἀνῃρεῖσθαι. 3 Cod. ἦεν. 4 Cod. ἔχουσι.

ελθὼν εἶπεν, ὅτι τεθνήξεται· ἀπέθανεν, ἀμφισβητοῦσιν ἀμφότεροι τῆς τοῦ τυραννοκτόνου δωρεᾶς· ἐνταῦθα γὰρ ὁ ἐπὶ τῆς τυραννίδος ἰατρὸς δύναται τὴν τῶν ἐλέγχων ἀπαίτησιν ποιήσασθαι λέγων. „τίνι προεῖπες τῶν πολιτῶν; τίνι ἀνεκοίνωσας τὴν τοῦ τυράννου ἐπιβουλήν;“ ὁ μέν τοι ἕτερος οὐ δύναται αἰτεῖν· οὐ γὰρ οἷόν τε ἦν τὸν ἐν τῇ τυραννίδι ὄντα ἐξειπεῖν τὸ ἐπιχείρημα· ἡ βούλησις καὶ ἡ δύναμις· φύσιν ἔχει τοιαύτην· τοῦ μὲν γὰρ προσώπου ἐστὶν ἀμφότερα κεφάλαια, ἀμφισβήτησιν δὲ μεγίστην ἔχει πρὸς ἑαυτά· ἐὰν γὰρ ἡ δύναμις ᾖ ἰσχυρά, πάντως ἡ βούλησις ἀσθενὴς, ἐὰν τὸ ἐναντίον ἡ δύναμις ἀσθενὴς, πάντως ἡ βούλησις ἰσχυρά· τί δέ ἐστιν, ὅ φαμεν, σαφέστερον ἐπὶ παραδειγμάτων ἔσται. Τὰ εὐδοκιμοῦντα πρόσωπα καὶ ἔχοντά τινα λαμπρότητα δύναμιν μὲν ἔχει, βούλησιν δὲ οὐκ ἔχει· ἀλλ' ἀσθενεῖ ἡ βούλησις, οἷον εἰ κρίνοιτο Περικλῆς ἢ Μιλτιάδης ἤ τις τῶν τοιούτων, ἡ μὲν δύναμις ἔῤῥωται, δύναται γὰρ διὰ τὴν ἰσχὺν πρᾶξαι, εἴ τι βούλεται, ἡ δὲ βούλησις ἀσθενεστέρα ἐστὶν, διὰ τὸ οὐκ εἰκὸς εἶναι τὸν τοιοῦτον βουληθῆναί τι τῶν πονηρῶν ἐργάσασθαι. οἷον εἰ κρίνοιτο Περικλῆς προδοσίας μὴ τεμνόντων Λακεδαιμονίων τοὺς ἀγροὺς αὐτοῦ· ἡ μὲν δύναμις ἰσχυρά ἐστιν διὰ τὸ στρατηγεῖν, διὰ τὸ τιμᾶσθαι, διὰ τὸ προτετάχθαι τῆς πολιτείας ἁπάσης, διὰ τὰ ἄλλα πάντα, ἃ μαρτυρεῖ αὐτῷ Θουκυδίδης· ἡ μέντοι βούλησις ἀσθενεστέρα ἐστὶν, οὐκ ἔχει γὰρ πιθανότητα, τὸν οὕτως λαμπρὸν καὶ ἀδωροδόκητον προδότην γενέσθαι, καὶ μάλιστα τὸν πείσαντα τὸν πρὸς Πελοποννησίους ἄρασθαι πόλεμον. ἐπὶ μὲν οὖν τῶν ἐνδόξων, ὡς ἔφημεν, δύναμις ἔῤῥωται, ἡ δὲ βούλησις ἀσθενεστέρα ἐστίν· ἐπὶ δὲ τῶν ἀδόξων τὸ ἐναντίον, οἷον εἰ κρίνοιτο Φρύνων ἢ Αἰσχίνης ἤ τις τῶν ἄλλων ἀδόξων προσώπων, ἡ μὲν δύναμις ἀσθενής ἐστιν, οὐκ ἠδύνατο γὰρ οὐδὲν τῶν τοιούτων ποιῆσαι, ἡ δὲ βούλησις ἰσχυ-

ἰσχυρὰ διὰ τὸ διαβεβλῆσθαι τὸ πρόσωπον· διὸ καὶ ὁ Δημοσθένης τὴν δύναμιν ἐξετάζων ἐν τῷ κατ' Αἰσχίνου, ἐπειδὴ ἀδόξου ὄντος τοῦ προσώπου οὐκ ἦν πιθανὴ ἡ δύναμις, ἀνέμιξεν αὐτῷ τὸ τῆς πόλεως ἀξίωμα εἰπών· „οὐ γὰρ εἰ φαύλοις χρῆσθε [5] ὑμεῖς πρὸς τὰ κοινά, καὶ τὰ πράγματά ἐστι φαῦλα, ὧν ἡ πόλις ἀξιοῦται," καὶ τὸ Φιλίππου πρόσωπον εἰπών· „εἶτα καὶ Φωκέας ἀπολώλεκε μὲν Φίλιππος, συνηγωνίσαντο δὲ οὗτοι." [6] δεῖ τοίνυν ταῦτα μεθοδεύειν καὶ ἀσθενοῦς μενούσης τῆς δυνάμεως τὸν κατήγορον μελετῶντα [7] τὴν μὲν βούλησιν κατ' εἰσαγωγὴν εἰσαγαγεῖν, τὴν δὲ δύναμιν κατὰ ἀντίθεσιν· τὸν δὲ ἀπολογούμενον τὸ ἐναντίον τὴν μὲν βούλησιν κατὰ ἀντίθεσιν, τὴν δὲ δύναμιν κατ' εἰσαγωγήν, καὶ τὸ ἐναντίον πάλιν ἰσχυρᾶς οὔσης τῆς βουλήσεως ὁμοίως ἀντιστρέφειν. τί δέ ἐστιν ὃ λέγω, σαφὲς ποιήσει τὸ παράδειγμα· εἰ κρίνοιτο Περικλῆς προδοσίας καὶ τὸν κατήγορον μελετοίημεν, τὴν μὲν βούλησιν οὐ τίθεμεν κατὰ ἀντίθεσιν, ἀλλὰ κατ' εἰσαγωγὴν λέγοντες. „εἰκὸς δὲ αὐτὸν καὶ βουληθῆναι ὡς ὑπερήφανον καὶ μὴ ἀνεχόμενον ταὐτὰ τοῖς πολλοῖς ἔχειν," τὴν δὲ δύναμιν τίθεμεν κατὰ ἀντίθεσιν, „ἀλλ' οὐκ ἠδυνάμην," φησίν, „προδοῦναι," ἐπειδὴ εὔπορος ἡμῖν σφόδρα ἐστὶν ἡ λύσις· εἰ δὲ [8] Αἰσχίνης κρίνοιτο, τὴν μὲν βούλησιν ὡς ἐν ἀντιθέσει, „ἀλλ' οὐκ ἠβουλόμην," τὴν δὲ δύναμιν κατ' εἰσαγωγήν, ὡς ὁ Δημοσθένης, „ὅτι εἰκὸς αὐτὸν δυνηθῆναι πρεσβευτὴν ὄντα·" αὕτη μὲν οὖν ἡ φύσις τῶν κεφαλαίων κατασκευάζεται, καὶ κυρίως μὲν ἡ βούλησις ἐκ προκαταρκτικοῦ καὶ συμπερασματικοῦ· καὶ ἔστι τὸ προκαταρκτικὸν μὲν τὰ φθάσαντα γενέσθαι, τὸ δὲ συμπερασματικὸν τὰ ἐπιφερόμενα, οἷον ἐπιγραφή, ψήφισμα καθό-

5 De fals. leg. p. 350. — Cod. χρῆσθαι. 6 Cod. συνηγωνίσατο δὲ, οὕτως. Correxi ex Dem. l. l. 7 Cod. μελετῶν. 8 Cod. εἰ δὲ ἄν. — Cfr. Ald. p. 365. l. 7.

λου. Δημοσθένει Δημάδης ἀντειπὼν οὐκ ἔπεισεν· ηὕρηται κατιὼν ἐπὶ τοῖς ὁρίοις τῆς χώρας Δημοσθένης νεκρὸς ἀσκύλευτος καὶ κρίνεται Δημάδης· ἐνταῦθα οὖν ἡ βούλησις ἐκ προκαταρκτικοῦ ἐστι διὰ τὴν φθάσασαν ἔχθραν, διὰ τὸ ἀντειπεῖν καὶ μὴ πεῖσαι, διὰ τὸ πολλάκις ὑπ' αὐτοῦ κριθῆναι, διὰ τὰς γεγενημένας ὑπὸ σοῦ κλοπὰς, διὰ τὸ δέος τῆς ἑτεροδοσίας εἰκὸς ἑαυτὸν ἀνελεῖν· συμπερασματικοῦ δὲ, ἵνα εἰς τὸ λοιπὸν μηδένα ἔχῃς τὸν ἐναντιούμενον, ἵνα μή τίς σου κατηγορήσῃ· ἵνα τῷ δέει ὧν ἔπαθεν Δημοσθένης καὶ οἱ λοιποὶ ἡσυχάζοιεν, καὶ ἡ μὲν βούλησις οὕτως· ἡ δὲ δύναμις, ὡς καὶ ὁ Ἑρμογένης φησὶν, ἐκ τῶν παρακολουθούντων τῷ προσώπῳ, τουτέστι τῶν ἐγκωμιαστικῶν, καὶ εἰ μὲν ὡρισμένον εἴη τὸ πρόσωπον, πάντα ἐμπεσεῖται σχεδὸν, εἰ δὲ ἀόριστον, τὰ μὲν ἐγκωμιαστικὰ οὐ δύναται ἐμπεσεῖν, διὸ καὶ ἀσθενεστέραν ἔχει τὴν δύναμιν· ἀναμίξαντες δὲ αὐτῷ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους κατασκευάζομεν αὐτῷ δύναμιν, οἷον ὅπερ ἔφην, εἰ κρίνοιτο Αἰσχίνης, τὰ ἐγκωμιαστικὰ πάντα καὶ εἰς βούλησιν αὐτῷ καὶ εἰς δύναμιν συντελεῖ, εἰς βούλησιν μὲν, ὅτι ἠβούλετο εὐτελοῦς πατρὸς ὢν καὶ οὐδὲν δεινὸν ἡγεῖτο τὴν προδοσίαν, ὅτι[9] καὶ ὁ πατὴρ αὐτοῦ παιδεύων ξύλου καὶ παίδων ἀνείχετο· καὶ ἡ μήτηρ αὐτοῦ Ἔμπουσα ἐκαλεῖτο καὶ τυμπανίστρια ἦν, καὶ ἕκαστον τῶν ἐγκωμιαστικῶν. εἰ δὲ νέος πλούσιος. ἐπειδὴ αἱ κοιναὶ ποιότητες οὐκ ἰσχυραί εἰσι καθ' ἑνὸς προφερόμεναι· ὅταν γὰρ εἴπω „νέος πλούσιος" κοινὴ ποιότης ἐστὶν καὶ οὐκ ἀρκεῖ πρὸς ἀπόδειξιν, ὅπερ Ἑρμογένης φησὶν, ὁ πλοῦτος ἢ ἡ τύχη ἢ ἡ ἐπιθυμία, ἀλλὰ διαναμίγνυνται τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἵνα ἐκ τοῦ νῦν πεπραγμένου τὴν βούλησιν αὐτῷ καὶ τὴν δύναμιν κατασκευάσωμεν· εἰδέναι δὲ χρὴ, ὅτι οὔτε ἡλικία, οὔτε πλοῦτος ἐγκωμια-

9 Post ὅτι Cod. habet οὔτε. l. 22. ἠνείχετο. — Ad rem cfr. Dem. pro cor. p. 270.

στικά ἐστι, καὶ κακῶς ταῦτα ὁ Ἑρμογένης ἐν τοῖς ἐγκωμιαστικῶς ἔταξεν εἰπὼν, „εἴ τι τῶν ἀορίστων ᾖ, ἀπὸ τούτων τῶν ἐγκωμιαστικῶν δεῖ ποιότητα ποιεῖν τι ἄρα·" κατιὼν δὲ καὶ ἀριθμούμενος τὰ κεφάλαια τὰ ἐγκωμιαστικὰ ταῦτα οὐκ ἐντάττει, καλῶς δὲ προσέθηκε, „ὅτι δεῖ [10] τὴν βούλησιν καὶ τὴν δύναμιν οὐ μόνων τῶν κρινομένων ἐξετάζειν προσώπων, ἀλλ' ὅσα ἔχει τὸ πρόβλημα πάντων τὴν βούλησιν ἐξετάζειν·" καὶ περὶ μὲν βουλήσεως καὶ δυνάμεως ταῦτα.

Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐστὶ μὲν ὡς ἐπὶ τὸ πλεῖστον τοῦ κατηγόρου, τίθησι δὲ αὐτὰ καὶ κοινὰ Ἑρμογένης· ηὕρηται δέ ποτε καὶ μόνου τοῦ φεύγοντος, ὡς ἐπὶ τούτου τοῦ ζητήματος· τρεῖς τις ἔχων παῖδας τὸν ἕνα νόσῳ ἀπέβαλε καὶ πολέμῳ· ὁ δεύτερος [11] ηὕρηται ἀναρτῶν ἑαυτὸν, ὁ τρίτος παῖς ἐπικαταλαβὼν διεκώλυσε καὶ φυλακὴν αὐτῷ παρεκατέστησε· μετὰ ταῦτα ἱεροσυλία γέγονεν ἐν τῇ πόλει, καὶ ζητούντων τῶν ἀρχόντων αὐτὸν ἐπιδίδωσιν ὡς ἱερόσυλον· καὶ ὁ παῖς ἀντιλέγει· ἐνταῦθα γὰρ πάντα τὰ πεπραγμένα, ἅπερ ἐστὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὑπὲρ αὐτοῦ ἐστιν· ἥ τε γὰρ λύπη καὶ ὁ πρῶτος καὶ δεύτερος θάνατος καὶ τὸ θελῆσαι ἀναρτῆσαι ἑαυτὸν καὶ τὸ φυλάττεσθαι δεικνυσιν αὐτὸν ἐρῶντα θανάτου καὶ ταύτῃ ἀφορμῇ χρώμενον· εἰδέναι δὲ χρὴ, ὅτι οὐ μόνον τὰ πεπραγμένα ποιεῖ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλὰ δὴ καὶ ἀπὸ τῶν μὴ πεπραγμένων, ὡς ὁ Δημοσθένης [12] πεποίηκεν, „ὅτι οὐ προσῆλθες τῇ βουλῇ, οὐκ εἶπες, „„ἄπιστος, γόης, φοβερὸς, φυλάττεσθε [13] τὸν ἄνθρωπον, οὐχ ὁρᾶτε ἃ πεποίηκεν ἐμὲ,"" ταῦτα γὰρ οὐκ ἔστιν ἐκ τῶν πεπραγμένων, ἀλλ'

---

10 Cod. δή. 11 Cod. τὸν δεύτερον. 12 De fals. leg. p. 374. ἐγὼ δ' ἐκείνους λόγους ἐζήτουν παρὰ τούτου, εἴπερ μὴ πεπρακὼς αὐτὸν ἦν — —. τὸν δ' ἄνθρωπον, ὦ ἄνδρες Ἀθ. φυλάττεσθε, ἄπιστος, γόης, πονηρός etc. 13 Cod. φυλάττεσθαι.

ἐκ τῶν παρειμένων· τοῦτο δὲ οἱ πλεῖστοι τῶν τεχνικῶν ἐγνώρισαν. ἐν τοῖς τοιούτοις τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους αἱ μεταθέσεις τῆς αἰτίας ἐκ τῶν πεπραγμένων λύονται· τὰ μέν τοι ἀπ' ἀρχῆς ἄχρι τέλους ἢ ἐν λόγοις ἐστὶν ἢ ἐν ἔργοις, ἢ ἐν πάθεσιν· κἂν μὲν ἐν λόγοις ᾖ, πάντως ἡ λύσις αὐτῶν κατὰ ῥητὸν καὶ διάνοιαν γίνεται, ἐὰν δὲ ἐν πάθεσιν ἢ ἐν ἔργοις, κατὰ τὰς ἀντιθετικάς· καὶ τὰς ἐν λόγοις δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους ὁ Δημοσθένης κατὰ τὰς ἀντιθετικὰς ἔλυσεν, ὡς ἐν τῷ κατ' Αἰσχίνου λέγων, „ὅτι [14] Φωκεῖς αἴτιοι τοῦ ἀπολέσθαι," ὅπερ ἐστὶν ἀντεγκληματικὸν, καὶ „Λακεδαιμόνιοι," [15] ὅπερ ἐστὶ μεταστατικὸν, καὶ „Χεῤῥόννησος [15] σώζεται," ὅπερ ἐστὶν ἀντιστατικὸν, καὶ „ἐξηπατήθην," [16] ὅπερ ἐστὶ συγγνωμονικόν. Εὑρίσκεται δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ κοινὰ ἀμφοτέρων· οὐχ ὡς μονογενῆ φησι, μέρει μὲν τοῦ κατηγόρου, μέρει δὲ τοῦ ἀπολογουμένου χρωμένων, οὗ τὸ παράδειγμα τίθησι τὸν ἀριστέα, τὸν τὴν γραφὴν τῆς τυραννίδος κατὰ τοῦ ἀδελφοῦ ἀφελόμενον· ἀλλὰ πάντα ἀμφοτέροις ἁρμόζοντα, ὡς ἐπὶ τούτου· κατέλιπέν τις φίλον κληρονόμον, γράψας τὴν γυναῖκα μοιχείας ἐγράψατο καὶ οὐχ εἷλεν, μετὰ ταῦτα συνῴκησεν αὐτῇ καὶ κρίνεται μοιχείας· ἐνταῦθα ὅλα ἁρμόττει· καὶ γὰρ τὸ εἶναι φίλον καὶ θεμιστευθῆναι παρὰ τοῦ ἀνδρὸς καὶ κληρονομῆσαι καὶ γαμῆσαι· εἰ γὰρ συνῄδει μεμοιχευμένος, οὐκ ἐγάμει· καὶ πάλιν ἁρμόζει τὸ ὑποπτεῦσαι τὴν γυναῖκα τὸν ἄνδρα μοιχείας τὸν γραψάμενον· τὸ γὰρ μὴ καθυφεῖναι τὴν γραφὴν καὶ τὰ τοιαῦτα ἐνίοτε εὑρίσκεται μόριά τινα τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἃ οὔτε

---

14 De fals. leg. p. 359. — Cfr. Ald. p. 364. 15 Sumtum videtur ex or. laudata p. 365. Ibidem legitur: Χεῤῥόνησος ὡς περίεστι τῇ πόλει, ad quem locum sequentia malim referre, quam ad or. pro cor. p. 252. Χεῤῥ. ἐσώθη. 16 De fals. leg. p. 374.

ζητήματός ἐστιν, ἀλλ' ἔξωθεν ἐκ συμβεβηκότος σύστασιν ποιεῖ τῷ ζητήματι, ὡς ἐπὶ τούτου τοῦ ζητήματος· πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά, ἁλοὺς[17] τις ὑπερημερίας ἐδέδετο, καὶ διαῤῥήξας τὰ θεσμὰ περιτυχὼν τῷ πένητι ἀπέκτεινεν· ὁ δῆμος κατέλευσε τὸν ὑπερήμερον, ἀπέθανεν, ηὕρηται ἐν τοῖς κόλποις ἔχων τὸ τῆς ὑπερημερίας γραμμάτιον καὶ κρίνεται ὁ πλούσιος· ἐνταῦθα γὰρ τὸ καταλεῦσαι τὸν δῆμον τὸν ὑπερήμερον ἐκ τύχης συμβὰν καὶ ἔξωθεν ὂν τοῦ ζητήματος σύστασιν πᾶσαν δέδωκε τῷ ζητήματι· εἰ γὰρ ἔζη ὁ ὑπερήμερος, ἠδύνατο βασανιζόμενος εἰπεῖν τὴν ἀλήθειαν· τοῦτο ἂν ἔξωθεν ἐπισυμβεβηκὸς τὴν σύστασιν ἔχει, καὶ διαφέρει τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους τῶν ἀφ' ὧν ἑτέρου ποιήσαντος ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται, ὅτι ἐνταῦθα μὲν ἕτερος ὁ ποιήσας, οὐκ ἄντικρυς δὲ εἰς τὸν πλούσιον ἀναφέρεται, οὐδὲ ἐκ τούτων ἔχει τὴν ἀπόδειξιν τοῦ πεποιηκέναι, ἐξ ὧν ὁ δῆμος ἐποίησεν, ἀλλ' ἀμφισβήτησις ἐπὶ τούτων γέγονεν· ἐπὶ μὲν γὰρ τοῦ τρισαριστέως, οὗ ἔστησαν οἱ πολέμιοι εἰκόνα, καὶ κρινομένου προδοσίας αὐτοῦ ἡ ἀπόδειξις τοῦ εἶναι αὐτὸν προδότην γίνεται· ἐνταῦθα γὰρ ἐκ τοῦ τὸν δῆμον καταλεῦσαι οὐχὶ ἡ ἀπόδειξις τοῦ τὸν πλούσιον εἶναι τὸν πεφονευκότα γίνεται, ἀλλ' αὐτός ἐστι τὸ ποιοῦν τὴν ἀμφισβήτησιν· ὅπερ γὰρ ἔφαμεν, εἰ ἔζη βασανιζόμενος εἶπεν ἄν.

Ἡ ἀντίληψις οὐκ ἀεὶ ἐμπίπτει· καλῶς[18] σφόδρα προσέθηκεν, ὅτι ἀντίληψις οὐ γίνεται, εἰ μὴ ἀφ' ὧν αὐτὸς ποιήσας κρίνεται, οὐδεὶς γὰρ ἑτέρῳ ἐξουσίαν κατασκευάζει, ἀλλ' αὐτῷ, ὃ δὲ ἔξεστιν εἰπεῖν, ἔξεστιν ἐκείνῳ· ὅταν τὸ ζήτημα ἑτέρου ποιήσαντος τὴν κρίσιν ἔχῃ,[19] οὐ δύναται ὅλως ἀντίληψις ἐμπεσεῖσθαι, ἀντι-

---

17 Cod. ἄλλους. Post τις et post ὑπερημερίας in cod. breves lacunae sunt. — Cfr. Ald. p. 367. l. 25. 18 Cfr. Ald. p. 372. 19 Cod. ἔχειν.

λήψεως δὲ μὴ ἐμπεσούσης οὐδ' ἂν μετάληψις γένοιτο ἄν· ἡ γὰρ μετάληψις λύσις ἐστὶ τῆς ἀντιλήψεως.

Καὶ ἐὰν τὸ ἕτερον μέρος τῶν ἀντιδίκων ὁποτέρῳ χρήσεται· ἐπὶ στοχασμοῦ κακῶς σφόδρα τοῦτο εἴρηται, καὶ ἀδύνατόν ἐστι τὸν φεύγοντα κατήγορον μεταλήψει χρήσασθαι· εἰ γὰρ ἡ φύσις ἐστὶ τῆς μεταλήψεως τὸ μεταλαμβάνειν τὴν τοῦ φεύγοντος ἐξουσίαν, πῶς δύναται ὁ κατήγορος ταύτῃ χρήσασθαι; οὐκ ἐχρῆν οὖν εἰπεῖν „ὁπότερον τῶν μερῶν," ἀλλὰ „τοῦ φεύγοντος ταύτῃ χρωμένου ὁ διώκων τῇ μεταλήψει χρήσεται." ἐν δὲ ἄλλαις στάσεσιν σπανίως ηὕρηται· ἐν τῷ τόπῳ οὖν τὴν αἰτίαν ἐροῦμεν.

Ἡ μετάθεσις τῆς αἰτίας ἐστὶ πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἡ πρόσθεσίς ἐστιν ἀντιπροθέσεως, ἵνα ᾖ κατὰ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀντὶ τοῦ „διὰ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἔχουσα τὴν γένεσιν." αὕτη γὰρ δίδωσι τὸν τόπον τῇ μεταθέσει τῆς αἰτίας, ὥσπερ ἐν τοῖς ἀνωτέρω εἰρήκαμεν.

Ἐὰν ἐν λόγοις ᾖ, κατὰ ῥητὸν καὶ διάνοιαν ἡ μετάθεσις τῆς αἰτίας γίνεται, ἐὰν δὲ ἐν ἔργοις, καθὼς προειρήκαμεν, ἢ πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἔχουσα· αὐτὴ δὲ οὐκ εὖ [20] ἔχει ἡ ἐξήγησις· πάντα γὰρ τὰ τοῦ φεύγοντος κεφάλαια εἰς λύσιν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους εἰσίν· ἄμεινον οὖν „πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους" ἀντὶ τοῦ „διὰ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους τὴν γένεσιν τῆς ποιότητος δεχόμενα," καθὼς καὶ τὰ ἑξῆς περὶ αὐτοῦ λέγει· „κἂν μὲν ἐν λόγοις ᾖ, κατὰ ῥητὸν καὶ διάνοιαν γίνεται ἡ μετάθεσις τῆς αἰτίας," ὥσπερ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. ἔγνωσται, ὅτι τοῦτο θέλει λέγειν, ὅτι τὴν ποιότητα ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους [21] εἶναι δέχεται.

---

20 εὖ abest a cod. 21 Lacuna est in cod.

Ἐὰν δὲ ἐν ἔργοις, θετικῶς ἡ μετάθεσις τῆς αἰτίας ἐξετασθήσεται· εἰδέναι [1] δὲ χρὴ, ὅτι κατὰ πάσας τὰς ἀντιθετικὰς ἐξετάζεται, ἢ κατὰ ταὐτὸν [2] πλειόνων εὑρισκομένων ἢ μιᾶς· ὁ μέντοι Ἑρμογένης τοῦτο ἀγνοήσας λέγει, τὰ μὲν ἐν πάθεσιν ἀπ' ἀρχῆς ἄχρι τέλους συγγνωμονικῶς λύεσθαι, ὡς τοῦ ἀφορῶντος εἰς τὴν ἀκρόπολιν νέου πλουσίου δακρύοντος, τὰ δὲ ἐν ἔργοις θετικῶς, ἀγνοήσας, ὅτι τὸ θετικῶς κατὰ ἀντίστασίν ἐστι· πᾶς γὰρ ἀντίστασιν ἐργαζόμενος ἔπαινον ποιεῖ τοῦ πραχθέντος αὐτῷ, ὃ ὀνομάζει αὐτὸς εἶναι θετικῶς. ἐργασώμεθα οὖν τὴν αἰτίαν μετατιθέντες εἰς τὸ ὅμοιον, εἰς τὸ ἀνυπεύθυνον, εἰς τὸ ἐναντίον ἐγκληθῆναι δυνάμενον. εἰς μὲν τὸ ὅμοιον· ἐπ' ἐρημίας τις ηὑρέθη ἔχων ᾑμαγμένον ξίφος καὶ κρίνεται· ἀπὸ θηρίου γάρ φησιν αὐτὸ εἶναι ᾑμαγμένον· εἰς δὲ τὸ ἀνεύθυνον, ἢ [3] στέργειν γονεῖς ἢ κωμάζειν, ἢ οἰκέτας τρέφειν, ἢ σέβειν θεοὺς, πάντα γὰρ ταῦτα ἀνυπεύθυνά ἐστιν, οἷον συνεχῶς τις τοῖς τῶν ἀνδροφόνων χρῆται καθαρσίοις καὶ κρίνεται φόνου· ἐνταῦθα γὰρ ἀνυπεύθυνόν φησι τὸ δεισιδαιμονίας ἕνεκεν συνεχῶς καθαίρεσθαι· τὸ παρασίτους τρέφειν ἀνυπεύθυνον ὡμολόγηται. Εἰς τὸ ἐναντίον δέ· κατέλιπέν τις ἀλλοτρίᾳ γυναικὶ τὸν ἑαυτοῦ κλῆρον, [4] γράψας ἐν ταῖς διαθήκαις, ὅτι πρὸς μοιχείαν αὐτῷ οὐχ ὑπήκουσεν καὶ κρίνεται μοιχείας· ἐνταῦθα γὰρ ἡ μετάθεσις τῆς αἰτίας πρὸς τὸ ἐναντίον ἐκφέρεται καὶ χρῆται τοῖς ῥητοῖς τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· ἡ δὲ μετάθεσις τῆς αἰτίας ποτὲ μὲν μία ἐστὶν, ποτὲ δὲ πλείονες· καὶ ὁ μὲν τεχνικός φησιν τότε μόνον γίνεσθαι πλείονας τὰς μεταθέσεις τῆς αἰτίας καὶ πεπλανημένας, ὅταν ἐξ ὧν ἕτερος πεποίηκεν ἡ κρίσις ᾖ, ὡς

1 Cfr. Ald. p. 388. l. 10. 2 Cod. κατ' αὐτόν. Ald. κατὰ ταὐτόν. 3 Cod. εἰ. 4 Cod. κληρονόμον. Ald. l. 30. κλῆρον.

ἐπὶ τοῦ τρισαριστέως· ἐρεῖ γὰρ ἢ διὰ φθόνον ἐξευμενιζομένους ἢ διαβολὴν ἐμποιῆσαι βουλομένους ἢ προτρεπομένους τοῖς παρ᾽ ἑαυτοῖς. αὗται δὲ πλείονες μέν εἰσιν, ἐναντίαι δέ πως ἀλλήλαις, ἣν δὲ λέγει, ὅτι ἂν ἀφ᾽ ὧν αὐτός τις ἐποίησε πλείονες εὑρεθῶσιν μεταθέσεις, ἀναγκαῖον ἀκολούθως αὐτὰς εἶναι ἀλλήλαις, ὡς ἐπὶ τοῦ νίκτωρ μεταιτοῦντος ἀνάγκη γνῶναι, ὅτι ηὕρηνται, καὶ ἀφ᾽ ὧν αὐτός τις ποιήσας κρίνεται, πλείονες μεταθέσεις αἰτίας καὶ οὐκ ἀκόλουθοι ἀλλήλοις ἢ ἔχουσαι πρὸς ἑαυτὰς ὅλως σχέσιν ἢ κοινωνίαν, ὡς ἐπὶ τούτου τοῦ ζητήματος·[5] ἄσωτος καταναλώσας τὴν οὐσίαν ἠγόρασεν ὀρεινὸν χωρίον καὶ βάρβαρα ἀνδράποδα, καὶ ἐν αὐτῷ διαιτωμένου αὐτοῦ φήμη γίνεται λῃστῶν ἐν τῇ χώρᾳ ἀνελθόντων· οἱ στρατηγοὶ ἐν τῷ χωρίῳ τὸν μὲν πλούσιον οὐχ εὗρον, τὰ δὲ ἀνδράποδα καὶ ὅπλα κυνηγετικὰ κατήγαγον· μεταξὺ τῆς ὁδοῦ ἐπέθεντο καὶ τραυματίσαντες οἱ θεράποντες τοὺς στρατηγοὺς ἔφυγον, καὶ κρίνεται ὁ ἄσωτος λῃστείας· ἐνταῦθα πρὸς ἕκαστον τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους διάφορός ἐστιν ἡ μετάθεσις τῆς αἰτίας· τὸ μὲν ὀρεινὸν χωρίον ὅτι ἔλαττόν ἐστι τιμῆς καὶ οὐκ ἠβούλετο ἐν πόλει εἶναι αἰσχυνόμενος· τὰ δὲ βάρβαρα ἀνδράποδα, ὅτι πρὸς ἔργον καὶ κάματον ἐπιτηδειότερά ἐστι, τὰ δὲ ὅπλα τὰ κυνηγετικὰ διὰ τὸ ἐν ὄρεσι θηρία εὑρίσκεσθαι, τὰ δὲ ἀνδράποδα ἐπιτιθῆναι τῷ στρατηγῷ, διὰ τὸ μὴ ἐπιγνῶναι τὴν αἰτίαν, ἐφ᾽ ᾗ ἄγονται, ὡς βάρβαρα· τὸ δὲ ἐπιθεῖναι στρατηγὸν κατ᾽ αὐτοῦ ἐπὶ τῷ χωρίῳ, ἐκ διαβολῆς φησι τῶν ἐχθρῶν τοῦτο γενέσθαι. αἶται πλείους μὲν αἰτίας μεταθέσεις εἰσὶν, ουδεμία δὲ πρὸς τὴν ἄλλην ἔχει σχέσιν. κατασκευάζομεν δὲ τὴν μετάθεσιν τῆς αἰτίας τὸν κατήγορον μελετῶντες προσώπῳ, τόπῳ, τρόπῳ, χρόνῳ, αἰτίᾳ, ἢ πᾶσιν ἤ τισίν· τοῦ μὲν

5 Cfr. Ald. p. 389. l. 10.

γὰρ νέου τοῦ κωμάζοντος εἰς τὴν εἱρκτὴν καὶ βοῶντος „θαρσεῖτε λυθήσεσθε“ εἰπόντος, ὅτι ἔλεφ καὶ παραμυθίᾳ τῶν δεσμωτῶν, ἀπὸ τοῦ προσώπου κατασκευάζεται, ὅτι οὐδέποτέ γε τὸ τῶν πλουσίων καὶ τὸ τῶν νέων πρόσωπον ἕτοιμον πρὸς ἔλεον· καὶ ἀπὸ τοῦ τῶν δεσμωτῶν προσώπου, ὅτι οὐδὲ ὅλως τοὺς πονηροὺς καὶ μεμισημένους τῷ δήμῳ καὶ τοῖς νόμοις οὐ δεῖ ἐλεεῖν, οὓς ὁ δῆμος οὐκ ἠλέησεν· ἀπὸ δὲ τοῦ τόπου, οὐκ ἐπὶ τὸ δικαστήριον βαδίζοντα, ἀλλὰ γνώμην κατὰ σαυτὸν· ἀπὸ δὲ τοῦ χρόνου, οὐ νύκτωρ ἀλλὰ μεθ' ἡμέραν ἐπὶ τῶν δεσμοφυλάκων διαλεγόμενος· ἀπὸ τοῦ τρόπου, οὐκ ἐν τῷ ἐπαγγέλλεσθαι αὐτοῖς, ἀλλ' ἐν τῷ ἐπικουρίαν τινὰ παρέχειν, ἢ διὰ χρημάτων, ἢ παρακλήσει τοῦ δήμου, ἢ ἑτέρῳ τινὶ τρόπῳ· ἀπὸ δὲ τῆς αἰτίας, οὐ τοιαύτῃ αἰτίᾳ, δι' ἧς καὶ αὐτὸς ἐγκληθήσῃ.[6]

Ἡ πιθανὴ ἀπολογία ἀντιστρέφουσά ἐστι πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ὃ γὰρ ὁ κατήγορος, φησὶ, προτείνεται εἰς ἀπόδειξιν τοῦ γενέσθαι τόδε τι, αὐτὸ τοῦτο ἀπόδειξιν ὁ φεύγων τοῦ μὴ γενέσθαι προτείνεται· ὃ γάρ λέγει, ὅτι ἀφ' οὗ ἀφεώρας καί ἐδάκρυες τυραννῆσαι θέλεις, ἐρεῖ, ὅτι καὶ μὴν εἰ ἠβουλόμην τυραννῆσαι, ἐφυλαττόμην δημοσιεῦσαι τὴν γνώμην καὶ οὐκ ἐδάκρυον· καὶ αὗται μὲν ἐπὶ τῶν ἀντιστρέφειν δυναμένων· ὅταν δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀκόλουθα ᾖ, φησὶν, τῷ ἐγκλήματι, τότε εἰσάγεσθαι τὸ οὐκ ἀντιστρέφον κεφάλαιον, ὡς ἐπὶ τούτου τοῦ ζητήματος· σκηπτοῦ κατενεχθέντος εἰς τὴν Περικλέους οἰκίαν ηὕρηνται χίλιαι πανοπλίαι καὶ κρίνεται Περικλῆς τυραννίδος ἐπιθέσεως· ἐνταῦθα γὰρ οὐ δύναται εἰπεῖν, „καὶ μὴν εἰ ἤθελον τυραννῆσαι, ὅπλα οὐ παρεσκευαζόμην·“ ἀνάγκη γὰρ τοῖς τυραννεῖν ἐθέλουσιν ὅπλα

6 Cod. ἐγκληθείσῃ. Ald. p. 390. l. 13. ἐγκλεισθήσεται.

παρασκευάζεσθαι, ἀλλ' ἐρεῖ τὸ ἀκόλουθον, ὅτι οἱ μὲν παρασκευαζόμενοι τυραννῆσαι ὅπλα παρασκευάζονται, οὐ πᾶς δὲ ὁ παρασκευαζόμενος ὅπλα τυραννῆσαι προήρηται,[7] καὶ ἐπανατρέχει εἰς τὰ τῆς μεταθέσεως τῆς αἰτίας· κατασκευάζομεν δὲ τὴν πιθανὴν ἀπολογίαν ἢ τοῦτο λέγοντες, ὅτι μάλιστα διὰ τοῦτο οὐκ εἰργαζόμην, ὑποπτευθήσεσθαι προσδοκῶν, ἢ ἕτερον ἀνθ' ἑτέρου λαμβάνοντες, τὸ μὴ γεγονὸς ἀντὶ γεγενημένου τρόπον τινὰ ἀντὶ τοῦ ὑπευθύνου ἐπὶ τὸν ἀνεύθυνον· οὐκ ἂν ἐποίησα ἀλλὰ ἄλλως, οὐκ ἂν ἐδάκρυσα, ἀλλ' ἐστέναξα. ἀφανὲς ἦν οὐκ ἂν ἐνόησα, ἀλλὰ διὰ φίλου ἐμήνυσα· ἢ πρόσωπον ἀντὶ προσώπου, οὐκ ἂν ἐχρησάμην τούτοις συνεργοῖς, ἀλλὰ τοῖς ἔλαττον[8] ὑποπτευθησομένοις, οἷον οἰκέταις ἢ ξενικῇ δυνάμει· ἢ τόπον ἀντὶ τόπου, ὡς ὁ τοὺς ἀποκηρύκτους τρέφων ἐπὶ τοῖς ὁρίοις τῆς χώρας οὐκ ἂν ἐν αὐτῷ τῷ τόπῳ, ἀλλ' ἐν ἑτέροις ἔθρεψα ἧττον ὑποπτευθήσεσθαι δυναμένοις, οἷον οὐκ ἐπὶ τοῖς ὁρίοις ἀλλὰ πόῤῥωθεν, οὐκ ἐπὶ τῆς πόλεως ἀλλ' ἐπ' ἐρημίας· ἢ ἀπὸ χρόνου, οἷον οὐ νύκτωρ, ἀλλὰ μεθ' ἡμέραν, ἢ οὐ νῦν, ἀλλ' ὕστερον· ἀνασκευασθήσεται δὲ ὑπὸ τοῦ κατηγόρου πάντα ταῦτα τρισὶ τούτοις, ἀγνοίᾳ, ἀνάγκῃ, τύχῃ· ὅταν γὰρ λέγῃ, ὅτι τύχη, εἰ ἤθελον τυραννῆσαι, οὐκ ἂν ἐκώμαζον, οὐκ ἂν οὕτως ἐδημοσίευον τὴν γνώμην, ἢ οὐκ ἂν ἐδάκρυον, ἵνα ἐλεγχθῶ· ἀνάγκη μὲν, ὅτι οὐκ εἶχες ἄλλως αὐτοῖς διαλεχθῆναι οὐ φυλαττόντων τῶν δεσμοφυλάκων· τύχη δὲ, ὅτι ἡ τύχη τῆς πόλεως ἐξήγαγέν σε πρὸς τὸ μὴ εἰς ἔργον ἀχθῆναι τὴν κατὰ τῆς πόλεως ἐπιχείρησιν· καὶ ἐπιχειρήματά τινα ἐρεῖς καὶ παραδείγματα, ἐν οἷς καὶ ἄκοντες πράττουσιν καθ' ἑαυτῶν· ἀγνοίᾳ δὲ, ὅτι οἱ ἐπιθυμοῦντές τινος ὅλην

---

7 Cod. προείρηται. 8 ἔλαττον inserui ex Ald. p. 405. l. 14.

τὴν γνώμην πρὸς τὴν ἐπιθυμίαν ἐξάγουσιν ἀγνοοῦντες βλαβερὰ ἑαυτοῖς ποιοῦντες.

Ἡ κοινὴ ποιότης οἱ ἐπίλογοί εἰσιν καὶ αἱ δευτερολογίαι· ἐνταῦθα[1] περὶ πάντων ἐπιλόγων ὁ τεχνικὸς διαλαμβάνει καί φησιν, ὅτι τοπικῶς αὐτοῖς ὁ κατήγορος κατασκευάζει, καὶ προςτίθησιν καὶ τελικὰ κεφάλαια. εἰδέναι δὲ δεῖ, ὅτι οὐκ ἀναγκαίως πάντα τελικὰ εὑρίσκεται κεφάλαια, ἀλλ᾽ οὐδὲ ὅλως κεφάλαιά ἐστιν, ἀλλ᾽ ἐνθυμήματα πάντα ταῦτα, καὶ ἃ ἐκ τῆς Δημοσθενικῆς δεινότητος καὶ περιουσίας ἐστὶ νενοημένα. φησὶ δὲ αὐτὸς ταῦτα δύνασθαι τοῖς προοιμίοις καλῶς σφόδρα· δύο γὰρ μέρη ἐστὶ τοῦ λόγου, παθητικὸν καὶ ἀποδεικτικὸν, καὶ τὸ μὲν παθητικόν ἐστι τά τε προοίμια καὶ οἱ ἐπίλογοι· ἐν ἀμφοτέροις γὰρ πάθος τι ἢ κινῆσαι ἢ ἀποβάλλειν ζητοῦμεν· τὸ δὲ ἀποδεικτικὸν οἱ ἀγῶνες καὶ οἱ ἐπίλογοι καὶ τὰ προοίμια· τὴν δὲ διαφορὰν αὐτῶν ἄριστα ὁ τεχνικὸς ἐμήνυσεν· καὶ τὰ μὲν κεφάλαια ταῦτα καὶ ἡ τῶν κεφαλαίων διαίρεσις.

Εἰσὶ δὲ καὶ ἁπλοῖ τινες ἀτελεῖς στοχασμοὶ καὶ διπλοῖ τινες ἀτελεῖς· τῶν στοχασμῶν εἴδη[2] πλείονα, καὶ πρῶτοι μὲν αὐτῶν ἁπλοῖ, οἱ δὲ διπλοῖ, οἱ δὲ συνεζευγμένοι, οἱ δὲ συμπεπλεγμένοι, οἱ δὲ ἀντεγκληματικοὶ, καὶ μετὰ τούτους ἕτερα εἴδη, οἱ παράδοξοι, οἱ ἀπὸ γνώμης, οἱ ἐξ ἀπάτης, οἱ ὁρικοὶ καὶ ἕτερα λεπτότερα τούτων μετὰ τὴν τούτων διαίρεσιν ἐροῦμεν, ἐκεῖνα γὰρ τὴν αὐτὴν μὲν τοῖς ἁπλοῖς ἔχει διαίρεσιν, ποιότητι δὲ τῆς κατασκευῆς διέστηκε· τῶν ἁπλῶν δὲ καὶ[3] τῶν διπλῶν οἱ μὲν εἰσι τέλειοι, οἱ δὲ ἀτελεῖς, καὶ τέλειοι μὲν οἱ καὶ πρόσωπον καὶ πρᾶγμα ἔχοντες κρινόμενον, ἀτελεῖς δὲ οἱ ἕν τι τούτων ἔχοντες ἀόριστον ἢ ἰσάζον· ἀόριστον μὲν ἐν τοῖς ἁπλοῖς, ἰσάζον δὲ ἐν τοῖς

1 Cfr. Ald. p. 414. 2 Cod. ἤδη. 3 καὶ Cod. om.

διπλοῖς, καὶ παραδείγματα τῶν μὲν ἁπλῶν ὁ παριστάμενος τῷ νεοσφαγεῖ σώματι καὶ φόνου φεύγων· ἐνταῦθα γὰρ τὸ πρόσωπον ὂν ἀτελὲς ἀπὸ προσώπου τὸν στοχασμὸν ποιεῖ ἀτελῆ, καὶ ἀνάγκη ἐκλείπειν τὰ ᾠκειωμένα τῷ προσώπῳ κεφάλαια, ἃ προειρήκαμεν ἄνω· ἀπὸ δὲ πράγματος, ὁ ἄσωτος ὁ κρινόμενος ἐπὶ τῷ πατρὶ ἀφανεῖ γενομένῳ· ἐνταῦθα γὰρ οὐδὲν ὥρισται, ὁ ποιήσας ὁ ἄσωτος κρίνεται, ἀλλ' ἡ τοῦ προσώπου ποιότης ἐστὶν ἡ παρέχουσα σύστασιν τῷ ζητήματι· καὶ περὶ μὲν τῶν ἁπλῶν στοχασμῶν ταῦτα, σαφῆ γὰρ τῶν ἁπλῶν καὶ τελείων παραδείγματα· τῶν δὲ διπλῶν ἀτελὴς μὲν ἀπὸ προσώπου οὗτος· δύο ῥήτορες πρεσβεύσαντες πρὸς τύραννον καὶ ἐπανελθόντες πεφωράκασιν ἀλλήλους, ὁ μὲν χρυσίον κατορύττοντα, ὁ δὲ παραπρεσβείας ἀπολογίαν γράφοντα, καὶ κατηγοροῦσιν ἀλλήλων· ἐνταῦθα μὲν γὰρ τὰ μὲν πρόσωπα ἰσάζοντα κρίσιν οὐ δέχεται, ἀλλ' ἀνάγκη ἐκλείπειν τὰ τοῦ προσώπου κεφάλαια, ῥήτορες γὰρ ἀμφότεροι καὶ ἡ ποιότης ἴση, τὰ δὲ πράγματα ἐναλλάττοντα τὴν κρίσιν ἐπιδέχεται· ἐπὶ δὲ τῶν διπλῶν ἀπὸ πραγμάτων· ἀριστεὺς τέθνηκεν[4] ἐπὶ σημείοις φαρμάκων μητρυιὰν ἔχων καὶ αἰχμάλωτον παλλακίδα, καὶ ἀντεγκαλοῦσιν ἀλλήλαις, ἐνταῦθα γὰρ ἡ μὲν τῶν προσώπων διαφορὰ τὴν κρίσιν ἐπιδέχεται, πρᾶγμα δὲ παρ' οὐδετέρας τῶν κρινομένων πέπρακται, διὸ ἀτελὴς ἀπὸ πραγμάτων ἐστί· διπλοῦ δὲ στοχασμοῦ τέλειον παράδειγμα· ἦρα τις μειρακίου καὶ ἀπετύγχανεν καὶ τὸ μειράκιον ἑταίρᾳ ἐχρῆτο, ἀνθ' ἑταίρας δὲ στρατιώτῃ[5]· ὁ στρατιώτης παρευδοκιμούμενον ἔφη οὐ χρήσειν τὸ μειράκιον· μετὰ ταῦτα ηὕρηται ἀνῃρημένον τὸ μειράκιον· οἱ στρατηγοὶ ζητοῦντες ἀμφοτέρων οἰκίας εὗρον τὸν μὲν ἐραστὴν εἰκόνα τοῦ παιδὸς ἔχοντα ἐπὶ τῆς κλίνης καὶ κλαίοντα, τὸν δὲ στρατι-

4 In cod. manu recentiore superscriptum est: ἐτελεύτα.
5 Post στρατιώτῃ Cod. repetit: τὸ μειράκιον.

ὑτην καθεύδοντα καὶ ξίφος αὐτῷ παρακείμενον, καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις. ἔστι δὲ καὶ ἕτερον εἶδος τῶν διπλῶν, ὃ παρά τισι μὲν ηὕρηται τῶν τεχνικῶν, Ἑρμογένει δὲ οὐκ εἴρηται, ὃ καλοῦσί τινες διπλοῦν μονομερές, ἐν ᾧ δύο πράγματά ἐστι καὶ πρόσωπα κρινόμενα, ἐν δὲ τῷ ἑτέρῳ οὐδὲ τὸ κατηγοροῦν αὐτό· παράδειγμα, Αἰσχίνης καὶ Δημοσθένης ἐπανήκοντες ἐκ τῆς Φιλίππου πρεσβείας πεφωράκασιν ἀλλήλους, ὁ μὲν χρυσίον κατορύττοντα, ὁ δὲ παραπρεσβείας ἀπολογίαν γράφοντα, καὶ Ὑπερίδης ἀμφοτέρων κατηγορεῖ· ἐνταῦθα γὰρ ἐνήλλακται ὁ τρόπος παντελῶς τῷ δύο τε εἶναι φεύγοντα πρόσωπα καὶ οὐκ ἐφ' ἑνός, ἓν δὲ τὸ κατηγοροῦν· καὶ περὶ μὲν τῶν διπλῶν ταῦτα· εἰσὶ δὲ καὶ συνεζευγμένοι καὶ συμπεπλεγμένοι· καὶ συνεζευγμένοι μέν εἰσιν, οἷον ὅταν ἓν πρόσωπον ἐπὶ δύο διαφόροις ἐγκλήμασι κρίνηται, οἷον φόνῳ καὶ τυραννίδι καὶ τοῖς ὁμοίοις, ὡς καὶ ἐπὶ τοῦ πλουσίου τοῦ κρινομένου τυραννίδος ἐπιθέσεως καὶ φόνου ἐπὶ τῷ τὸν γραψάμενον τυραννίδος ἐπιθέσεως πένητα δοκεῖν[6] ἀνηρηκέναι· συμπεπλεγμένοι δέ, ἔνθα δύο πράγματά εἰσιν, οὐκ ἀμφότερα κρινόμενα, ἀλλὰ εἰς σύνταξιν τοῦ προτέρου καὶ τὸ ἕτερον προάγεται, καὶ αὐτὸ μέν τοι τελείως ἐξεταζόμενόν ἐστιν, ὅ τε προκατασκευαζόμενος καὶ ὁ συγκατασκευαζόμενος, καὶ ὁ ἐμπίπτων· τῶν δὲ ἑτέρων εἰδῶν, τοῦ τε ἐξ ἀπάτης καὶ παραδόξου καὶ τοῦ ὁρικοῦ καὶ τοῦ ἀπὸ γνώμης καὶ δημοκοπίου καὶ τῶν λοιπῶν ἐφεξῆς ἐροῦμεν· ἀναγκαῖον δὲ καὶ τὴν διαφορὰν αὐτῶν εἰπεῖν. τῶν μὲν οὖν ἁπλῶν πρὸς τοὺς διπλοῦς περιττὸν εἰπεῖν, ὡμολόγηται γάρ, ὅτι ὁ μὲν ἔχει πρᾶγμα καὶ πρόσωπον κρινόμενον· ὁ δὲ δύο· τῶν δὲ διπλῶν οἱ μέν εἰσιν ἀντεγκληματικοί, οἱ δὲ κατὰ ἀμφισβήτησιν· διαφέρουσι δὲ οἱ κατὰ ἀμφισβήτησιν τῶν ἀντεγκληματικῶν, ὅτι ἐν μὲν τοῖς

6 Cod. δοκεῖ.

ἀντεγκληματικοῖς ἀρνεῖται ἑκάτερος τὸ πεποιηκέναι, καὶ περὶ τιμωρίας τοῦ πεποιηκότος ἐστὶν ὁ λόγος, ἐν δὲ τοῖς κατὰ ἀμφισβήτησιν τὸ πεποιηκέναι ἕκαστος αὐτῶν κατασκευάζει, καὶ περὶ τῆς δωρεᾶς ὁ λόγος· ἐν τούτοις ἐστὶ καὶ τὸ ἀντεγκληματικὸν τοῦ στοχασμοῦ εἶδος τοῦ κατὰ ἀμφισβήτησιν. ἔφαμεν εἶναι, ἐν ᾧ οὔτε περὶ δωρεᾶς ἐστιν ἡ ἀμφισβήτησις ἢ ὁ λόγος οὔτε ἔγκλημά τί ἐστιν τὸ πεποιημένον, ἀλλὰ ἀμφισβήτησις ἑνὸς πράγματος, ὃ τῷ πότε ἁρμόττει, ὡς ἐπὶ τῶν κληρονόμων καὶ τῶν ἐπιτρόπων ἀμφισβητούντων τοῦ κλήρου τοῦ μειρακίου, ὅτι φήμη γέγονεν αὐτὸν τετελευτηκέναι. καὶ τοῦ μὲν κατὰ ἀμφισβήτησιν καὶ ἀντεγκληματικοῦ αὗται διαφοραὶ, τοῦ μὲν ὅτι ἀρνεῖται πεποιηκέναι, τοῦ δὲ ὅτι ὁμολογεῖ· ἐν δὲ τῷ ἀντεγκληματικῷ τῷ καλουμένῳ οὐδὲν ποιήσας ἑκάτερος τῶν ἀμφισβητούντων ἀμφισβητεῖ τοῦ κλήρου· ἐν δὲ τοῖς συνεζευγμένοις ἕν ἐστι πρόσωπον, τὸ ἐπὶ δύο πράγμασι κρινόμενον, καὶ οὐ δύο· ἢ τὸ ἐναντίον δύο πρόσωπα ἐφ' ἑνὶ πράγματι· τῶν δὲ συμπεπλεγμένων ὅτι δύο εἰσὶ πράγματα ἐν ἑνὶ προσώπῳ· τὸ δὲ ἓν οὐ κρίνεται, ἀλλ' εἰς σύστασιν τοῦ ἑτέρου παραλαμβάνεται, καὶ τὰ μὲν εἴδη τοῦ στοχασμοῦ ταῦτα, καὶ ἐπὶ τοῦ ῥητοῦ δὲ σαφῆ ἔχει τὴν ἐξέτασιν, καὶ τοῖς γε ἐπεσκεμμένοις τὰ μικρῷ πρότερον εἰρημένα περὶ τῶν κρινομένων πραγμάτων τὸν συλλογισμὸν πάλιν προτίθησιν, ὃν παραλογιζόμενος ἐν τῷ περὶ τῶν πραγμάτων λόγῳ ἔταξεν. πρῶτον μὲν οὖν ἐρήσομαι αὐτοὺς, εἰ οὐκ ἔσται τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· καὶ μὴν ἔσται τὸ ἐκποδὼν εἶναι τὸν πατέρα. πάλιν ἐπὶ τοῦ αὐτοῦ κακουργήματος ἔμεινεν, οὐ γὰρ τὸ ἐκποδὼν εἶναι τὸν πατέρα ἐστὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλ' οὔτε τοῦτό ἐστι τὸ ἔγκλημα· τὰ γὰρ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀπὸ τῶν σημείων γίνεται, καὶ οὐκ ἀπὸ τῶν ἐγκλημάτων· ἐπὶ γὰρ τοῦ ἀφορῶντος εἰς τὴν ἀκρόπολιν καὶ δακρύοντος αὐτὸ τὸ ἀφορᾶν καὶ τὸ δακρύειν ἐστὶν τὰ ἀπ' ἀρχῆς ἄχρι τέ-

λους, οὐ τὸ θέλειν τυραννῆσαι· ἴσμεν δὲ τοῦτο ἄνωθεν γνόντες, ὅτι ὁ στοχασμὸς δύο πράγματα ἔχει, τὸ μὲν φανερὸν καὶ σημεῖον, τὸ δὲ ἀφανές, καὶ ἐγκλήματα οὖν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐκ τοῦ φανεροῦ καὶ σημείου γίνεται, οὐκ ἀπὸ τοῦ ἐγκλήματος· τὸ λέγειν οὖν ἐκποδὼν εἶναι τὸν πατέρα οὐκ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλ' ἔγκλημα.

Ἀλλὰ μετάθεσιν αἰτίας αὐτὸν οὐκ ἀπαιτήσομεν. ἀλλὰ καὶ τοῦτο, εἰ δὲ μή, πῶς ἔσται ἡ ἀπολογία; καὶ ἐνταῦθα πάλιν παραλογιζόμενος, εἰ γὰρ ἦν μετάθεσις αἰτίας, ἐχρῆν αὐτὸν εἰπεῖν αὐτὴν καὶ προςθεῖναι[7]. Τῷ δὲ λέγειν, „εἰ καὶ μή, τίς ἔσται ἡ ἀπολογία"; ἐροῦμεν, ὅτι ἐκ τῆς ποιότητος τοῦ προσώπου καὶ τῆς βουλήσεως καὶ τῆς δυνάμεώς ἐστιν ἡ ἀπολογία, οὐ γὰρ ἀνάγκη ἐκ τῆς μεταθέσεως τῆς αἰτίας γίγνεσθαι τὴν ἀπολογίαν, περιττὰ γὰρ ἤμελλεν εἶναι[8] τὰ λοιπὰ κεφάλαια τοῦ φεύγοντος, εἰ μόνη ἡ μετάθεσις τῆς αἰτίας ἐποίει τὴν ἀπολογίαν· ἐροῦμεν οὖν, ὅτι ἐστὶ μὲν ἀπολογία, οὐκ ἐκ τῆς μεταθέσεως δὲ τῆς αἰτίας· τὸ γὰρ μέγιστον, ὅ φησι καὶ πιθανὴν ἀπολογίαν ἔχειν, λέγει γάρ, „ἡ πιθανὴ ἀπολογία ἀναστρέφουσά ἐστι πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· καὶ αὐτὸ τοῦτο σημεῖον τοῦ μὴ γεγενῆσθαι"· λέγει δὲ τὸ ἐκποδὼν εἶναι τὸν πατέρα ἀπ' ἀρχῆς ἄχρι τέλους, πῶς ἔχει[9] εἰπεῖν, „καὶ μὴν εἰ ἀνῃρήκειν αὐτόν, οὐκ ἂν ἦν ἐκποδών"; ἀλλὰ εὔηθες· εἰ δέ τις ἐρεῖ, ὅτι δυνάμεθα τὴν πιθανὴν ἀπολογίαν ποιήσασθαι κατὰ τὸ μὴ ἀντιστρέφον καὶ τοῦτο ὀρθῶς ἔχει· καθόλου γὰρ αἱ μὴ ἀντιστρέφουσαι πιθαναὶ ἀπολογίαι ἀκόλουθοί εἰσι τῷ ἐγκλήματι διὰ τοῦ σημείου, ὡς ἐπὶ τοῦ Περικλέους ἀναντίῤῥητόν ἐστιν, ὅτι οἱ θέλοντες τυραννῆσαι ὅπλα παρασκευάζονται, καὶ οἱ ἑταιροῦντες καλλωπίζονται· διὸ καί φησιν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ὁρικῶς ἐξετάζεσθαι ὡς ἤδη τῶν ση-

7 Cfr. Ald. p. 434. l. 11. 8 εἶναι inserui ex Ald. l. 16. 9 Cod. ἔχεις.

μείων ἀδικημάτων ὄντων. ἐνταῦθα οὖν ἡ ἀφάνεια οὐκ ἔστιν φανερὸν σημεῖον, ἀεὶ γὰρ παρελάβομεν ἐν τοῖς ζητήμασι τὸ „νεκρὸς ἀσκύλευτος," ἐν οἷς ἂν ἐξ ἐπιβουλῆς θάνατον ἐπάγωμεν·[10] οὐκοῦν οὐ δύναται εἰπεῖν, πάντες μὲν οἱ φονεύοντες ἀφανεῖς ποιοῦσιν, οὐ μὴν οἱ ἀφανεῖς πεφονευμένοι τυγχάνουσιν, οὐ γὰρ ἀναντίῤῥητόν ἐστιν, ὅτι οἱ φονεύοντες ἀφανεῖς ποιοῦσιν, διὸ οὐδὲ ἀκόλουθον τὸ σημεῖον, ἀλλ' οὐδὲ ὁρικῶς δύναται ἐξετασθῆναι, οὐ γὰρ δύναται εἰπεῖν, ὅτι ἡ ἀφάνεια θάνατος, ὅπερ ποιεῖ ἐν τῷ καλλωπιζομένῳ μειρακίῳ, ὅτι τὸ καλλωπίζεσθαι πορνεία, καὶ τὸ παρὰ γνώμην τῆς πόλεως ὅπλα ἔχειν τυραννίς.

Καὶ γὰρ ἐν ἅπασι στοχασμοῖς ἧττον ἰσχύει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅταν ἐφ' οἷς ἕτεροι πεποιήκασιν ἡ κρίσις· εἰ[1] μὲν συγκρίνομεν τοῦτο δεχόμενοι τὸ ἀφ' ὧν αὐτός τις ποιήσας κρίνηται, δεῖ[2] γὰρ ἧττον εἶναι τὸ ἔγκλημα, ὃ ἕτερος αὐτῷ ἐπάγει, ἢ ὃ αὐτὸς ἑαυτῷ· εἰ δὲ καθόλου ὡς ἀσθενὲς αὐτὸ δέχεται, οὐκ ἔστιν ἀσθενὲς, ἀλλὰ πάνυ ἰσχύει· ὃ δὲ παρακατιών φησιν, ἄντικρυς αὐτὸν ἐλέγχει. παραλογιζόμενός φησιν, „ἄλλως τε καὶ ὅταν ἄντικρυς μὴ εἰς αὐτὸν ἀναφέρηται". ἐνταῦθα γὰρ ὅλως ἂν δῶμεν τὸ ὅλως ἀμφιβολίαν θεῖναι ἢ οὐκ ἄντικρυς εἰς αὐτὸν ἀναφέρεσθαι, ἀσύστατον ἔσται τὸ ζήτημα· ὃ γὰρ αὐτὸς τίθησι παράδειγμα τὸ τοῦ Ἀρχιδάμου, ἐξ ἑτέρων, ὡς εἰρήκαμεν, ἔχει τὴν κατηγορίαν, ἐκ τοῦ βραδῦναι, ἐκ τοῦ πέμψαι τὸν Μελήσιππον, ἐκ τοῦ ἀντειπεῖν, ἅπερ καὶ ἐκτὸς τῆς ὑποψίας ἤρκει πρὸς κατηγορίαν· οὐδὲ γὰρ ἔοικε τοῦτο ἐκείνῳ· τὸ μὲν γὰρ καὶ ὡρισμένον ἔχει πρόσωπον καὶ τὰς πρά-

10 Cod. ἐπάγομεν. 1 Cfr. Ald. p. 435. l. 24. 2 δεῖ et lin. sq. ἢ abest a cod., Post ἑαυτῷ addendum videtur: καλῶς λέγει, coll. Ald. p. 435. l. 25.

πράξεις ὡρισμένας, καὶ τὴν ποιότητα τοῦ Ἀρχιδάμου καὶ τὴν βλάβην τὴν ἐκ τῆς μελλήσεως, ἐνταῦθα δὲ ἡ τῆς ἀσωτίας ποιότης ἐστὶ μόνη ἡ κρινομένη.

Διπλοῦς δὲ ὅταν Αἰσχίνης ἢ Δημοσθένης· διπλοῦς μὲν οὖν καὶ ὅταν ἐγκληματικῶς, οὐ μέντοι οὗτος κυρίως διπλοῦς καλεῖται· καὶ γὰρ καὶ οἱ κατὰ ἀμφισβήτησιν διπλοῖ καλοῦνται· ἀλλ' εἰ μὲν γενικῶς διπλοῦς καλεῖται[3], καλῶς ἂν εἶπεν, εἰ δὲ ἰδικῶς, διπλοῖ εἰσι μόνον οἱ ἓν πρόσωπον ἔχοντες ἐπὶ δύο πράγμασι κρινόμενον, ὥσπερ εἰρήκαμεν. ἰδίᾳ γάρ εἰσιν οἱ ἀντεγκληματικοὶ καὶ οἱ κατὰ ἀμφισβήτησιν.

Ἔστιν ἕτερα εἴδη τρία διπλῶν στοχασμῶν, οὓς καλοῦμεν ἐζευγμένους. ἐνταῦθα ἐμήνυσεν, ὅτι τὸ διπλοῦν γένος ἐστὶ καὶ οὐκ αὐτὸ[4] εἶδος· οὐκοῦν οἱ ἀντεγκληματικοὶ εἰ μὲν ὡς γένος ἐκλήθησαν, εὖ ἂν ἔχοι, εἰ δὲ αὐτοί, οὐ κυρίως εἰσὶν διπλοῖ, ἀλλ' οἱ[5] ἐπὶ δύο ἐγκλήμασιν ἔχοντες ἓν πρόσωπον κρινόμενον, κἂν ὅμοια ὦσιν τὰ ἐγκλήματα, ὡς ἐπὶ τοῦ πλουσίου τοῦ κρινομένου ἐπὶ τοῖς δύο φόνοις, ἐπειδὴ ἀνεβάλετο τὸν μηνυτὴν τοῦ πρώτου φόνου καὶ εὕρηται καὶ αὐτὸς νεκρὸς ἀσκύλευτος.

Δῆλον δὲ, ὅτι καὶ ἐκ τῶν ἄλλων, τῆς ὑπονοίας τοῦ ἀνδρός· ἐνὶ λόγῳ φθάσαντες εἰρήκαμεν, ὅτι ἄδηλον δήλῳ οὐδέποτε κατασκευάζεται, δύο ἀεὶ δῆλά ἐστιν, ἑκάτερα οὐ δύνανται ἀλλήλων εἶναι κατασκευαὶ μὴ ἔχοντα ἄλλα δῆλα· δεῖ οὖν ἔξωθεν εἶναι τὸ σημεῖον, ἢ τὴν ὑπόνοιαν τοῦ ἀνδρὸς ἢ τὸ λυθῆναι αὐτὸν, ἤ τι τῶν τοιούτων, ἐπεὶ αὐτὰ ἐφ' ἑαυτῶν ἀποροῦντα ἑτέρας ἀποδείξεως οὐκ ἂν συσταίη.

Ὁ ἀπὸ γνώμης στοχασμὸς παρὰ τούτους ἐστίν.[6] Ζητεῖται δὲ, τί διαφέρει ὁ ἀπὸ γνώμης στοχασμὸς συγγνώμης· εἰ γὰρ εἰς μίαν ἀναφέρει, ἴσμεν δὲ

3 Ald. καλέσαι. 4 Cod. αὐτόν. 5 ἀλλ' οἱ inserui ex Ald. p. 451. l. 3. 6 Post ἐστὶν in cod. est ἤ.

ὅτι καὶ ἡ μανία συγγνώμην ποιεῖ, ὡς ὁ ἐν μανίᾳ τὸν πατέρα τυπτήσας καὶ ἀνενεγκὼν καὶ κρινόμενος, τί δεοίσει; ἐροῦμεν, ὅτι ἐν συγγνώμῃ ὁμολογούμενόν ἐστι τὸ πάθος, ἐφ' ὃ ἀναφέρει τὴν αἰτίαν, ἐν δὲ στοχασμῷ αὐτὸ τοῦτο ζητεῖται, εἰ ἐμαίνετο, καὶ ἔστι τοῦτο ἀμφίβολον καὶ κατασκευῆς δεόμενον, ὅτι μόνους ὁ τεχνικὸς οἶδεν στοχασμούς· εἰσὶ δὲ καὶ ἕτεροί τινες στοχασμοὶ, ὅ τε παράδοξος καὶ ὁ κατ' ἀμφισβήτησιν ὡς ἐπὶ τῶν κληρονόμων καὶ ἐπὶ τῶν ἐπιτρόπων ἀποδημούντων, περὶ τῆς οὐσίας τοῦ ἀποδημοῦντος παιδὸς, ὅτι φήμη γέγονεν ἐπ' αὐτὸν τετελευτηκέναι· ἐπιπλέκονται[7] δὲ στοχασμοὶ καὶ ἑτέραις στάσεσιν, ὡς ἐπὶ τοῦ ζητήματος· διδύμων ἀδελφῶν ὁ ἕτερος ἐφυγαδεύθη, συνεξῆλθεν αὐτῷ καὶ ὁ ἕτερος, μετὰ ταῦτα ἐλθόντα αὐτὸν ὁ στρατηγὸς περιτυχὼν ἀπέκτεινε καὶ κρίνεται φόνου, ὁ δὲ ἀξιοῖ τὴν ἐπὶ τοῖς ἀκουσίοις δοῦναι δίκην. ἐνταῦθα δὲ ἐπιπλέκεται ὁ ὅρος, ὁριζομένου, τί τὸ ἀκούσιον, τοῦ κατηγόρου· δῆλον, ὅτι ὡς ἀκούσιον ἂν εἴη τὸ βέλος ἀφέντα σκοποῦ μὲν ἀποτυχεῖν, ἐπ' ἄνδρα δὲ κατενεχθῆναι τὸ βέλος, ἵππον ἐλαύνοντα καθελεῖν μὲν πάλῃ καὶ τὰ τοιαῦτα· εἶτα ὁ στοχασμὸς, εἰ ἐγνώρισεν, εἰ ἠγνόησεν, καὶ ἐνταῦθα μὲν τὸ ὁρικὸν μόνον ἐμπίπτει κεφάλαιον, εὑρίσκεται δὲ καὶ τέλειος ὅρος μελετώμενος καὶ τέλειος στοχασμὸς ὡς ἐπὶ τούτου· μειράκιον ἠπείλησε πορνεύσειν ἐντὸς δέκα ἡμερῶν, εἰ μὴ εὐπορήσειεν· ἐν ταῖς δέκα ἡμέραις κλῆρος αὐτῷ καταλέλειπται καὶ οὐκ ἐπόρνευσε, καὶ κωλύεται λέγειν· ἐνταῦθα γὰρ τέλειος ὅρος κατασκευάζεται, ὅτι τὸ κηρύξαι, τὸ ἀναισχυντῆσαι πορνείας ἐστὶ, καὶ μετὰ τὸ πάντα τὰ κεφάλαια ἐξετασθῆναι τοῦ ὅρου ἀναφύεται τὸ στοχαστικὸν, εἰ ἐπόρνευσεν· ἐν ᾧ ἡ μετάθεσις τῆς αἰτίας, διὰ τὸ ἀναγκάσαι τοὺς οἰκείους εὐπορίαν μοί τινα δοῦναι αἰσχυνομένους τοῦτο ἐποίησα.

---

7 Cfr. Ald., p. 468.

Ἐπιπλέκεται ἀντιλήψει, ὡς ἐπὶ τούτου, ἀτίμῳ δίκης οὐ[8] μέτεστιν, ἄτιμος εὑρὼν τὴν γυναῖκα ἑαυτοῦ μοιχευομένην ἕπεται τῷ μοιχῷ κλαίων, κατέλευσεν ὁ δῆμος τὸν μοιχὸν καὶ κρίνεται δημοκοπίου· ἐνταῦθα γὰρ μετὰ τὸ ἀντιληπτικὸν, ὅτι ἔξεστί μοι δακρύειν, καὶ ἀνεύθυνα τὰ δάκρυα ἀναφύεται στοχαστικὸν, πότερον διὰ τὸ μὴ δύνασθαι δικάζεσθαι ἔκλαιεν ἢ τῇ ἀληθείᾳ θόρυβον βουλόμενος ποιήσασθαι καὶ ἐκκαλέσασθαι πρὸς ὀργὴν τὸν δῆμον. Ἐπιπλέκεται δὲ στοχασμὸς καὶ νομικῇ στάσει, ῥητῷ καὶ διανοίᾳ, ὡς ἐπὶ τούτου· φυγάδες πολλοὶ συνδραμόντες ἐν πόλει συνέσχον τινὰ ὡς ἐπὶ τυραννίδος, στρατηγὸς κατὰ τὸν νόμον τὸν κελεύοντα τοὺς φυγάδας ἀναιρεῖν ἀπέκτεινεν αὐτοὺς καὶ ἀφῆκεν τὸν κατεχόμενον, μετὰ ταῦτα ἐκεῖνος ἐτυράννησεν ἀφεθείς· καταλυθείσης τῆς τυραννίδος κρίνεται συνειδότος ὁ στρατηγός· ἐνταῦθα γὰρ ἐν τῇ μεταθέσει λέγοντος τοῦ στρατηγοῦ κατὰ τὸν νόμον πεποιηκέναι ἀναφύεται τέλειον ῥητὸν καὶ διάνοια λέγοντος τοῦ κατηγόρου, οὐ τοὺς εὐεργέτας οὐδὲ τοὺς ἐπ' ἀγαθῷ τῆς πόλεως κατιόντας, ἀλλὰ τοὺς ἐπὶ καταφρονήσει τῶν νόμων ὁ νόμος ἀναιρεῖσθαι κελεύει. ἔστιν ἕτερον εἶδος στοχασμοῦ τὸ ἐξαπάτης[9] δικαστηρίου, ὡς ἐπὶ τούτου· ἐγράψατο ὁ πλούσιος τὸν πένητα ξενίας καὶ εἷλεν· μετὰ ταῦτα λοιμοῦ γενομένου ἔχρησεν ὁ θεὸς, παύσασθαι τὸν λοιμὸν εἰ πολίτης ἑαυτὸν ἀποσφάξαι ὑπὲρ τῆς πόλεως· ὁ πένης ἀκούσας εἰσῆλθεν εἰς τὴν πόλιν,[10] ἀπέσφαξεν ἑαυτὸν, ἐπαύσατο ὁ λοιμὸς, κρίνεται ἐξαπάτης δικαστηρίου ὁ πλούσιος· ἐστὶν ἐν τούτοις καὶ ὁ δημοκοπίου·[11] ὅταν τις εἰπὼν ἢ ποιήσας τι εἰς[12] θό-

8 οὐ μέτεστιν, ἄτιμος Cod. per lac. om., restitui ex Ald. p. 469. l. 22. 9 Cod. constanter ἐξ ἀπάτης. ut Ald. p. 471. 10 In cod. superscriptum est: ἐν τῇ πόλει. 11 Cod. constanter: δημοκομπίου, infra ἐδημοκόμπησεν. 12 τι εἰς Cod. per lac. om., restitui ex Ald. p. 471. l. 1.

ρυβον καὶ τὸ ποιῆσαί τι προαγάγοι, οὗ παράδειγμα τοῦτο· πρεσβευτὴς ὑπέστρεψεν εἰς τὸν δῆμον, μελανειμονῶν καὶ ἐρωτώμενος ἔφη μεμοιχεῦσθαι τὴν γυναῖκα αὐτοῦ καὶ ἐπέδειξεν τὸν μοιχὸν, μετὰ ταῦτα κρίνει τὴν γυναῖκα μοιχείας καὶ οὐχ εἷλε, καὶ κρίνεται δημοκοπίου· ζητεῖται γὰρ ἐνταῦθα, πότερον ὄντως ἐδημοκόπησεν ἢ μεμοιχευμένης τῆς γυναικὸς τοῦτο ἐποίησεν· ἔστιν ἐν τούτοις ὁ ἐξαπάτης δήμου, ὡς ἐπὶ τούτου· ῥήτωρ ἔπεισε πόλιν παρασκευάσασθαι ὡς ἐπιόντων τῶν πολεμίων, οὐκ ἐπῆλθον οἱ πολέμιοι καὶ κρίνεται ἐξαπάτης δήμου· διαφέρει δὲ οὗτος τοῦ δημοκοπίου καὶ τοῦ ἐξαπάτης δικαστηρίου, ὅτι ἀντιστάσει ἐπιπλέκεται λέγοντος τοῦ ῥήτορος, διὰ τοῦτο μὴ ἐπεληλυθέναι τοὺς πολεμίους διὰ τὸ γνῶναι ἡμᾶς παρεσκευασμένους καὶ εὐεργεσίαν τοῦτο προβάλλεται, ἐν ἐκείνοις δὲ οὐδεμίαν εὐεργεσίαν οὐδέτερος δύναται δεῖξαι, οὔτε ὁ τὸ δικαστήριον ἐξαπατήσας οὔτε ὁ τὸν δῆμον κοιμίσας· ἐστὶ μὲν γὰρ στοχαστικὸν, πότερον σχηματίσασθαι βουλόμενος ἢ βλάψαι τὴν πόλιν τῇ ἀληθείᾳ νομίσας ἐπιέναι πολεμίους ἔπεισε παρασκευάσασθαι, εἶτα τὸ ἀντιστατικὸν ἐν τῇ μεταθέσει τῆς αἰτίας ἀναφύεται τοῦ ῥήτορος λέγοντος, ὅτι καὶ ἐκτὸς πολεμίων χρήσιμος ἡ παρασκευὴ, καὶ τοῦτο αὐτὸ ἀπέστησε τοῦ πολέμου τοὺς ἐναντίους, τὸ γνῶναι παρεσκευασμένους ὑμᾶς. Εἰδέναι δὲ χρὴ, ὡς ὅταν αὐτὸς ἐπαγγειλάμενός τι ποιῆσαι μὴ ποιήσῃ οὐκ ἔστιν ὁ στοχασμὸς, ὡς ἐπὶ τούτου· ὑπέσχετο Κλέων ἐντὸς τριάκοντα ἡμερῶν ἀγαγεῖν τοὺς τριακοσίους τοὺς ἐν Πύλῳ δεδεμένους, οὓς ἐν πλείοσιν ἤγαγεν, κρίνεται ἐξαπάτης, ἐνταῦθα γὰρ αὐτοτέλειος ὁ ὅρος ἐστὶν, τί τὸ ἐξαπατῆσαι, πότερον ἐν εἰρήνῃ, ἢ ἐν πολέμῳ, ὅπου γε ἄδηλα τὰ τῶν πολεμίων[13] πράγματα, καὶ οὐ δύναται τέλειος στοχασμὸς ἀντιστάσει συμπλέκεσθαι,[14] καὶ κατὰ

13 Cod. πολέμων. Ald. πολεμίων. 14 Cod. συμπλέκεται et μελετᾶται.

πάντα τὰ τῆς ἀντιστάσεως μελετᾶσθαι κεφάλαια· καὶ ὕστερον τὸ στοχαστικὸν οὐχ ὡς ἐπὶ τοῦ ῥήτορος μόνον ἐν τῇ μεταθέσει τῆς αἰτίας, ὡς ἐπὶ τούτου· τύραννος ἐκήρυξε χρῆσθαι δορυφόρῳ ὃς ἂν ἑαυτοῦ τὸν πατέρα ἀποκτείνῃ· νεανίσκος ἀνενεγκὼν αὐτῷ γέροντος κεφαλὴν ἐγένετο δορυφόρος καὶ ἀπέκτεινεν αὐτόν· καὶ μετὰ ταῦτα κρίνεται φόνου τοῦ πατρός· ἐνταῦθα γὰρ ἡ ἀντίστασις τελεία, ὅτι τὴν τυραννίδα καθεῖλον, καὶ τὸ ἐν τυραννίδι πραττόμενον, κἂν βλαβερὸν ἦν, ἐπὶ τῷ καταλυθῆναι αὐτὸν συγκεχώρηται· ἄλλως τε οὔτε πέπρακταί μοι τὸ ἔργον καὶ ἀναφύεται στοχασμός. Εὕρηται [15] καὶ συγγνώμη συμπλεκόμενος ὁ στοχασμὸς, ὡς ἐπὶ τοῦ ὡραίου μειρακίου. λησταὶ τὴν μητέρα ἔλαβον καὶ πλεύσας πρὸς αὐτοὺς ἐλύσατο αὐτὴν καὶ κωλύεται λέγειν· ἐνταῦθα γὰρ μετὰ τὸ συγγνωμονικὸν, ὅτι ὑπὲρ μητρὸς πᾶν ὁτιοῦν ἐχρῆν ποιῆσαι, καὶ ἄρνησις ἕπεται, τὸ μηδὲ ἡταιρηκέναι αὐτὸν, ἀλλὰ ἄλλως τοὺς λῃστὰς ἐλεήσαντας ἀφεῖναι.

## Περὶ ὅρου.

Δεύτερος τῶν λογικῶν στάσεων ὁ ὅρος τέτακται. Τινὲς δὲ τοιοῦτον συλλογισμὸν παραπλάττουσιν φιλονεικοῦντες δεικνύναι μηδὲ ὅλως στάσιν εἶναι [1] τὴν ὁρικὴν λέγοντες, ὅτι πᾶν πρᾶγμα ἢ φανερόν ἐστιν ἢ ἀφανὲς, κἂν μὲν ᾖ ἀφανὲς, στοχασμὸν ποιήσει, ἂν δὲ φανερὸν, ἢ γέγονεν ἢ μέλλει· ἐὰν μὲν οὖν γέγονε τὴν ποιότητα ποιεῖ, ἐὰν δὲ μέλλει, τὴν πραγματικὴν, ὥστε χώραν ὁ ὅρος οὐκ ἔχει. τοῦτο δὲ σφόδρα εὔηθες· διὰ μέσου γὰρ τοῦ ἀδήλου καὶ τοῦ μέλλοντος τὸ γεγενημένον, ἀτελὲς δὲ ἐν ὅρῳ ὅρος γίνεται, οὐ γὰρ εἴ ἐστιν τι δῆλον, τοῦτο καὶ τέλειον, ἀλλ' εἴ τι τέλειον, πάντως δῆλον, ὅτι καὶ ἄλλως συλλογισμὸν πλέκουσιν· „ὅτι δὲ ὁ ὅρος ἀρνεῖται τὸ ἐπιφερόμενον

15 Cfr. Ald. p. 470. l. 7. 1 Cfr. Ald. p. 478. l. 20.



σύντομον ἀπόφασιν εἶναι τῶν ἀδικημάτων ἐκβάλλουσιν τὴν τῶν κατὰ ἀμφισβήτησιν καὶ τῶν κατὰ αἴτησιν προβολάς, ἐν οὐδετέρῳ γάρ ἐστιν ἀδίκημα. ἄμεινον οὖν εἰπεῖν, ὅτι τῶν εἰρημένων ἐν τῇ καταστάσει σύντομος ἀπόφασις· ἀντὶ γὰρ τῶν [3] κατὰ αἴτησιν ὅρον μελετῶμεν· ἐν τῇ καταστάσει λέγομεν κατορθώματα, καὶ συντόμως ἀποφαινόμεθα, ὅ τι οὖν ἐστι τὸ προσκτήσασθαι πόλιν, καὶ ὡς δεῖ τὴν δωρεὰν λαβεῖν· καὶ ἐν τῷ κατὰ ἀμφισβήτησιν, „ἀνῄρηκα τοίνυν τὸν τύραννον καὶ τὴν τοῦ τυραννοκτόνου δωρεὰν δεῖ με λαμβάνειν.“ καὶ αὕτη ἐστὶν προβολὴ οὐκ ἐν ὅρῳ μόνον, ἀλλὰ καὶ ἐπὶ παντὸς πράγματος, πάσης στάσεως. εἴρηται δὲ προβολὴ παρὰ τὸ τὴν πρότασιν ἔχειν τοῦ πράγματος καὶ ὥσπερ προτείνειν τοῖς δικασταῖς, περὶ οὗ δεῖ αὐτοὺς κρῖναι, καὶ ἔστιν προβολὴ κυρίως τὸ συνέχον, καὶ ὅπως οὐκ ἔπεσεν ἐν τεχνασμῷ, εἰρήκαμεν.

Ὁ ὅρος [4] ὁμώνυμός ἐστι τῇ στάσει· δεύτερον δέ ἐστιν ἤτοι πρῶτον, ἔοικε δὲ αἰνίγματι τὸ λεγόμενον· ἐροῦμεν οὖν, ὅτι δεύτερον μέν, ὅσον κατὰ ἀπαρίθμησιν τῶν κεφαλαίων, ἐπειδὴ ἡ προβολὴ πρώτη, τρίτον δὲ κατὰ ἐξέτασιν οὐκ ἔχει, οὐδὲ κατασκευήν, ἀλλὰ πάντα τὰ κεφάλαια τῆς προβολῆς ἐστιν ἐξέτασις καὶ κατασκευή· διὸ παρά τισιν οὐδὲ κεφάλαιον εἶναι δοκεῖ, ἐπειδὴ μὴ σώζει τὴν κεφαλαίου φύσιν· πᾶν γὰρ κεφάλαιον οὐ δύναται μὴ ἔχειν ἐξέτασιν ἰδίαν περὶ τῆς αὐτοῦ φύσεως· αὕτη δὲ μόνη ἰδίαν οὐδ' ἡντιναοῦν ἔχει, ἀλλὰ διὰ πάντων αὐτὴ κατασκευάζεται· διὰ τοῦτο οὖν αὐτὴν ἐκάλεσάν τινες πρότασιν κεφαλαίων ἤτοι ἀφορμὴν ἀποδείξεως. Τίνι δὲ διαφέρει ὁ ὅρος τὸ κεφάλαιον τοῦ ὅρου τῆς στάσεως; ἐροῦμεν, ὅτι ὁ μὲν ὅρος τὸ κεφάλαιον ἐν τῇ προτάσει ἑαυτοῦ τὸ συμπέρασμα ἔχει, οἷον τυμβωρύχος

---

3 τῶν Cod. om. 4 Cfr. Ald. p. 481. l. 26.

ἐστὶν ὁ ἀφῃρημένος ἱμάτια καὶ κόσμον τοῦ νεκροῦ· ἐγὼ δὲ οὐχ ὑφειλόμην, οὐκ ἄρα τυμβωρύχος· ἡ δὲ στάσις ὁ ὅρος, ὅτι διὰ πάντων τῶν κεφαλαίων τὸ συμπέρασμα ἔχει· καὶ ἔτι ὁ μὲν ὅρος ἡ στάσις κατασκευάζεται, ὁ δὲ ὅρος τὸ κεφάλαιον κατασκευάζει.

Ἀνθορισμῷ· ἀναγκαῖον τοῦ φεύγοντος τὰ παρειμένα πρὸς ἀπόδειξιν, τοῦτο δέ ἐστι μὴ δεῖν καλεῖσθαι τὸ γεγενημένον, παρενεγκόντος, τὸν κατήγορον ἀπὸ τῶν πεπραγμένων ἀνθορίσασθαι, τὸ δεῖν αὐτὸν ὁμοίως εἶναι τόδε τι. γίνεται δὲ ὁ μὲν ὅρος ἀπὸ τῶν παρειμένων· ὁριζομένου τοῦ φεύγοντος, ἃ μὴ πεποίηκε ταῦτα μόνον εἶναι κυρίως ἐπὶ τοῦ ὀνόματος τοῦ κατηγορουμένου, ἀναγκαίως ὁ διώκων τὰ πεπραγμένα προφέρει, ἵνα καὶ [5] ἡ φύσις τοῦ ὅρου σωθῇ, τοῦτο γάρ ἐστιν ὅρος, τὸ βιάζεσθαι τὸν κατήγορον ἢ τὸν αἰτοῦντα τὸ φύσει ἀτελὲς δεικνύναι τέλειον· καὶ τὸ πεπραγμένον μηδενὸς ἑτέρου δεόμενον· ἀναγκαῖον δὲ ἦν ἐκ τῶν πεπραγμένων ἀνθορίσασθαι καὶ κατασκευάσαι, ὅτι τοιόνδε τι ἁρμόζει πρὸς τὴν τοιάνδε κλῆσιν. Εἴρηται δὲ ἀνθορισμὸς ἀπὸ τῆς χρείας, ἐπειδὴ ἐναντία τῷ προορίσαντι ὁρίζεται καὶ εἰσὶν ὥσπερ δύο ὅροι. Διὰ τί μὴ ὁ ὅρος ἀνθορισμὸς λέγεται, ἀλλ' οὗτος; ἔνθεν δὲ ζητοῦμεν, εἰ δὲ δύο ὁρίζονται, ὁ μὲν τὰ παρειμένα ἁρμόζοντα πρὸς τὴν κλῆσιν, ὁ δὲ τὰ πεπραγμένα· διατί μὴ ὁ πρῶτος ἀνθορισμὸς λέγεται; λέγομεν, ὅτι οὐδέποτε δύναται συστῆναι ἀνθορισμὸς μὴ προηγησαμένου ὅρου· ὁ πρῶτος τεταγμένος τὸ κύριον ἔσχε τοῦ ὀνόματος, ὁ δὲ ἐναντίος ἐκ τῆς ἐναντιότητος εἴληφε τὸ ὄνομα· οἱ γὰρ δύο ὅροι εἰσὶν ὁ εἷς τοῦ φεύγοντος, καὶ ὁ εἷς τοῦ διώκοντος· καὶ διὰ τί μὴ ὁ εἷς τοῦ φεύγοντος ἀνθορισμὸς καλεῖται, ἀλλ' οὐκ ὄντος; ὅτι ἅπερ φθάσαντες εἴπομεν, αὐτὸς ἀφ' ἑαυτοῦ τὴν γένεσιν

5 Cod. δὲ, Ald. p. 482. l. 22. καί.

ὁ ἀνθορισμὸς οὐκ ἔχει, ἀλλ' ἐκ τοῦ τὸν πρότερον ὁρίσασθαι ἀναφύεται ὁ ἀνθορισμός· διὸ ἀναγκαῖον ἦν, ἐκεῖνο μὲν προτείνοντα ὅρον κληθῆναι, τοῦτον δὲ ἀνατρέποντα ἀνθορισμόν.

Συλλογισμῷ· περὶ τοῦ συλλογισμοῦ πλείστη διαφορὰ πᾶσι τοῖς τεχνικοῖς γεγένηται· καὶ πρῶτον εἴπωμεν αὐτοῦ τὴν φύσιν, καὶ οὕτω τὰ τῆς ἀντιλογίας ἐξετάσωμεν, ὁ μὲν οὖν συλλογισμὸς τοῦτό ἐστιν, ὅτι οὐδὲν διαφέρει τόδε τι πεπραγμένον τοῦ μὴ πεπραγμένου, καὶ ὃ ὁρίζεται ὁ φεύγων πρὸς τὸ δεῖν κληθῆναι τὸ ὄνομα, τοῦτο βιάζεται ὁ συλλογισμὸς τὸ πεπραγμένον δεικνύναι σημαίνειν· καὶ ἡ μὲν ἐργασία αὕτη τοῦ συλλογισμοῦ· τινὲς μὲν γὰρ τῶν τεχνικῶν λέγουσι μὴ δεῖν τὸν συλλογισμὸν εἰ μὴ μετὰ τὰ πρός τι καὶ τὴν πηλικότητα τάττεσθαι, εἰ γὰρ τὸ πρός τι κἂν ἡ πηλικότης καὶ αὗται κατασκευαί εἰσιν, ὁ δὲ συλλογισμὸς συμπέρασμα κατασκευῆς, ὀφείλει ὁ συλλογισμὸς μετὰ πᾶσαν τὴν κατασκευὴν τάττεσθαι· ἐπειδὴ ἐπεραίωσας τὸν ἀνθορισμὸν καὶ ἔδειξας ταὐτὸν ὄντα, περιττὸν τὸ πρός τι καὶ ἡ πηλικότης. τινὲς μὲν οὖν, ὅπερ ἔφην, τελευταῖον αὐτὸν τάττουσι, τινὲς δὲ μετὰ τὸν ἀνθορισμὸν, καὶ ὅσοι μὲν μετὰ πάντα κεφάλαια, τῷ προειρημένῳ χρῶνται λόγῳ, ὅσοι δὲ μετὰ τὸν ἀνθορισμὸν, τούτῳ χρῶνται τῷ λόγῳ. Ὁ συλλογισμὸς αὐτὸς καθ' αὑτὸν οὐκ ἔστι κεφάλαιον, οὔτε γὰρ ἐν αὐτῇ τῇ στάσει, οὔτε ἀλλαχοῦ αὐτὸς κατ' αὐτὸν γένεσιν ἔχει,[6] ἀλλ' ὁ συλλογισμὸς δύο προτάσεών ἐστιν εἰς ἓν συναγωγὴ κατασκευάζουσα, ὅτι τόδε τοῦδε οὐδὲν διαφέρει· ἐπειδὴ οὖν ὁ ὅρος πρότασίς ἐστιν ἐκ τῶν παρειμένων, καὶ ὁ ἀνθορισμὸς πρότασίς ἐστιν ἐκ τῶν πεπραγμένων, συλλογισμὸς ἠκολούθησε τῷ ἀνθορισμῷ, εἰς ἓν συνάγων τὰς δύο προτάσεις, ὥστε τεχνικώτερον αὐτὸν[7] τάττουσιν

6 ἔχει Cod. per lac. om. 7 Cod. αὐτῷ.

οἱ τάττοντες αὐτὸν ὡς ἑπόμενον τῷ ἀνθορισμῷ, οὐ γὰρ ἠδύνατο μετὰ δύο κεφαλαίων ἐξέτασιν τάττεσθαι, φύσιν μὴ ἔχων καθ' ἑαυτὸν μὴ ἐν ταῖς προτάσεσιν, ἀκολουθότερος οὖν, ἵν' ἐν ταῖς προτάσεσιν ἀγάγῃ, καὶ ἔτι ἐνταῦθα μὲν κείμενος ἀποδεικτικώτερον ποιεῖ τὸν λόγον· μετὰ δὲ πρός τι καὶ τὴν πηλικότητα καὶ πρός τι χαῖνον καὶ ὕπτιον· ἴσμεν γάρ, ὡς αἱ συναγωγαὶ κατ' αὐτὸν γινόμεναι πίστιν παρέχουσι καὶ ἀπόδειξιν, μετὰ μέσα δὲ ἄλλα λήθην ποιοῦνται ἀκροατῇ. εἰδέναι καὶ τοῦτο δεῖ, ὅτι οἱ τεχνικοὶ πάντες, εἰ καὶ μὴ φανερῶς λέγουσιν, ἀλλ' ὑπὸ τῆς φύσεως τοῦ συλλογισμοῦ δεικνύουσι μὴ ὄντα αὐτὸν κεφάλαιον· ὅταν γὰρ τὸν ἀνθορισμὸν συλλογισμὸν ἐκάλεσεν, ὥσπερ καὶ αὐτὸς ὁ Ἑρμογένης ἐπὶ πολλοῖς φαίνεται λέγων, „τέμνεται ἡ στάσις ὅρῳ, συλλογισμῷ," τὸ συμπέρασμα τοῦ ἀνθορισμοῦ ὄνομα τῷ ἀνθορισμῷ ποιησάμενος· ἐπειδὴ γὰρ ἡ κατασκευὴ τοῦ συλλογισμοῦ διὰ τοῦτο γίνεται, διὰ τὸ συμπέρασμα τοῦ ἀνθορισμοῦ, αὐτὸ τοῦτο οἶδεν ὃν τὸ κεφάλαιον· πῶς οὖν ἠδύνατο διαιρεθῆναι καὶ μετὰ μέσα ἕτερα κεφάλαια τάττεσθαι;

*Γνώμη νομοθέτου*· καὶ τοῦτό τινες αἰτιῶνται σφόδρα, ὅτι ἐφεξῆς ἡ γνώμη τοῦ νομοθέτου τέτακται κοινὴ οὖσα καὶ ἀμφίβολος, ἀφ' ἑκατέρου γὰρ πρὸς τὸ οἰκεῖον συμφέρον ἐξετάζεται καὶ μὴ τὸ πρός τι ἢ ἡ πηλικότης τὰ ἔτι πρὸς τὸν ὅρον καὶ τὸν ἀριθμὸν ἔχοντα τὴν κατασκευήν, καὶ ἔτι πρὸς τούτοις ἕτερον πταῖσμα, ὅτι πρός τι μὲν καὶ πηλικότης ἀναμφιβόλως εὑρίσκεται, γνώμη δὲ νομοθέτου σπανιάκις καὶ μήπω [8] ους εὑρέθη ἐν τῷ ζητήματι κείμενος, καὶ ἡνίκα ἤλθομεν [9] εἰς τὸ τοῦ εὐνούχου ζήτημα, δεικνύομεν, ὅτι οὐδὲ ἐκεῖ ἁρμόττει. ἄμεινον οὖν πρῶτα τὰ ἀποδεικτικὰ κεφάλαια,

---

8 brevis lac. est in cod. 9 Cod. ἔλθομεν.

τὸ πρός τι καὶ τὴν πηλικότητα ταγῆναι, καὶ οὕτω τὰ περιττὰ καὶ μὴ ἀεὶ ἐμπίπτοντα, καὶ οἱ μὲν τάττοντες αὐτὴν τελευταίαν τούτῳ τῷ λόγῳ τάττουσιν, ὁ δὲ Ἑρμογένης τὰς ἀτέχνους πίστεις ἰσχυροτέρας οἶδεν τῶν ἐντέχνων· ἐπειδὴ οὖν ὁ νόμος ἄτεχνός ἐστι, πίστιν ἐπήγαγε τὴν τοῦ νομοθέτου γνώμην, καὶ γὰρ μάλιστα οἱ δικασταὶ τοῖς νόμοις προσέχουσι, καὶ περιττὸν αἱ ἀποδείξεις, ὅταν ἔχωμεν νόμους συνηγοροῦντας· εἰκότως οὖν ἐφεξῆς τὴν τοῦ νομοθέτου γνώμην ὡς καὶ πιθανωτέραν καὶ μάλιστα πείθουσαν ἐπήγαγε πρός τι. Τῷ Ἑρμογένει καὶ τῷ Μινουκιανῷ φιλονεικία πολλὴ γέγονε περὶ τὴν τάξιν τῶν κεφαλαίων καὶ σχεδὸν πᾶσι τοῖς τεχνικοῖς, τῶν μὲν τὴν πηλικότητα ταττόντων, ἐνίων τὸ πρός τι. εἴπωμεν οὖν τὴν ἑκάστου φύσιν· τὸ πρός τι ὑπερβολικὴν τάξιν ἔχει, ἡ δὲ πηλικότης ἁπλῆν, τὸ μὲν γὰρ πρός τι πρὸς τὸν ὅρον τοῦ φεύγοντος γίνεται· λέγοντος ἐκείνου μὴ τόδε εἶναι, ἐπάγει συγκριτικῶς τὴν ὑπόθεσιν. λέγοντος Μειδίου, μὴ εἶναι δημόσιον ἀδίκημα τὸ τυπτῆσαι, Δημοσθένης δὲ καὶ μεῖζόν φησι καὶ ἀσέβειαν εἶναι αὐτό· ἡ δὲ πηλικότης ἁπλῆν ἔχει τάξιν, αὔξησιν μόνον τοῦ ἀδικήματος, ἐχρῆν οὖν ἄρα τὴν πηλικότητα τάττειν, ἵνα ὁδὸν ἔχῃ τὸ πρός τι. ἴσμεν γάρ, ὅτι τὰ ἁπλᾶ πρῶτά ἐστι τῶν ὑπερθετικῶν, καὶ ὅταν ἀποδείξωμεν, ὅτι ὁ δεῖνα ὁ ἀνδρεῖος, τότε χώραν ἔχει, καὶ Ἀχιλλέως αὐτὸν ἀνδρειότερον εἶναι· ἕως δ' ἂν αὐτὸ τοῦτο ἀμφιβάλλεται, εἰ ἀνδρεῖος, πῶς δύναται ὑπερθετικὸν εἶναι; Ἡ πηλικότης αὔξει τὸ ἀδίκημα καὶ δείκνυσιν, ὅτι μεγάλην καὶ οὕτω χώραν εἶχε τὸ πρός τι καὶ μείζω, οὐδεὶς γὰρ τὸ μεῖζον ἤδη ἀποδείξας ἐπὶ τὸ ἔλαττον ὑποστρέφει, καὶ οἱ μὲν πηλικότητα προτάττοντες τούτοις χρῶνται τοῖς λόγοις· οἱ δὲ τὸ [10] πρός τι τοιούτοις· τὸ πρός τι γὰρ [11]

---

10 Cod. τοῖς, scr. τὸ πρός τι, sc. προτάττοντες. 11 γὰρ Cod. ponit post sequens πρός.

ὅτι καὶ ἡ μανία συγγνώμην ποιεῖ, ὡς ὁ ἐν μανίᾳ τὸν πατέρα τυπτήσας καὶ ἀνενεγκὼν καὶ κρινόμενος, τί διοίσει; ἐροῦμεν, ὅτι ἐν συγγνώμῃ ὁμολογούμενόν ἐστι τὸ πάθος, ἐφ' ὃ ἀναφέρει τὴν αἰτίαν, ἐν δὲ στοχασμῷ αὐτὸ τοῦτο ζητεῖται, εἰ ἐμαίνετο, καὶ ἔστι τοῦτο ἀμφίβολον καὶ κατασκευῆς δεόμενον, ὅτι μόνους ὁ τεχνικὸς οἶδεν στοχασμούς· εἰσὶ δὲ καὶ ἕτεροί τινες στοχασμοὶ, ὅ τε παράδοξος καὶ ὁ κατ' ἀμφισβήτησιν ὡς ἐπὶ τῶν κληρονόμων καὶ ἐπὶ τῶν ἐπιτρόπων ἀποδημούντων, περὶ τῆς οὐσίας τοῦ ἀποδημοῦντος παιδὸς, ὅτι φήμη γέγονεν ἐπ' αὐτὸν τετελευτηκέναι· ἐπιπλέκονται[7] δὲ στοχασμοὶ καὶ ἑτέραις στάσεσιν, ὡς ἐπὶ τοῦ ζητήματος· διδύμων ἀδελφῶν ὁ ἕτερος ἐφυγαδεύθη, συνεξῆλθεν αὐτῷ καὶ ὁ ἕτερος, μετὰ ταῦτα ἐλθόντα αὐτὸν ὁ στρατηγὸς περιτυχὼν ἀπέκτεινε καὶ κρίνεται φόνου, ὁ δὲ ἀξιοῖ τὴν ἐπὶ τοῖς ἀκουσίοις δοῦναι δίκην. ἐνταῦθα δὲ ἐπιπλέκεται ὁ ὅρος, ὁριζομένου, τί τὸ ἀκούσιον, τοῦ κατηγόρου· δῆλον, ὅτι ὡς ἀκούσιον ἂν εἴη τὸ βέλος ἀφέντα σκοποῦ μὲν ἀποτυχεῖν, ἐπ' ἄνδρα δὲ κατενεχθῆναι τὸ βέλος, ἵππον ἐλαύνοντα καθελεῖν μὲν πάλῃ καὶ τὰ τοιαῦτα· εἶτα ὁ στοχασμὸς, εἰ ἐγνώρισεν, εἰ ἠγνόησεν, καὶ ἐνταῦθα μὲν τὸ ὁρικὸν μόνον ἐμπίπτει κεφάλαιον, εὑρίσκεται δὲ καὶ τέλειος ὅρος μελετώμενος καὶ τέλειος στοχασμὸς ὡς ἐπὶ τούτου· μειράκιον ἠπείλησε πορνεύσειν ἐντὸς δέκα ἡμερῶν, εἰ μὴ εὐπορήσειεν· ἐν ταῖς δέκα ἡμέραις κλῆρος αὐτῷ καταλέλειπται καὶ οὐκ ἐπόρνευσε, καὶ κωλύεται λέγειν· ἐνταῦθα γὰρ τέλειος ὅρος κατασκευάζεται, ὅτι τὸ κηρύξαι, τὸ ἀναισχυντῆσαι πορνείας ἐστὶ, καὶ μετὰ τὸ πάντα τὰ κεφάλαια ἐξετασθῆναι τοῦ ὅρου ἀναφύεται τὸ στοχαστικὸν, εἰ ἐπόρνευσεν· ἐν ᾧ ἡ μετάθεσις τῆς αἰτίας, διὰ τὸ ἀναγκάσαι τοὺς οἰκείους εὐπορίαν μοί τινα δοῦναι αἰσχυνομένους τοῦτο ἐποίησα.

---

7 Cfr. Ald. p. 468.

Ἐπιπλέκεται ἀντιλήψει, ὡς ἐπὶ τούτου, ἀτίμῳ δίκης οὐ[8] μέτεστιν, ἄτιμος εὑρὼν τὴν γυναῖκα ἑαυτοῦ μοιχευομένην ἕπεται τῷ μοιχῷ κλαίων, κατέλευσεν ὁ δῆμος τὸν μοιχὸν καὶ κρίνεται δημοκοπίου· ἐνταῦθα γὰρ μετὰ τὸ ἀντιληπτικὸν, ὅτι ἔξεστί μοι δακρύειν, καὶ ἀνεύθυνα τὰ δάκρυα ἀναφύεται στοχαστικὸν, πότερον διὰ τὸ μὴ δύνασθαι δικάζεσθαι ἔκλαιεν ἢ τῇ ἀληθείᾳ θόρυβον βουλόμενος ποιήσασθαι καὶ ἐκκαλέσασθαι πρὸς ὀργὴν τὸν δῆμον. Ἐπιπλέκεται δὲ στοχασμὸς καὶ νομικῇ στάσει, ῥητῷ καὶ διανοίᾳ, ὡς ἐπὶ τούτου· φυγάδες πολλοὶ συνδραμόντες ἐν πόλει συνέσχον τινὰ ὡς ἐπὶ τυραννίδος, στρατηγὸς κατὰ τὸν νόμον τὸν κελεύοντα τοὺς φυγάδας ἀναιρεῖν ἀπέκτεινεν αὐτοὺς καὶ ἀφῆκεν τὸν κατεχόμενον, μετὰ ταῦτα ἐκεῖνος ἐτυράννησεν ἀφεθείς· καταλυθείσης τῆς τυραννίδος κρίνεται συνειδότος ὁ στρατηγός· ἐνταῦθα γὰρ ἐν τῇ μεταθέσει λέγοντος τοῦ στρατηγοῦ κατὰ τὸν νόμον πεποιηκέναι ἀναφύεται τέλειον ῥητὸν καὶ διάνοια λέγοντος τοῦ κατηγόρου, οὐ τοὺς εὐεργέτας οὐδὲ τοὺς ἐπ᾽ ἀγαθῷ τῆς πόλεως κατιόντας, ἀλλὰ τοὺς ἐπὶ καταφρονήσει τῶν νόμων ὁ νόμος ἀναιρεῖσθαι κελεύει. ἔστιν ἕτερον εἶδος στοχασμοῦ τὸ ἐξαπάτης[9] δικαστηρίου, ὡς ἐπὶ τούτου· ἐγράψατο ὁ πλούσιος τὸν πένητα ξενίας καὶ εἷλεν· μετὰ ταῦτα λοιμοῦ γενομένου ἔχρησεν ὁ θεὸς, παύσασθαι τὸν λοιμὸν εἰ πολίτης ἑαυτὸν ἀποσφάξαι ὑπὲρ τῆς πόλεως· ὁ πένης ἀκούσας εἰσῆλθεν εἰς τὴν πόλιν,[10] ἀπέσφαξεν ἑαυτὸν, ἐπαύσατο ὁ λοιμὸς, κρίνεται ἐξαπάτης δικαστηρίου ὁ πλούσιος· ἔστιν ἐν τούτοις καὶ ὁ δημοκοπίου·[11] ὅταν τις εἰπὼν ἢ ποιήσας τι εἰς[12] θό-

---

8 οὐ μέτεστιν, ἄτιμος Cod. per lac. om., restitui ex Ald. p. 469. l. 22. 9 Cod. constanter ἐξ ἀπάτης. ut Ald. p. 471. 10 In cod. superscriptum est: ἐν τῇ πόλει. 11 Cod. constanter: δημοκομπίου, infra ἐδημοκόμπησεν. 12 τι εἰς Cod. per lac. om., restitui ex Ald. p. 471. l. 1.

ῥυβον καὶ τὸ ποιῆσαί τι προαγάγοι, οὗ παράδειγμα τοῦτο· πρεσβευτὴς ὑπέστρεψεν εἰς τὸν δῆμον, μελανειμονῶν καὶ ἐρωτώμενος ἔφη μεμοιχεῦσθαι τὴν γυναῖκα αὐτοῦ καὶ ἐπέδειξεν τὸν μοιχὸν, μετὰ ταῦτα κρίνει τὴν γυναῖκα μοιχείας καὶ οὐχ εἷλε, καὶ κρίνεται δημοκοπίου· ζητεῖται γὰρ ἐνταῦθα, πότερον ὄντως ἐδημοκόπησεν ἢ μεμοιχευμένης τῆς γυναικὸς τοῦτο ἐποίησεν· ἔστιν ἐν τούτοις ὁ ἐξαπάτης δήμου, ὡς ἐπὶ τούτου· ῥήτωρ ἔπεισε πόλιν παρασκευάσασθαι ὡς ἐπιόντων τῶν πολεμίων, οὐκ ἐπῆλθον οἱ πολέμιοι καὶ κρίνεται ἐξαπάτης δήμου· διαφέρει δὲ οὗτος τοῦ δημοκοπίου καὶ τοῦ ἐξαπάτης δικαστηρίου, ὅτι ἀντιστάσει ἐπιπλέκεται λέγοντος τοῦ ῥήτορος, διὰ τοῦτο μὴ ἐπεληλυθέναι τοὺς πολεμίους διὰ τὸ γνῶναι ἡμᾶς παρεσκευασμένους καὶ εὐεργεσίαν τοῦτο προβάλλεται, ἐν ἐκείνοις δὲ οὐδεμίαν εὐεργεσίαν οὐδέτερος δύναται δεῖξαι, οὔτε ὁ τὸ δικαστήριον ἐξαπατήσας οὔτε ὁ τὸν δῆμον κολακεύσας· ἐστὶ μὲν γὰρ στοχαστικὸν, πότερον σχηματίσασθαι βουλόμενος ἢ βλάψαι τὴν πόλιν τῇ ἀληθείᾳ νομίσας ἐπιέναι πολεμίους ἔπεισε παρασκευάσασθαι, εἶτα τὸ ἀντιστατικὸν ἐν τῇ μεταθέσει τῆς αἰτίας ἀναφύεται τοῦ ῥήτορος λέγοντος, ὅτι καὶ ἐκτὸς πολεμίων χρήσιμος ἡ παρασκευὴ, καὶ τοῦτο αὐτὸ ἀπέστησε τοῦ πολέμου τοὺς ἐναντίους, τὸ γνῶναι παρεσκευασμένους ὑμᾶς. Εἰδέναι δὲ χρὴ, ὡς ὅταν αὐτὸς ἐπαγγειλάμενός τι ποιῆσαι μὴ ποιήσῃ οὐκ ἔστιν ὁ στοχασμὸς, ὡς ἐπὶ τούτου· ὑπέσχετο Κλέων ἐντὸς τριάκοντα ἡμερῶν ἀγαγεῖν τοὺς τριακοσίους τοὺς ἐν Πύλῳ δεδεμένους, οὓς ἐν πλείοσιν ἤγαγεν, κρίνεται ἐξαπάτης, ἐνταῦθα γὰρ αὐτοτέλειος ὁ ὅρος ἐστὶν, τί τὸ ἐξαπατῆσαι, πότερον ἐν εἰρήνῃ, ἢ ἐν πολέμῳ, ὅπου γε ἄδηλα τὰ τῶν πολεμίων[13] πράγματα, καὶ οὐ δύναται τέλειος στοχασμὸς ἀντιστάσει συμπλέκεσθαι,[14] καὶ κατὰ

---

13 Cod. πολέμων. Ald. πολεμίων. 14 Cod. συμπλέκεται et μελετᾶται.

πάντα τὰ τῆς ἀντιστάσεως μελετᾶσθαι κεφάλαια· καὶ ὕστερον τὸ στοχαστικὸν οὐχ ὡς ἐπὶ τοῦ ῥήτορος μόνον ἐν τῇ μεταθέσει τῆς αἰτίας, ὡς ἐπὶ τούτου· τύραννος ἐκήρυξε χρῆσθαι δορυφόρῳ ὃς ἂν ἑαυτοῦ τὸν πατέρα ἀποκτείνῃ· νεανίσκος ἀνενεγκὼν αὐτῷ γέροντος κεφαλὴν ἐγένετο δορυφόρος καὶ ἀπέκτεινεν αὐτόν· καὶ μετὰ ταῦτα κρίνεται φόνου τοῦ πατρός· ἐνταῦθα γὰρ ἡ ἀντίστασις τελεία, ὅτι τὴν τυραννίδα καθεῖλον, καὶ τὸ ἐν τυραννίδι πραττόμενον, κἂν βλαβερὸν ἦν, ἐπὶ τῷ καταλυθῆναι αὐτὸν συγκεχώρηται· ἄλλως τε οὔτε πέπρακταί μοι τὸ ἔργον καὶ ἀναφύεται στοχασμός. Εὕρηται [15] καὶ συγγνώμῃ συμπλεκόμενος ὁ στοχασμὸς, ὡς ἐπὶ τοῦ ὡραίου μειρακίου. λῃσταὶ τὴν μητέρα ἔλαβον καὶ πλεύσας πρὸς αὐτοὺς ἐλύσατο αὐτὴν καὶ κωλύεται λέγειν· ἐνταῦθα γὰρ μετὰ τὸ συγγνωμονικὸν, ὅτι ὑπὲρ μητρὸς πᾶν ὁτιοῦν ἐχρῆν ποιῆσαι, καὶ ἄρνησις ἕπεται, τὸ μηδὲ ἡταιρηκέναι αὐτὸν, ἀλλὰ ἄλλως τοὺς λῃστὰς ἐλεήσαντας ἀφεῖναι.

## Περὶ ὅρου.

Δεύτερος τῶν λογικῶν στάσεων ὁ ὅρος τέτακται. Τινὲς δὲ τοιοῦτον συλλογισμὸν παραπλάττουσιν φιλονεικοῦντες δεικνύναι μηδὲ ὅλως στάσιν εἶναι [1] τὴν ὁρικὴν λέγοντες, ὅτι πᾶν πρᾶγμα ἢ φανερόν ἐστιν ἢ ἀφανὲς, κἂν μὲν ᾖ ἀφανὲς, στοχασμὸν ποιήσει, ἂν δὲ φανερὸν, ἢ γέγονεν ἢ μέλλει· ἐὰν μὲν οὖν γέγονε τὴν ποιότητα ποιεῖ, ἐὰν δὲ μέλλει, τὴν πραγματικὴν, ὥστε χώραν ὁ ὅρος οὐκ ἔχει. τοῦτο δὲ σφόδρα εὔηθες· διὰ μέσου γὰρ τοῦ ἀδήλου καὶ τοῦ μέλλοντος τὸ γεγενημένον, ἀτελὲς δὲ ἐν ὅρῳ ὅρος γίνεται, οὐ γὰρ εἰ ἔστιν τι δῆλον, τοῦτο καὶ τέλειον, ἀλλ᾽ εἴ τι τέλειον, πάντως δῆλον, ὅτι καὶ ἄλλως συλλογισμὸν πλέκουσιν· „ὅτι δὲ ὁ ὅρος ἀρνεῖται τὸ ἐπιφερόμενον

15 Cfr. Ald. p. 470. l. 7.   1 Cfr. Ald. p. 478. l. 20.

ἔγκλημα, οἰκεῖον δὲ λέγειν τὸ ἐπαγόμενον μὴ πεποιηκέναι, εἴη ἂν ὁ ὅρος στοχασμὸς, στοχασμοῦ γάρ ἐστιν ἡ ἄρνησις· ἀφ᾽ οὗ δὲ ἀρνεῖται, οὐκέτι ἂν εἴη στάσις ὁ ὅρος, ἀλλὰ μέρος στοχασμοῦ.“ λέγομεν οὖν, ὅτι καὶ τοῦτο παραλογισμός ἐστιν· οἱ γὰρ τοῦτο ἐροῦντες οὐ κατενόησαν τῷ ὅρῳ τοῦ στοχασμοῦ, οὔτε τῷ παρὰ Μινουκιανοῦ οὔτε τῷ παρ᾽ Ἑρμογένους ἐκτεθέντι· ὁ μὲν γὰρ Μινουκιανὸς οὐσιώδη τινὰ εἶναι λέγει τὴν ἄρνησιν· ἐν δὲ τῷ ὅρῳ οὐκ ἔστιν οὐσιώδης, ἀλλ᾽ ὀνόματος, οὐ γὰρ τὸ μηδὲν πεποιηκέναι ἀρνεῖται, ἀλλὰ τὸ ὄνομα μὴ ἁρμόττειν αὐτῷ· ὁ δὲ Μινουκιανὸς ὁρίζων τὸν στοχασμὸν ἄρνησιν εἶναι παντελῆ τοῦ ἐπαγομένου ἐγκλήματος ἀποδιΐστησι τοῦ ὅρου· οὐ γάρ ἐστιν ἐνταῦθα παντελὴς ἄρνησις· καὶ ἔτι ἐν μὲν τῷ στοχασμῷ ἀρνησάμενοι οὔτε τοῦτο οὔτε ἄλλο λέγομεν πεποιηκέναι, ἐν δὲ τῷ ὅρῳ ἕτερον ἀρνησάμενοι ἕτερον ὁμολογοῦμεν πεποιηκέναι. Ὃ δὲ διαφέρει μάλιστα ἡ στάσις ὁ ὅρος τοῦ ὅρου κεφαλαίου, ὅτι ἡ μὲν στάσις ἀρνεῖται τὸ ὅλον, τὸ δὲ κεφάλαιον ὁμολογεῖ τι καὶ ὁρίζεται, τί ἐστι τὸ ἐγκαλούμενον, καὶ ἔτι ζητοῦσί τινες, τί δήποτε στοχασμὸς στοχασμῷ οὐ τέμνεται, ὅρος δὲ ὅρῳ. καὶ περὶ μὲν τοῦ μόνον τὸν στοχασμὸν μὴ ἔχειν ὁμώνυμον αὐτῷ κεφάλαιον φθάσαντες εἰρήκαμεν ἐν τῷ στοχασμῷ, περὶ δὲ τοῦ λέγειν, τί δήποτε πρῶτον κεφάλαιόν ἐστιν ὁ ὅρος, τοῦτο ἐροῦμεν· ἐπειδὴ ὁ ὅρος ὁρίζει τὸ τί ἐστι τὸ κυρίως ὤφειλεν καλεῖσθαι, τὸ δὲ τί ἀνάγκη προτάσεως τόπῳ προτείνεται, εἰς ἣν ἡ κατασκευὴ ἐπάγεται, ὅπερ τὸ ὁρικόν ἐστι κεφάλαιον· εἴπομεν οὖν καὶ περὶ τῆς τάξεως. ἡ προβολὴ σύντομος[2] ἀπόφασίς ἐστι τοῦ προτεταγμένου· ἐν τῇ καταστάσει εἰρήκαμεν, ὅτι οὐ πάντες οἱ ὅροι τοῦ κατὰ φυγὴν καὶ δίωξίν εἰσιν· οἱ γὰρ ὁριζόμενοι τὴν προβολὴν

2. Cfr. Ald. p. 480.

σύντομον ἀπόφασιν εἶναι τῶν ἀδικημάτων ἐκβάλλουσιν τὰς τῶν κατὰ ἀμφισβήτησιν καὶ τῶν κατὰ αἴτησιν προβολάς, ἐν οὐδετέρῳ γάρ ἐστιν ἀδίκημα. ἄμεινον οὖν εἰπεῖν, ὅτι τῶν εἰρημένων ἐν τῇ καταστάσει σύντομος ἀπόφασις· ἀντὶ γὰρ τῶν[3] κατὰ αἴτησιν ὅρον μελετῶμεν· ἐν τῇ καταστάσει λέγομεν κατορθώματα, καὶ συντόμως ἀποφαινόμεθα, ὅ τι οὖν ἐστι τὸ προσκτήσασθαι πόλιν, καὶ ὡς δεῖ τὴν δωρεὰν λαβεῖν· καὶ ἐν τῷ κατὰ ἀμφισβήτησιν, „ἀνήρηκα τοίνυν τὸν τύραννον καὶ τὴν τοῦ τυραννοκτόνου δωρεὰν δεῖ με λαμβάνειν." καὶ αὕτη ἐστὶν προβολὴ οὐκ ἐν ὅρῳ μόνον, ἀλλὰ καὶ ἐπὶ παντὸς πράγματος, πάσης στάσεως. εἴρηται δὲ προβολὴ παρὰ τὸ τὴν πρότασιν ἔχειν τοῦ πράγματος καὶ ὥσπερ προτείνειν τι τοῖς δικασταῖς, περὶ οὗ δεῖ αὐτοὺς κρῖναι, καὶ ἔστιν ἡ προβολὴ κυρίως τὸ συνέχον, καὶ ὅπως οὐκ ἔπεσεν ἐν στοχασμῷ, εἰρήκαμεν.

Ὁ ὅρος[4] ὁμώνυμός ἐστι τῇ στάσει· δεύτερον δέ ἐστιν ἤτοι πρῶτον, ἔοικε δὲ αἰνίγματι τὸ λεγόμενον· ἐροῦμεν οὖν, ὅτι δεύτερον μὲν, ὅσον κατὰ ἀπαρίθμησιν τῶν κεφαλαίων, ἐπειδὴ ἡ προβολὴ πρώτη, τρίτον δὲ κατὰ ἐξέτασιν οὐκ ἔχει, οὐδὲ κατασκευὴν, ἀλλὰ πάντα τὰ κεφάλαια τῆς προβολῆς ἐστιν ἐξέτασις καὶ κατασκευή· διὸ παρά τισιν οὐδὲ κεφάλαιον εἶναι δοκεῖ, ἐπειδὴ μὴ σώζει τὴν κεφαλαίου φύσιν· πᾶν γὰρ κεφάλαιον οὐ δύναται μὴ ἔχειν ἐξέτασιν ἰδίαν περὶ τῆς αὐτοῦ φύσεως· αὕτη δὲ μόνη ἰδίαν οὐδ᾽ ἥντιναοῦν ἔχει, ἀλλὰ διὰ πάντων αὐτὴ κατασκευάζεται· διὰ τοῦτο οὖν αὐτὴν ἐκάλεσάν τινες πρότασιν κεφαλαίων ἤτοι ἀφορμὴν ἀποδείξεως. Τίνι δὲ διαφέρει ὁ ὅρος τὸ κεφάλαιον τοῦ ὅρου τῆς στάσεως; ἐροῦμεν, ὅτι ὁ μὲν ὅρος τὸ κεφάλαιον ἐν τῇ προτάσει ἑαυτοῦ τὸ συμπέρασμα ἔχει, οἷον τυμβωρύχος

---

3 τῶν Cod. om. 4 Cfr. Ald. p. 481. l. 26.

ἐστὶν ὁ ἀφῃρημένος ἱμάτια καὶ κόσμον τοῦ νεκροῦ· ἐγὼ δὲ οὐχ ὑφειλόμην, οὐκ ἄρα τυμβωρύχος· ἡ δὲ στάσις ὁ ὅρος, ὅτι διὰ πάντων τῶν κεφαλαίων τὸ συμπέρασμα ἔχει· καὶ ἔτι ὁ μὲν ὅρος ἡ στάσις κατασκευάζεται, ὁ δὲ ὅρος τὸ κεφάλαιον κατασκευάζει.

Ἀνθορισμῷ· ἀναγκαῖον τοῦ φεύγοντος τὰ παρειμένα πρὸς ἀπόδειξιν, τοῦτο δέ ἐστι μὴ δεῖν καλεῖσθαι τὸ γεγενημένον, παρενεγκόντος, τὸν κατήγορον ἀπὸ τῶν πεπραγμένων ἀνθορίσασθαι, τὸ δεῖν αὐτὸν ὁμοίως εἶναι τόδε τι. γίνεται δὲ ὁ μὲν ὅρος ἀπὸ τῶν παρειμένων· ὁριζομένου τοῦ φεύγοντος, ἃ μὴ πεποίηκε ταῦτα μόνον εἶναι κυρίως ἐπὶ τοῦ ὀνόματος τοῦ κατηγορουμένου, ἀναγκαίως ὁ διώκων τὰ πεπραγμένα προφέρει, ἵνα καὶ[5] ἡ φύσις τοῦ ὅρου σωθῇ, τοῦτο γάρ ἐστιν ὅρος, τὸ βιάζεσθαι τὸν κατήγορον ἢ τὸν αἰτοῦντα τὸ φύσει ἀτελὲς δεικνύναι τέλειον· καὶ τὸ πεπραγμένον μηδενὸς ἑτέρου δεόμενον· ἀναγκαῖον δὲ ἦν ἐκ τῶν πεπραγμένων ἀνθορίσασθαι καὶ κατασκευάσαι, ὅτι τοιόνδε τι ἁρμόζει πρὸς τὴν τοιάνδε κλῆσιν. Εἴρηται δὲ ἀνθορισμὸς ἀπὸ τῆς χρείας, ἐπειδὴ ἐναντία τῷ προορίσαντι ὁρίζεται καὶ εἰσὶν ὥσπερ δύο ὅροι. Διὰ τί μὴ ὁ ὅρος ἀνθορισμὸς λέγεται, ἀλλ' οὗτος; ἔνθεν δὲ ζητοῦμεν, εἰ δὲ δύο ὁρίζονται, ὁ μὲν τὰ παρειμένα ἁρμόζοντα πρὸς τὴν κλῆσιν, ὁ δὲ τὰ πεπραγμένα· διατί μὴ ὁ πρῶτος ἀνθορισμὸς λέγεται; λέγομεν, ὅτι οὐδέποτε δύναται συστῆναι ἀνθορισμὸς μὴ προηγησαμένου ὅρου· ὁ πρῶτος τεταγμένος τὸ κύριον ἔσχε τοῦ ὀνόματος, ὁ δὲ ἐναντίος ἐκ τῆς ἐναντιότητος εἴληφε τὸ ὄνομα· αἱ γὰρ δύο ὅροι εἰσὶν ὁ εἷς τοῦ φεύγοντος, καὶ ὁ εἷς τοῦ διώκοντος· καὶ διὰ τί μὴ ὁ εἷς τοῦ φεύγοντος ἀνθορισμὸς καλεῖται, ἀλλ' οὗτος; ὅτι ὅπερ φθάσαντες εἴπομεν, αὐτὸς ἀφ' ἑαυτοῦ τὴν γένεσιν

5 Cod. δὲ, Ald. p. 482. l. 22. καὶ.

ὁ ἀνθορισμὸς οὐκ ἔχει, ἀλλ᾽ ἐκ τοῦ τὸν πρότερον ὁρίσασθαι ἀναφύεται ὁ ἀνθορισμός· διὸ ἀναγκαῖον ἦν, ἐκεῖνο μὲν προτείνοντα ὅρον κληθῆναι, τοῦτον δὲ ἀνατρέποντα ἀνθορισμόν.

Συλλογισμῷ· περὶ τοῦ συλλογισμοῦ πλείστη διαφορὰ πᾶσι τοῖς τεχνικοῖς γεγένηται· καὶ πρῶτον εἴπωμεν αὐτοῦ τὴν φύσιν, καὶ οὕτω τὰ τῆς ἀντιλογίας ἐξετάσωμεν, ὁ μὲν οὖν συλλογισμὸς τοῦτό ἐστιν, ὅτι οὐδὲν διαφέρει τόδε τι πεπραγμένον τοῦ μὴ πεπραγμένου, καὶ ὃ ὁρίζεται ὁ φεύγων πρὸς τὸ δεῖν κληθῆναι τὸ ὄνομα, τοῦτο βιάζεται ὁ συλλογισμὸς τὸ πεπραγμένον δεικνύναι σημαίνειν· καὶ ἡ μὲν ἐργασία αὕτη τοῦ συλλογισμοῦ· τινὲς μὲν γὰρ τῶν τεχνικῶν λέγουσι μὴ δεῖν τὸν συλλογισμὸν εἰ μὴ μετὰ τὰ πρός τι καὶ τὴν πηλικότητα τάττεσθαι, εἰ γὰρ τὸ πρός τι κἂν ἡ πηλικότης καὶ αὗται κατασκευαί εἰσιν, ὁ δὲ συλλογισμὸς συμπέρασμα κατασκευῆς, ὀφείλει ὁ συλλογισμὸς μετὰ πᾶσαν τὴν κατασκευὴν τάττεσθαι· ἐπειδὴ ἐπεραίωσας τὸν ἀνθορισμὸν καὶ ἔδειξας ταὐτὸν ὄντα, περιττὸν τὸ πρός τι καὶ ἡ πηλικότης. τινὲς μὲν οὖν, ὥσπερ ἔφην, τελευταῖον αὐτὸν τάττουσι, τινὲς δὲ μετὰ τὸν ἀνθορισμὸν, καὶ ὅσοι μὲν μετὰ πάντα κεφάλαια, τῷ προειρημένῳ χρῶνται λόγῳ, ὅσοι δὲ μετὰ τὸν ἀνθορισμὸν, τούτῳ χρῶνται τῷ λόγῳ. Ὁ συλλογισμὸς αὐτὸς καθ᾽ αὑτὸν οὐκ ἔστι κεφάλαιον, οὔτε γὰρ ἐν αὐτῇ τῇ στάσει, οὔτε ἀλλαχοῦ αὐτὸς κατ᾽ αὐτὸν γένεσιν ἔχει,[6] ἀλλ᾽ ὁ συλλογισμὸς δύο προτάσεών ἐστιν εἰς ἓν συναγωγὴ κατασκευάζουσα, ὅτι τόδε τοῦδε οὐδὲν διαφέρει· ἐπειδὴ οὖν ὁ ὅρος πρότασίς ἐστιν ἐκ τῶν παρειμένων, καὶ ὁ ἀνθορισμὸς πρότασίς ἐστιν ἐκ τῶν πεπραγμένων, συλλογισμὸς ἠκολούθησε τῷ ἀνθορισμῷ, εἰς ἓν συνάγων τὰς δύο προτάσεις, ὥστε τεχνικώτερον αὐτὸν[7] τάττουσιν

6 ἔχει Cod. per lac. om. 7 Cod. αὐτῷ.

οἱ τάττοντες αὐτὸν ὡς ἑπόμενον τῷ ἀνθορισμῷ, οὐ γὰρ ἠδύνατο μετὰ δύο κεφαλαίων ἐξέτασιν τάττεσθαι, φύσιν μὴ ἔχων καθ᾽ ἑαυτὸν μὴ ἐν ταῖς προτάσεσιν, ἀκολουθότερος οὖν, ἵν᾽ ἐν ταῖς προτάσεσιν ἀγάγῃ, καὶ ἔτι ἐνταῦθα μὲν κείμενος ἀποδεικτικώτερον ποιεῖ τὸν λόγον· μετὰ δὲ πρός τι καὶ τὴν πηλικότητα καὶ πρός τι χαῖνον καὶ ὕπτιον· ἴσμεν γάρ, ὡς αἱ συναγωγαὶ κατ᾽ αὐτὸν γινόμεναι πίστιν παρέχουσι καὶ ἀπόδειξιν, μετὰ μέσα δὲ ἄλλα λήθην ποιοῦνται ἀκροατῇ. εἰδέναι καὶ τοῦτο δεῖ, ὅτι οἱ τεχνικοὶ πάντες, εἰ καὶ μὴ φανερῶς λέγουσιν, ἀλλ᾽ ὑπὸ τῆς φύσεως τοῦ συλλογισμοῦ δεικνύουσι μὴ ὄντα αὐτὸν κεφάλαιον· ὅταν γὰρ τὸν ἀνθορισμὸν συλλογισμὸν ἐκάλεσεν, ὥσπερ καὶ αὐτὸς ὁ Ἑρμογένης ἐπὶ πολλοῖς φαίνεται λέγων, „τέμνεται ἡ στάσις ὅρῳ, συλλογισμῷ," τὸ συμπέρασμα τοῦ ἀνθορισμοῦ ὄνομα τῷ ἀνθορισμῷ ποιησάμενος· ἐπειδὴ γὰρ ἡ κατασκευὴ τοῦ συλλογισμοῦ διὰ τοῦτο γίνεται, διὰ τὸ συμπέρασμα τοῦ ἀνθορισμοῦ, αὐτὸ τοῦτο οἶδεν ὂν τὸ κεφάλαιον· πῶς οὖν ἠδύνατο διαιρεθῆναι καὶ μετὰ μέσα ἕτερα κεφάλαια τάττεσθαι;

Γνώμη νομοθέτου· καὶ τοῦτό τινες αἰτιῶνται σφόδρα, ὅτι ἐφεξῆς ἡ γνώμη τοῦ νομοθέτου τέτακται κοινὴ οὖσα καὶ ἀμφίβολος, ἀφ᾽ ἑκατέρου γὰρ πρὸς τὸ οἰκεῖον συμφέρον ἐξετάζεται καὶ μὴ τὸ πρός τι ἢ ἡ πηλικότης τὰ ἔτι πρὸς τὸν ὅρον καὶ τὸν ἀριθμὸν ἔχοντα τὴν κατασκευήν, καὶ ἔτι πρὸς τούτοις ἕτερον πταῖσμα, ὅτι πρός τι μὲν καὶ πηλικότης ἀναμφιβόλως εὑρίσκεται, γνώμη δὲ νομοθέτου σπανιάκις καὶ μήπω[8] ους εὑρέθη ἐν τῷ ζητήματι κείμενος, καὶ ἡνίκα ἤλθομεν[9] εἰς τὸ τοῦ εὐνούχου ζήτημα, δεικνύομεν, ὅτι οὐδὲ ἐκεῖ ἁρμόττει. ἄμεινον οὖν πρῶτα τὰ ἀποδεικτικὰ κεφάλαια,

8 brevis lac. est in cod. 9 Cod. ἔλθομεν.

τὸ πρός τι καὶ τὴν πηλικότητα ταγῆναι, καὶ οὕτω τὰ περιττὰ καὶ μὴ ἀεὶ ἐμπίπτοντα, καὶ οἱ μὲν τάττοντες αὐτὴν τελευταίαν τούτῳ τῷ λόγῳ τάττουσιν, ὁ δὲ Ἑρμογένης τὰς ἀτέχνους πίστεις ἰσχυροτέρας οἶδεν τῶν ἐντέχνων· ἐπειδὴ οὖν ὁ νόμος ἄτεχνός ἐστι, πίστιν ἐπήγαγε τὴν τοῦ νομοθέτου γνώμην, καὶ γὰρ μάλιστα οἱ δικασταὶ τοῖς νόμοις προσέχουσι, καὶ περιττὸν αἱ ἀποδείξεις, ὅταν ἔχωμεν νόμους συνηγοροῦντας· εἰκότως οὖν ἐφεξῆς τὴν τοῦ νομοθέτου γνώμην ὡς καὶ πιθανωτέραν καὶ μάλιστα πείθουσαν ἐπήγαγε πρός τι. Τῷ Ἑρμογένει καὶ τῷ Μινουκιανῷ φιλονεικία πολλὴ γέγονε περὶ τὴν τάξιν τῶν κεφαλαίων καὶ σχεδὸν πᾶσι τοῖς τεχνικοῖς, τῶν μὲν τὴν πηλικότητα ταττόντων, ἐνίων τὸ πρός τι. εἴπωμεν οὖν τὴν ἑκάστου φύσιν· τὸ πρός τι ὑπερβολικὴν τάξιν ἔχει, ἡ δὲ πηλικότης ἁπλῆν, τὸ μὲν γὰρ πρός τι πρὸς τὸν ὅρον τοῦ φεύγοντος γίνεται· λέγοντος ἐκείνου μὴ τόδε εἶναι, ἐπάγει συγκριτικῶς τὴν ὑπόθεσιν. λέγοντος Μειδίου, μὴ εἶναι δημόσιον ἀδίκημα τὸ τυπτῆσαι, Δημοσθένης δὲ καὶ μεῖζόν φησι καὶ ἀσέβειαν εἶναι αὐτό· ἡ δὲ πηλικότης ἁπλῆν ἔχει τάξιν, αὔξησιν μόνον τοῦ ἀδικήματος, ἐχρῆν οὖν ἄρα τὴν πηλικότητα τάττειν, ἵνα ὁδὸν ἔχῃ τὸ πρός τι. ἴσμεν γάρ, ὅτι τὰ ἁπλᾶ πρῶτά ἐστι τῶν ὑπερθετικῶν, καὶ ὅταν ἀποδείξωμεν, ὅτι ὁ δεῖνα ὁ ἀνδρεῖος, τότε χώραν ἔχει, καὶ Ἀχιλλέως αὐτὸν ἀνδρειότερον εἶναι· ἕως δ' ἂν αὐτὸ τοῦτο ἀμφιβάλλεται, εἰ ἀνδρεῖος, πῶς δύναται ὑπερθετικὸν εἶναι; Ἡ πηλικότης αὔξει τὸ ἀδίκημα καὶ δείκνυσιν, ὅτι μεγάλην καὶ οὕτω χώραν εἶχε τὸ πρός τι καὶ μείζω, οὐδεὶς γὰρ τὸ μεῖζον ἤδη ἀποδείξας ἐπὶ τὸ ἔλαττον ὑποστρέφει, καὶ οἱ μὲν πηλικότητα προτάττοντες τούτοις χρῶνται τοῖς λόγοις· οἱ δὲ τὸ [10] πρός τι τοιούτοις· τὸ πρός τι γὰρ [11]

---

10 Cod. τοῖς, scr. τὸ πρός τι, sc. προτάττοντες. 11 γὰρ Cod. ponit post sequens πρός.

πρὸς τὴν φωνὴν τοῦ φεύγοντος γίνεται· ἡ δὲ πηλικότης ἀόριστόν τί ἐστι, διὸ καὶ παρὰ τοῦ φεύγοντος ἔχει χώραν ἡ πηλικότης εἰς ἀναίρεσιν· ἰσχυρότερον δὲ ἦν τὸ συνομολογούμενον τοῦ ἀμφισβητισμοῦ· τί δέ ἐστιν, ὅ φημι; συνομολογεῖ ἐν τῷ ὅρῳ ἑαυτοῦ ὁ φεύγων τὸ εἶναι τόδε τι τὸ ἀδίκημα· τὸ πρός τι οὖν ἐξ αὐτοῦ τοῦ ὁμολογουμένου τὴν κατασκευὴν ἔχει καὶ ποιεῖ καὶ μεῖζον. ἀκόλουθον ἦν ἐκεῖνο πρότερον τάττεσθαι, ὃ αὐτὸς ὁμολογεῖ ὁ φεύγων, καὶ ἔτι οὐκ ἀεὶ ἐμπίπτει γνώμη νομοθέτου, ἰσχυροτέραν δὲ δύναμιν ἔχει μετὰ τὸν συλλογισμὸν ἐπαγαγεῖν τὸ πρός τι· εἰ γὰρ ὁ συλλογισμὸς τὸν ὅρον τοῦ φεύγοντος εἰς ἓν φέρει καὶ δείκνυσι ταὐτὸν ὂν τὸ πεπραγμένον τῷ μὴ πεπραγμένῳ, ἀκόλουθος ἦν ἐπαγωγὴ καὶ μεῖζον σημαίνουσα, διὸ καὶ τὴν γνώμην τοῦ νομοθέτου ἔφαμεν ὡς κακῶς μετ' αὐτὸ ἂν τεθείη·[12] ἐχρῆν γὰρ μετὰ τὸ πρός τι καὶ οὕτως ὑστέραν τὴν πηλικότητα τῶν ἐχόντων δεικνύναι, τοῦ πράγματος δὲ γνῶσιν· τοῦτο γάρ ἐστι τὸ ὥσπερ καταδρομὴν δεικνύναι αὐτὴν ἐν τῇ πηλικότητι, τὸ ἐπαρθῆναι ποιεῖν μιᾷ τῶν ἀντιθετικῶν· ἡ μία τῶν ἀντιθετικῶν σπανιώτατα ἐμπίπτει, εἰ μήπω ἐν τοῖς κατὰ αἴτησιν ὅροις χώραν ἀντιστατικοῦ ἔχει· αὐτὸς δὲ ταύτην οὐκ οἶδεν, ἀλλ' ἀντεγκληματικὴν ἐπήγαγεν, λέγων, ὅτι „ἥτις εἰ ἐμπέσοι εὑρεθήσεται καὶ μετάληψις·“ ἐν δὲ τῷ τόπῳ, ἔνθα τεχνολογοῦμεν τὸ εὐνούχου ζήτημα, ἀναγκαῖον καὶ περὶ τούτου διαλαβεῖν· καὶ περὶ τοῦ μὴ ἐμπεσεῖν, ὅπως ἐμπεσεῖται, ἐν ἐκείνῳ ἐροῦμεν. Ἐζήτησαν δέ τινες, πῶς μὴ ἐμπεσούσης ἀντιλήψεως δυνατόν ἐστι μετάληψίν ποτε γενέσθαι, αὐτοῦ τε τοῦ τεχνικοῦ λέγοντος, ὅτι ἡ μετάληψις πρὸς ἀντίληψιν λέγεται, καὶ ἐροῦμεν, ὅτι τὸ ἀντιθετικὸν κεφάλαιον ἀντεγκληματικοῦ τάξιν ἔχει ἀντιλήψεως· ὅταν γὰρ λέγῃ ἐκεῖνος ἄξιον εἶναι παθεῖν τόδε

12 τεθείη Cod. om.

τὸ γεγονὸς τὴν ἐξουσίαν αὐτῷ κατασκευάζει, καὶ ὥσπερ ἐστὶ φύσει ἀντίληψις προϋπάρχουσα ἐν τῷ ἀντεγκληματικῷ· τινὲς μὲν οὖν καὶ ἠρκέσθησαν οὕτως, τινὲς δὲ ἐπήγαγον τῇ μεταλήψει τὴν ἀντίληψιν, ἵνα πάλιν ἡ φύσις σώζηται. τὸ δὲ περὶ τοῦ ἀντιστρόφως αὐτὸ εἶναι, ὅπερ ἔφημεν, ὡς ἐν τῷ ἀντεγκλήματι τῆς φυσικῆς οὔσης τοῦ ἀντεγκλήματος· διὸ καὶ παρῆκεν αὐτὴν ὁ Ἑρμογένης καὶ ἐμπεσεῖται· καὶ πῶς ἐμπεσεῖται, ἡνίκα τὸ τοῦ εὐνούχου λέγομεν ζήτημα, ἐροῦμεν. ἡ ποιότης καὶ ἡ γνώμη ἐπίλογος οὖσα ἐν στοχασμῷ μεμαθήκαμεν ὅπως γίνεται, καὶ τοῦτο ἐν πάσαις ταῖς στάσεσιν ἐμπίπτει· εἰδέναι δὲ χρὴ, ὥς τινες ἐπεχείρησαν τὴν πηλικότητα καὶ τὸν συλλογισμὸν ἀνελεῖν ὡς ἄχρηστα λέγοντες, ὡς τὸ πρός τι καὶ μεῖζον δείκνυσι τὸ ἀδίκημα, καὶ ὁ ἀνθορισμὸς ὁρίζεται τὸ τί ἐστι τὸ ἀδίκημα. ποία χρεία πηλικότητος ἢ τοῦ συλλογισμοῦ; ἅπαξ γὰρ δυνηθεὶς δεῖξαι μεῖζον, ποίαν χρείαν ἔχει αὐξῆσαι; καὶ ἅπαξ ἀποδείξας ἐκ τῶν πεπραγμένων, ποίαν χρείαν ἔχει συλλογίσασθαι; ἐροῦμεν οὖν, ὅτι τὴν μεγίστην χρείαν ἔχει ὁ συλλογισμός· τὸ μὲν γὰρ ἐκ τῶν αὐτοῦ ἀποδεικνύναι οὐχ οὕτως ἰσχυρόν ἐστι, τὸ δὲ ἐκ τῶν δεομένων καὶ ὁμολογουμένων παρὰ τοῦ ἀντιδίκου μέγιστον, ὅπερ ὁ συλλογισμὸς ἐπαγγέλλεται, καὶ γὰρ λέγει ἐκεῖνος εἶναι τόδε τι. ταῦτα ὁ συλλογισμὸς δείκνυσιν ὄντα καὶ πεπραγμένα, αὐτῷ δὲ πάλιν ἡ πηλικότης τὴν καθολικὴν ἔχει δύναμιν· αἱ γὰρ αὐξήσεις πρὸς σύγκρισιν οὖσαι οὐκ εἰσὶ μὲν μεγάλαι, καθολικαὶ δὲ μεγάλαι εἰσίν· τί γὰρ εἰ τοῦδε μὲν μεῖζόν ἐστι, μικροῦ δὲ ὄντος καὶ εὐτελοῦς, ὅπερ τὸ πρός τι ποιεῖ· τὸ μὲν γὰρ πρός τι τὴν ἀπόδειξιν συγκριτικῶς ἔχει, ἡ πηλικότης δὲ καθολική.

*Ὁποτέρῳ οὖν τὸ ἕτερον χρήσεται·* τοῦτο ὡς καθόλου ἀνατιθεὶς τέθεικεν· ἐπὶ γὰρ ὅρου ἀδύνατόν ἐστί ποτε τὸν κατήγορον ὅρῳ χρήσασθαι, ἐπὶ δὲ τῶν ἄλλων

στάσεων εὑρίσκεται. Ἐπειδὴ οὖν καθολικὸν κανόνα ἔλεγεν, διὰ τοῦτο εἰπὲν, „ὁποτέρῳ οὖν αὐτῶν πότερον μέρος χρήσεται," καὶ οὐκ εἶπεν, ὅτι τοῦ φεύγοντος χρωμένῳ τῷ ὅρῳ ἀνάγκη τῷ συλλογισμῷ καὶ ἀνθορισμῷ τὸν διώκοντα χρήσασθαι.

*Οἷον εὐνοῦχόν τις εὑρὼν ἐπὶ τῇ γυναικὶ ἀπέκτεινεν ὡς μοιχὸν, καὶ κρίνεται φόνου·* πολλοὶ τῶν τεχνικῶν φιλονεικοῦσι, τοῦτο τὸ ζήτημα μὴ εἶναι ὅρον· εἰ γὰρ ὅρος ἐστὶ τὸ ἀναιρεῖσθαι τὸ περιφερόμενον ἔγκλημα καὶ μὴ φάσκειν αὐτὸ πεποιηκέναι, ἐπιφέρεται δὲ ἔγκλημα αὐτῷ φόνου καὶ οὐκ ἀρνεῖται τὸν φόνον, πῶς ἂν εἴη ὅρος; εἰ μὲν γὰρ εὐνοῦχον κρίναι τις ζῶντα καὶ ἦν τοῦτο τὸ ζήτημα, „εὐνοῦχον εὑρών τις ἐπὶ τῇ γυναικὶ κρίνει μοιχείας," ἀναντιῤῥήτως ἦν τὸ ζήτημα ὅρος, εἰ οὗτος μοιχός· ἐπειδὴ δὲ φονευθέντος αὐτοῦ κρίνεται φόνου, οἰκεῖον δὲ ὅρου τὸ ὄνομα τοῦ πραχθέντος ζητεῖν ὅ τι δεῖ καλεῖν· ἐνταῦθα δὲ οὐδεμία ζήτησίς ἐστι, πότερον δεῖ φόνον καλεῖσθαι τὸ πεπραγμένον, ἢ ἕτερόν τι, οὐκ ἄρα εἴη ὅρος· εἰ γὰρ πρὸς τὸ αἴτιον γίνεται τὸ συνέχον, καὶ ἐκ τοῦ συνέχοντος ἡ στάσις. τί ἂν εἴη ἐνταῦθα τὸ αἴτιον; φόνον ἐποίησας· τὸ συνέχον· ἐφόνευσα, τοῦτο δὲ οὐχ ὅρου ἀλλ᾽ ἀντιλήψεως· εἰ μὲν γὰρ ἔλεγε, μὴ τοῦτο εἶναι φόνον, ὅρος ἦν, εἰ [δὲ ὁμολογεῖ τὸ τί πεπραγμένον καὶ ἐπὶ τὴν ἐξουσίαν καταφεύγει, πῶς οὐκ ἂν εἴη ἀντίληψις; εἰ δὲ ἐροῦσιν, ὅτι ἐν ἀντιλήψει δεῖ ὁμολογούμενον εἶναι τὸ ἐφ᾽ ᾧ τὴν ἐξουσίαν ἐπάγει, ὡς ἐπὶ τοῦ τὸν τρισαριστέα ἀνελόντος· αὐτῷ γὰρ μάλιστα ἔοικεν οὐδὲν θαυμαστὸν ὁρικὸν ἐμπεσεῖν ἀπὸ τοῦ προσώπου, ὥσπερ κἀκεῖ ἀπὸ τοῦ τρισαριστέως προσώπου μεταλαμβάνεται ὁ διώκων λέγων, μὴ δεῖν ἀριστέα ὄντα αὐτὸν ἀναιρεθῆναι. καὶ ἐνταῦθα οὖν μεταλαμβάνεται λέγων μὴ δεῖν ἀναιρεθῆναι εὐνοῦχον ὄντα, ὥσπερ κἀκεῖ ἀριστέα, ὅτε ἠδύνατο αὐτὴν διαπράξασθαι τὴν

μοιχείαν· καὶ ἁρμοδίως ἐμπίπτει καὶ ἡ ἀντιθετικὴ ἀντίθεσις, ἥπερ οἰκεία ἐστὶ τῇ ἀντιλήψει. Δῆλον οὖν ἐκ πολλῶν, ὅτι τοῦτο κεφάλαιον ἐν τῷ ὅρῳ οὐ συνίσταται, ἀλλ' ἐπλάνησεν αὐτὸν τὸ τοῦ εὐνούχου ζήτημα· οὐδὲ γὰρ ἐπὶ ἑτέρου ζητήματός ποτε ὁρικοῦ εὑρίσκεται ἀντεγκληματικόν, καὶ τοῦτο, ὃ ἐνόμισαν εἶναι ὅρον, οὐκ ἔστιν ὅρος.

Μετὰ δὲ τὸ τίς ὁ μοιχὸς ζήτημα περανθέν· ἐνταῦθα ἀληθῶς τὴν πλάνην, ἣν ἐπλανήθη, ἐμήνυσε· λέληθε γὰρ ἑαυτὸν ἀπὸ τοῦ κατηγόρου ποιήσας τὴν στάσιν, ὅπερ ἐν ὅρῳ ἀδύνατον· ἐνταῦθα δὲ τὸ λέγειν „μετὰ τὸ τίς ὁ μοιχὸς ζήτημα περανθὲν" ἀπὸ τοῦ κατηγόρου ἐστι τοῦ λέγοντος, „ἀλλ' οὐχ οὗτος μοιχὸς," αἱ δὲ στάσεις ἀπὸ τῶν φευγόντων γίνονται· ὅταν οὖν ἐκεῖνος λέγῃ μοιχὸν ἀνῃρηκέναι, ἐπ' ἐξουσίαν καταφεύγει, καὶ δι' ἐκείνου πρῶτον ἀναιρεθῆναι τὴν ἐξουσίαν τῷ μεταληπτικῷ, τῷ λέγειν ὅτι οὐκ ἐξῆν σοι αὐτὸν ἀνελεῖν οὐκ ἀκριβῆ μοιχὸν ὄντα· ὅθεν ἀναφύεται τὸ ὁρικὸν ἐνθύμημα μόνον οἰκεῖον τῆς στάσεως· ἐν τοῖς περὶ τῶν προσώπων τὰ παρακολουθοῦντα σκεψάμενοι αὐτὸς μὲν τὴν τῶν προσώπων διαφορὰν διηγούμενος οὐδαμοῦ τὴν ἑκάστου ποιότητα τῶν προσώπων εἴρηκεν, ἀλλὰ μίαν πάντων ἔστησε τὴν τῶν ἐγκωμιαστικῶν ἐξέτασιν· ἡμεῖς δὲ φθάσαντες εἰρήκαμεν τοῖς ἐπεσκεμμένοις ἐκεῖνα εὐχερὲς τὴν ἑκάστου προσώπου ποιότητα τιθέναι.

Ὥσπερ δὲ στοχασμῶν εἴδη πλείονα, οὕτω καὶ ὅρου· τινὲς τῶν τεχνικῶν τρία γένη καὶ εἴδη λόγου λέγουσιν, τὸ κατὰ φύσιν, τὸ κατὰ τρόπον, τὸ κατὰ κρίσιν. καὶ τοῦ μὲν κατὰ φύσιν τιθέασι παράδειγμα· νόμος τὸν σεσινωμένον μὴ ἱερᾶσθαι· μὴ γελῶν τις κωλύεται, ἐνταῦθα γὰρ ἡ ζήτησις, εἰ τοῦτο σίνος, ὃ κατὰ φύσιν γίνεται· τοῦ δὲ κατὰ τρόπον τιθέασι παράδειγμα τὸν πλούσιον τὸν ἐπανατεινόμενον λέγοντες, εἰ οὗτος ὁ τρόπος πληγαί· τοῦ δὲ κατὰ κρίσιν, τούς τε

κατὰ αἴτησιν, καὶ τοὺς κατὰ ἀμφισβήτησιν, λανθάνουσι δὲ αὐτοὺς οὐκ εἴδη ὅρω ἀλλὰ ποιότητας λέγοντες. διαφέρει δὲ εἶδος ποιότητος τούτῳ, τῷ τὸ μὲν εἶδος διάφορον δέχεσθαι διαίρεσιν, τὴν δὲ ποιότητα λόγων αἰτίας μηνυτικὴν εἶναι. ὥσπερ γὰρ ἐν τῷ στοχασμῷ τὰ εἴδη διάφορον ἔχει τὴν διαίρεσιν καὶ πρὸς ἑαυτά, καὶ ἄλλως προκατασκευαζόμενος, ἄλλως ἐμπίπτων, οὕτω δὴ καὶ ἐν ὅρῳ, ἐνταῦθα δὲ οὔτε ὁ κατὰ τρόπον ὅρος οὔτε ὁ κατὰ φύσιν διάφορον πρὸς ἑαυτοὺς τὴν διαίρεσιν ἔχουσιν· ἄλλως τε καὶ τὸ κατὰ φύσιν ἀντιλήψει μᾶλλον ἁρμόζει ἢ ὅρῳ· ταῦτα μὲν οὖν ἐῶμεν· ἃ δέ ἐστιν ἀκριβῶς ὅρων ἐροῦμεν. γενικώτατα μὲν οὖν τρία εἴδη ὅρων ἐστὶν, ὅ τε κατὰ κρίσιν, καὶ ὁ κατὰ ἀμφισβήτησιν καὶ ὁ κατὰ ἀξίωσιν· τὸ μὲν οὖν κατὰ ἀξίωσιν ἄτμητόν ἐστι καὶ τὸ κατὰ ἀμφισβήτησιν· τὸ μὲν γὰρ αἴτησιν ἔχει μόνον· τὸ δὲ ἢ δύο προσώπων περὶ ἑνὸς κατὰ μέρος πραχθέντων ἀμφισβήτησιν, ὡς ἐπὶ τοῦ διώξαντος τὸν τύραννον ἐκ τῆς ἀκροπόλεως, καὶ ὁ ἕτερος συναντήσας καὶ ἀνελὼν καὶ ἀμφισβητοῦντες περὶ τῆς δωρεᾶς· ἢ δύο πραγμάτων πεπραγμένων ὑφ᾽ ἑτέρων δύο προσώπων, ὡς ἐπὶ τούτου τοῦ παραδείγματος· τύραννος τὴν ἑαυτοῦ σκευὴν δέδωκεν τῷ δορυφόρῳ, καὶ μεταλαβὼν τὴν ἐκείνου κατῆλθεν μοιχευόμενος τῶν ἐν τῇ πόλει γυναῖκα. κατὰ ταὐτὸν ἀνῆλθέ τις τὸν τύραννον ἀνελεῖν, καὶ ἀπέκτεινε τὸν δορυφόρον ἔχοντα τὴν σκευὴν, καὶ ἐν τῇ πόλει ὁ τῆς γυναικὸς ἀνὴρ τὸν τύραννον μοιχευόμενον ἀνεῖλεν, καὶ ἀμφισβητοῦσι τῆς δωρεᾶς. διαφέρει ὁ ὅρος οὗτος τοῦ ὅρου ἐκείνου τῷ παρ᾽ ἐκείνων ἐν μέρει ἓν ἔργον πεπρᾶχθαι, καὶ τοῦ μὲν τὴν ἀρχὴν εἶναι, τοῦ δὲ τὸ τέλος· ἐνταῦθα δὲ παρὰ δύο προσώπων τελείως ἀμφότερα τὰ ἔργα πεπρᾶχθαι, καὶ ἔτι κατὰ ταὐτὸ διάφορον ἔχει τὴν διαίρεσιν, ὅτι ἐκεῖ μὲν εἷς ὅρος ἐστὶ καὶ

εἷς

εἷς ἀνθορισμὸς, λέγοντος ὅτι τυραννοκτονία ἐστὶ τὸ ἐκβαλεῖν τῆς ἀκροπόλεως, τὸ δεῖξαι φυγάδα, τὸ μηκέτι ἔχειν δορυφόρους, καὶ εἷς πάλιν ἀνθορισμὸς, ἀλλὰ τυραννοκτονία ἐστὶ τὸ ἀνελεῖν τὸν ἐχθρὸν ἀποδεῖξαι. ἐνταῦθα δύο ὅροι παρ᾽ ἑκατέρου καὶ δύο ἀνθορισμοί· ὅ τε γὰρ τὸν δορυφόρον ἀνελὼν φησιν, ὅτι τυραννοκτονία ἐστὶ τὸ ἀνελθεῖν εἰς τὴν ἀκρόπολιν, τὸ μάχεσθαι τοῖς δορυφόροις, τὸ ἀποσφάξαι τύραννον· ὃ δὲ πεποίηκας, μοιχόν ἐστιν ἀνῃρηκέναι ἔσω ἐν τῷ οἰκήματι, οὐδὲ γινώσκων εἰ τύραννος ἦν· ὁ δὲ πάλιν τὸ ἐναντίον, ὅτι τυραννοκτονία ἐστὶ τὸ αὐτὸν ἀποκτεῖναι τὸν τύραννον, τὸ νεκρὸν δεῖξαι, οὐ τὸ δορυφόρον ἰδιώτην σχῆμα μόνον ἔχοντα· καὶ διὰ δύο ὅρων καὶ ἀνθορισμῷ· καὶ τὸ μὲν κατὰ ἀξίωσιν καὶ ἀμφισβήτησιν, τοῦτο δὲ κατὰ κρίσιν, ὅπερ ἐστὶ τὸ κατὰ φυγὴν καὶ δίωξιν, καὶ διαιρεῖται εἴς τε τὸν ἀντονομάζοντα καὶ τὸν κατὰ σύλληψιν καὶ τὸν ἐμπίπτοντα, καὶ τοὺς δύο καλουμένους ὅρους. καὶ τούτους μὲν Ἑρμογένης οἶδεν, ἔστι δὲ καὶ παρὰ τούτους ἕτερος καλούμενος παράδοξος, ὅτι πάντων τῶν ὅρων φύσιν ἐχόντων τὸ ἧττον λέγειν πεποιηκέναι ἢ τὸν αἰτοῦντα ἢ τὸν φεύγοντα, ὁ παράδοξος ἀπὸ τοῦ μείζονος ἔχει τὸ ἔγκλημα· ἔτι δὲ τούτου παράδειγμα τοῦτο· νόμος τὸν σεσινωμένον μὴ ἱερᾶσθαι, ἑξαδάκτυλος κωλύεται ἱερᾶσθαι, οὐ γὰρ κατὰ τὸ ἐλλεῖπόν ἐστιν ἐνταῦθα τὸ κατασκευάζεσθαι τὸν ὅρον, ἀλλὰ κατὰ τὸ πλέον· ἐν τούτῳ οὖν μάλιστα τῷ ὅρῳ τὸ πρός τι ἀνέστραπται· οὐ γὰρ περὶ τοῦ καὶ μεῖζον αὐτὸ εἶναι φιλονεικεῖ ὁ κατήγορος, ἀλλ᾽ ἧττον, οἷον ἐπὶ μὲν τοῖς ὅροις ὁ μὴ γελῶν καὶ κωλυόμενος ἱερᾶσθαι τὸν κατήγορον ἔχει πρός τι καὶ μεῖζον κατασκευάζοντα, ὅτι μεῖζόν ἐστι τοῦ ἄλλο τι σίνος ἔχειν, τὸ γέλωτος ἐστερῆσθαι τοῦ πόδα ἐλλιπεῖν, τοῦ ὀφθαλμόν· ἐνταῦθα διοριζομένου αὐτοῦ τὸ ἐλλιπεῖν μόνον εἶναι τὸ σίνος, καὶ οὐ τὸ πλείονα ἔχειν, τὸ πρός

τι ὁ κατήγορος λέγει, ὅτι τὸ πλείονα ἔχειν πολὺ ἧττόν ἐστι τοῦ ἥττονα· εἰ γὰρ τὸ ἥττονα ἔχειν ἄχρηστόν ἐστιν, καὶ τὸ πλέον δὲ, ὁ ἕτερος δάκτυλος ἄχρηστός ἐστι, τάξιν ἔχει τοῦ ἥττονος· περὶ δὲ τῶν λοιπῶν αὐτὸς Ἑρμογένης διέξεισιν. Εἰσὶ δὲ καὶ ἔμμεσοί τινες· ἔμμεσοι δέ εἰσιν οἱ δοκοῦντες μὲν ἔχειν δύο μὴ κρινομένους δὲ, ὥσπερ ἐπὶ τῶν συνεζευγμένων ἐστὶν ὁ ἐμπίπτων· ὁ γὰρ δεύτερος ὅρος εἰς κατασκευὴν τοῦ προτέρου λαμβάνεται, ὡς ἐπὶ τούτου· νόμος τὸν καθυφέντα ἱερῶν δίκην ἄτιμον εἶναι, Δημοσθένης διαλυσάμενος πρὸς Μειδίαν ὑπάγεται τῇ ἀτιμίᾳ, μετὰ γὰρ τὸ ζητηθῆναι, τί τὸ καθυφεῖναι, τὸν ἐν δικαστηρίῳ εἰσελθόντα μὴ δικαιολογήσασθαι,[1] τὸ μὴ προσάγειν μάρτυρας, τὸ ὅλως μὴ ὡς δεῖ ἀγωνίσασθαι, ἐμπίπτει μεταξὺ ἕτερον ζήτημα, εἰ ὅλως αὕτη ἱερὰ δίκη, καὶ κατασκευάσει ὁ Δημοσθένης μὴ εἶναι ἱερὰν, ἀλλ᾽ ὁριεῖται τὴν περὶ θυσιῶν[2] ἢ ἀγαλμάτων ἢ ἱερῶν δίκην εἶναι ἱεράν· διὸ καὶ ἔμμεσοι καλοῦνται, ὅτι τάξιν μὲν ἔχουσι διπλῶν· τὸ δὲ ἕτερον αὐτὸ μέρος εἰς ἀπόδειξιν τοῦ προτέρου λαμβάνεται, οὐκ αὐτὸ ἐγκαλεῖται, ὥσπερ ἐπὶ τοῦ κατὰ σύλληψιν καὶ τοῦ ἀντονομάζοντος· τὰ δὲ παραδείγματα πάλιν παρ᾽ Ἑρμογένει. Εἰδέναι δὲ χρὴ, ὅτι ὁ κατὰ ἀμφισβήτησιν ὅρος μόνος τὴν ἐναντίαν τάξιν ἔχει τοῖς ἄλλοις ὅροις· ἐν μὲν γὰρ τοῖς ἄλλοις ὅροις ὅρος τὸ κεφάλαιον ἐκ τῶν παρειμένων γίνεται, ἐν δὲ τῷ κατὰ ἀμφισβήτησιν ἐκ τῶν πεπραγμένων· τοῦ μὲν τὴν ἀρχὴν ὁρίζοντος εἶναι τὴν τυραννοκτονίαν τὸ[3] διῶξαι, τοῦ δὲ τὸ τέλος τὸ ἀνελεῖν· πολλάκις γὰρ ἔφαμεν, ὡς ὁ αἰτῶν τάξιν ἔχει διώκοντος.

*Τοῦτο οὖν πλέον ἔχει κεφάλαιον οὗτος ἐν τῇ διαιρέσει.* ἔλαθεν ἑαυτὸν ὁ Ἑρμογένης τὸν τρόπον τῶν ἐνθυμημάτων κεφάλαιον καλῶν· κεφάλαιον δὲ

---

1 Cod. δικαιολογήσασθαι. 2 Cod. οὐσιῶν, scripsi θυσιῶν ut Herm. Progymn. p. 30. 3 Cod. τῷ.

ἐστι μέρος λόγου διάφορον ἐργασίαν ἐπιδεχόμενον πρὸς τὰ προκείμενα καὶ ἐπαγόμενα· οὕτως οἱ πολλοὶ ὁρίζονται τὸ κεφάλαιον. ἡ τῶν ἐλέγχων ἀπαίτησις διάφορον ἔχει τὴν ἐργασίαν πρὸς τὸ παραγραφικὸν καὶ τὴν ἐχομένην βούλησιν καὶ δύναμιν, καὶ τὸ πρός τι διάφορον ἔχει τὴν κατασκευὴν, πρός τε τὸν ἀνθορισμὸν καὶ τὴν πηλικότητα· ἐνταῦθα δέ ἐστι μία διαφορὰ κατασκευαζομένη, ἀλλ᾽ ἐνθυμήματά ἐστι μόνα τὸ διαλλάττον, καὶ τοῦτο οὐκ ἐν ἑνὶ τόπῳ κείμενον, ἀλλὰ καθολικόν· πῶς οὖν κεφάλαιον ἐρεῖ τοῦτο Ἑρμογένης καὶ οὐ μᾶλλον εἶδος λόγου· τὸ γὰρ εἶδός ἐστι μόνον τὸ διαλλάττον, καὶ διάφορον ποιότητα ἐνθυμημάτων παρέχον, κεφάλαιον δὲ οὐκ ἔστι.

Τρίτος κατὰ πρόσωπον διπλοῦς. τὸν κατὰ ἀμφισβήτησιν ὅρον καὶ τὰ πρόσωπα διπλοῦν ἐκάλεσεν· ἔστι δὲ οὗτος τῶν διπλῶν, ἀλλ᾽ ἐπειδὴ ἠγνόησε τὰ ἐνικὰ εἴδη τοῦ ὅρου, προετάξαμεν ἀνωτέρω· εἰκότως αὐτὸ διπλοῦν εἶναι νενόμικεν.

## Περὶ ἀντιλήψεως.

Ἐζήτηται, τί δήποτε ἐν μὲν τῇ μεθόδῳ πρώτην ἔταξε τὴν πραγματικὴν, ἐν δὲ τῇ τῶν στάσεων διαιρέσει τὰς δικαιολογικὰς πρώτας· καὶ λέγομεν, ὅτι ἐκεῖ μὲν τὸν κανόνα καὶ τὴν μέθοδον τοῦ τὰς στάσεις εὑρεῖν ὑποτιθεὶς, εἰκότως πρότερον ἔταξε τὴν πραγματικὴν, ἅτε μονοειδῆ τινα οὖσαν· διαιρῶν γὰρ τὴν ποιότητα εἴς τε τὸ γεγενημένον καὶ μέλλον, καὶ ὑποτιθεὶς τὸ μέλλον ἔχειν τὴν πραγματικὴν, εἰκότως αὐτὴν προέταξε μίαν τινὰ οὖσαν τοῦ μέλλοντος, καὶ ἐφεξῆς τὰς τοῦ παρεληλυθότος πάσας· ἐνταῦθα δὲ ἐπειδὴ ἀντίληψις καὶ ἀντιθετικαὶ, αἵπερ εἰσὶ τῆς δικαιολογίας, πλείστην ἔχουσι κοινωνίαν πρὸς τὸν ὅρον, καθὼς καὶ ἀνωτέρω ἐμηνύσαμεν, καὶ τὰ κεφάλαια ταὐτά ἐστιν, εἰκότως περὶ τοῦ ὅρου

διεξελθὼν δευτέραν ἡμῖν τάττει τὴν ἀντίληψιν, πρώτην οὖσαν τῆς δικαιολογίας.

Ἡ ἀντίληψις διαιρεῖται προβολῇ. ἡ προβολὴ ἐν ὅρῳ ἤδη δέδεικται ὁποίαν ἔχει φύσιν.

Μορίοις δικαίου. τὰ μόρια τοῦ δικαίου ἐστὶν ἡ ἀντίληψις· εἴρηται δὲ μόριον δικαίου ἀπὸ τῆς φύσεως τοῦ πράγματος· ἐπειδὴ γὰρ ἡ ἀντίληψις ἐξ ἑνὸς τούτων τῶν τριῶν συνίσταται, φύσεως ἢ τέχνης ἢ νόμου, διὰ τοῦτο μόριον δικαίου καλεῖται, παρὰ τὸ μέρος τι τοῦ δικαίου προβάλλεσθαι. Ἐζήτηται δὲ, τί δήποτε ἐφεξῆς ἕτερον κεφάλαιον ἐπάγει καλούμενον ἀντίληψιν, τοῦτο δὲ ἀντιληπτικὸν, καὶ ἀντιλήψεως φύσιν ἔχον οὐκ ἐκάλεσεν ἀντίληψιν· λέγομεν, ὅτι τοῦτο, ὃν τρόπον τὸ παραγραφικὸν τὸ ἐν στοχασμῷ οὐκ ἄντικρύς ἐστιν ἀπολογία τοῦ πράγματος, ἀλλὰ διαβολὴ τοῦ ἄγοντος, τοῦτον τὸν τρόπον καὶ τὰ μόρια τοῦ δικαίου οὐ φανερῶς ἀπολογεῖται, οὐδὲ τὴν πᾶσαν ἐξουσίαν προβάλλεται, ἀλλὰ μόνον διαβολῆς ἕνεκα προτείνεται τὴν ἐξουσίαν· διὸ οὐδὲ ἀντίληψις ὠνόμασται διὰ τὸ μήπω τῆς ἐξουσίας τὸν φεύγοντα ἀντιλαμβάνεσθαι, ἀλλ' ὡς ἐπὶ διαβολῇ, ἢ ἐπὶ τούτοις κρίνεται.

Προσώπῳ. εἰκότως δευτέραν ἔχει τάξιν τῆς ἀπολογίας τὸ πρόσωπον καὶ ὀλίγον τῆς τέχνης καὶ τῶν κεφαλαίων ἐπὶ τὸ ἰσχυρότερον ἰόντων. ἐπειδὴ γὰρ ἔφημεν, ἑπτὰ μόρια τοῦ δικαίου παραγραφικοῦ τάξιν ἔχει, εἰκότως τέτακται δεύτερον τὸ πρόσωπον τελέας παραγραφῆς τάξιν ἔχον ἐν τῇ ἀντιλήψει· ἔστιν γὰρ τοιοῦτον; ὅπερ ἑτέρων εἰσὶν αἱ τοιαῦται κατηγορίαι, καὶ οὐ δεῖ φέρε εἰπεῖν ἰδιώτας δημοσίων ἀδικημάτων κρίνεσθαι, ὡς ἐπὶ τοῦ ζωγράφου τοῦ γράψαντος τὰ ναυάγια καὶ κρινομένου δημοσίων ἀδικημάτων· μετὰ γὰρ τὰ μόρια τοῦ δικαίου, τὸ λέγειν ὅτι ἐπὶ τέχνῃ κρίνομαι, ἐπάγει τὸ πρόσωπον, ὅτι οὐ δεῖ ζωγράφον ὄντα ἐπὶ δημοσίοις ἀδικήμα-

σι κρίνεσθαι, ἀλλὰ στρατηγοὺς καὶ ῥήτορας, οὐ χειροτέχνας, καὶ γίνεται παραγραφικοῦ τελείου τάξις· τοῦτο δὲ τὸ κεφάλαιον πολλάκις ἐκλείπει, καθάπερ ἐν στοχασμῷ, καὶ ἐφεξῆς τὰς αἰτίας ἐροῦμεν.

Ὅρῳ καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ μέχρι τοῦ πρός τι· σημαίνει τὸν ἀνθορισμὸν καὶ τὸν συλλογισμὸν καὶ τὴν πηλικότητα, καὶ τὴν γνώμην τοῦ νομοθέτου, ἅ ἐστιν ἀκριβῶς πάντα τῆς ἀντιλήψεως κεφάλαια ἐν αὐτῇ τῇ ἀντιλήψει. Ἐζήτηται, τί διαφέρει ἀντίληψις τῶν μορίων τοῦ δικαίου, καὶ διὰ τί αὕτη καὶ τὸ ὄνομα ἔχει καὶ τελευταία τέτακται· ἐροῦμεν, ὅτι αὐτὴ μὲν παραγραφικοῦ τάξιν οὐκ ἔχει, ἀλλ᾿ ἀποδεικτικοῦ, ἐκείνη δὲ παραγραφικοῦ μόνον· ἐπειδὴ δὲ τολμηρὸν ἦν καὶ θρασὺ, ἐφ᾿ οἱῳδήποτε πράγματι κρινόμενον εὐθὺς ἐπὶ τὴν ἐξουσίαν καταφεύγειν, εἰκότως τελευταία τέτακται, ὁδοποιησάσης τῆς τέχνης καὶ δειξάσης διὰ τῶν τοῦ ὅρου κεφαλαίων ὡς οὐκ ἔστιν ἀδίκημα· τοῦτο γὰρ ὁ ὅρος καὶ τὰ ἑπόμενα αὐτῷ κατασκευάζει, ὅτι οὐ τοῦτο δημοσίᾳ ἀδικῆσαι, τοῦ δὲ ὅρου τοῦτο κατασκευάζοντος χώραν εἶχε, διὸ καὶ τὸ ὄνομα τοῦτο ἔχει, ὅτι ἐνταῦθα σαφῆ τὴν ἐξουσίαν προβάλλεται· ἐκεῖ δὲ οὐ προδήλως, ἀλλ᾿ ὡς ἐν παραγραφικοῦ τάξει· ἕπεται δὲ τῇ ἀντιλήψει πάντως μετάληψις· ἡ δ᾿ ἀντίθεσις ὡς ἐπὶ τὸ πολὺ μὲν ἀντιστατική ἐστιν, ἐνίοτε δὲ καὶ κατὰ τὰς ἄλλας ἀντιθετικὰς εὑρίσκεται, ὅπως καὶ ἐν τῇ ἐργασίᾳ τοῦ κεφαλαίου ἐροῦμεν. Εἰκότως δὲ τοῦ ἀντιληπτικοῦ κεφαλαίου κατασκευάσαντος τὴν ἐξουσίαν ἔσχεν χώραν ἡ ἀντιθετικὴ ἀντίθεσις· ὅταν γὰρ δείξῃς, ὅτι ἐξουσίαν ἔχεις ποιεῖν, τότε καλῶς πεποιηκέναι ἐρεῖς· εἶτα ἄλλα εἴδη τῶν ἀντιθέσεων· καὶ περὶ μὲν τῆς τάξεως τῶν κεφαλαίων τοσαῦτα, ἴδωμεν δὲ καὶ καθ᾿ ἕκαστον.

Ἡ προβολὴ γίνεται ὥσπερ ἐν ὅρῳ. φθάσαντες εἰρήκαμεν, ὅτι ἡ προβολὴ ἐν πάσῃ στάσει τὴν αὐτὴν

ἔχει φύσιν, πῶς οὖν εἶπεν, „ὥσπερ ἐν τῷ ὅρῳ," μήτε ἀντιθετικαῖς μήτε ἀλλαχοῦ ἑτέραν ἐχούσης φύσιν τῆς προβολῆς, ἀλλὰ πανταχοῦ οὔσης[1] συντόμου ἀποφάσεως τῶν εἰρημένων ἀδικημάτων· καὶ τοῦτο διαφέρει τῆς καταστάσεως, ὅτι ἡ μὲν κατάστασις κατὰ μέρος διηγεῖται, καὶ πάθη σπουδάζει κινεῖν, καὶ τὰς ἀποδείξεις κατὰ μέρος ἔχει, ἡ δὲ προβολὴ κεφαλαιωσαμένη πάντα τὰ τῆς καταστάσεως συντόμως ὁρίζεται τὸ ἀδίκημα· καὶ ἔστι προβολὴ κυρίως τὸ αἴτιον· ἡ μὲν οὖν φύσις αὐτῆς καθόλου αὕτη. πῶς οὖν λέγει, „ὡς ἐν ὅρῳ μεμαθήκαμεν,"[2] ὡς ἀλλαχοῦ δὲ ἑτέραν αὐτῆς ἐχούσης φύσιν; ἐροῦμεν, ὅτι ἐν αἷς ἤδη στάσεσι διεῖλε μόνος ὁ ὅρος ἔχει τὴν προβολήν· τὸ οὖν „ὥσπερ ἐν ὅρῳ μεμαθήκαμεν" ἀντὶ τοῦ „ὡς εἰρήκαμεν," ἔστιν μὲν οὖν ὡς πρὸς ἀντιδιαστολὴν τοῦ ἐν ἄλλοις ἄλλως εἶναι, καὶ ὅτι τοῦτο οὕτως ἔχει ἐν ταῖς ἄλλαις στάσεσι, λέγει ἡ προβολή, καθὼς εἴρηται· τὸ μόριον τοῦ δικαίου φησὶν μὲν ἁπλῶς κεῖται, κεφάλαιον δὲ οὐδὲν ἁπλῶς προστίθεται, εἰ γὰρ ἡ ἀπόδειξις παντὸς τοῦ προγινομένου πράγματος διὰ τῶν κεφαλαίων ἐστὶν, πῶς δύναται ἄνευ ἀποδείξεως εἶναι αὐτὸ ὂν ἀπόδειξις; κἂν δὲ τὸ ἐπαγόμενον εἴπῃ „ἁπλῶς καὶ κατ᾽ ἀρχὴν," καὶ τοῦτο τοῦ αὐτοῦ πταίσματος, οὐδὲ γὰρ ἡ τάξις τῶν κεφαλαίων τὴν φύσιν ἀμείβει, καὶ τὸ μὲν πρῶτον εὐτελέστερόν ἐστι, τὸ δὲ δεύτερον τῆς κατασκευῆς, ἵνα τὴν ἐκβολὴν ἐκεῖ κατασκευάσῃ.[3] Ἐκεῖ δὲ, ὡς ἄλλως. ἐνταῦθα ἑαυτὸν ἐξήλεγξεν ὅτι εἰκῇ ταῦτα λέγει·[4] εἰ μὲν γὰρ εἶπεν, ὅτι ἐκεῖ δὲ τοιῶσδε, ἐδείκνυέ τινα ἀδιάφορον οὖσαν φύσιν, ἀλλὰ λέγων οὐκ ἄλλως, ἔδειξε τὴν διαφορὰν, ἀλλὰ ἐπήγαγε παράδειγμα, τὴν διαφορὰν μὴ δείξας. τίς οὖν ἡ διαφορά; φθάσαντες μὲν εἰρήκαμεν καὶ νῦν δὲ ἐροῦμεν, ὅτι μεμέρισται τὸ ἀντιληπτικὸν

1 Cod. τούτου, scr. οὔσης. 2 Cod. μαθησόμεθα. 3 Cod. κατασκευάσῃς. 4 Cod. λέγειν.

κεφάλαιον εἰς δύο, τὸ μὲν πρότερον ἐν παραγραφῇ, τὸ δὲ δεύτερον ἐν ἀποδείξει· τὸ πρότερον οὖν ἐστι τὰ μόρια τοῦ δικαίου παραγραφῆς ἔχοντα τάξιν, εἰ μὴ δεῖ ἐπὶ τούτοις κρίνεσθαι, οὐδεὶς γὰρ ἀπολογίαν προτείνων ἀμφίβολον αὐτὴν προβάλλεται, ἀλλὰ καθολικὴν ἀπόφασιν· τοῦτο γάρ ἐστιν ἢ τὸ ἀρνεῖσθαι τὸ μὴ εἶναι ὑπεύθυνον, ἢ λέγειν μὴ ἐγκαλεῖσθαι τὸ πρᾶγμα· τὸ δὲ „οὐ δεῖ ἐπὶ τούτοις κρίνεσθαι“ ἀμφιβολίας ἐχόμενόν ἐστιν, οὐδεὶς δὲ ἀπολογούμενος ἀμφίβολόν τι κατασκευάζει τυγχάνειν· τί οὖν ἐροῦμεν; ὅτι ἐνταῦθα οὐχ ὡς ἀπολογούμενος αὐτὸ λέγει, ἀλλ' ὡς κοινὴν ζήτησιν τῶν δικαστῶν, εἰ δεῖ αὐτοὺς ἐπὶ τούτοις κρίνεσθαι, ἵνα ᾖ ἡ μὲν πρότασις φεύγοντος, „οὐ δεῖ με ἐπὶ τούτοις κρίνεσθαι,“ ἐπαγωγὴ δὲ τοῦ διώκοντος, „ἀλλὰ δεῖ,“ ζήτησις δὲ τῶν δικαστῶν, εἰ μὴ δεῖ ἐπὶ τούτοις κρίνεσθαι, ἃ μηδεὶς κεκώλυκε νόμος. ἐνταῦθα ὡς παραδείγματα λέγων ἀκριβείας οὐκ ἔχεται, οὐ γὰρ ἀπὸ νόμου μόνον γίνεται ἡ ἀντίληψις, ἀλλὰ καὶ ἀπὸ φύσεως καὶ τέχνης· τὸ δ' εἰπεῖν, „μηδεὶς κεκώλυκε νόμος,“ τὴν ἀπὸ νόμου μόνον ἀντίληψιν δηλοῖ· ἔτι δὲ καὶ ἡ ἀπὸ νόμου ἀντίληψις ἐπὶ τὴν ἀπὸ τοῦ νόμου ἐξουσίαν καταφεύγει, οὐκ ἐπὶ τῷ μὴ κεκωλύσθαι, ἀλλὰ δύο εἴδη ἐστὶ τῆς ἐπὶ νόμον, ἢ ὅταν αὐτὸ δὲ λέγωμεν ἐξεῖναι, ἢ ὅταν μὴ κεκωλύσθαι· τὸ γὰρ μὴ κεκωλύσθαι βιαζόμεθα τάξιν ἔχειν τοῦ ἐξεῖναι· τί δήποτε οὖν ἐνταῦθα τέθεικε τὸ παράδειγμα, καὶ οὔτε ἀπὸ φύσεως οὔτε ἀπὸ τέχνης; ἐροῦμεν οὖν ὅτι πανταχοῦ εἷς ἐστιν ὁ κανών, ὡς αἱ ἄτεχναι πίστεις τῶν ἐντέχνων εἰσὶν ἰσχυρότεραι· ὁ νόμος οὖν ἄτεχνός ἐστι πίστις, καὶ εἰκότως ἐκ τῶν ἰσχυροτέρων τὰ παραδείγματα τίθησι, τί δήποτε οὐ τὴν ἐπὶ νόμον καταφεύγουσαν ἀντίληψιν τέθεικε τὸ παράδειγμα, ἀλλὰ τὴν μὴ κεκωλυμένην, ὥσπερ τὸν τρισαριστέα μοιχὸν ἀποκτείνας; ἐροῦμεν, ὅτι καὶ ἐπὶ τῆς κατὰ φύσιν ἀντιλήψεως καὶ ἐπὶ τῆς κα-

τὰ τέχνην κοινόν ἐστιν ἐνθύμημα τὸ λέγειν, ὅτι οὐ κεκώλυκεν ὁ νόμος τὰ κατὰ φύσιν γίνεσθαι, καὶ οὐ κεκώλυκεν ὁ νόμος τῇ τέχνῃ ἑαυτοῦ ἕκαστον χρῆσθαι· κοινότερον οὖν ἐστιν ἐνθύμημα καὶ τὸ τοῖς τρισὶν ἁρμόζειν, καὶ εἰκότως αὐτὸ ἔταξεν τὸ πρόσωπον οὐκ ἀεὶ δύναται ἐμπίπτειν· ἀλλ᾽ ὅταν μὲν ᾖ τὸ ἐπιφερόμενον ἔγκλημα μεῖζον τῆς ποιότητος τοῦ κρινομένου προσώπου, τότε ἐμπεσεῖται, τὴν ἑαυτοῦ ἀσθένειαν προτεινομένου τοῦ κρινομένου προσώπου, καὶ δεικνύντος τὰ ἁρμόζοντα πρόσωπα πρὸς τὰς τοιαύτας κατηγορίας· ὅταν δὲ ἀκόλουθον ᾖ τὸ πρόσωπον τῇ ποιότητι τοῦ κρινομένου προσώπου, οὐ δύναται ἐμπεσεῖν· τὸ δὲ παράδειγμα σαφηνίζει αὐτό. Ἀλκιβιάδης τὰ περὶ Σικελίαν ἐν ἐκπώμασι γράψας κρίνεται δημοσίων ἀδικημάτων· ἐνταῦθα οὐ δύναται εἰπεῖν, ὅτι οὐ στρατηγῶν εἰσιν οὐδὲ δημαγωγῶν, αἱ τοιαῦται δὲ γραφαὶ καὶ τὰ ἀδικήματα καὶ τὰ ἐγκλήματα τῶν δημοσίων ἀδικημάτων, οἷς μάλιστα ἁρμόζει· εἰδέναι οὖν χρή, ὅτι ἐπὶ τούτοις ἐκλείπει· ἁρμόζει δὲ ἀντὶ τοῦ προσώπου τὸ πρᾶγμα εἰσαγαγεῖν καὶ λέγειν, „ὅτι ἐφ᾽ ἑτέρων πραγμάτων αἱ δημόσιαι γραφαί, ἐπὶ προδοσίας τριηρῶν, ἐπὶ προδοσίας πόλεων, ἐπὶ τειχῶν κατασκαφῆς, ἐπί τινι τῶν τοιούτων, οὐκ ἐπὶ γραφῇ καὶ τοῖς εὐτελεστάτοις ἐκπώμασιν· ἐκλείπει οὖν τὸ ἀπὸ τοῦ προσώπου, ἀντεισάγεται δὲ τὸ ἀπὸ τοῦ πράγματος ὅρῳ. Τὴν φύσιν τοῦ ὅρου φθάσαντες εἰρήκαμεν.

Ἐπάγεται οὖν ἀναγκαίως ὁ συλλογισμός· ἐν τοῖς πρὸ τούτου ἱκανὰ περὶ τούτου διειλέχθημεν, ὅτι οὐκ ἔστιν ὁ συλλογισμὸς ἴδιον κεφάλαιον, ἀλλὰ συμπέρασμα τοῦ ἀνθορισμοῦ, καὶ ἔφαμεν, ὅτι ὁ τεχνικὸς πολλάκις συλλογισμὸν ὠνόμασεν ἀντὶ ἀνθορισμοῦ εἰδώς, ὅτι ταὐτόν ἐστιν· εἰ δέ τις ζητήσειεν, διατί μὴ τὸν ἀνθορισμὸν μᾶλλον εἶπεν, ἐροῦμεν, ὅτι τὰ κεφάλαια πρὸς ἀπόδειξιν σπεύδει· τὰ δὲ συμπεράσματα τὰς ἀποδείξεις

ἔχει· εἰ οὖν ὁ συλλογισμὸς συμπέρασμά ἐστι τοῦ ἀνθορισμοῦ, εἰκότως κυριώτερόν ἐστι πρὸς τὴν κλῆσιν.

Ἐπιχειρήσει δηλαδή· οἷον ἐπὶ τοῦ παραδείγματος ἐρεῖ, οἷον ὁ ὀφθαλμὸν πηρώσας[5] οὐχ ὅτι μὴ καὶ χεῖρα ἐπήρωσεν, διὰ τοῦτο ἀθῷός ἐστιν, ἀδικήματα γὰρ ἀμφότερα, ἀνάγκη δὲ ἅπαντα ταῦτα ἀδικήματα ποιεῖν, καὶ τὰ τοιαῦτα ἐρεῖ πλείονα παραδείγματα· τὸ „ἐπιχειρήσει“ οὖν ἐνθυμήματα παραδειγμάτων εἰς ἀπόδειξιν συντεινόντων ἐρεῖ.

Ἡ ἀντίθεσις ἐπὶ τούτοις ἀντιστατικὴ γίνεται· ἐχρῆν τεχνολογοῦντας μὴ τὴν τοῦ παραδείγματος φύσιν, ἀλλὰ τὴν τοῦ κεφαλαίου εἰπεῖν· ἐπὶ μὲν γὰρ τοῦ ζωγράφου ἀντιστατική ἐστιν λέγοντος τοῦ ζωγράφου, ὅτι παραινέσαι τοῖς παρὰ καιρὸν πλέουσιν ζητῶν· ἐπὶ δὲ τοῦ τὸν τρισαριστέα μοιχὸν ἀποκτείναντος ἀντεγκληματική· ἐνὶ δὲ λόγῳ ἢ[6] ἀντεγκληματικὴ ἢ ἀντιστατικὴ μόνον εὑρίσκεται, μεταστατικὴ δὲ οὐδέποτε οὐδὲ συγγνωμονική· ἐναντίαν γὰρ ἔχει φύσιν ἡ συγγνώμη τῇ ἀντιλήψει, οὐδεὶς γὰρ ἐφ' οἷς ἐξουσίαν προτείνεται, συγγνώμην αἰτεῖ· τὸ μὲν γὰρ συγγνώμην αἰτῆσαι καὶ ὁμολογῆσαί ἐστιν ἀδίκημα, καὶ ἐλέους δεῖσθαι, τὸ δὲ ἐξουσίαν προτείνεσθαι οὐδέτερον τούτων ἔχει· ἰστέον δὲ, ὅτι τὸ κεφάλαιον τοῦτο οὐκ ἀεὶ ἐμπίπτει, ἀλλ' ἔστιν ὅτε ἐκλείπει· ἐκλείπει δὲ, ὅτε ὁ ὅρος ἀκριβῶς ἰσχύει, ὡς ἐπὶ τοῦ Ἀλκιβιάδου τοῦ γράψαντος τὰ περὶ Σικελίαν, ἢ τοῦ κομίσαντος ταῖς δέσεσιν· ὅτι γὰρ ἀντιστατικὴ ἐμπίπτει, εἰ καὶ κατὰ φύσιν ἔχει τὸ δύνασθαι εἰπεῖν, ὅτι ἵνα μάθητε μὴ ἀκαίρως ἐπιχειρεῖν μείζοσι πράγμασιν· αὐτὸς γὰρ ἦν ὁ πείσας αὐτοὺς ἐπὶ Σικελίαν στρατεύεσθαι· οὔτε ἀντεγκληματική, ὅτι ἄξιοί ἐστε τοῦ ὀνειδίζεσθαι·

---

5 Cfr. Ald. p. 604. l. 14. 6 Cod. εἴη. Ald. p. 617. l. 5. ἤ. Eandem secutus omisi ἢ ante μεταστατική.

ἐκλείψει οὖν τὸ κεφάλαιον πάντως· καὶ ἡ ἐκλείψει καὶ ἡ ἑτέρα μετάληψις· ἡ γὰρ ἑτέρα μετάληψις λέγει, ὅτι ἄλλως ἐχρῆν· ἂν μὲν ἀντεγκληματικὴ ᾖ, ὡς ἐπὶ τοῦ τρισαριστέως τοῦ ἐν μοιχείᾳ ἀνῃρημένου λέγει, ὅτι ἄλλως ἐχρῆν αὐτὸν τιμωρεῖσθαι, προσαγαγόντα τῷ δήμῳ, ταῖς ἀρχαῖς, διελέγχοντα ἀνάξιον ὄντα φιλανθρωπίας· ἐπὶ δὲ τοῦ ζωγράφου τοῦ λέγοντος, ἵνα νουθετήσω μὴ παρὰ καιρὸν πλεῖν, καὶ εὐεργετήσω τοὺς ἐμπόρους, ἔχει χώραν τὸ εἰπεῖν, ὅτι λόγοις ἐχρῆν νουθετεῖν καὶ ἐπιπλήττειν καὶ μέμφεσθαι· αὐ ἐμπεσούσης οὖν μηδεμιᾶς τοιαύτης ἀντιθέσεως οὐκ ἂν ἔχοι οὐδὲ ἡ μετάληψις χώραν· ἐκλείπει οὖν καὶ αὕτη, εἰ ἐκλείψει ἡ ἀντίθεσις· ἀναγκαίως οὖν καὶ τὸ τρίτον ἡ ἀντίληψις ἐκλείψει, ταῦτα γὰρ πάντα τὴν γένεσιν ἀπὸ τῆς ἀντιθετικῆς ἔχουσιν ἀντιθέσεως, μὴ ἐμπεσούσης δὲ αὐτῆς οὐκ ἐμπεσεῖται ἡ μετάληψις, αὕτη γὰρ αὐτῆς ἐστιν ἡ λύσις, ἀναγκαίως τῆς μεταλήψεως μὴ ἐμπεσούσης οὐδὲ ἀντίληψις, ἥτις ἐστὶ τῆς ἀντιλήψεως λύσις. Περὶ δὲ τῆς τάξεως, πῶς τῆς φύσεως ἀπαιτούσης πρώτην τὴν ἀντίληψιν εἶναι δεῖ[7] καὶ οὕτως τὴν μετάληψιν,[8] ἐφθάσαμεν καὶ ἐν ὅρῳ εἰπόντες, καὶ νῦν δὲ ταὐτὸν ἐροῦμεν, ὅτι ἡ μετάληψις ἐνταῦθα πρὸς τὴν ἀντιθετικὴν γενομένη τὴν φύσιν αὐτῇ τῆς ἀντιλήψεως δωρεῖται, καὶ ἔστιν ἡ μετάληψις ὥσπερ ἀντίληψις. Τὸ οὖν λέγειν, ὅτι ἡ δευτέρα ἀντίληψις οὐ πρὸς τὴν πρώτην, λέγει τὸ κεφάλαιον· οὐ πρὸς ἐκεῖνο οὖν ἐστιν, καὶ γὰρ τὰ μόρια τοῦ δικαίου ἀντίληψίς ἐστι,[9] καὶ ἐχρῆν εἰπεῖν „ἡ τρίτη·" ἐνταῦθα οὖν ὁ τεχνικὸς τὴν φύσιν δείκνυσι τοῦ κεφαλαίου, ὅτι πρώτην ὥσπερ ἀντίληψιν οἶδε τὴν ἀντίθεσιν, καὶ τοῦτο λέγει „ἡ δευτέρα," ὥστε τετμημένης αὐτῆς εἰς δύο οὐ πρὸς αὐτὴν

---

7 δεῖ Cod. bis. 8 Sequitur in Cod. τῆς μεταλήψεως. 9 Cod. addit: καὶ ἐστιν.

ἀντίληψιν λέγει „ἡ δευτέρα ἀντίληψις," ἀλλ' ὡς πρὸς τὴν φύσιν τοῦ κεφαλαίου. Ἡ θέσις οὐκ ἔστι κεφάλαιον, ἀλλ' ἐνθύμημα· θέσις γάρ ἐστιν ἔπαινός τινος πραχθέντος. τρόποι ἀντιλήψεως δὲ [10] πλείονες, εἴδη γὰρ αὐτὰ οὐκ ἂν εἴποιμεν, εἰ γὰρ πᾶν εἶδος διάφορον ἔχει τὴν διαίρεσιν, ταῦτα δὲ οὐκ ἔχει διαφορὰν, ἀλλὰ τοῖς αὐτοῖς κεφαλαίοις καὶ τῇ αὐτῇ τάξει χρῆται, πῶς ἂν εἴη [11] εἶδος, ὅπου ἐν στοχασμῷ καὶ ἐν ὅρῳ τὰ εἴδη τὴν διαίρεσιν ἐναλλάττει· καὶ δύο μὲν ὁ τεχνικὸς αὐτὸς λέγει, τήν τε ἀφ' ὧν αὐτὸς ἐποίησεν· ἐστὶν ὁ Ἀλκιβιάδης ὁ κρινόμενος ἐπὶ τοῖς ἐκπώμασιν, ἡ δὲ ἐκ περιστάσεως, ὁ ῥήτωρ ὁ κρινόμενος ἐπὶ τῷ [12] εἰπεῖν νήσου ἐγκώμιον πολλῶν μεταστάντων· ἐνταῦθα γὰρ διὰ τόπον ἄλλους μεταστῆναι ἡ κρίσις γέγονεν. ἕτεραι δύο· ἡ μὲν κατὰ συμπλοκὴν, ἡ δὲ κατὰ διαίρεσιν· καὶ κατὰ συμπλοκὴν μὲν ἡ μὴ δυναμένη κατὰ ἀναίρεσιν κρίσιν ἐκδέξασθαι, κατὰ διαίρεσιν δὲ ἥτις καὶ ἰδίᾳ διαιρουμένη δύναται κρίσιν ἐκδέξασθαι· κατὰ συμπλοκὴν μὲν οὖν αὕτη· ταῖς πάντων γνώμαις ἀντιλέγει τις, καὶ αὐτὸς οὐδὲν λέγει· εἰ δὲ κρίνεται δημοσίᾳ ἐνταῦθα, ἐὰν διέλῃς καὶ εἴπῃς, „ὅτι ταῖς πάντων γνώμαις ἀντιλέγει τίς," ἢ τὸ ἕτερον οὐ δύναται κρίσιν ἐπιδέχεσθαι· ἐὰν δὲ συμπλέξῃς αὐτὸ καὶ εἴπῃς, τότε κρίσιν ἐπιδέχεται, ὅτι οὔτε αὐτὸς λέγει οὐδὲν καὶ τὰ τῶν ἄλλων ἀνατρέπει· κατὰ διαίρεσιν δὲ, οἷον πολλάς τις γαμῶν γυναῖκας καὶ πολλοὺς τιθέμενος παῖδας κρίνεται κακοῦ βίου· ἐνταῦθα καὶ ἐν διαιρέσει δύναται κρίσιν ἐκδέξασθαι, εἰ λέγοιμεν, πολλάς τις γαμῶν γυναῖκας, καὶ τοῦτο γὰρ ὑπόνοιαν ἔχει κακοῦ βίου. καὶ τὸ ἐναντίον πάλιν, πολλούς τις τιθέμενος παῖδας, καὶ ταῦτα μὲν ὁ τεχνικὸς οἶδεν. Εἰσὶ δὲ καὶ ἕτερα ἀν-

---

10 Cod. τε. 11 Cod. μὴ, scr. εἴη. 12 Cod. τὸ εἰπεῖν ἢ περὶ οἱ. Dubito an recte emendaverim.

τιλήψεως εἴδη, ἓν μὲν ὅταν [13] ἐξουσίαν οὐκ εἰς ἑαυτὸν ἀλλ' εἰς ἕτερον ἀναγάγῃ, καὶ σπανία ἡ τοιαύτη ἀντίληψις· πάσης γὰρ ἀντιλήψεως σχεδὸν οἰκεῖον τὸ τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἀνάγειν. παράδειγμα ταύτης· ἡ τοῦ πένητος θυγάτηρ, καὶ ὁ τοῦ πλουσίου υἱὸς ἐγένοντο ὑπὸ λῃσταῖς, ἀπελθὼν ὁ πλούσιος ἀμφοτέρους ἐλύσατο· μετὰ ταῦτα λυσαμένῳ [14] δὲ ὀνειδίζει αὐτῷ, τὸ διὰ τὴν μητρυιὰν καταφρονεῖν τῆς θυγατρὸς καὶ ἀνέκδοτον ἔχειν· ἔστιν καὶ ἕτερον εἶδος, ἐν ᾧ οὗτος μηδὲν εὐεργετήσας τὸν μὴ εὐεργετήσαντα κρίνει ἀχαριστίας, ὡς ἐπὶ τούτου· δύο ἀδελφῶν ὁ μὲν πένης ἦν, ὁ δὲ πλούσιος· ὁ πλούσιος τὴν θυγατέρα ἑαυτοῦ δέδωκεν τῷ πένητι γαμετὴν, πολὺ τῆς οὐσίας διδοὺς, ἀσώτου ὄντος τοῦ υἱοῦ· γέγονεν αὐτῷ θυγάτηρ, καὶ ἀξιῶν αὐτὴν λαβεῖν ὁ παῖς, καὶ οὐ δίδωσι καὶ κρίνει αὐτὴν ἀχαριστίας· καὶ οὗτοι μὲν οἱ τρόποι τῶν ἀντιλήψεων πάντες καινοτομηθέντες, πλὴν δύο τῶν προτέρων. Εἰσὶ δὲ τῶν ἀντιλήψεων αἱ μὲν διπλαῖ, αἱ δὲ τριπλαῖ, αἱ δὲ τετραπλαῖ, ὧν τὰ παραδείγματα τίθησιν ὁ τεχνικός· ἓν τοίνυν ταύταις ἴδιον κεφάλαιόν ἐστι· τοῦτο δὲ οὐκ ἔστι κεφάλαιον, ἀλλ' ἐνθύμημα κεφαλαίου· καὶ γὰρ τὰ μόρια τοῦ δικαίου καὶ τὸ πρόσωπον ὀνόματι μόνον διαλλάττουσι παραγραφικὰ ὄντα· ὅταν γὰρ λέγῃ, ὅτι οὐ δεῖ με ἰδιώτην ὄντα δημοσίᾳ κρίνεσθαι, παραγραφικοῦ μὲν ἔχει φύσιν, ὀνόματι δὲ μόνον διαφέρει· καὶ τοῦτο οὖν λέγει ἐφεξῆς· τὸ ἐφ' οἷς ἕτεροι πεποιήκασιν ἐνθύμημά ἐστι τοῦ προσώπου παραγραφικοῦ, ὥστε οὔτε περιττὸν ἔχειν κεφάλαιον, ἀλλὰ ταὐτόν ἐστιν ἐνθυμηματικὸν διαλλάττον· καὶ ταῦτα μὲν περὶ ἀντιλήψεως. Τὰ δὲ κεφάλαια αὐτῆς εἰς ἀμφότερα τὰ μέρη τοῦτον τὸν τρόπον μερίζονται· ἡ προβολὴ τοῦ κατηγόρου, μόρια δικαίου τοῦ φεύγοντος, καὶ γὰρ παρα-

13 Cfr. Ald. p. 645. l. 21. 14 Cod. ματισμένῳ. [sic]

γραφικοῦ τάξιν ἔχει, αἰτιωμένου τὴν κρίσιν, οἷον ἐφ᾽ οἷς ἡ φύσις ἢ νόμος ἢ τέχνη δίδωσι· κρίνεται τὸ πρόσωπον ὁμοίως τοῦ φεύγοντος, τὸ ὁμοίως παραγραφικὸν τυγχάνον· τὰ μὲν γὰρ μόρια τοῦ δικαίου ὥσπερ ὁδὸς εἰς τὸ αἰτιάσασθαι τὸν ἀγῶνα· ἔτι δὲ τὸ πρόσωπον ἀκριβῶς αἰτιᾶται, ὅτι οὐ δεῖ με ἰδιώτην ὄντα ἐπὶ τούτοις κρίνεσθαι· ὁ ὅρος τοῦ φεύγοντος ὁριζομένου, ὅτι εἰ καὶ δεῖ με [15] κρίνεσθαι μετὰ τὸ παραγραφικὸν, ἀλλ᾽ οὐκ ἐπὶ τούτοις, οὐ γάρ τοιοῦτό [16] τί ἐστιν ὁ ἀνθορισμὸς, ὁ συλλογισμὸς τοῦ κατηγόρου, ἡ γνώμη τοῦ νομοθέτου, ἐὰν ᾖ ἀπὸ νόμου ἢ ἔθους ἡ ἀντίληψις ἐμπίπτῃ· ἐὰν δὲ ᾖ τέχνης ἢ φύσεως, οὐκ ἐμπίπτει· ἐὰν δὲ μὴ πέσῃ, κοινὴ ἀμφοτέρων ἐστίν· ἡ πηλικότης κοινὴ ἀμφοτέρων ἐστὶν, τὸ πρός τι τοῦ κατηγόρου· ἡ μία τῶν ἀντιθετικῶν τοῦ φεύγοντός ἐστι λέγοντος ἔτι, εἰ ἐπὶ νουθεσίᾳ τοῦτο ἐγένετό, ὡς ὁ ζωγράφος ὁ τὰ ναυάγια γράφων· ἡ συγγνωμονικὴ, ὡς ὁ γελάσας Ἀλκιβιάδης τοῦ Κλέωνος ἐπαγγειλαμένου τὰ περὶ Πύλον· ἡ μετάληψις τοῦ διώκοντος λέγοντος, ἄλλως ἐχρῆν νουθετεῖν, διδάσκειν λόγους, ἐὰν δὲ ᾖ συγγνωμονικὴ, ἐπὶ ἑτέροις ἐχρῆν, πρὸς ἣν ἡ ἀντίληψις, ἡ ποιότης, οἱ ἐπίλογοί εἰσιν.

## Περὶ ἀντιθετικῶν.

Τὰς ἀντιθετικὰς [1] ὁ μὲν Μινουκιανὸς καὶ πολλοὶ τῶν τεχνικῶν διῃρημένως ἐμελέτησαν, καὶ τάξιν ταύτην ἔταξαν· ὁ μὲν Μινουκιανὸς ἀντίστασιν πρώτην, εἶτα μετάστασιν, εἶτα ἀντέγκλημα, εἶτα καὶ συγγνώμην διὰ ταύτην τὴν αἰτίαν· τὴν μὲν ἀντίστασιν πρώτην, ὡς εὐπρεπέστερον καὶ πιθανώτερον ἔχουσαν πρὸς ἀπολογίαν τὸ προτεινόμενον· ἱκανὸν γὰρ πρὸς τὸ πεῖσαι τὸν ἀκρο-

15 Cod. μὴ omisso δεῖ. 16 Cod. τοῦτο δὲ τί.

1 Cfr. Syrianum Ald. p. 647. l. 16.

ατὴν τὸ ἀντὶ βλάβους τινὸς εὐεργεσίαν δεῖξαι· τὴν δὲ μετάστασιν δίδωσι τὸ ἢ τιμωρίαν παρέχον ἢ τὸ αἴτιον· τὸ δὲ ἀντέγκλημα ἀκόλουθον ὂν τῇ μεταστάσει, καὶ γὰρ δυνάμει αὐτὸ τὸ ἀντέγκλημα μετάστασίς ἐστιν· διαφέρει δὲ, ὅτι ἡ μὲν μετάστασις ἐπὶ ἕτερα μεταφέρει, τὸ δέ εἰς αὐτὸν τὸν πεπονθότα, τελευταίαν δὲ πασῶν τῶν ἀντιθετικῶν τὴν συγγνώμην, ἀσθενεστέραν οὖσαν καὶ ὁμολογούμενον ἔχουσαν τὸ ἀδίκημα καὶ ἐλέου δεομένην· ἄλλος δὲ οὕτως διεῖλεν ἀντίστασιν μὲν καὶ ἀντέγκλημα· ἐφεξῆς δὲ μετάστασιν καὶ συγγνώμην, τούτῳ τῷ λόγῳ, ὅτι ἐν ἀντιστάσει καὶ ἀντεγκλήματι ὁμολογεῖ ὁ φεύγων παρ' αὐτοῦ τὸ γεγενημένον, ἐν ἀμφοτέροις γὰρ οὔτε βεβιάσθαι λέγει, οὔτε ἄλλο τι, ἀλλ' ἢ ἐπ' ἐξουσίαν, ἢ ἀξίου ὄντος τοῦ πεπονθότος πεπονθέναι, ἐν δὲ μεταστάσει καὶ συγγνώμῃ ἀκούσιον αὐτὸ εἶναι λέγει· ἐφεξῆς οὖν διεῖλον ταύτας τὰς στάσεις ὡς κοινωνίαν πλείστην ἐχούσας. Ὁ δὲ Ἑρμαγόρας ἀνέστρεψε τὴν τάξιν, καὶ τὴν μὲν συγγνώμην πρώτην πάντων μελετᾷ, τούτῳ τῷ λόγῳ λέγων, ὅτι ἐν ταύταις μόναις ταῖς στάσεσιν ὁμολογεῖ ὁ φεύγων ἠδικηκέναι. δεῖ οὖν ὁμολογουμένου ἀδικήματος ὄντος πρῶτον καταφεύγειν ἐπὶ συγγνώμην καὶ δευτέραν τὴν ἀντίστασιν ἐπὶ εὐεργεσίαν χωροῦσαν· ἐπ' αὐτὴν δὲ τὴν μετάστασιν ἐφ' ἕτερον ἄγουσαν τὴν αἰτίαν· καὶ τελευταῖον τὸ ἀντέγκλημα ἀναίσχυντον ὄν· ἐπὶ γὰρ ὁμολογουμένῳ κακῷ εἰπεῖν ἄξιον εἶναι παθεῖν ταῦτα δυσχερὲς καὶ οὐχ ἱκανὸν πεῖσαι τὸν ἀκροατήν. Λολλιανὸς δὲ οὔτε ἐν τῇ διαιρέσει, οὔτε ἐν τῷ ὀνόματι τῶν στάσεων διεῖλεν, ἀλλὰ μίαν εἶναι καλεῖ τὴν ἀντιθετικὴν στάσιν· ὁ μέν τοι Ἑρμογένης τοῖς ἀμφοτέροις κέχρηται, καὶ ὑφ' ἓν μὲν αὐτὰς διαιρεῖ ἅτε μίαν οὖσαν καὶ τοῖς αὐτοῖς κεφαλαίοις, ὃ οἱ ἕτεροι οὐ ποιοῦσιν· καθ' ἑκάστην γὰρ διαφοράν τινα τάττουσιν, ἐν δὲ τῇ μεθόδῳ διαιρεῖ, καὶ ἰδίᾳ ἑκάστην ποιεῖ, ἵνα δείξῃ, ὅτι τὰ ἀμφοτέρων ποιεῖ,

καὶ ὡς μίαν αὐτὴν στέργειν, καὶ ὡς διαφόρους τὸ ὄνομα καὶ τὴν διαφορὰν τάττει ἑκάστης. Ἐζήτηται δὲ, τίνος χάριν ἐφεξῆς τῆς ἀντιλήψεως αὐτὰς ἔταξεν· λέγομεν, ὅτι τῆς δικαιολογίας εἰς πέντε διῃρημένης, εἴς τε ἀντίληψιν καὶ τὰς τέσσαρας ἀντιθετικὰς, ἅπαξ διαλαβὼν περὶ τῆς ἀντιλήψεως ἀνάγκην ἔσχε πληρῶσαι τὴν δικαιολογίαν, καὶ τὰς ἀντιθετικὰς ἐπαγαγεῖν, ἐν δὲ τῷ περὶ τῆς πραγματικῆς λόγῳ ἐροῦμεν, διότι τῆς δικαιολογίας ἡ πραγματικὴ οὐ προτέτακται· ἡ προβολὴ πανταχοῦ τὴν αὐτὴν ἔχει φύσιν, καθὼς ἐν ὅρῳ προειρήκαμεν.

Ὅρῳ ἔστιν ὅτε· τότε ἐμπίπτει ὁ ὅρος, ὅταν τὸ ὄνομα τῆς γραφῆς μὴ ἀκόλουθον ᾖ τῷ ἐγκλήματι· ἐὰν δὲ ἀκόλουθον ᾖ, οὐκ ἐμπεσεῖται· καὶ ὅταν διάφορα πράγματα ὑπὸ τὸ αὐτὸ ἀνάγηται[2] ὄνομα· ἐπὶ μὲν γὰρ τοῦ στρατηγοῦ τοῦ καθελόντος τὰ τείχη καὶ κρινομένου δημοσίων ἀδικημάτων, ἐμπεσεῖται, οὐ γὰρ μόνον τὸ τεῖχος ἀνελεῖν ἐστιν δημόσιον ἀδίκημα, ἀλλὰ καὶ τὸ ναῦς προδοῦναι, καὶ πόλιν ἀπολέσαι συμμαχίδα, τὸ ἡττηθῆναι ἐν στρατοπέδῳ καὶ πολλὰ ἕτερα, οὐκ ἔστιν οὖν ἀκόλουθον τὸ ὄνομα τῷ ἐγκλήματι· ἐπὶ δὲ τοῦ ἀριστέως τοῦ τὸν υἱὸν πορνεύοντα ἀποσφάξαντος καὶ κρινομένου φόνου οὐκ ἐμπεσεῖται, οὐ γὰρ οἷόν τέ ἐστιν εἰπεῖν „οὐ τοῦτο φόνος·“ μὴ ἐμπεσόντος δὲ τοῦ ὅρου καὶ τὰ ἀκόλουθα τῷ ὅρῳ, καθὼς ὁ τεχνικός φησιν, ἐμπεσεῖται. Ἐστὶ δὲ κατὰ Μινουκιανὸν ἀνθορισμὸς καὶ συλλογισμός· μέχρι γὰρ τούτου, ὅταν τάττωσιν[3] ὅρον, ἵσταται τούτῳ τῷ λόγῳ, ὅτι τὸν ἅπαξ συλλογισάμενον καὶ εἰς ταὐτὸν ἐνεγκόντα τήν τε τοῦ φεύγοντος πρότασιν καὶ τὴν ἑαυτοῦ περιττὸν ἕτερον τιθέναι· ὁ δὲ Ἑρμογένης ὅταν εἴπῃ „καὶ τοῖς ἑπομένοις“ βούλεται καὶ τὴν πηλικότητα τίθεσθαι, καθὼς ἐν ἀντιλήψει εἰρήκαμεν.

---

2 Cod. ἀνάγεται. 3 Cod. τάττουσιν.

*Καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ*, τούτῳ τῷ λόγῳ χρώμενος, ὅτι οὐ μόνον ἀποδείξεως ἀλλὰ καὶ δεινώσεως χρεία· ὁ μὲν οὖν ἀνθορισμὸς καὶ συλλογισμὸς τὴν ἀπόδειξιν κατασκευάζει, τὸ δὲ πρός τι καὶ ἡ πηλικότης τὸ μέγεθος τοῦ ἀδικήματος, ὅ ἐστι τῆς δεινώσεως· ὁ οὖν Μινουκιανὸς οὐκ ἀνεχόμενος ἐκβῆναι τοῦ ἀγῶνος τὸν σκοπὸν, ὅ ἐστιν ἀπόδειξιν, ἀφ᾽ οὗ συναγάγῃ τῷ συλλογισμῷ τήν τε τοῦ διώκοντος πρότασιν καὶ τὴν τοῦ φεύγοντος, οὐδὲν ἕτερον προστίθησιν· ὁ δὲ Ἑρμογένης ὅταν εἴπῃ „καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ“ καὶ τὸ πρός τι καὶ τὴν πηλικότητα προστίθησιν, ἵνα μετὰ τὴν ἀπόδειξιν καὶ ὄγκον ἐμποιήσῃ τῷ πράγματι.

*Διανοίᾳ*· ἡ διάνοια τοῦ φεύγοντός ἐστι στοχαστικῶς ἐξεταζομένη· λέγει γὰρ δεῖν ζητῆσαι τὴν διάνοιαν, ὅτι οὐκ ἐπὶ πονηρίᾳ τόδε τι πεποίηκα, τὸ καθελεῖν τὰ τείχη, ἢ τὸ τὰ ἀπόῤῥητα ἐξειπεῖν τὴν γυναῖκα, καὶ εὐθὺς ἕπεται. „αὕτη ἡ[4] ἀντίθεσίς ἐστιν ἔστιν ὅτε“, ὡς ὁ τεχνικός φησιν, „ὁμώνυμος τῇ στάσει τοῦ ζητήματος“· πάλιν διάνοια αὕτη κοινή ἐστιν ἀμφοτέρων· τοῦ μὲν φεύγοντος ἐπαινοῦντος τὴν διάνοιαν, ἐφ᾽ ᾗ ἐποίησεν· τοῦ δὲ κατηγόρου κακίζοντος.

*Μεταλήψει*. τοῦ κατηγόρου αὕτη· ὅταν γὰρ ἐπαινέσῃ ὁ φεύγων τὸ γεγενημένον, ἢ ὡς χρηστὸν, ἢ ὡς ἄξιον συγγνώμης, ἢ ὡς ἀξίου παθεῖν τοῦ πεπονθότος, ἢ ὡς οὐκ αὐτὸς ποιήσας, τῇ μεταλήψει χρήσεται ὁ διώκων, ἐπὶ μὲν ἀντιστάσεως λέγων, ὅτι ἄλλο ἐχρῆν δημοσιεῦσαι, ἀνενεγκεῖν τῷ δήμῳ, μὴ αὐτεξουσίως πρᾶξαι, ἐπὶ δὲ ἀντεγκλήματος ἐπὶ τὸ μετριώτερον ἐπάγει, ὅτι σωφρονίζειν, τύπτειν, ὑβρίζειν, ἀποκηρύττειν· ἐπὶ δὲ μεταστάσεως, διαμαρτύρεσθαι, ἐλέγχειν· ἐπὶ δὲ συγγνώμης ἐπὶ τὸ ἀναγκαῖον, ὅτι καταψεύσασθαι, ἢ ἄλλο τι ποιῆσαι ἐχρῆν, μὴ τοῦ-

4 Cod. αὕτη, sine sq. ἡ.

τοῦτο· μεταλήψεως δὲ ἐμπεσούσης ἀνάγκη καὶ ἀντίληψιν ἐγγίγνεσθαι, ἥτις σπανίως ἐμπίπτει· ἐπὶ μὲν γὰρ ἀντιστάσεως καλῶς καὶ ἀκολούθως ἐμπίπτει, καὶ ἀντεγκληματικῆς δὲ ἐνίοτε· ἐπὶ δὲ συγγνωμονικῆς οὐ σφόδρα, ἀλλ' ἢ παντελῶς ἐκλείπει, ἢ κἂν τίθηται[5], οὐχ ὡς ἀντίληψις τίθεται, ἀλλὰ θετικῶς ἐξετάζεται λέγοντος τοῦ φεύγοντος, ὅτι κακὸν τὸ τῇ ἀνάγκῃ παραχωρεῖν, καὶ ἐν μὲν τῇ καταριθμήσει τῶν κεφαλαίων ἕως τούτου ἔστη ὁ τεχνικὸς, ἐν δὲ τῇ διαιρέσει ἕτερα προστίθησι, καὶ ὃ μὲν προστίθησι ταῦτά ἐστιν, τὸ πρός τι καὶ ὁ βίαιος ὅρος καὶ ἡ θέσις καὶ ἡ ἑτέρα μετάληψις. Ἐζήτηται οὖν, τί δήποτε τὰ μὲν κεφάλαια προτείνων μέχρι τῶν εἰρημένων ἔστη· ἐν δὲ τῇ διαιρέσει καὶ ταῦτα προσέθηκεν· οἱ μὲν οὖν φασιν, ὅτι σφάλμα γραφικὸν γέγονεν· καὶ γὰρ ἦν ἐφεξῆς καὶ συνέβη αὐτὰ παρεαθῆναι· οἱ δὲ λέγουσιν, ὅτι οὐχ ὡς κεφάλαια αὐτὰ ἀλλ' ὡς ἐνθυμήματα λέγει· οἱ δὲ λέγουσιν, ὅτι ὡς κοινὸν τὰ τῶν προειρημένων οὐκ ἔταξεν ἐν τοῖς κεφαλαίοις, ὅτι γὰρ βίαιος ὁ ὅρος, ὅρῳ ταὐτόν ἐστι, καὶ ἡ διάνοια τῇ προειλημμένῃ διανοίᾳ καὶ ἡ θέσις τῷ ἀντιληπτικῷ· ἡ μετάληψις τῆς προειρημένης μεταλήψεως· εἴπομεν δὲ καὶ ἡμεῖς τὴν αὐτῶν τάξιν· τὸ μὲν πρός τι κοινόν ἐστιν ἀμφοτέρων, τοῦ τε κατηγόρου καὶ τοῦ φεύγοντος, τοῦ μὲν μεῖζον[6] δεικνύντος τὸ εὐεργέτημα τῆς βλάβης ἐπὶ τῆς ἀντιστάσεως· ἐπὶ δὲ τοῦ ἀντεγκλήματος μεῖζον τὸ ἁμάρτημα τῆς τιμωρίας· ἐπὶ δὲ τῆς μεταστάσεως καὶ τῆς συγγνώμης μείζονα τὴν ἀνάγκην τοῦ γεγενημένου τοῦ διώκοντος· τοῦ μὲν μείζονα λέγοντος τὴν βλάβην τῆς εὐεργεσίας ἐπὶ τῆς ἀντιστάσεως· ἐπὶ δὲ τοῦ ἀντεγκλήματος μείζονα τὴν τιμωρίαν τοῦ ἁμαρτήματος[7]· ἐπὶ δὲ τῆς μεταστάσεως καὶ τῆς συγγνώμης μεῖζον[8] τῆς ἀνάγκης τὸ γεγενημένον, καὶ ἁπλῶς πάντα

5 Cod. τίθεται. 6 Cod. μείζονος et super δεικνύντος scribit λέγοντος. 7 Cod. τῆς τιμωρίας. 8 Cod. μείζονα.

τὰ ἐναντία· ὁ βίαιος ὅρος τοῦ κατηγόρου ἐστὶν ὡς ἐπὶ τὸ πολὺ, οὐκ ἐμπίπτει δὲ εἰ μὴ ἐναντιώσει· ὁ γὰρ Μινουκιανὸς ἐν τῇ διαιρέσει ἐν ἀντιστάσει καὶ μόνον ἔταξε βιαζομένου τοῦ κατηγόρου καὶ λέγοντος, μηδὲ ὅλως εὐεργεσίαν εἶναι τοῦτο, ἀλλ᾽ ἀπώλειαν παντελῆ, ἐμπεσεῖται δὲ τῷ φεύγοντι λέγοντι μηδ᾽ ἡντιναοῦν βλάβην εἶναι τοῦτο, ἀλλὰ σωτηρίαν, ἐν δὲ ταῖς ἄλλαις οὐκ ἐμπεσεῖται. ἡ θέσις ἀκόλουθός ἐστι τῷ βιαίῳ ὅρῳ, τοῦ μὲν ἐπαινοῦντος, τοῦ δὲ ψέγοντος· ἐμπεσόντος δὲ βιαίου ὅρου καὶ αὐτὴ ἐμπεσεῖται ἡ μετάληψις τοῦ κατηγόρου· ἔστι δὲ τοῦ λέγοντος, ὅτι ἄλλως ἐχρῆν· ἕπεται οὖν αὐτῇ ἀντίληψις, ἐπὶ μὲν ἀντιστάσεως καὶ ἀντεγκλήματος χώραν ἔχουσα, ἐπὶ δὲ τῶν ἄλλων οὐκέτι, ἀλλ᾽ ὅσον μὴ τὴν φύσιν ἐκπεσεῖν τῆς μεταλήψεως· ἢ ἀνάγκη πάντως ἐμπεσεῖν ἀντίληψιν, ἐνθύμημα μόνον ἔχουσαν. καὶ αὕτη μὲν ἡ τῶν κεφαλαίων διαίρεσις· ἴδωμεν δὲ καὶ κατὰ ῥητὸν τοῦ τεχνικοῦ· „ἐν πάσῃ γὰρ ἀντεγκληματικῇ ἀντίθεσις τοπικὴ γίνεται“. τοῦτο σφόδρα κακῶς, ὅταν γὰρ ἐπὶ πολὺ ἤ τινα τῶν μειζόνων ἀνατίθησιν, οὐ δύναται τοπικὴ γίνεσθαι, οὐδὲ καταδρομὴν ἔχειν, ἀλλ᾽ ὡς κατὰ πόρνου διαιρῶν ζήτημα· εὗρεν τὴν ἀντίθεσιν τοπικὴν ποιῆσαι.

Ἐρεῖ δέ τι καὶ ἀντιστατικόν· καθόλου δεῖ γνῶναι, ὅτι αἱ ἀντιθετικαὶ δι᾽ ἀλλήλων μελετῶνται, καὶ ὅτι τιθεῖσα τὴν ἀντίθεσιν τὴν ὁμώνυμον τῇ στάσει καὶ τῶν ἄλλων ἐνθύμημα τίθησιν· ἐπειράθησαν δέ τινες τῶν ἐπιγραψαμένων τέχνην ῥητορικὴν καὶ εἴδη τινὰ εἰπεῖν, καὶ ὁ μὲν Ἑρμογένης μόνον εἴδη, τὰ δὲ τῶν ἀντιθετικῶν δημόσιον, ἰδιωτικὸν, μικτόν· δημόσιον μὲν, ἐπὶ τοῦ στρατηγοῦ τοῦ κατασκάψαντος τὸ τεῖχος, ἰδιωτικὸν δὲ, ὡς ἐπὶ τοῦ στρατιώτου τοῦ τὸν ἵππον ἀποσφάξαντος, μικτὸν δὲ, ὡς ἐπὶ τοῦ τὸν παῖδα ἐν τῇ πολιορκίᾳ ἀποσφάξαντος, ἀλλὰ ταῦτα μὲν οὐκ εἴδη, οὐδὲ διάφορον ἔχουσι τὴν διαίρεσιν, ἀλλὰ τρόποι, καθὼς καὶ πρότερον

ἐδιδάξαμεν τὴν διαφορὰν τοῦ τε ἰδίου καὶ δημοσίου καὶ μικτοῦ λόγου, ὅπερ ἐν τούτοις χρήσιμον· ἕτεροι δὲ εἴδη ταῦτα λέγουσιν, ἀντίστασιν κατὰ στοχασμὸν λέγοντες καὶ ἐγκαταμεμιγμένον, ὅταν τὴν ἀντιθετικὴν τὴν ὁμώνυμον τῇ στάσει θεὶς ἐπαγάγηται λέγων στοχασμὸν ὡς ἐπὶ τούτου· ὁ πατὴρ τὸν ἕνα τῶν παίδων ἀπεκήρυξε, καὶ τὸν δεύτερον κατὰ τὸν τῶν ἀκρίτων νόμον ἀπέκτεινε· τρίτου γεννηθέντος ἐκτίθεται αὐτὸν καὶ κρίνεται ὑπὸ τῆς γυναικὸς κακώσεως· ἐνταῦθα γὰρ ἡ ἀντιθετικὴ ἀντίθεσις, ὅτι ὠφέλησεν, ἵνα μὴ ὅμοιος τοῖς ἄλλοις γένηται καὶ ἀνιάσῃ· ἀναφύεται οὖν τέλειον ζήτημα στοχαστικὸν, εἰ καὶ τοῦτον εἰκὸς πονηρὸν γενέσθαι ἢ σωφρονισθῆναι τῷ δέει τῆς τῶν φθασάντων τιμωρίας, καὶ μετὰ τὴν στοχαστικὴν ἐξέτασιν πᾶσαν τὰ λοιπὰ κεφάλαια τῆς ἀντιστάσεως· ὥσπερ γὰρ ἐν στοχασμῷ καὶ ἐν ὅρῳ τῷ ἐμπίπτοντι τέλειον μεταξὺ ἀναφύεται ζήτημα στοχαστικὸν, ὃ μετὰ τὰ [9] ἐκ τῆς ἀντιθέσεως ταχθήσεται κεφάλαια· ἐστὶν δικαιότερον εἶδος τῶν ἀντιθετικῶν ἐγκαταμεμιγμένον νομικῇ, ὡς ἐπὶ τοῦ „νόμος νύκτωρ μὴ ἀνοίγειν τὰς πύλας, αἰχμάλωτοι φεύγοντες προσέκρουον τοῖς τείχεσιν, ὁ στρατηγὸς οὐκ ἤνοιξεν, ἐπικαταλαβόντες αὐτοὺς ἀπέκτειναν οἱ πολέμιοι καὶ κρίνεται“. ἐνταῦθα γὰρ ἐπὶ τὸν νόμον αὐτοῦ ἀναφέροντος ἀναφύεται ῥητὸν καὶ διάνοια μεταξὺ, εἴγε ἐπὶ ἑτέροις ἐστὶν ἢ ἐπὶ τούτοις τὸ μὴ ἀνοίγειν τὰς πύλας. μεθ' ἃ πάλιν τὰ ἀντιθετικὰ καὶ ταῦτα μὲν δι' ἀντιθετικῶν καὶ διάφορον διαίρεσιν ἐπιδεχόμενα. ἐπὶ τῆς συγγνώμης ἀπὸ τῆς μεταστάσεως ἐπηγγείλατο ἀκριβεστέραν ἐν τῇ διαιρέσει διαφορὰν εἰπεῖν, ἣν ἐνταῦθα τίθησι μὴ καταδεχόμενος αὐτὴν εἶναι ἀληθῆ, ἀλλὰ τῷ αὐτῷ ἀκολουθῶν ἁμαρτήματι.

---

9 τὰ et praecedens ὃ Cod. non habet.

### Περὶ πραγματικῆς.

Ζητοῦσί τινες, τί δήποτε ἐν μὲν τῇ μεθόδῳ τῶν στάσεων πρώτην ἔταξε τὴν πραγματικὴν, ἐν δὲ τῇ διαιρέσει μετὰ τὰς δικαιολογικὰς, καὶ ἔστιν ἄξιον αἰτίας τὸ ζητούμενον· ἐροῦμεν, ὅτι ἐκεῖ μὲν κατὰ τὴν ἀκολουθίαν τῆς διδασκαλίας ἐχρήσατο κατὰ τὴν ἀνάγκην τῆς τέχνης· ἐπειδὴ γὰρ τὴν ποιότητα εἰς δύο ἔτεμεν, τό τε μέλλον καὶ τὸ παρεληλυθὸς, καὶ τὸ μὲν μέλλον ἄτμητον εἶναι λέγει, ὅ ἐστι τῆς πραγματικῆς, τὸ δὲ παρεληλυθὸς εἰς πλείονα τέμνεται, ἀναγκαῖον ἦν τὸ ἄτμητον καὶ μονοειδὲς προτάξαι τῶν τεμνομένων καὶ ἀκολουθίαν ἐχόντων, ἐν δὲ τῇ διαιρέσει δεύτερα τετάχθαι, ὅτι αἱ πέντε, ἥ τε ἀντίληψις καὶ αἱ τέσσαρες ἀντιθετικαὶ, τὰ αὐτὰ κεφάλαια ἔχουσι τῷ ὅρῳ μόνῳ ἐναλλαγῆς τινος γενομένης. διαλαβόντι οὖν αὐτῷ περὶ ὅρου ἀναγκαῖον πάσας τὰς στάσεις εἰπεῖν, τὰς τὰ αὐτὰ κεφάλαια ἐχούσας, ἡ γὰρ πραγματικὴ διάφορα πάντῃ κεφάλαια παρ' αὐτὰς ἔχει· ἢ ὅτι αἱ πέντε ὥσπερ ἑνὸς γένους στάσεων εἰσὶ τῆς δικαιολογίας, πρῶτον πληρωθῆναι[1]· πάντων δὲ ὁμοῦ αὕτη ἡ ἐξήγησις· καὶ ἀληθὴς ἑτέρα· ἐπειδὴ ἕκαστον τῶν τῆς πραγματικῆς κεφαλαίων κατά τινα στάσιν μελετᾶται, ὡς ἑξῆς ἐροῦμεν, οἷον τὸ δίκαιον κατὰ τὰς δικαιολογικὰς, τὸ νόμιμον κατὰ τὰς νομικὰς, ἀναγκαῖον ἦν προδιδαχθῆναι ταῦτα στάσει, ὧν ἡ χρεία ἤμελλεν εἶναι ἐν τῇ διαιρέσει τῆς πραγματικῆς· ἑτέρα δὲ ἐξήγησις, καὶ αὕτη ὁμοίως ἀληθής· ἐπειδὴ μόνη ἡ πραγματικὴ τῶν δύο γενῶν μετέχει, καὶ τῶν νομικῶν καὶ τῶν λογικῶν, ἡ μὲν γάρ ἐστιν ἔγγραφος, ὅπερ ἐστὶ τῶν νομικῶν, ἡ δὲ ἄγραφος, ὅπερ ἐστὶ τῶν λογικῶν, καὶ ἐν τούτοις δὲ τοῖς κεφαλαίοις ἡ κοινωνία τούτων εὑρίσκεται τῶν στάσεων, διὰ τοῦτο μέση τέτακται μετὰ τὰς

1 In mentem venit scribere: κληρωθῆναι i. e. τετάχθαι, sed infra cap. περὶ μεταλήψεως· „τῆς χρείας πληρωθείσης".

λογικάς καὶ πρὸ τῶν νομικῶν ὡς ἀμφοτέρων μετέχουσα· καὶ ἡ μὲν αἰτία τῆς τάξεως αὕτη τῆς πραγματικῆς. Τὰ μὲν εἴδη κατὰ τὸν τεχνικὸν καὶ τὸν Μινουκιανὸν δύο· ἔγγραφος καὶ ἄγραφος, κατὰ δὲ ἑτέρους τινὰς ἐστὶ καὶ τρίτον εἶδος, ὃ καλοῦσιν ἔμμεσον, τὸ μεταξὺ ἐγγράφου, καὶ ἔστιν ἔγγραφος μὲν συμβουλὴ καὶ ἡ κατὰ αἴτησιν καὶ ἡ κατὰ ἀμφισβήτησιν· τῆς δὲ ἐγγράφου ἡ τῶν παρανόμων γραφή· τῆς δὲ ἐμμέσου εἴδη ἐστὶν ἑπτὰ, ἅτινα ἰδέαν μὲν καὶ τάξιν ἔχει συμβουλευτικὴν, περὶ ῥητῶν δὲ διαλαμβάνει, διὸ καὶ ἔμμεσα καλεῖται, ἐπειδὴ ἀμφοτέρων μετέχει. καὶ ἔστιν ἓν μὲν κατ' εἰσαγωγὴν ῥητοῦ, ὡς ἐπὶ τοῦ, „τοὺς φυγάδας τῶν Ὀλυνθίων ὑπεδέξαντο Ἀθηναῖοι, ἐστράτευε Φίλιππος, καὶ μετὰ ταῦτα τοὺς Φωκέων· καὶ αὖθις ἐπεστράτευσε, καὶ γράφει τις νόμον μηδένα δέχεσθαι“. ἤγουν γράφει Αἰσχίνης νόμον, μηδενὶ βοηθεῖν, ὃς ἂν μὴ πρότερον βεβοηθηκὼς ᾖ. ἐνταῦθα γὰρ οὔτε κατηγορία ἐστὶν ῥητοῦ, οὔτε ἀπολογία, ἀλλὰ συμβουλὴ τοῦ δέξασθαι ῥητόν· κατὰ ἐναντίωσιν ῥητοῦ μὴ λυομένου ὡς ἐπὶ τούτου· νόμος ἐν τρισὶν ἡμέραις περὶ πολέμου βουλεύεσθαι· τοῦ περὶ Χαιρώνειαν πολέμου γενομένου γράφει Δημοσθένης τὰ θεωρικὰ εἶναι στρατιωτικά· ἐνταῦθα γὰρ αἵρεσίς ἐστι τοῦ ῥητοῦ· μετὰ τὴν ἐν Μαραθῶνι μάχην γράφει τις ἐν Λακεδαίμονι λύεσθαι τὸν τῆς πανσελήνου νόμον. ἢ κατὰ προςθήκην ῥητοῦ· νόμος τὸν στρατηγὸν νόμον εἰσφέρειν, τοῦ πλουσίου στρατηγοῦντος ὁ παῖς τοῦ πένητος ἔλιπε τὴν τάξιν, καὶ γράφει ὁ στρατηγὸς νόμον, τοὺς λιπόντας τὴν τάξιν διαφέρεσθαι· μετὰ ταῦτα τοῦ πένητος στρατηγοῦντος συνέβη τὸν τοῦ πλουσίου παῖδα τὴν τάξιν καταλιπεῖν, καὶ προςτίθησιν ὁ πένης τῷ νόμῳ, τὸν λειποτάκτην ὑπὸ τοῦ ἀριστέως κολάζεσθαι· ἐνταῦθα γὰρ προςθήκη ἐστὶ κατὰ ἀφαίρεσιν ῥητοῦ, νόμου ὄντος ἐξεῖναι τοῖς πατράσιν ἀποκηρύττειν τοὺς παῖδας, ἢ ἀκρίτους ἀποκτιννύναι· πολλῶν ἀκρίτους

ἀποκτεινόντων γράφει τις νόμον ἀποκηρύττειν μόνον ἐξεῖναι· ἢ ὅταν γράφῃ τις μετ' αἰτίας, ὡς ἐπὶ τούτου· τῶν ἀνδρῶν ἡττωμένων ἐξῆλθον αἱ γυναῖκες καὶ ἐνίκησαν, καὶ γράφει τις γυναῖκας στρατεύεσθαι· ἐνταῦθα γὰρ τὸ συμβῆναι αὐτὰς νικῆσαι πεποίηκε γραφῆναι· ἐπὶ ἕβδομόν ἐστιν ἡ τῶν ψηφισμάτων, ὅταν ἐπὶ δωρεᾷ τινι γράφωμεν καὶ ἀντιλέγῃ τις αὐτῷ οὐ κατηγορῶν τοῦ γράψαντος, καὶ αὗται αἱ ἔμμεσοι. Ἐξέλιπε δὲ τὰ ἔμμεσα πάντα, καὶ ἡ κατὰ ἀμφισβήτησιν καὶ ἡ κατὰ παρανόμων γραφή· δεῖ οὖν τὸν ὅρον οὕτω ποιεῖν, ὅτι πραγματική ἐστι πολιτικοῦ μέλλοντος πράγματος ζήτησις, εἰ δεῖ γενέσθαι τόδε τι, ἢ δοθῆναι τόδε τι ἢ ἕτερόν τι, ἢ κυρωθῆναι τόδε τι τὸ γραφὲν ἔννομον καὶ συμφέρον τῷ μέλλοντι. καὶ ταῦτα μὲν εἴδη τῆς πραγματικῆς, τὰ δὲ κεφάλαια ταῦτα.

Ἡ πραγματικὴ διαιρεῖται νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ, ἐνδόξῳ, ἐκβησομένῳ· περὶ τῆς τάξεως τῶν τῆς πραγματικῆς κεφαλαίων ἀναγκαῖον διελθεῖν. εἰς δύο χρόνους διῃρημένων τῶν ζητημάτων, εἴς τε τὸν παρεληλυθότα καὶ μέλλοντα, καὶ τῆς πραγματικῆς μέσης ἀμφοτέρων τεταγμένης, καὶ φύσει μὲν εἰς τὸ μέλλον ἐχούσης τὸν σκοπὸν, οὐ μὴν οὐδὲ τοῦ παρελθόντος ἐκτὸς οὔσης, τὰ κεφάλαια αὐτῆς ἀμφοτέρων μετέχει τῶν χρόνων· τὸ μὲν οὖν νόμιμον καὶ δίκαιον τοῦ παρελθόντος ἐστὶν, οὔτε γὰρ νόμοι ἔφθασαν τεθεῖσθαι, καὶ τὸ δίκαιον ἐκ τῶν φθασασῶν κοινῶν ἐννοιῶν δοκιμάζεται· εἰκότως οὖν τὰ δύο ταῦτα προτεταγμένα εἰσὶν κεφάλαια, τὸ νόμιμον, τὸ δίκαιον. Ζητήσειε δ' ἄν τις καὶ περὶ τῆς αὐτῶν τάξεως, τί δήποτε τὸ νόμιμον προτέτακται τοῦ δικαίου· ἐροῦμεν οὖν, ὅτι αἱ ἄτεχνοι πίστεις πανταχοῦ ἰσχυρότεραί εἰσιν τῶν ἐντέχνων, καὶ ἐν ὅρῳ καὶ πανταχοῦ τοῦτό δέδεικται· εἰκότως οὖν ἰσχυρότερόν ἐστι τὸ ἀπὸ ῥητοῦ καὶ ἐγγράφου τινὸς ἰσχυρίσασθαι, ἢ ἐν

νοίᾳ χρήσασθαι ἀντίῤῥησιν ἐχούσῃ· τὸ γὰρ δίκαιον ἐξ ἐννοιῶν ἐστι καὶ ἐνδόξων πίστεων· αἱ δὲ ἔνδοξοι[2] πίστεις οὐ πανταχοῦ αἱ αὐταί εἰσιν· αὐτίκα γοῦν τὸ ἐσθίειν τοὺς γονεῖς τισιν ἀγαθόν ἐστιν, ἑτέροις τὸ κάειν, Ἀθηναίοις δὲ καὶ μὴ τρέφειν ἢ χειραγωγεῖν ἔγκλημα ἐδόκει· εἰκότως οὖν δέδεικται, ὡς αἱ ἔνδοξοι πίστεις ἀμφισβήτησιν ἔχουσιν. τὸ δὲ δίκαιον ἐξ ἐνδόξων κατασκευάζεται πίστεων, ἀσθενέστερον ἄρα ἐστὶ τῶν ἀτέχνων πίστεων· αἱ γὰρ ἄτεχνοι πίστεις ῥητοῖς καὶ ὡρισμένοις τισὶ τὴν πίστιν ἔχουσιν· εἰκότως οὖν προτέτακται τὸ νόμιμον τοῦ δικαίου· τὸ ἰσχυρότερον δὲ ἀναντίῤῥητον· δεύτερον δέ ἐστιν ἄγραφον τὸ δίκαιον· τοῦτο μὲν, ὡς ἔφημεν, διὰ τὸ προειληφέναι, καὶ τοῦ παρεληλυθότος εἶναι χρόνου· ἔπειτα δὲ καὶ διότι τὸ δίκαιον ἑπόμενόν ἐστι τῷ νομίμῳ· τὸ γὰρ ἄγραφον δίκαιον ῥητοῦ ἀπορῆσαν νόμιμον γίνεται· φύσει μὲν γὰρ προϋπάρχει, δυνάμει δὲ δεύτερόν ἐστιν. ἀκόλουθα ἀλλήλων τέτακται, καί τινες ἐζήτησαν, τί δήποτε μὴ τὸ δίκαιον ὡς φύσει προϋπάρχον τέτακται, καὶ προςτεθέκασι τοιοῦτόν τινα λόγον, ὡς δεῖ ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα προσιέναι, καὶ κατὰ μικρὸν ἄγειν πρὸς πίστιν τὸν ἀκροατήν· ἐχρῆν οὖν πρῶτον τὸ δίκαιον τάττεσθαι. ἐροῦμεν, ὅτι Δημοσθένης[3] οὐκ ἠνέσχετο τοῦτο ποιῆσαι, καὶ κανόνα τοῦτον τῇ τέχνῃ δέδωκεν, τὰ ἰσχυρὰ προτείνειν· ἐν γοῦν τῷ ὑπὲρ τοῦ στεφάνου ἀσθενῶν περὶ τὸν νόμον καὶ ἰσχύων περὶ τὸ δίκαιον καὶ προοίμιον ἠναγκάσθη κατασκευάσαι, ἴδιόν τε λαβεῖν παρὰ τοῦ δικαστοῦ τὸ τοῖς ἰσχυροῖς πρώτοις χρήσασθαι, ἵνα μὴ ἐξ ἀρχῆς καταγνωσθεὶς δυσχερῆ τὴν ἐπαγομένην πίστιν ἕξει· εἰκότως οὖν τὸ νόμιμον προτέτακται, καὶ ἕπεται τὸ δίκαιον.

Συμφέροντι, δυνατῷ. Τὸ συμφέρον καὶ τὸ

---

2 Cfr. Ald. p. 715. l. 3. 3 Cfr. Ald. p. 714. l. 23.

δυνατὸν, ὡς προειρήκαμεν, ἐπὶ τοῦ μέλλοντος, καὶ πῶς τοῦ παρεληλυθότος ἐξετάσεως προτεθείσης[3*] εἰκότως ἡ τοῦ μέλλοντος ἐπῆκται; καὶ ζητοῦσί τινες, τί δήποτε τὸ συμφέρον τοῦ δυνατοῦ προτέτακται· καὶ ἐροῦμεν, ὅτι ἕως ἂν ἀδύνατα[4] ᾖ τὰ πράγματα, περιττὴ καὶ ἡ τοῦ συμφέροντος βουλὴ, καὶ παραφέρουσιν τὸ ἀδύνατον ἀσύστατον ζήτημα, ὅτι διὰ τὸ μὴ δύνασθαι ἐξετασθῆναι τὸ δυνατὸν ἀσύστατον ἐποίησε· τί οὖν δήποτε, φασὶ, προτέτακται; ἐροῦμεν, ὅτι τὸ συμφέρον καὶ φύσει πρῶτον καὶ ἐμπεριείληφεν ἐν αὐτῷ τὸ ἀδύνατον· ὁ γὰρ τὰ ἀδύνατα κατασκευάζων τὰ ἀσύμφορα κατασκευάζει. ὡσανεὶ μὲν κατασκευάζοιμεν Μαρωνείτας[5] ἄρξαι τῆς Ἑλλάδος, ἀσύμφορα αὐτοῖς κατασκευάσομεν, καὶ εἰ κατασκευάσομεν συμφέρειν[6] τῷ πένητι τριηραρχεῖν, κατὰ τὸ ἀδύνατον ἀσύμφορόν ἐστιν· ἀνάγκη οὖν[7] πάντως καὶ φύσει τῷ συμφέροντι τὸ δυνατὸν ἐμπεριέχεσθαι. οὐ μὴν τῷ δυνατῷ[8] τὸ συμφέρον· οὐ γὰρ εἰ δυνάμεθα τόνδε τινὰ ἀποκτεῖναι, καὶ συμφέρον ἐστίν, οὐδὲ εἰ συλῆσαι τὰ ὅσια ῥάδιον,[9] ἄγε λίαν ἀφύλακτα ὄντα, τοῦτο συμφέρει· φυσικῶς οὖν καὶ ἀναγκαίως τῷ συμφέροντι τὸ δυνατὸν ἐμπεριέχεται· εἰκότως οὖν τὸ περιέχον τοῦ περιεχομένου προτέτακται. καὶ εἴ τις ἐρεῖ, ὡς ἄχρηστόν ἐστι τὸ συμφέρον ἐξετάζειν ἀπόντος τοῦ καλοῦ, ἐροῦμεν, ὡς καὶ κατὰ τὸν τῆς φιλοσοφίας λόγον ἀεὶ τὸ συμφέρον ἐξετάζεται, κἂν ἀπῇ τὸ δυνατόν· δεῖ γὰρ βουλεύεσθαι τὰ χρηστὰ, καὶ εἰ μὴ δυνάμεθα. καὶ ἔτι βουλήσεως μέν εἰσι δίκαια καὶ ζητήματα ὑπὲρ τούτου καὶ τοῦ δυνατοῦ ἀπόντος, καὶ πολλοὶ πολλάκις ὑπὲρ αὐτοῦ

---

3* Cod. προστιθείσης. 4 Cod. ἀδύνατον, cfr. Ald. p. 715. l. 16. 5 Cod. Μαρωνίτας, omisso anteced. κατασκευάζοιμεν, quod inserui ex Ald. p. 715. l. 23. 6 Cod. ἀσύμφορον εἶναι, praecedd. καὶ εἰ κατασκευάσομεν omissis. 7 οὖν ex Ald. l. 26. inserui. 8 Cod. ἀδυνάτῳ. 9 Cod. τὰ ὅσα ψάδια.

τοῦ βούλεσθαι καὶ ζητεῖν ὁμολογουμένης αὐτοῖς τῆς ἀσθενείας τοῦ δυνατοῦ κρίσιν ὑπέμειναν. οὐδεὶς δὲ πώποτε οὔτε ἐν τοῖς ζητήμασιν, οὔτε ἐν τοῖς κοινοῖς πράγμασιν ὑπὲρ τοῦ δύνασθαι μόνον ἀπούσης βουλήσεως ἔγκλημα ἔσχε· τούτῳ γὰρ τῷ λόγῳ ὁ πλοῦτος καὶ ἰσχὺς καὶ τὰ ὅπλα ἤμελλεν ὑπεύθυνα εἶναι, ἀλλ' οὐχ ὑπεύθυνά εἰσιν· ἤδη δὲ ἀσθενής τις ὑπὲρ τῆς βουλήσεως ὁμολογουμένως δίκην δέδωκε· δέδεικται ἐκ πάντων τὸ δυνατὸν τοῦ συμφέροντος ἀσθενέστερον· εἰκότως οὖν προτέτακται τὸ συμφέρον καὶ ἕπεται τὸ δυνατόν· τὸ ἔνδοξον καὶ τὸ ἐκβησόμενον μέρη τοῦ συμφέροντός εἰσιν· οὐδὲ γὰρ κατ' αὐτὰ τὰ κεφάλαιά εἰσι· τότε γὰρ, εἰ δόξαν οἴσει τόδε τι, εἰ μὴ τοῦ συμφέροντός ἐστι τὸ ἐκβησόμενον, καὶ ὅταν λέγωμεν, „πονηρὸν ἐκβήσεται ἢ ἀγαθὸν," τοῦ συμφέροντός ἐστι. Δεδίδακται οὖν ἡ τοῦ συμφέροντος δύναμις, ὡς οὐ μόνον προτάττεσθαι ἦν ἀξία, ἀλλ' ἤδη καὶ ἑτέρων δύο κεφαλαίων δοκούντων ἤρκεσε ποιῆσαι τὴν γένεσιν. ὡμολόγηται οὖν τὰ δύο κεφάλαια ταῦτα μέρη τοῦ συμφέροντος ὄντα. τί δὲ δήποτε τὸ ἔνδοξον τοῦ ἐκβησομένου προτέτακται; ἐροῦμεν, ὅτι ὃν τρόπον εἰρήκαμεν, ὡς τὸ συμφέρον ἐν ἑαυτῷ κατὰ φύσιν ἔχει τὸ δυνατὸν, τούτῳ τῷ λόγῳ καὶ τὸ ἔνδοξον τὸ ἐκβησόμενον· εἰ γὰρ λέγοιμεν, ὅτι ἐκβήσεται τόδε τι, οἷον ἄδοξον ἢ ἔνδοξον, διελεῖν δεῖ [10] τὸ ἔνδοξον καὶ τὸ ἐκβησόμενον κατασκευάζει ἐν μέρει τινὶ καὶ τὸ ἔνδοξον· εἰκότως οὖν τὸ ἔνδοξον πρῶτον τέτακται· ἐροῦσι [11] δέ τινες ἐναντιούμενοι, ὅτι τὸ μὲν ἔνδοξον μονοειδές ἐστιν, τὸ δὲ ἐκβησόμενον πολυειδὲς, καὶ γὰρ ἐν ἑαυτῷ καὶ τὸ συμφέρον καὶ τὸ κινδυνῶδες καὶ τὰ ἄλλα δοκοῦντα εἶναι κεφάλαια κατασκευάζεται· τὸ δὲ ἔνδοξον μόνον ἐστίν· ὤφειλεν οὖν, φησὶ, τὸ ἐκβησόμενον πρῶ-

---

10 δεῖ Cod. om. 11 Cfr. Ald. p. 716. l. 16.

τον κατασκευάζεσθαι· ἐροῦμεν, ὅτι ἡ τοῦ συμφέροντος ἔννοιά τὴν δόξαν ἔχει, καὶ ἐπειδὴ τὰ ζητήματα βούλεται ἀκόλουθον ἔχειν τὸν σκοπόν· προτείνεται δὲ ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ζητήμασι τὰ τῶν ἀρχαίων πρόσωπα, οἷον τὸ Δημοσθένους φημὶ ἢ Περικλέους ἢ Ἀθηναίων, ἢ Λακεδαιμονίων, οἷς ἐπιμελὲς παρειλήφαμεν ἐκ τῶν ἀρχαίων τὸ δόξης μᾶλλον ἢ τῶν ἄλλων φροντίζειν, εἰκότως τὸ ἔνδοξον προτέτακται[12] τοῦ ἐκβησομένου· εἰ γὰρ εὑρίσκομεν αὐτοὺς πολλάκις διὰ δόξαν τοῦ ἐκβησομένου καταφρονήσαντας, ὥσπερ τοὺς ἐν Πύλαις τριακοσίους καὶ τοὺς ἄλλους, οὓς ἐξὸν ἐν ἀδοξίαις σώζεσθαι τοῦ ἐκβησομένου κατεφρόνησαν, καὶ πρὸς τὴν δόξαν εἶδον· ἐπειδὴ οὖν τὰ πολλὰ τῶν ζητημάτων καὶ ἡ πᾶσα τέχνη ἐξ ἐκείνων ὥρμηται, καὶ εἰς ἐκείνους ἔχει τὴν ἐργασίαν, οἷς ἡ δόξα περὶ πλείονος τῶν ἄλλων, εἰκότως τὸ ἔνδοξον τοῦ ἐκβησομένου προτέτακται. Ἕπεται[13] δὲ τῷ ἐκβησομένῳ καὶ τὸ ἀναγκαῖον κεφάλαιον, ὃ ὁ τεχνικὸς μὲν οὐ τίθησι, παρὰ δὲ τῷ Δημοσθένει καὶ τοῖς πολλοῖς τῶν ἀρχαίων μεμελέτηται· καὶ ἡ μὲν τάξις τῶν κεφαλαίων αὕτη. Ἐστὶ[14] δὲ πραγματικὴ ἁπλῆ καὶ διπλῆ καὶ τριπλῆ· καὶ ἁπλῆ μέν, οἷον συμβουλεύει τις βοηθεῖν Ὀλυνθίοις. ἓν γὰρ πρᾶγμα συμβουλεύει· διπλῆ δὲ ὡς ἐπὶ τούτου· πολιορκουμένων Πλαταιέων καὶ Μιτυλήνης[15] ἀφεστηκυίας γράφει τις, Πλαταιεῦσι βοηθεῖν, ἀμελήσαντας Μιτυλήνης, καὶ ἕτερος ἀντιλέγει· ἐνταῦθα γὰρ ὁ μὲν ἀντιλέγων ἀναγκαιότερον κατασκευάζει τὸ Μιτυλήνην λαβεῖν τοῦ Πλάταιαν σῶσαι· ὁ δὲ συμβουλεύων τὸ[16] Πλάταιαν λαβεῖν τοῦ Μιτυλήνην ἀναγκαιότερον, καὶ δεῖ πάντα διπλᾶ εἶναι τὰ κεφάλαια ἐξεταζόμενα ἀφ᾽ ἑκατέρου μέρους· τριπλῆ δέ, ὡς ἐπὶ τούτου· μετὰ τὸν ἐν Λεύκτροις πόλε-

12 Cod. τέτακται. 13 Cfr. Ald. p. 717. l. 1. 14 Cfr. Ald. p. 765. l. 18. 15 Cod. constanter Μιτυλίνης. 16 Cod. τοῦ.

μου Λακεδαιμόνιοι καὶ Θηβαῖοι πρεσβεύοντες πρὸς Ἀθηναίους ἀξιοῦντες βοηθείας τυχεῖν, καὶ συμβουλεύει Χαβρίας μὲν Θηβαίοις βοηθεῖν, Κόνων δὲ Λακεδαιμονίοις, Ἰφικράτης δὲ οὐδετέροις· ἐνταῦθα γὰρ τριπλᾶ ἐστι πάντα· δεῖ γὰρ τὸν Λακεδαιμονίοις συμβουλεύοντα βοηθεῖν ἀνατρέψαι τό τε μηδετέροις βοηθεῖν τό τε ἑαυτοῦ κατασκευάσαι καὶ ἀνατρέψαι τὸ Λακεδαιμονίοις καὶ τὸ μηδ᾽ ἑτέροις· καὶ ὁ μηδ᾽ ἑτέροις κελεύων βοηθεῖν τὴν ἰδίαν κατασκευάζων πρότασιν τὰς ἑκατέρων ἀναιρεῖ, καὶ τούτου παράδειγμα [17] ὁ πέμπτος τῶν Λευκτρικῶν Ἀριστείδου, ὁ μηδ᾽ ἑτέροις κελεύων βοηθεῖν· καὶ περὶ μὲν πραγματικῆς ταῦτα· ἴδωμεν δὲ καὶ κατὰ ῥητόν.

Ἔγγραφος μὲν ἡ ἀπὸ ῥητοῦ τὸ ζητούμενον ἔχουσα. φθάσαντες προειρήκαμεν, ὡς τὰ ἔμμεσα εἴδη τῆς πραγματικῆς ὁ τεχνικὸς ἀγνοεῖ καὶ νομίζει, ὅτι δύο μόνα ἐστὶ τὰ γένη καὶ εἴδη, ἥ τε ἔγγραφος, ἥ τε ἄγραφος, ἀγνοῶν ὡς καὶ ἐν αὐτῷ τῷ ῥητῷ αὐτὸς ὁμολογεῖ, ὡς τὰ ἔμμεσα καθόλου ἐστὶν ἔγγραφα· λέγων γὰρ ἡ ἀπὸ ῥητοῦ τὸ ζήτημα ἔχουσα σημαίνει τὰς ἐγγράφους μόνας· αἱ γὰρ ἔμμεσοι οὐ μόνον ἀπὸ ῥητοῦ τὸ ζήτημα ἔχουσιν· ὅταν γὰρ ὁ αὐτός φησιν νόμος, „ἐν τρισὶν ἡμέραις περὶ πολέμου βουλεύεσθαι, Φιλίππου Ἐλάτειαν κατειληφότος συμβουλεύει Δημοσθένης, αὐθημερὸν ἐξιέναι,“ ἐνταῦθα οὐχ ἡ ζήτησίς ἐστι περὶ τὸ ῥητόν, οὐδὲ γὰρ ζητοῦσιν, εἰ δεῖ κυρωθῆναι, τὸ δὲ ῥητὸν οὐδὲ εἰ παραβέβασται· τὸ δὲ ῥητόν, αἵπερ εἰσὶ ζητήσεις περὶ τὸ ῥητόν, ἀλλὰ περὶ τὸ πρᾶγμά ἐστιν ἡ ζήτησις ὁμολογουμένως τοῦ παραβαινομένου, εἰ δεῖ διὰ τὴν ἀνάγκην ἐν μιᾷ ἡμέρᾳ βουλεύεσθαι.

Οἷον ἀξιοῖ Κλέων μετὰ τὰ ἐν Πύλῳ Πύθιος καλεῖσθαι· τῆς ἀγράφου εἴδη ἐστὶν ἕξ. τὸ συμ-

17 Cod. παραδείγματα. Cfr. Ald. p. 766. et 764. l. 15.

βουλευτικόν, τὸ κατὰ αἴτησιν, τὸ κατὰ ἀμφισβήτησιν, εἰσαγγελία, ἀποκήρυξις, δοκιμασία· εἰδέναι δὲ δεῖ, ὅτι ἡ ἀποκήρυξις οὐ πάντως πραγματικὴν ποιεῖ, ἀλλ' ἐνίοτε καὶ ἑτέρας στάσεως, ἐνίοτε καὶ πραγματικῆς· διὸ καὶ πέντε οἱ τῶν τεχνικῶν αὐτὰ λέγουσι μὴ ἀνεχόμενοι τὴν ἀποκήρυξιν ἐντάττειν ἐν τῷ εἴδει διὰ τὸ καὶ ὑφ' ἑτέρας ἀνάγεσθαι στάσεις. Τὰ γὰρ ἕτερα τὰ προειρημένα οὐδέποτε εἰς ἑτέρας στάσεις ἐμπίπτει· τὸ τοίνυν νόμιμον ἐν μὲν τῇ ἐγγράφῳ μιᾷ τῶν νομικῶν ἐμπίπτει στάσεων, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος, καὶ κατὰ ἀντινομίαν ἡ πρώτη ἀντίθεσις ἐνέπεσεν, καὶ ἡ λύσις κατὰ ῥητὸν καὶ διάνοιαν, καὶ ἡ ἑτέρα κατὰ συλλογισμόν· οὐκ ἀναγκαῖον οὖν οὔτε πάσας εὑρίσκεσθαι, οὔτε μιᾷ μόνῃ χρήσασθαι, ἀλλ' ὡς ἂν ἡ εὐπορία τοῦ ῥήτορος καὶ ἡ φύσις τοῦ πράγματος συμβῇ· ἐν δὲ τῇ ἀγράφῳ τὸ ἔθος ὡς νόμιμον ἐξετασθήσεται κακῶς· οὐ γὰρ μόνον ἐν τῇ ἀγράφῳ τὸ ἔθος νόμιμον ἐξετασθήσεται, ἀλλὰ καὶ ἐν τῇ ἐγγράφῳ νόμος πολλάκις ἀναγινώσκεται· εἴη δ' ἂν καὶ ἐν τῇ ἐγγράφῳ τὸ ἔθος ἀντὶ νόμου παραλαμβανόμενον, οἷον συμβουλεύει τις τῆς Δεκελείας τειχιζομένης κατάγειν Ἀλκιβιάδην· ἐνταῦθα γὰρ πάντας τοὺς περὶ τῶν φυγάδων νόμους ἔχει ἀναγνῶναι ἀντιτιθείς· ἄγραφος μέν ἐστιν ἡ πραγματική, χρήσαιο δ' ἂν καὶ ἐγγράφοις, καὶ πάλιν ἐν τῷ ἀγράφῳ ὁ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος· [18] „φήσει τοίνυν τοῦτον τὸν τρόπον ἁπάσας εἰληφέναι τὰς βουλάς," ὁμολογουμένως ἐπὶ τὸ ἔθος ἀντὶ τοῦ νόμου κατέφυγεν.

Ὡς ἂν ἐγχωρῇ τοῖς κεφαλαίοις. τοῦτο κακῶς· οὐδέποτε γὰρ εἰς ἑτέρας στάσεως κεφάλαιον ἐκπεσοῦσα τὰ ἑαυτῆς ἔτι φυλάττει κεφάλαια, ἀλλὰ τὸν σκοπὸν μόνον καὶ τὰ ἐνθυμήματα· κεφαλαίοις δὲ οὐ χρῆται, οὔτε ἐν στοχασμῷ ἢ ἐν ὅρῳ, ὅταν λέγῃ. „ἀντιλήψει ἢ μιᾷ τῶν

18 p. 595. cfr. Ald. p. 724. Cod. φησίν.

ἀντιθετικῶν,“ οὐ τὰ κεφάλαια τίθησιν, ἀλλὰ τὸν σκοπὸν μόνον τῆς στάσεως, οἷον ὅτι ἔξεστί μοι, ἢ ὅτι ἄξιον εἴη τὸν τοιοῦτον· ἐνταῦθα οὖν κακῶς φησι „τοῖς κεφαλαίοις,“ οὐδὲ γὰρ τοῖς κεφαλαίοις, ἀλλὰ τῷ σκοπῷ μόνον τῆς στάσεως διαιρεθήσεται.

Τὸ συμφέρον διττόν ἐστιν; ὅτι χρήσιμον καὶ ὅτι ἀναγκαῖον. διαφέρει τὸ ἀναγκαῖον τοῦ συμφέροντος τούτῳ, ὅτι τὸ μὲν ἀναγκαῖον πάντως συμφέρον, τὸ δὲ συμφέρον οὐ πάντως ἀναγκαῖον, ὥστε τὸ συμφέρον ἐπαναβεβηκὸς ἂν εἴη· καὶ ταύτην ἔχει τὴν διαφορὰν ἐπίτασιν ἔχον τινά· διὸ πρῶτον τὸ συμφέρον κατασκευάζεται, καὶ οὕτως εἰ ἐγχωροίη τὸ ἀναγκαῖον· εἰδέναι δὲ χρὴ, ὅτι τὸ συμφέρον στοχαστικῶς ἐξετάζεται παρατιθέντων ἡμῶν κατασκευὰς τὰς εἰς τὸ μέλλον συμβαινούσας.

Τὸ δὲ δυνατὸν διαιρήσεις πρῶτον μὲν ἐνστάσει χρώμενος, ὡς χαλεπὸν, ἀλλ᾽ ἀναγκαῖον. Κακῶς σφόδρα, οὐδέποτε γὰρ κεφάλαιον ἐν ἑτέρῳ κεφαλαίῳ ἐξετασθήσεται. εἰ οὖν αὐτὸς κεφάλαιον τίθησι τὸ ἀναγκαῖον, πῶς ἐν τῷ δυνατῷ αὐτὸ κατασκευάζει; καθολικὴ δὲ κατασκευὴ τοῦ δυνατοῦ· ἐκ τῶν ἐν αὐτοῖς[19] οὖν ἴσμεν, καὶ ἐκ τῆς τῶν ἐναντίων καθαιρέσεως· εἰδέναι δὲ χρὴ, ὡς καὶ ἀπὸ ἑνὸς μόνου κεφαλαίου καὶ δύο, ὡς ἐν Φιλιππικοῖς καὶ συμβουλευτικοῖς μεμαθήκαμεν, καὶ τῷ ὑπὲρ τοῦ στεφάνου· ἐν πᾶσι γὰρ τούτοις ἢ ἓν ἢ δύο κεφάλαιά ἐστι τὰ ἐξεταζόμενα, καὶ τοῦτο εἰδέναι χρὴ, ὡς ἐν πάσῃ στάσει κεφαλαίῳ λύεται, οἷον ἡ μετάθεσις τῆς αἰτίας τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, καὶ ὁ ὅρος ἀνθορισμῷ, ἐν μόνῃ δὲ πραγματικῇ τὸ αὐτὸ κεφάλαιον ἑαυτῷ ἀνατρέπεται; οἷον τὸ δίκαιον τῷ ἐναντίῳ, ὅτι ἄδικον, καὶ τὸ συμφέρον τῷ ἀσυμφόρῳ, καὶ οὐκ ἔστι διελεῖν τὰ μὲν εἰς κατήγορον, τὰ δὲ εἰς ἀπολογούμενον, κοινὰ γὰρ πάντα ἐστὶν ἀμφοτέρων.

19 Cod. ἑαυτοῖς.

## Περὶ μεταλήψεως.

Καὶ περὶ στάσεως τῆς μεταλήψεως διάφορος παρὰ τῶν παλαιῶν ἔκδοσις δέδοται· οἱ μὲν γὰρ αὐτὴν τελευταίαν πασῶν τάττουσιν, ὡς πάσης περιέχουσαν, καὶ ὡς ὑποπιπτουσῶν τῶν ἄλλων ἐν αὐτῇ στάσεων· οὐδέποτε γὰρ παραγραφὴ μόνη μελετᾶται, ἀλλὰ τὸ μὲν νομικὸν ζήτημα κατὰ μίαν τῶν νομικῶν στάσεων· τὸ δὲ δεύτερον, καθ᾽ ἣν ἂν ἐμπέσῃ τῶν λογικῶν, ὡς ἐφεξῆς ἐροῦμεν· οἱ δὲ πρώτην αὐτὴν τάττουσιν διὰ τὴν αὐτὴν φύσιν· εἰ γὰρ τὸ περὶ τοῦ „ὅλως δεῖ εἰσελθεῖν τὸν ἀγῶνα“ ζήτημα πρῶτόν ἐστιν, ἀναγκαίως πρώτη ὀφείλει τάττεσθαι ἡ αὐτὴ τοῦτο ζητοῦσα· ἡ δὲ αἰτία, δι᾽ ἣν ὁ Ἑρμογένης μέσην αὐτὴν ἔταξεν, ἡ αὐτή ἐστι τῇ πραγματικῇ· διὸ καὶ ἀκόλουθοι ἀλλήλων ἐτάγησαν· αἱ γὰρ δύο μόναι στάσεις αὗται καὶ νομικαὶ καὶ λογικαί εἰσιν· ἀμφοτέρων συμμετέχουσαι μέσαι ἐτάγησαν, καὶ ἡ μὲν αἰτία τῆς τάξεως αὕτη.

Ἡ δὲ μετάληψις πάλιν, ἡ μὲν ἔγγραφος, ἡ δὲ ἄγραφος. ἐζήτηται καὶ ἱκανὸν ζήτημα, τί δήποτε ἐν πάσῃ στάσει πρῶτον τὰ κεφάλαια τάξας καὶ διελὼν καὶ δείξας οὕτω τὰ εἴδη μεμήνυκεν· ἐν μόνῃ δὲ τῇ μεταλήψει τὰ εἴδη πρῶτον εἴρηκεν καὶ οὕτως τὰ κεφάλαια· ἐροῦμεν, ὅτι ἐν πάσῃ στάσει τὰ εἴδη τῶν στάσεων τὰ αὐτὰ ἔχει κεφάλαια, ἐν μόνῃ δὲ μεταλήψει διάφορα ἔχει τὰ κεφάλαια· ἥ τε γὰρ πραγματικὴ καὶ ἡ ἔγγραφος καὶ ἡ ἄγραφος τὰ αὐτὰ ἔχει καὶ αἱ λοιπαὶ στάσεις, μόνη δὲ ἡ μετάληψις ἕτερα· εἴη τε ὁμώνυμος μετάληψις καὶ ἡ παραγραφὴ, διὸ ἀναγκαῖον ἦν πρῶτον διελεῖν τὰ εἴδη, ἵνα τὰ ἑκάστης ἴδια κεφάλαια ἀποδῷ· καὶ τοῦτο δὲ ἐζήτηται, τί δήποτε περὶ τῆς παραγραφῆς πρῶτον διαλαμβάνει, καὶ οὐ περὶ τῆς μεταλήψεως, ἣ δὲ τὸ ὄνομα ἔχει τοῦ γένους· λέγομεν, ὅτι εἰ-

ρήκαμεν, ὡς ἐν πάσαις ταῖς στάσεσιν αἱ ἄτεχνοι πίστεις τῶν ἐντέχνων ἰσχυρότεραί εἰσιν· ἐπειδὴ οὖν ἡ μὲν παραγραφὴ ἐξ ἀγράφου διϊσχυρίζεται, ἡ δὲ μετάληψις ἐξ ἐγγράφου, [1] εἰκότως πρώτην ἔταξε καὶ τὸν περὶ αὐτῆς πρῶτον διαλαμβάνει λόγον· ἡ μὲν οὖν παραγραφὴ ἐκβολή ἐστι τελεία τῆς εὐθυδικίας καὶ τὸν ἀγῶνα ἀντιστρέφει· δύο δὲ ἔχει ζητήματα τὰ πάντως μελετώμενα, καὶ τὸ μὲν πρῶτον ζήτημα κατὰ μίαν τῶν νομικῶν πασῶν ἐξετασθήσεται, τὸ δὲ ἕτερον, ὅπερ καὶ ἐπαγόμενόν ἐστιν, ἡ εὐθυδικία, ὅπερ καθ' ἑτέραν τὴν ἐμπίπτουσαν στάσιν μελετηθήσεται· οὐδὲ γὰρ ἀποφήνασθαι κατὰ ποίαν δυνατὸν, ὡς ἡ ὑπὲρ Φορμίωνος [2] παραγραφή· τὸ μὲν οὖν πρῶτον νομικὸν ἔχει ζήτημα, τὸ δεύτερον στοχαστικὸν, πότερον εἶχεν ἐνθήκην τὰ εἴκοσι τάλαντα ὁ Πασίων ἢ οὔ, καὶ ἡ πρὸς Πανταίνετον παραγραφὴ τὸ μὲν πρῶτον ἔχει ζήτημα νομικὸν, τὸ δὲ δεύτερον μεταστατικὸν, τοῦ Μνησιβούλου ἐπὶ Εὐέργου ἀνάγοντος τὰ γεγενημένα· καὶ ὡς ἐπὶ τούτου· νόμος μὴ εἶναι κατὰ πατρὸς γραφὰς πλὴν παρανοίας· ἔθετο τὸν τοῦ πένητος παῖδα ὁ πλούσιος, καὶ εὕρηται δολοφονηθεὶς ὁ πένης, κατηγορεῖ τοῦ πλουσίου ὁ παῖς φόνου, ὁ δὲ παραγράφεται κατὰ τὸν νόμον τὸν κελεύοντα μὴ εἶναι δίκας κατὰ πατρός· ἐνταῦθα τὸ μὲν ζήτημά ἐστι κατὰ ῥητὸν καὶ διάνοιαν, ποῖον παῖδα λέγει τὸν θετὸν, ἢ τὸν φυσικόν· τὸ δὲ ἕτερον στοχαστικὸν, πότερον ἐφόνευσεν ἢ οὔ· ἐν πάσῃ δὲ παραγραφῇ εἰδέναι χρὴ, ὅτι τὸ μὲν πρῶτον περὶ αὐτοῦ ἐπὶ τοῦ εἰσαχθῆναι τὸ ζήτημα, τὸ δὲ δεύτερον περὶ τῆς εὐθυδικίας τοῦ παρακειμένου πράγματος, πλὴν μόνης τῆς κατὰ Τιμάρχου παραγραφῆς· ἐκείνη γὰρ μόνη τὴν εὐθυδικίαν οὐκ ἔχει· καὶ ὁ τὸν λόγον ἐξηγούμενος τὴν αἰτίαν ἐρεῖ.

---

1 Cod. ἀγράφου. 2 Cod. Μόρφωνος.

Ἔστι δὲ ὅτε ὁριστικῶς τέμνεται τὸ πρότερον ζήτημα. τοῦτο ἠγνόησεν, οὐδέποτε γὰρ ὁριστικῶς τέμνεται, ἀλλὰ μετὰ [3] τὸν συλλογισμὸν ἐστὶ μία τῶν νομικῶν, ταῦτα τὸν ὅρον εἶναι ἐνόμισεν, ὡς ἐπὶ τούτου τοῦ ζητήματος· μειράκιον ὡραῖον ᾔτησε τύραννος ἐξ ἀστυγείτονος πόλεως, οὐ δέδωκεν ἡ πόλις, ἐξῆλθεν αὐτὸ τὸ μειράκιον πρὸς τὸν τύραννον, ἀπιόντος αὐτοῦ τετελεύτηκεν, μετὰ ταῦτα πολιτεύεται· καὶ κατηγοροῦντά τις αὐτὸν παραγράφεται, ὡς ἡταιρηκότα. ἐνταῦθα μὲν πρῶτον ζήτημα νομίζει ὁριστικὸν εἶναι διὰ τὸ πεπρᾶχθαι αὐτῷ τὸ ἐξελθεῖν μηδὲ ἑταιρῆσαι, καὶ κακῶς εἰδώς, ὅτι εἰ μὲν κατηγορία ἦν τοῦ μειρακίου, ὅρος ἦν ἡ στάσις· ἐνταῦθα δὲ οὐκ ἀνέχεται φεύγων τι κατασκευάσαι τέλειον ἢ ἀτελές, ἀλλὰ συλλογισμῷ χρῆται λέγων ταὐτὸν εἶναι τὸ ἐξελθεῖν τῷ πεποιηκέναι· ἀδύνατον οὖν ὅρον γενέσθαι τὸ πρῶτον ζήτημα· εἰ γάρ ἐστιν ὅλως ἡ παραγραφὴ ἢ ἔγγραφος ἀπὸ ῥητοῦ ἔχουσα τὴν ζήτησιν, ὁ ὅρος δὲ οὐκ ἔγγραφος, στάσις οὐκ ἂν εἴη ποτὲ παράγραφὴ ἀπὸ ὅρου· καὶ περὶ μὲν παραγραφῆς ταῦτα.

Ἡ δὲ ἄγραφος διαιρεῖται προβολῇ ῥητοῦ· κοινὸν τοῦτο, ὡς ἔφαμεν, ἐπὶ πασῶν στάσεων, πλὴν στοχασμοῦ καὶ πραγματικῆς, τῇ προβολῇ πρῶτον διαιρεῖσθαι παραγραφικῷ τῷ ἀπὸ ῥητοῦ· ζητήσειε δ' ἄν τις σφόδρα, τί διαφέρει τὸ παραγραφικὸν τοῦτο τῆς παραγραφῆς, οὐ γὰρ ὥσπερ τὸ τοῦ στοχασμοῦ παραγραφικὸν διαφέρει, ὅτι ἐκεῖνο μὲν ἀπὸ τῶν περιστατικῶν γίνεται, ἡ δὲ παραγραφὴ ἀπὸ ῥητοῦ, οὕτως δὲ τοῦτο· εἰ γὰρ ἐνταῦθα ἀπὸ ῥητοῦ ἐστι τὸ παραγραφικόν, ὅπερ μόνον παραγραφὴ ἀπὸ ῥητοῦ ὁρμᾶσθαι οἰκεῖόν τι, διαφέρει αὐτῆς τῆς παραγραφῆς· ἐροῦμεν ὅτι ἡ μὲν μετάληψις τάξιν ἔχουσα παραγραφῆς οὐκ ἔσχε τὴν αὐτὴν φύσιν, ἀλλ'

3 μετὰ Cod. om. — l. 6. Cod. ἑαυτό, scr. αὐτό.

ἀλλ' ἐπειδὴ ἐξ ἀντιλήψεως ἄρχεται, χρῆται τῇ φύσει τῇ ἀντιλήψει ὡς λέγουσα τὸ ἐξεῖναι, καὶ οὐ δεῖν ἐπὶ τούτοις κρίνεσθαι· διαφέρει δὲ, ὅτι ἐν μὲν τῇ παραγραφῇ αὐτὸ τὸ ῥητὸν τὸ τὴν παραγραφὴν ποιοῦν περὶ αὐτὸ ἔχει τὴν ζήτησιν καὶ ἀμφιβάλλεται, διὸ καὶ ἀπὸ μιᾶς τῶν νομικῶν τὴν κατασκευὴν ἔχει· τὸ δὲ παραγραφικὸν τῆς μεταλήψεως ὡμολόγηται καὶ οὐκ ἔχει τὸν ἐναντιούμενον, οὐδὲ τὸν ἀντιλέγοντα εἰς αὐτὸ, ἀλλὰ καὶ συντιθέμενον, ἀλλὰ καὶ εἰς ἕτερα μεταβαίνοντα· διὸ εἰς τάξιν διαβολῆς μόνην τοῦ ἀγῶνος παραλαμβάνεται· ἐπειδὴ δὲ, ὅπερ ἐν στοχασμῷ ἔφαμεν, κατὰ φύσιν τοῖς κατηγορουμένοις τὸ τὸν ἀγῶνα παραιτεῖσθαι καὶ μέμφεσθαι, οὐδὲ γὰρ ὁ καταδεξάμενος ἤδη ἀπολογήσασθαι ἔτι χώραν ἔχει τοῦ εἰπεῖν ἀδίκως κατηγορεῖσθαι, διὸ καὶ πρῶτον τέτακται φύσιν ἔχον τοῦ μέμφεσθαι τὸν ἀγῶνα. ἡ μὲν οὖν τάξις καὶ ἡ διαφορὰ τοῦ κεφαλαίου πρὸς τὴν παραγραφὴν αὕτη τῇ [4] μεταλήψει. δευτέρα εἰκότως ἡ μετάληψις τοῦ διώκοντος τέτακται· ἀναγκαίως γὰρ τοῦ φεύγοντος διαβολῇ ἰσχυρᾷ χρωμένου τῇ ἀπὸ τοῦ ῥητοῦ, ἀναγκαῖον ἦν προσθεῖναι αἰτίαν, δι' ἣν ἡ κατηγορία αὐτοῦ παραβεβασμένου γίνεται τοῦ ῥητοῦ, καὶ οὗτος τοῦ φεύγοντός ἐστιν διδάσκοντος, ὅτι οὐδὲν ἡ περίστασις βλάπτει· ὁ μὲν γὰρ τεχνικὸς ἀπὸ χρόνου μετάληψιν διελὼν ἀπὸ χρόνου μόνον συλλογισμὸν διαλαμβάνει. Εἰδέναι δὲ χρὴ, ὅτι ἐπὶ πάσης ὁμοίως περιστάσεως ὁ αὐτός ἐστι συλλογισμὸς, καὶ ἐπὶ χρόνου οὐδὲν διαφέρει· κἂν ἐπὶ τούτου, οὐδὲν διαφέρει ἐν τούτῳ τῷ τόπῳ, ἢ ἀλλαχοῦ, ἀφ' οὗ ὁ νόμος ἐπιτρέπει, καὶ ἀπὸ αἰτίας οὐδὲν διαφέρει, ἀπὸ ταύτης ἢ ἄλλης αἰτίας, καὶ τὰ ἄλλα ὁμοίως· ἀναγκαίως συλλογισμοῦ ὑπάρξαντος ὅρον ἦν ἐπαχθῆναι, ἀκήκοας γὰρ τοῦ τεχνικοῦ λέγοντος, ὅτι ἐναντίος ἐστίν· ἐν πάσῃ

4 τῇ Cod. om.

στάσει ἐναντίος ἐστὶν ὅρῳ συλλογισμὸς, ἢ ζητήσειε δ᾽ ἄν τις, εἰ μέγιστον, πῶς ἀντέστραπται ἡ τάξις, καὶ πρῶτος ὁ συλλογισμὸς τοῦ ὅρου γέγονε, καίτοι γε ὁ συλλογισμὸς τὴν πρότασιν τὴν ἀπὸ τοῦ ὅρου κατασκευάζει καὶ εἰς ἓν συνάγει· ἐροῦμεν, ὅτι τὸ παραγραφικὸν ἐνταῦθα ὅρου τάξιν ἐπέχει· οἷς γὰρ καὶ αὐτὸς ὁρίζεται τὸ πεπραγμένον τόδε τι εἶναι, καὶ τὴν ἐξουσίαν αὐτοῦ προτείνεται, πρὸς αὐτὸν τὸν συλλογισμὸν τὴν κατασκευὴν ἔχει, ὡς εἰ προϋπῆρξεν αὐτῷ ὅρος· εἰδέναι δὲ χρὴ, ὅτι μόνῃ μεταλήψει ἐκαινοτομήθη[5] ἡ φύσις τοῦ συλλογισμοῦ, καὶ γέγονε τοῦ φεύγοντος· ἀλλ᾽ ἐπειδὴ ἡ φύσις τῆς μεταλήψεως ἀντίστροφός ἐστιν, καὶ τὸν φεύγοντα διώκοντα ποιεῖ, ὥσπερ τάξιν ἔχει διώκοντος. Πάλιν ἐνταῦθα „ὅρῳ.“ ἅπαξ κατὰ τὸν αὐτὸν κανόνα τῶν δύο κεφαλαίων ἐναντίων ὄντων ἀδύνατον ἦν συλλογισμοῦ προϋπάρξαντος μὴ ἀντιθεῖναι ὅρον. ὥσπερ γὰρ ἐπὶ τῶν ἀντιθετικῶν ἡ μετάληψις προετάγη τῆς ἀντιλήψεως, καὶ τὴν αἰτίαν εἰρήκαμεν ἐκεῖ, ὅτι ἡ ἀντιθετικὴ τάξιν ἔσχεν ἀντιλήψεως, ἧς ἔλεγον ὅτι ἄξιος ἦν, ὅπερ ἠδύνατο τὸ „ἔξεστί μοι,“ καὶ πρὸς αὐτὸν ἡ μετάληψις ἠκολούθησεν, διὰ δὲ τὴν φύσιν οὐκ ἠδυνήθη μὴ ἐμπεσεῖν ἀντίληψις, οὕτω καὶ ἐνταῦθα πρὸς τὸ παραγραφικὸν γενομένου τοῦ συλλογισμοῦ, τάξιν ἔχοντος τοῦ παραγραφικοῦ, ὅρου ἡ φύσις ἀπῄτησεν, καὶ αὐτὸν μὲν ταγῆναι τὸν ὅρον.

Ἀντιθέσει· ἡ ἀντίθεσις κατὰ φύσιν τῆς προϋπαρξάσης ἀντιλήψεως τέτακται· ἐπειδὴ γὰρ ἡ ἀντίληψις τὴν ἐξουσίαν προβάλλεται, εἰκότως καὶ ἡ ἀντίθεσις ἠκολούθησεν ἀντεγκληματικὴ ὡς ἐπὶ τὸ πολὺ γενομένη.

Ἑτέρᾳ μεταλήψει· ἐνταῦθα ἀκριβὲς καὶ σαφὲς ἐδείχθη τὸ θεώρημα, ὃ προειρήκαμεν ἐναντίον. καὶ ὅτι

---

5 Cod. ἱκενοτομήθη.

ἡ ἀντίθεσις ἀντιλήψεως τάξιν ἔχει, καὶ γὰρ ἐνταῦθα ἀντιθετικῆς προταγείσης μετάληψις μετηνέχθη, ὥσπερ ἂν εἰ ἀντιλήψεως αὐτῆς οὔσης· καὶ καθόλου δέδεικται, ὅτι ἡ ἀντιθετικὴ ἀντίθεσις ἀντιλήψεως φύσιν ἔχει, διὸ καὶ ἀναγκαῖον ἦν αὐτὴν μεταλήψει λυθῆναι, καὶ τοῦτο[6] πάλιν ἐπηγάγομεν, ὅτι καὶ πληρωθείσης τῆς χρείας διὰ τὴν φύσιν ἐπάγεται πάλιν ἡ μετάληψις. πάλιν ἐνταῦθα ἐδείχθη, ἐπῆκται γὰρ εὐθὺς „ἀντιλήψει.“ τί δὲ διαφέρει ἡ δευτέρα μετάληψις τῆς πρώτης, ἐροῦμεν· ὅτι ἡ μὲν πρώτη μετάληψις πρὸς αὐτὸ τὸ ἔγκλημα καὶ τὴν πᾶσαν σύστασιν τοῦ ἀγῶνος γίνεται, ἡ δὲ δευτέρα πρὸς μόνον τὸ ἀντιθετικόν· εἴη ἂν οὖν ἡ μὲν πρώτη πρὸς ὅλον τὸν ἀγῶνα, ἡ δὲ δευτέρα πρὸς μέρος ἀντιθέσεως· ἡ θέσις κοινοῦ τόπου τάξιν ἐπέχει παρ᾽ ἀμφοτέρων ἐξεταζομένη· τοῦ μὲν φεύγοντος κατηγοροῦντος τοῦ ἐγκλήματος, τοῦ δὲ διώκοντος ὁμοίως κατηγοροῦντος τοῦ πεποιηκότος καὶ λέγοντος, ὡς χαλεπὸν τὸ ἐπ᾽ ἐξουσίας κεχρῆσθαι ὡς βούλεταί τις.

*Ποιότητι καὶ γνώμῃ*· κοινόν ἐστι πασῶν στάσεων· σημειωτέον δὲ, ὅτι εὕρηται μία μόνη ἡ μετάληψις κατὰ ἀξίωσιν, καὶ πάσης μεταλήψεως ἐπὶ ἓν τῶν περιστατικῶν ἀναγούσης αὐτὴν μόνη ἡ μετάληψις πάντα σχεδὸν τὰ περιστατικὰ ἔχει, ὡς ἐπὶ τούτου· τὸν φθείραντα κόρην ἀνάγεσθαι ἐπὶ κρίσει τοῦ εἰ βούλεται αὐτὸν ἡ κόρη τεθνάναι· φθείρας τις κόρην ἔφυγεν· ὁ πατὴρ συνῴκισεν[7] αὐτὴν ἀνδρί· μετὰ ταῦτα ἧκεν ἐν τῇ πόλει καὶ ὁ πατὴρ αὐτὸν ἀξιοῖ ἀνάγεσθαι ἐπὶ κρίσιν· ὁ ἀνὴρ ἀντιλέγει, ἐνταῦθα γὰρ πρῶτον μὲν τὸ ἀπὸ χρόνου, „τί τότε ἐχρῆν αὐτὸν ἀνάγειν, ὅτε παραχρῆμα ἔφθειρεν·“ ἔπειτα τὸ ἀπὸ τούτου „ὅτι ἐν τῇ οἰκίᾳ σου ἦν ἡ κόρη, καὶ οὐκ ἐν τῇ ἐμῇ·“ ἔπειτα τὸ ἀπὸ τοῦ προσώπου, „ὅτι

6 Cod. τούτου. 7 Cod. συνῴκησεν.

μόνον πατὴρ αὐτῆς, καὶ παρθένος ἦν ἡ παῖς, καὶ οὔπω ἑτέρῳ ἐκδεδομένη·" ἔπειτα ἀπὸ αἰτίας, „ὅτι τιμωρία ἦν τὸ πραττόμενον καὶ δήμευσίς, καὶ οὐ νῦν ὁμοῦ αἰσχύνη·" ἔπειτα ἀπὸ τρόπου, „ὅτι ὁ τρόπος ἐφαίνετο τοῦ ἀδικήματος, καὶ οὐκ ἐν ἑτέρῳ τινί·" ὥστε διὰ πάντων εἴρηται αὕτη μόνη καὶ δοκεῖ εἶναι τριπλῆ καὶ πενταπλῆ μετάληψις, ἕκαστον γὰρ αὐτῶν δεῖ λυθῆναι τοῖς προειρημένοις κεφαλαίοις. Εἰδέναι δὲ χρὴ, ὅτι μόνη ἡ μετάληψις ἡ κατὰ ἀξίωσιν οὐ τὸν φεύγοντα ἔχει μεταλαμβάνοντα, ἀλλ' ἕτερον· ἐν μὲν γὰρ πάσαις ταῖς μεταλήψεσιν ὁ κρινόμενος τὴν ἐξουσίαν προβάλλεται, καὶ ὁ κατήγορος μεταλαμβάνεται· ἐν ταύτῃ δὲ μόνῃ τῇ μεταλήψει ὁ κατήγορος τὴν ἐξουσίαν προβάλλεται καὶ ὁ ἕτερος τὸ μεταλαμβάνεσθαι ἔχει, οὐκ αὐτὸς ὁ κρινόμενος. τίς οὖν ἡ αἰτία, ἐν ῥητῷ καὶ διανοίᾳ τῷ κατὰ ἀξίωσιν ἐροῦμεν.

## Περὶ ῥητοῦ καὶ διανοίας.

Ἱκανῶς ὁ τεχνικὸς περὶ τῶν λογικῶν διαλαμβάνων στάσεων εἰκότως κατὰ τὰς ἐπαγγελίας ἐπὶ τὰς νομικὰς μεταβέβηκε, καὶ ζητήσειε δ' ἄν τις, τί δήποτε περὶ ῥητοῦ καὶ διανοίας διέλαβεν, καίτοι αἱ μὲν ἄλλαι τρεῖς στάσεις περὶ τελέων ῥητῶν καὶ ὅλων νόμων ἔχουσι τὴν ἐξέτασιν,[1] αὕτη δὲ μόνη περὶ ἀτελοῦς. τί δέ ἐστιν ὅ φαμέν; ὁ συλλογισμὸς ὁλόκληρον ὁλοκλήρῳ ἀντιτίθησιν, ἡ ἀντινομία ὁλοκλήρους δύο νόμους ἔχει καὶ[2] ἡ ἀμφιβολία περὶ ὁλοκλήρου καὶ αὕτη τὴν ζήτησιν· ἐνταῦθα δὲ μέρει μὲν ὁ ἕτερος, τῇ διανοίᾳ, χρῆται, μέρει δὲ ὁ ἕτερος, τῷ ῥητῷ, καὶ τοῦτο πλείστην ἔχει ζήτησιν, τί δήποτε μὴ ἀντινομία ἢ συλλογισμὸς προτέτακται· τὸ μὲν γὰρ γλίσχρον καὶ εὐτελὲς τῆς ἀμφιβολίας εἰκότως

1 Cfr. Ald. p. 799. l. 9. 2 Cod. ἔχουσα, scripsi ἔχει καὶ.

τελευταῖον ἂν εἴη, τὸ δὲ πλείονα ἔχειν ὕλην τὸν συλλογισμὸν καὶ τὴν ἀντινομίαν ἀπῄτει αὐτὰ πρῶτα ῥηθῆναι· ἐροῦμεν οὖν, ἢ τῇ τάξει τῆς μεθόδου ἠκολούθησεν ἐπὶ τὸ ῥητὸν, καὶ τὴν διάνοιαν πρῶτον θεὶς ἐφεξῆς τὰς ἄλλας εἶπεν·[3] ἢ τόγε ἀληθέστερον καὶ τεχνικώτερόν, ὅτι ἡ μὲν ἀντινομία διπλοῦν ἐστι ῥητὸν καὶ διάνοια· ἀμφοτέρων γὰρ τῶν νομίμων τὴν διάνοιαν ἀναγκαῖόν ἐστι ζητηθῆναι, καὶ ἡ ἀμφιβολία πάλιν ἔχει ῥητοῦ καὶ διανοίας· ζητεῖται γὰρ ὁμοίως ἡ τοῦ νομοθέτου διάνοια, καθ᾽ ἣν τὸ ῥητὸν εἶπεν καὶ ἐν τῷ συλλογισμῷ ὁμοίως· ἀναγκαῖον οὖν, ἐπειδὴ τὸ ῥητὸν καὶ ἡ διάνοια εἰς τὰς τρεῖς ἐμπίπτει καὶ ἐξετάζεται, ὡς ἐμπεριεχομένην πρώτην αὐτὴν τάξαι, καὶ ἐξετάσαι, ἵνα μαθόντες ἐν τῇ χρείᾳ ἔχωμεν τὸ εἰδέναι χρήσασθαι. καὶ ἡ μὲν αἰτία τοῦ προτετάχθαι αὕτη. ἴδωμεν[4] δὲ καὶ τὰ κεφάλαια ὅπως τέτακται.

*Προβολῇ ῥητοῦ.* καλῶς πάνυ προσέθηκεν ἐν αὐτῷ εἰπεῖν „προβολῇ ῥητοῦ“ ἀποδιϊστὰς τὰς νομικὰς καὶ τὰς λογικὰς, κἀκεῖ μὲν γάρ ἐστι προβολή· ἀλλ᾽ ἡ προβολὴ ἀδικήματός ἐστιν ἐξ ἐγγράφου εὐθυνομένου γενομένη·[5] ἐνταῦθα δὲ ἡ προβολὴ ἐξ ἐγγράφου ἐστίν. εἰδέναι δὲ καὶ τοῦτο χρὴ, ὅτι κακῶς εἶπεν „προβολῇ ῥητοῦ.“ ἐχρῆν γὰρ εἰπεῖν „τῇ ἀπ᾽ αὐτοῦ τοῦ ῥητοῦ.“ οὐδὲ γὰρ αὐτὸ τὸ ῥητὸν προβαλλόμεθα, ἀλλὰ τὸ ἔγκλημα τὸ διὰ ῥητὸν γενόμενον· ὅταν οὖν λέγῃ, „προβολὴ ῥητοῦ,“ ἐνδεῶς ὁρίζεται τὸ κεφάλαιον, οὐδὲ γὰρ αὐτὸ μόνον τὸ ῥητὸν προβαλλόμεθα· ποία γὰρ ἂν εἴη χρεία τοῖς [γε ἐγνωκόσι τὸ ῥητὸν προτείνειν, ἀλλὰ τὸ ἔγκλημα τὸ ἀπὸ τοῦ ῥητοῦ.

*Διανοίᾳ.* εἰκότως ἡ διάνοια δευτέρα, ἐπειδὴ γὰρ ἡ στάσις ἐξ αἰτίου[6] καὶ συνέχοντος καὶ κρινομένου συνί-

3 Cod. εἰπεῖν. 4 Cod. εἴδομεν. 5 Cod. γενομένην.
6 in Cod. post αἰτίου sequitur ἐστίν.

σταται, τοῦ ἀπὸ τοῦ αἰτίου προαγέντος, ὃ[7] ἐστι τοῦ ἐγκλήματος τοῦ διὰ τοῦ ῥητοῦ ἀναφύοντος, ἀναγκαῖον ἦν τὸ συνέχον ἐπενεχθῆναι, ὅπερ ἐστὶν ἡ διάνοια· ἡ γὰρ διάνοια λύσις ἐστὶ τοῦ ῥητοῦ.

Τῷ μὴ προςδιωρίσθαι·[8] τὸ μὴ προσδιωρισμένον τρίτον ἐστὶ τοῦ κατηγόρου κεφάλαιον· ἐπειδὴ γὰρ ἰσχυρὰ σφόδρα ἡ διάνοια ἐκ τῆς εἰς ἄτοπον ἀπαγωγῆς· τῷ γὰρ ὡς ἐπὶ τὸ πολὺ ἔχειν συνέργειαν ἰσχύων ὁ φεύγων, δοκεῖ[9] ἀκριβῶς ἐξηγεῖσθαι τὸν νόμον καὶ[10] δεικνύναι μὴ τοῦτο βουλόμενον· ἀναγκαῖον οὖν[11] τῷ κατηγόρῳ αὖθις ἐπὶ τὴν τοῦ νόμου ἀπόδειξιν ἐπαναδραμεῖν· τὸ οὖν μὴ προσδιωρισμένον ὥσπερ ἐξήγησίς τίς ἐστι τοῦ νόμου λέγοντος, ὅτι τὸ μὴ προσδιωρισμένον τῷ λόγῳ οὐ δεῖ λέγειν, οὐ γὰρ τὴν αἰτίαν τοῦ πραττομένου ἐζήτησεν, ἀλλ' ἄρδην ἀνεῖλε τὸ πραττόμενον.

Πάλιν ἡ διάνοια τοῦ νομοθέτου ἐνταῦθα· πάλιν ζητήσειε δ' ἄν τις, τίνι διαφέρει ἡ διάνοια τοῦ νομοθέτου αὐτῆς τῆς διανοίας· ἐροῦμεν, ὅτι ἡ μὲν διάνοια αὐτοῦ ἐστι τοῦ ῥητοῦ ἐξήγησις· ἡ διάνοια τοῦ νομοθέτου τοῦ μὴ προςδιωρισμένου ἐστὶν ἐξήγησις· τὸ δὲ παράδειγμα σαφηνιεῖ. νόμος[12] τὸν ῥίψαντα τὴν ἀσπίδα θανάτῳ ζημιοῦσθαι· ῥίψας τις ἀπέκτεινε τῶν πολεμίων στρατηγὸν καὶ κρίνεται· ἡ διάνοια λύσις τῆς προβολῆς, ὅτι οὐ τὸν ἐπ' ἀριστείᾳ οὐδὲ σωτηρίᾳ τῆς πόλεως οὐδὲ βλάβῃ τῶν πολεμίων ἀφέντα τὴν ἀσπίδα, ἀλλὰ τὸν ἐπὶ δειλίᾳ ὁ νόμος κολάζει· πρὸς ταύτην γίνεται τὸ μὴ προςδιωρισμένον, ἀναγινώσκοντος τοῦ κατηγόρου τὸν νόμον καὶ τὰ ῥητὰ ἐπιδεικνύντος ἀπροσδιόριστα, καὶ καθόλου τὸν

---

7 Cod. ὅς. 8 Cod. προςδιωρεῖσθαι. 9 Cod. δ' οὐκ, Ald. p. 806. l. 28. δοκεῖ. 10 Cod. δέ, et paullo post τοῦτον. 11 Cod. ἦν. 12 νόμος et θανάτῳ ζημιοῦσθαι, ῥίψας τις Cod. om. restitui ex Ald. p. 808. l. 1. — cfr. nostrum commentarium supra p. 113.

ῥίπτοντα κολαζόμενον. ἡ οὖν διάνοια τοῦ νομοθέτου τούτου τοῦ προςδιωρισμένου ἐξήγησίς ἐστιν, ὅτι περιττὸν ἡγεῖτο ὁ νομοθέτης τὰ σαφῆ διορίζειν, καὶ τὰ πᾶσι γνώριμα. τίς γὰρ ἀγνοεῖ, ὡς οὐ δεῖ ποτε τὸν σώσαντα διαφθείρειν;[13] εἴη ἂν οὖν ἡ πρώτη διάνοια τοῦ ἐγκλήματος ἐξήγησις· ἡ δευτέρα ἡ καλουμένη τοῦ νομοθέτου τοῦ μὴ δεῖσθαι τὸν νομοθέτην, προςδιορίσαιτο δέ τι.

Ὅρῳ. ἀκόλουθος ἦν ὁ ὅρος τοῦ κατηγόρου, ἵνα δείξῃ, ὅτι διαφέρει τὸ προςδιωρίσθαι τοῦ μὴ προςδιωρίσθαι· ἐκείνου γὰρ εἰπόντος, μηδὲν διαφέρειν ἐν τοῖς φανεροῖς, ἀναγκαῖον ἦν προςδιορίσαι τὸν ὅρον.

Ἀντιθέσει. τοῦ φεύγοντος πάλιν αὕτη ὡς ἐπὶ τὸ πολὺ ἀντιστατικὴ, εὐεργέτημα δεικνύντος, ἵνα[14] ἔχῃ χώραν τὸ παραβεβάσθαι τὸ ῥητὸν ἔχειν τινὰ δικαιολογίαν· καὶ ὅτι διαφέρει ἡ ἀντίθεσις αὐτῆς τῆς ἀντιστάσεως ἐν ταῖς κοινωνίαις εἰρήκαμεν· ἐν συντόμῳ δὲ εἰπεῖν, ὅτι ἡ μὲν ἀντίστασις φύσει ἔχει τὸ πεπραγμένον πονηρὸν, περιστάσει δὲ ἔχει τὸ ἀγαθόν· τὸ γὰρ καθελεῖν τὸ τεῖχος φύσει πονηρόν ἐστιν, ἡ δὲ σωτηρία τῆς πόλεως τὴν περίστασιν ἤνεγκεν τῆς ἀπολογίας· ἐνταῦθα δὲ τὸ ἐναντίον τὸ μὲν γεγενημένον φύσει ἀγαθόν ἐστιν, ἡ περίστασις δὲ ποιεῖ αὐτὸ πονηρόν· τὸ μὲν γὰρ ἀνελεῖν τὸν τῶν πολεμίων στρατηγὸν φύσει ἀγαθὸν, ἡ δὲ περίστασις τοῦ νομοθέτου ἔγκλημα ποιεῖ.

Μεταλήψει. ἐν πάσαις ταῖς πρὸ ταύτης[15] στάσεσι προειρήκαμεν, ὅτι ἡ ἀντίθεσις ἀντιλήψεως φύσιν ἔχει· διὸ ἐπάγεται μετάληψις ἀντιλήψει, καὶ πάλιν καὶ τοῦτο προειρήκαμεν, ὅτι ἀδύνατον οἱῳδήποτε τρόπῳ μετάληψιν τεθεῖσαν μὴ ἐπαγομένην ἔχειν ἀντίληψιν.

Καὶ ποιότητι καὶ γνώμῃ· ταῦτα κοινά ἐστι κεφάλαια πασῶν τῶν στάσεων, καὶ ἡ μὲν τῶν κεφαλαίων ἐξέτασις αὕτη εἴρηται καὶ ῥητὸν καὶ διάνοια· καὶ

---

13 Cod. διαφθείρει. 14 Cod. ἱκανά. 15 Cod. ταύταις.

τὸν φεύγοντα ἔχοντα τῷ ῥητῷ χρώμενον, ὡς ἐπὶ τούτου· νόμος τὸν πεπηρωμένον ἀπὸ τοῦ δημοσίου τρέφεσθαι· καὶ τὸ μὲν παράδειγμα τοῦ κατὰ ἀξίωσιν ῥητοῦ τοῦτο, ὅπερ δὲ ἐζητοῦμεν, τί διαφέρει τοῦτο τῆς μεταλήψεως, ἐν ᾗ ἐκεῖνός ἐστιν ὁ μεταλαμβάνων καὶ μὴ αὐτὸς ὁ φεύγων· ἀναγκαῖον εἰπεῖν καὶ διατί μὴ κἀκείνη ἐστὶ ῥητὸν, καὶ διατί γε κἀκεῖ τῷ αὐτῷ ῥητῷ κέχρηται· ἐροῦμεν, ὅτι ἐκεῖ μὲν φυγῆς καὶ διώξεως οὔσης οὐκέτι εἷς ἐστιν, οὐδὲ γὰρ τοῦτο ζητοῦμεν, εἰ δεῖ τοῦτο δοθῆναι τῷ πατρὶ, κατηγορεῖν ἢ οὔ, ἀλλὰ κατηγοροῦντος αὐτοῦ τὴν ἐξουσίαν αὐτοῦ ἀναιρεῖ· ἐνταῦθα δὲ αἴτησίς ἐστι· καὶ ὁ ἐναντιούμενος οὐ τὴν ἐξουσίαν τῆς αἰτήσεως ἀναιρεῖ, ἀλλὰ τὸ μὴ δεῖν ἐπὶ τούτοις δοθῆναι· αὕτη οὖν ἡ αἰτία καὶ ἡ διαφορά. τινὲς δὲ νομίζουσι μηδέποτε εἶναι ῥητὸν καὶ διάνοιαν κατὰ ἀξίωσιν, ἀλλὰ καὶ ἐνταῦθα τὸν αἰτοῦντα κατηγόρου τάξιν ἔχοντα τὸ πρῶτον λέγειν· ὥσπερ γὰρ ὁ κατήγορος πανταχοῦ πρῶτον λέγει, οὕτω καὶ ἐνταῦθα πρῶτον λέγει ὁ πεπηρωμένος, καὶ εἰκότως τῷ ῥητῷ κέχρηται, — ἀγνοήσαντες καθόλου ἐκεῖνον τὸν λόγον, ὅτι ὁ αἰτῶν φεύγοντος ἔχει τάξιν καὶ ἐν ὅρῳ καὶ ἐν πραγματικῇ, ὁ γὰρ ἐναντιούμενος ἀνατρέπων τὸ „δεῖ δοθῆναι“ τήν τε τοῦ λοιδορεῖν ἐξουσίαν ἔχει καὶ τὴν τοῦ κατηγόρου ποιότητα ὑποκρίνεται· σπανία δέ τις εὑρεθείη στάσις ῥητοῦ καὶ διανοίας, διπλῇ δοκοῦσα εἶναι, ἧς ἐστι τὸ παράδειγμα τοῦτο· νόμος τῷ τυράννῳ συναναιρεῖσθαι τὴν γυναῖκα· ἀπέκειτο κατά τινος γραφὴ τυραννίδος ἐπιθέσεως, πολέμου καταλαβόντος ὅπλα λαβὼν ἠρίστευσεν, ἀριστεύσας ἀξιοῖ πρὸς γάμον ἑλεῖν τοῦ κατηγόρου τὴν θυγατέρα· ἐνταῦθα γὰρ διπλῇ τίς ἐστι ζήτησις τῶν δύο ῥητῶν, τοῦ μὲν πατρὸς λέγοντος, ὅτι οὐ δωρεὰ αὕτη ἐστὶν, ἀλλὰ τιμωρία· τοῦ δὲ ἐλέγχοντος αὐτὸν, „καὶ ἀνάγκη τοῦ καθυφεῖναί με τὴν γραφήν·“ ἐκείνου δὲ λέγοντος, ὅτι οὔ, ἀλλ' ἐπίδειξις τοῦ μὴ θέλειν με τυ-

ραννῆσαι, ὅτι ἐν εὐεργέτου τάξει τίθεμαι τὸν κατήγορον, ὅτι δίδωσί μοι [16] χώραν σαφηνίσαι τὴν ἐμαυτοῦ ἀρετήν, καὶ ὅτι οὐ προςδιωρισμένον νόμῳ [17] τὸ ποῖόν με δεῖ [18] γέρας αἰτεῖν· διατί δὲ οὐκ ἔστιν ἀντινομία; ἐροῦμεν, ὅτι οὐκ ἔστι δύο ῥητῶν μάχη, οὐδὲ ἐκ περιστάσεως ἐναντίωσις· οὔτε γάρ ἐστιν ἐναντίον τὸ κολάζεσθαι τὴν γυναῖκα τοῦ τυράννου τοῦ τὸν ἀριστέα γέρας λαβεῖν, [19] ὃ βούλεται, οὐδὲ ἔστιν τις περίστασις ἡ ποιοῦσα, ἀλλὰ διαφόρους τοὺς νόμους διανοίᾳ λύεσθαι παρ' ἑνὸς προσώπου· καὶ οὕτω μὲν ἑνὶ χρῆται τὸ ἓν πρόσωπον, τῷ δὲ ἑτέρῳ τὸ ἕτερον, ὅπερ ἀντινομίας οἰκεῖον, ἀλλ' ἀμφότερα τὰ ῥητὰ ἀμφότεροι ἐξετάζουσιν.

## Περὶ ἀντινομίας.

Ἀκόλουθος ἦν ὁ περὶ ἀντινομίας λόγος· ἐπειδὴ γὰρ καὶ προείρηται, καὶ ἡ πεῖρα δεικνύει, ὡς ἡ ἀντινομία διπλοῦν ῥητὸν καὶ διάνοιά ἐστιν, ἀναγκαῖον ἦν ὥσπερ τοῦ ἁπλοῦ ῥηθέντος ἐπαχθῆναι τὸ διπλοῦν, καὶ ἔτι διὰ τοῦτο, ὅτι ἐν μόνῃ τῇ ἀντινομίᾳ νόμοι εἰσὶν οἱ ἐξεταζόμενοι αὐτοὶ κατ' αὐτοὺς τέλειοι· καὶ γὰρ ἐν τῷ συλλογισμῷ τῷ ἐπαγομένῳ ἡ γνώμη τοῦ ῥητοῦ ἐστιν ἐξεταζομένη καὶ οὐκ αὐτὸ τὸ ῥητὸν καὶ ἐν [20] ἀμφιβολίᾳ τῇ ἐφεξῆς ἡ γνώμη τοῦ ῥητοῦ ἐστιν ἡ ἐξεταζομένη· ἐν δὲ μόνῃ τῇ ἀντινομίᾳ τέλειον τὴν μάχην ἔχει, ἀνάγκη ἦν ἐπαχθῆναι ἐφεξῆς τὴν τοῦ τελείου ῥητοῦ ζήτησιν· εἰδέναι δὲ χρὴ, ὅτι οὐ μόνον νόμοι ποιοῦσιν ἀντινομίαν ἀλλὰ καὶ ψηφίσματα πρὸς ψηφίσματα καὶ ἁπλῶς πάντα τὰ ῥητά· καὶ εἴ τις εἴποι, πῶς ἂν εἴη ἐν τῇ πόλει δύο ψηφίσματα ἐναντία, ἐροῦμεν, ὅτι οὐδὲ δύο νόμοι εἰσὶν ἐναντίοι, ἀλλ' ἡ περίστασις τὴν σύστασιν κατασκευάζει, καὶ τὸ παρά-

16 Cod. δίδωσιν ἤ. 17 Cod. προςδιωρισμένῳ νόμος. 18 δεῖ Cod. om. 19 Cod. supra lin. habet αἰτεῖν. 20 Cod. ἡ ἀμφιβολία.

δειγμα σαφές ἐστιν· ἐψηφίσαντο Ἀθηναῖοι τοῖς φεύγουσιν Ὀλυνθίων πολιτείαν· εἰσιόντες ἐκεῖνοι πλεῖστα ἀνδράποδα βάρβαρα εἰσήγαγον· ἦν δὲ τὸ πρότερον ψήφισμα[1] νικῆσαν τὸ εἰσάγοντας βάρβαρα ἀνδράποδα πλέον τῶν τριῶν ἐν δεσμωτηρίῳ εἶναι, ἔστ' ἂν ἐπιδείξῃ τοὺς ταῦτα βουλομένους ὠνήσασθαι, ἐπὶ τοῦ λιμένος τινὰς αὐτῶν ἐνέβαλον τῷ δεσμωτηρίῳ, οἱ λοιποὶ ἀνέζευξαν καὶ κρίνονται· ἐνταῦθα γὰρ δύο ψηφισμάτων ἐστὶ μάχη, τῶν μὲν προβαλλομένων τὴν ἐξουσίαν τοῦ δεῖν κατὰ ψήφισμα τὸ περὶ τῶν ἀνδραπόδων, τῶν δὲ τὸ γεγενῆσθαι πολίτας αὐτοὺς καὶ μὴ ἐπ' ἐμπορίᾳ κατάγειν· γίνεται δὲ καὶ αὐτὸ ἑτέρων ῥητῶν καὶ διαθηκῶν ὡς ἐπὶ τούτου· διατιθέμενός τις ἐκέλευσε τῷ φίλῳ δοθῆναι τὴν θυγατέρα· πρὶν δοθῆναι ἀριστεύσας τις αἰτεῖ αὐτὴν εἰς γάμον, ἀμφισβητοῦσιν· ἐνταῦθα διαθήκης καὶ νόμου ἀμφισβήτησις[2] καὶ ἑνὶ λόγῳ, ὃν τρόπον ἐπὶ τῷ ῥητῷ καὶ τῇ διανοίᾳ πᾶν ῥητὸν ποιεῖ καὶ διάνοιαν καὶ διαθήκη καὶ κήρυγμα, κἂν ψήφισμα κἂν ὁτιδήποτε ᾖ, τούτῳ τῷ τρόπῳ καὶ ἡ ἀντινομία· εἴδη δὲ αὐτῆς κατὰ μὲν τὸν Ἑρμογένην δύο, ἓν μὲν ὅταν δύο ῥητὰ ἐναντία ἀλλήλοις ὦσιν ἐκ περιστάσεως, ὡς ἐπὶ τούτου· τοῦ ὑπερασπισθέντος τὴν οὐσίαν τοῦ ὑπερασπίσαντος εἶναι, καὶ τὸν ἀποκήρυκτον μὴ μετέχειν τῆς οὐσίας· ἀποκήρυκτος ὑπερήσπισε τοῦ πατρὸς καὶ ἀξιοῖ κατὰ τὸν νόμον δεσπότης εἶναι τῆς οὐσίας· καὶ κατὰ ἓν ῥητὸν εἰς δύο τεμνόμενα, ὡς ἐπὶ τούτου, οὗ[3] καὶ ὁ τεχνικὸς τίθησι, τῶν δύο κορῶν τῶν βιασθεισῶν, ὧν ἡ μὲν θάνατον, ἡ δὲ γάμον ἄπροικον αἱρεῖται· ἀλλὰ τοῦτο μὲν τὸ πρόβλημα, ὡς προειρήκαμεν, ἐν τῇ μεθόδῳ συστῆναι οὐκ ἂν δύναιτο διὰ τὸ ἰσάζειν·

1 Cod. ζήτημα, supra lin. ψήφισμα. — Cfr. Ald. p. 818. l. 13. 2 ἀμφισβήτησις restitui ex Ald. p. 818. l. 28. 3 Cod. ἦν. Ald. p. 819. l. 7. οὗ.

ἴσως δ' ἂν ἐφ' ἑτέρων εὑρεθείη παραδειγμάτων· σπάνιον δὲ τὸ πρόβλημα· ἔτι δὲ κἂν κατὰ τρεῖς νόμους ἂν ἀντινομία γίνεται, ὡς ἐπὶ τούτου· νόμος τῷ προδότῃ τοὺς παῖδας συμφεύγειν, καὶ τὸν καταστείχοντα φυγάδα ἐξεῖναι ἀποκτιννύναι, καὶ πεπηρωμένῳ τῷ ἀνδρὶ παρεῖναι τὴν γυναῖκα χειραγωγοῦσαν. ἔφυγέ τις θυγατέρα ἔχων συνοικοῦσαν πηρῷ, ἔμεινεν, ἀπέσφαξέν τις αὐτὴν καὶ κρίνεται φόνου. Ἐνταῦθα γὰρ τρία ἐστὶ ῥητά· καὶ ταύτας μὲν οἶδεν ὁ τεχνικὸς, παρ' αὐτὰς δὲ σπανιώτατά ἐστιν ἕτερα δύο εἴδη ἀντινομιῶν· μία δὲ ἡ κατὰ ἓν ῥητὸν μὴ τεμνόμενον, ἀλλ' ἐξ ἴσου ἑκατέροις ἁρμόζον τοῖς μέρεσιν· ἑτέρα δὲ ἡ τριπλῆ· διαφέρει δὲ ἡ τριπλῆ κατὰ τρεῖς νόμους· ἀντινομία γινομένη δύο πρόσωπά ἐστιν τρισὶ χρώμενα νόμοις, ἐν δὲ τῇ τριπλῇ τρία πρόσωπα, ἕκαστον ἑνὶ χρώμενον νόμῳ περὶ ἑνὸς πράγματος, οὐκ ἀπὸ τοῦ αὐτοῦ σκοποῦ, ὡς ἐπὶ τούτου· νόμος τὸν ἀριστέα ὃ βούλεται γέρας λαμβάνειν, καὶ ὅ τι ἄν τίς τινι συνθῆται κύριον εἶναι, καὶ νόμος τὴν ὀρφανὴν τὸν ἀγχιστέα γένους γαμεῖσθαι, αἰχμαλώτου κόρης γενομένης ἐκήρυξεν ὁ πατὴρ δώσειν αὐτὴν πρὸς γάμον τῷ σώσαντι· ἐξῆλθεν ἐραστὴς ἐπὶ τὸ σῶσαι, ἀπελθόντος ὁ πατὴρ ἐτελεύτησεν· ἐπανελθόντος αὐτοῦ τὴν κόρην ἀγαγόντος ἀριστεύσας τις ἀξιοῖ εἰς τὸ γέρας τὸν ταύτης γάμον ἔχειν, καὶ αὐτὸς κατὰ τὴν τοῦ πατρὸς συνθήκην καὶ ὁ ἄγχιστα γένους κατὰ τὸν τῶν ἐπικλήρων νόμον, καὶ ὅνπερ τρόπον ἐπὶ τῆς πραγματικῆς τῆς τριπλῆς, ἔνθα οὔσης τῆς βουλῆς τίνι δεῖ βοηθῆσαι συμβουλεύει τις μηδετέροις, ἀνάγκη τὰς τῶν δύο προτάσεις ἀνατρέπεσθαι τούτῳ τῷ τρόπῳ, καὶ ἐνταῦθα ὃν ἂν μελετήσῃς ἢ τὸν ἀριστέα ἢ τὸν συγγενῆ ἢ τὸν ἐραστὴν, ἀνάγκη τοὺς τῶν ἄλλων δύο νόμους κατὰ πάντα ἀνατρέψαι τὰ κεφάλαια, καὶ τὸν ἑαυτοῦ πρὸς ἀμφοτέρους προσθεῖναι· ἡ δὲ κατὰ ἓν ῥητὸν γινομένη ἀντινομία γίνεται κατὰ

δύο τρόπους· ἕνα μὲν, ὅτε ἀμφότεροι τῇ διανοίᾳ ἐξ ὁλοκλήρου χρῶνται τῷ ῥητῷ ἐκ διαφόρου πράγματος, ὡς ἐπὶ τούτου· νόμος τὸν ἀριστέα γέρας λαμβάνειν ὃ βούλεται· ἀπέκειτο γυναικὶ γραφὴ μοιχείας· δύο παῖδες αὐτῆς στρατευσάμενοι ἠρίστευσαν καὶ ὁ μὲν ἀξιοῖ τὴν γραφὴν, ὁ δὲ ἀναιρεθῆναι. ἐνταῦθα γὰρ τελείως τῷ ῥητῷ ἀμφότεροι χρῶνται, τῇ διανοίᾳ τοῦ ῥητοῦ ἀμφότεροι χρώμενοι, ὡς ἀριστέα ὄντα δίκαιον τὸ γέρας τὸ ἀπὸ τοῦ νόμου κύριον ἔχειν· ἕτερον δὲ εἶδος, ὅταν τὸ μὲν ῥητὸν ὡμολόγηται παρ' ἀμφοτέρων ταὐτὸν ὂν, διανοίᾳ δὲ διαφόρῳ χρώμενα τὰ μέρη ἀγωνίζονται, ὡς ἐπὶ τούτου, τὸν μὴ θάψαντα τὸν ἑαυτοῦ πατέρα μὴ θάπτεσθαι· μὴ θάψας τις τὸν ἑαυτοῦ πατέρα ἐτελεύτησε παῖδα ἔχων, ὁ παῖς αὐτοῦ ἔθαψεν αὐτὸν καὶ κρίνεται· ἐνταῦθα γὰρ ἀμφότεροι ὁμολογοῦσιν κύριον εἶναι τὸ ῥητὸν, μὴ θάψαντα τὸν πατέρα ἄταφον εἶναι, διανοίᾳ δὲ διαφόρῳ χρῶνται· καὶ ὁ μὲν λέγει, ὅταν μὴ ἔχῃ παῖδα, ἵνα μὴ ὁ παῖς αὐτοῦ ὑπὸ τιμωρίαν εὑρεθῇ τοῦ μὴ θάψαι, διὰ γὰρ τοῦτο αὐτόν φασι θάψαι· ὁ δὲ τὸν ὅλως καταγνωσθέντα οὐδὲ παρὰ τοῦ παιδός φησι θάπτεσθαι· καὶ ἔστι σφόδρα διάφορον τὸ εἶδος· καὶ περὶ μὲν τῶν εἰδῶν ταῦτα· περὶ δὲ τῆς τάξεως εἰπεῖν φθάσαντες εἰρήκαμεν, ὡς διπλοῦν ἐστι ῥητὸν καὶ διάνοια, καὶ διπλοῖς τοῖς τοῦ ῥητοῦ καὶ τῆς διανοίας κεφαλαίοις χρῆται· περιττὸν οὖν εἰπεῖν ἔτι αἰτίαν τῆς τάξεως τοῖς ἤδη περὶ ῥητοῦ καὶ διανοίας λόγῳ διεξεληλυθόσιν· εἴδωμεν δὲ καὶ τὸ ῥητὸν τοῦ ἀρχαίου.

*Τὰ μέντοι μετὰ ταῦτα κεφάλαια δῆλά ἐστιν.* ἕκαστον εἰκότως τῶν τοῦ ὅρου κεφαλαίων, ἐπ' ἀμφοῖν γὰρ δύναται ἐξετασθῆναι τὸ μὴ προςδιωρίσθαι μόνον, ὡσεὶ λέγοις· ἀριστεὺς ὁ μοιχὸς ἀναθεὶς εἰς ἱερὸν τὴν σκευὴν, ὅτι οὐ προσδιώρισεν ὁ νόμος, πότερον τὸν ἀριστέα ἢ τὸν ἰδιώτην λέγει· ἀλλὰ καθόλου τὸν μοι-

χὸν ἀπεῖπεν· κἀκεῖνος τὸ αὐτὸ λέγει, ὅτι οὐ προσδιώρισε, πότερον τὸν μοιχὸν ἢ ἕτερόν τινα, ἀλλὰ καθόλου τὸν ἀριστέα ἰέναι κελεύει· τοῦ μὴ προσδιωρίσθαι[4] προταχθέντος ἀναγκαίως[3*] καὶ ὁ ὅρος ἐκλείπει, ὅτι διαφέρει, καὶ ὁ συλλογισμὸς, ὅτι οὐ διαφέρει· τούτων οὖν ἁπάντων ἐκλειπόντων ἡ ἀντίθεσις μετὰ τὰ ῥητὰ καὶ τὰς διανοίας ἐπάγεται διάφορος οὖσα, πάντως γὰρ ἂν μὲν ἀντεγκληματικὴ ἦν ἡ μία, ἡ ἑτέρα ἀντιστατική ἐστιν, ἂν δὲ συγγνωμονικὴ, μεταστατικὴ ἡ ἑτέρα, καὶ τὸ παράδειγμα σημαίνει, τοῦ ὑπερασπισθέντος τὴν οὐσίαν τοῦ ὑπερασπίσαντος εἶναι καὶ τὸν ἀποκήρυκτον μὴ μετέχειν τῆς πατρῴας οὐσίας· ἀποκήρυκτος φεύγοντος ὑπερήσπισε τοῦ πατρὸς, καὶ ἀξιοῖ τὴν οὐσίαν ἔχειν· ἐνταῦθα τοῦ μὲν παιδὸς ἡ ἀντίθεσίς ἐστιν ἀντιστατικὴ, ὅτι ἔσωσα αὐτὸν, τοῦ δὲ ἐναντιουμένου ἀντεγκληματικὴ, ὅτι ἀποκηρύκτῳ ὄντι καὶ ὑβρίσαντι τὸν πατέρα οὐ δίκαιον αὐτοῦ τῆς οὐσίας μετέχειν· καὶ πάλιν ὡς ἐπὶ τούτου, τὸν ὑβρίσαντα τὸν πατέρα μὴ μετέχειν τῆς οὐσίας, καὶ τὸν ὑβρισθέντα πατέρα μὴ ἐπεξιόντα ἄτιμον εἶναι· ἐν μέθῃ τις ἐπάταξε τὸν ἑαυτοῦ πατέρα, ἐπεξελθὼν ἐκεῖνος ἠτίμησεν, μετὰ ταῦτα πολέμου γενομένου ὁ δῆμος ἀμνηστείαν κακῶν ἐποιήσατο, καὶ ἀντέχεται τῆς οὐσίας ὁ παῖς, καὶ οἱ συγγενεῖς ἀντιλέγουσιν· καὶ αὕτη μέν πως κατὰ τρεῖς εἶναι νόμους δοκεῖ· κατὰ δὲ δύο ἐστίν· ἡ μὲν οὖν αὐτοῦ τοῦ παιδὸς συγγνωμονικὴ, ὅτι κατὰ μέθην ἡ ὕβρις γέγονεν· ἡ δὲ τοῦ πατρὸς μεταστατική· δοκεῖ γάρ πως καὶ κατὰ ἀνάγκην ὁ πατὴρ αἰτιάσασθαι[5] τὸν παῖδα· εἰδέναι δὲ δεῖ[6] καὶ αὐτὸ τὸ τῆς γνώμης· καὶ ἐπὶ τούτοις ὁ τῆς ἀμνηστείας νόμος οὐ διάνοιά[7] ἐστιν, εἰ μήπω τις τὴν ἀνάγκην τοῦ πολέμου λέγοι, ἥτις καὶ αὐτὴ

---

3* Cod. ἀναγκαῖος. 4 Cod. προσδιορισμοῦ. — Cfr. Ald. p. 821. 5 Cod. ἠτιάσασθαι. 6 δεῖ Cod. om. 7 Cod. οὐ διάνοια οὐκ ἔστιν.

ἐπὶ μετάστασιν ἔρχεται, ὡς πάντως τὰς δύο διανοίας μετάστασιν εἶναι καὶ συγγνώμην. καὶ ταῦτα μὲν περὶ ἀντινομίας.

## Περὶ συλλογισμοῦ.

Ἀκόλουθος ἡ περὶ τοῦ συλλογισμοῦ ἐξέτασις· ἐξετάσας γὰρ τὴν τοῦ διπλοῦ ῥητοῦ διαίρεσιν ἀκόλουθον εἶχε τὴν ἐπαγωγὴν τοῦ διπλοῦ, ὅ ἐστι τέλειόν τε καὶ μηδεμίαν ἀμφιβολίαν ἔχον, ἔξωθεν δὲ ἐξ ὁμοίου πράγματος ἀντιπαραθέσεως τὴν ζήτησιν ἔχον, ὅπερ ἐστὶ συλλογισμοῦ. Συλλογισμὸς[1] γάρ ἐστιν, ὅταν τοῖς γεγραμμένοις τὰ μὴ γεγραμμένα μηδὲ ἐξητασμένα ἀφομοιοῦντες ταὐτὸν εἶναι λέγωμεν·[2] δεῖ γὰρ ἡμᾶς ἀπὸ τοῦ νενομοθετημένου ἐπὶ τὸ μὴ νενομοθετημένον μὲν, ὁμοιούμενον δὲ τῷ νενομοθετημένῳ εἰς ταὐτὸν ἄγειν· εἴδη δὲ συλλογισμῶν ταῦτα· ἐκ τοῦ ὁμοίου· νόμος τὸν ἡταιρηκότα μὴ λέγειν, Τίμαρχος ἁλοὺς ἑταιρήσεως διδάσκει παῖδας καὶ ὑπάγεται τῷ νόμῳ· τοῦτο δὲ τὸ εἶδος πολλοὶ τῶν τεχνικῶν κατὰ γένος καὶ εἶδος καλοῦσι λέγοντες, γένος μὲν εἶναι τὸ λέγειν, εἶδος δὲ τὸ ἐν δημοσίῳ λέγειν· ἢ κατὰ περίστασιν, ἤ τι τῶν τοιούτων, καὶ συλλογίζονται λέγοντες ἀφ᾿ οὗ τὸ γένος κεκώλυκε τὸ εἶδος· ἐκ τοῦ ἐναντίου· νόμος τὸν ἀριστέα δωρεὰν λαμβάνειν· λιπόντα τις τὴν τάξιν ἀξιοῖ κολάζεσθαι, ἐνταῦθα γὰρ ἐκ τοῦ ἐναντίου ὁ συλλογισμός ἐστιν· εἰ γὰρ ὁ ἀγαθὸς τιμηθήσεται, καὶ ὁ πονηρὸς κολασθήσεται· ἐκ τοῦ ἥττονος, ἐξεῖναι τὸν μοιχὸν ἀποσφάττειν, εὑρὼν τις μοιχὸν οὐ κατέσφαξεν, ἀλλὰ κατέστιξε καὶ κρίνεται παρανόμου τιμωρίας· ἐνταῦθα γάρ, φησίν, ὁ τὸ πρότερον δεδωκὼς πολὺ δικαιότερον καὶ τὸ ἧττον ἀπέδωκεν· ἐκ τοῦ ἀκολούθου· ἐξέστω τὸν μοιχὸν στίζειν, στίζων τις ἀπέκτεινε καὶ κρίνεται, ὁ

1 Cfr. Ald. p. 833. l. 21. 2 Cod. αὐτὸν εἶναι λέγομεν.

γὰρ τὸ ἀκόλουθον, φησὶ, δεδωκὼς καὶ τὸ ἐξ αὐτοῦ ἐκβησόμενον· ἔστι δὲ καὶ ἕτερον εἶδος τοῦ κατὰ σύνθεσιν, ὡς ἐπὶ τούτου τοῦ ζητήματος· τὸν τρὶς[3] ὑβρίσαντα καὶ τρὶς ψευδῆ[4] μαρτυρήσαντα, καὶ τὸν τρὶς ἁλόντα κλοπῆς ἄτιμον εἶναι. ἁλούς τις ἅπαξ ἑκάστου ὑπάγεται τῇ ἀτιμίᾳ· ἐνταῦθα γὰρ ἡ σύνθεσίς ἐστιν ἡ ζητουμένη, πότερον τὰ τρία ἐστὶν ἢ ἓν ἑκάστου· τοῦτο δὲ ἀμφιβολίᾳ μάλιστα ἁρμόττει· ἡ γὰρ κατὰ σύνθεσιν ἀμφιβολία περὶ αὐτὸ τοῦτο συνίσταται, τοῦτο δὲ διαφέρει, ὅτι οὐκ ἔστιν διάτασις ἢ ἐπιπλοκὴ, ἣ[5] ποιεῖ τὴν ζήτησιν ἐνταῦθα, οὐδὲ ὄνομα ἀμφισβητήσιμον, ἀλλ' ἀνάγκη συλλογίσασθαι, ὅτι ταὐτόν ἐστι μὲν ἀδικήματι τὸ ποιῆσαι[6] τρία ἂν ἅπαξ. καὶ τοῦτο δὲ παραφυλακτέον· ἐν πάσῃ στάσει συλλογισμὸς ἐμπίπτει· ἐν αὐτῷ δὲ οὐδεμία ἐμπίπτει στάσις, πλὴν τοῦ στοχασμοῦ, ἢ ἐν τῇ γνώμῃ τοῦ νομοθέτου ἐξετάζεται στοχαστικῶς, ζητοῦμεν, τί ἠβουλήθη ὁ νομοθέτης· διαφέρει δὲ ῥητοῦ καὶ διανοίας, ὅτι ἐν μὲν ῥητῷ καὶ διανοίᾳ αὐτὸ τὸ εἰρημένον ἐν τῷ ἐγγράφῳ πέπρακται· ἐνταῦθα δὲ οὐκ αὐτὸ, ἀλλ' ἄλλο τι, καὶ ὁ κατήγορος ταὐτὸν εἶναι λέγει, οἷον τὸν κοιμηθέντα φύλακα τεθνάναι, φύλαξ κοιμηθεὶς ὄναρ εἶδεν τὸν τρόπον τῆς ἀπαλλαγῆς τοῦ πολέμου, ἔφρασε τῷ στρατηγῷ, ποιήσας ἐκεῖνος ἐνίκησε καὶ ὑπάγεται ὁ φύλαξ τῷ νόμῳ· ἐνταῦθα ὡμολόγηται τὸ ῥητὸν, ὅτι τὸν κατακοιμηθέντα λέγει, καὶ αὐτὸ παραβέβασται· ἐν δὲ τῷ συλλογισμῷ οὐχ ὡμολόγηται, ὅτι ἐξ ἑταίρας καὶ ἐκ πόρνου ταὐτόν ἐστι· καὶ ἔτι ὡς ἐπὶ τὸ πολὺ ἐν μὲν τῷ ῥητῷ χρῆται καὶ ὁ φεύγων τῇ διανοίᾳ, ἐνταῦθα δὲ ἀνέστραπται· ὁ μὲν διώκων δοκεῖ πως τῇ διανοίᾳ χρῆσθαι, ὁ δὲ φεύγων ἀναντιῤῥήτως τῷ ῥητῷ· καὶ ἡ μὲν περὶ τούτου τεχνολογία αὕτη· τὰ κεφάλαια δὲ οὕτως.

---

3 Cod. ter τρεῖς. 4 Cod. ἀψευδῆ. 5 ἣ Cod. om. 6 In Cod. sequitur ἢ h. l. et l. 16. post ζητοῦμεν.

*Προβολῇ πράγματος*· ζητήσειε δ᾽ ἄν τις, τί δήποτε ἐν πάσῃ στάσει προβολὴν ὀνομάζων καὶ οὐ προστιθεὶς „τίνος“ ἐνταῦθα μόνον τέθεικε „προβολῇ πράγματος“· λέγομεν, ὅτι ἐν πάσαις ταῖς ἄλλαις στάσεσιν ταῖς ἐχούσαις προβολὴν τὸ ἀδίκημα τὸ προβαλλόμενον ὡμολόγηται· ἐνταῦθα δὲ αὖ τοῦτο ζητεῖται, εἰ τὸ ἀδίκημά ἐστι τὸ πραχθέν· διὰ τοῦτο προσέθηκε „προβολῇ πράγματος,“ ἵνα αὐτῷ σημάνῃ τὸ ἐξομοιούμενον· ἀναγκαῖον οὖν ἦν ἐπαχθῆναι δεύτερον κεφάλαιον τὸ ῥητὸν, καὶ τρίτον εἰκότως τὸν συλλογισμὸν, ὃ μίγνυσι καὶ συνάγει εἴς τε τὸ ῥητὸν καὶ τὸ πρᾶγμα· συλλογισμοῦ δὲ λεγομένου ἀναντίῤῥητον ἦν ὅρον ἐπαχθῆναι· ἀναγκαῖον δὲ ζητῆσαι, τί δήποτε ὅρου ταγέντος οὐκ ἐπηνέχθη ὁ ἀνθορισμός· ἐνὶ λόγῳ πολλάκις εἰρήκαμεν, ὅτι τὴν τοῦ ἀνθορισμοῦ χρείαν ὁ συλλογισμὸς πληροῖ, καὶ συμπέρασμά ἐστι τοῦ ἀνθορισμοῦ ὁ συλλογισμός· ἐπειδὴ οὖν προτέτακται συλλογισμὸς, δυνάμει ἐν αὐτῷ περιέχεται ὁ ἀνθορισμός· διὰ τοῦτο οὖν οὐκ ἐπήχθη ὡς ἤδη ἐξετασθείς· περὶ δὲ τῆς τάξεως, τί δήποτε πρῶτος ὁ συλλογισμὸς τέτακται, ὃν τρόπον ἔφαμεν, ὅτι ἡ ἀντίθεσις ἐν ταῖς ἄλλαις στάσεσιν ἀντιλήψεως χρείαν πληροῖ πολλάκις, οὕτω καὶ ἐνταῦθα ἡ προβολὴ τοῦ νόμου δύναται ὅρου ἔχειν τάξιν· ὅταν γὰρ ἀναγινώσκῃ [7] τὸν νόμον καὶ λέγῃ, μὴ τοῦτο κελεύειν, ὁρίζεται κελεύειν· διὰ τοῦτο ἐπήχθη ὁ συλλογισμὸς συνάγων ἀμφότερα ἅ τε ὁ νόμος κελεύει καὶ τὰ πραχθέντα καὶ δυνάμενα διελεῖν.

*Ὅρῳ*. [8] ἀλλ᾽ ἐπειδὴ ἀδύνατον ἦν, συλλογισμοῦ ταγέντος μὴ ἐπενεχθῆναι καὶ ὅρον τέτακται, [9] ὃν τρόπον ἀδύνατον ἦν μεταλήψεως οὔσης μὴ εἶναι ἀντίληψιν, τέτακται πολλάκις ἡ ἀντίληψις μεταλήψεως δευτέρα.

*Γνώμῃ νομοθέτου*· ἡ γνώμη τοῦ νομοθέτου

7 Cod. ἀναγινώσκει. — Cfr. Ald. p. 836. l. 21. 8 Cod. ὁ ὅρος. 9 Cod. τετάχθαι.

ἀμφοτέρων ἐστὶ παρ' ἀμφοτέρων στοχαστικῶς ἐξεταζομένη· ὁ μὲν γὰρ στοχαστικῶς ἐρεῖ, ὅτι πᾶσαν τὴν πορνείαν μεμίσηκε, διὰ τοῦτο καὶ τὸν ἐκ πόρνου κωλύει λέγειν· ὁ δὲ αὖθις στοχαστικῶς ἐρεῖ διὰ τὸ μὴ ἔχειν αὐτὸν ὡρισμένον πατέρα, μηδὲ ἀναγεγράφθαι, ὅτου πατρὸς εἴη, κεκώλυκεν αὐτὸν λέγειν.

*Ὅρῳ βιαίῳ*· ὁ ὅρος ὁ βίαιος τοῦ κατηγόρου ἐστίν, εἴρηται δὲ βίαιος ὅρος, ὅτι οὐκ ἐκ τῶν κοινῇ δοκούντων ἐστίν, ἀλλ' ἐκ περιτροπῆς βιάζεται, καὶ τὸν ἄῤῥενα τὸν ἡταιρηκότα πόρνην εἶναι δεικνύει,[10] εἴγε ταὐτὰ τῇ πόρνῃ πάσχει. Τὸ πρός τι ἀναγκαῖόν ἐστι τῷ ὅρῳ ἕπεσθαι· τὸ πρός τι ἀεὶ τοῦ κατηγόρου ἐστὶν ἐπὶ τὸ μεῖζον ἄγοντος τὸ ἔγκλημα.

*Ἀντιθέσει ἔστιν ὅτε.* τοῦτο οὐκ ὀρθῶς εἶπεν ὁ τεχνικός· ἀδύνατον γὰρ μὴ εἶναι ἀντεγκληματικὴν ἀντίθεσιν· ἐπειδὴ πᾶς συλλογισμὸς ὡς ἐπέγκλημά τί ἐστιν, ἡ ἀντεγκληματικὴ ἀναφύεται, καὶ εἴ τις ἀναστρέψει τὸν ἐκ τοῦ ἐναντίου συλλογισμόν, ἀντιστατικὴ εὑρεθήσεται, ἐὰν λέγωμεν, ὅτι τὸν λειποτάκτην κολάζεσθαι δεῖ,[11] ἀριστεύσας τις ἀξιοῖ τιμᾶσθαι, ἀντιστατικὴ κατὰ τὸν τῆς ἀριστείας λόγον εὑρεθήσεται· ἀντίθεσις ἡ ἀντιστατική, ἢ ἐπὶ τούτου μόνου τοῦ ζητήματος ἀντιστατική, ἐν δὲ ταῖς ἄλλαις ἀντεγκληματική, λέγοντος, ὅτι εἰ καὶ μὴ κεκώλυκεν ὁ νομοθέτης, ἀλλὰ τὸ σὸν ἁμάρτημα ἄξιον τοῦ κωλύεσθαι· ταύτης οὖν ἐμπεσούσης ἀναγκαῖον ἦν προστιθέναι μετάληψιν, καθὼς ἐν ταῖς ἄλλαις στάσεσι προειρήκαμεν, ὅτι ἡ ἀντιθετικὴ ἀντιλήψεως χώραν ἔχει, πρὸς ἣν ἀκόλουθος ἡ μετάληψις· διὰ δὲ τὴν φύσιν τῆς μεταλήψεως ἕπεται ἡ ἀντίληψις· καὶ ταῦτα περὶ συλλογισμοῦ.

---

10 Cod. δεικνύναι. 11 δεῖ Cod. om.

## Περὶ ἀμφιβολίας.

Ὁ τῆς ἀμφιβολίας λείπεται ἐστὶν ἀμφιβολία ῥητοῦ τινος ἐκ διαφόρων αἰτιῶν, τὸ ὅτι βούλεται δηλοῦν ἄγνοια. γίγνονται δὲ ἀμφιβολίαι κατὰ τούτους τοὺς τρόπους· καθ' ὁμωνυμίαν, ὡς ἐπὶ τούτου, χρησμὸς δέδοται τοῖς Ἕλλησιν ἀνελεῖν τὸν τάφον Ἀλεξάνδρου, πλεῖστα γὰρ κακὰ τοῖς Ἕλλησιν ἐποίησεν· ἀμφιβάλλεται γάρ, πότερον τοῦ Πάριδός φησιν, ἤ τοῦ Μακεδόνος, ἢ τοῦ Θετταλοῦ· κατὰ δὲ τόνον ὡς ἐπὶ τούτου· πωλῶν μηδεὶς διδότω τέλος· ἐνταῦθα γὰρ πάλιν, εἰ μὲν παροξύνεις, ἢ ἵππων λέγεις ἢ ἡμιόνων. ἐὰν δὲ περισπάσῃς, αὐτὸν τὸν πιπράσκοντα· κατὰ δὲ διάστασιν συλλαβῶν, ὡς ἐπ' ἐκείνου, ἀριστεὺς τελευτῶν ἐν ταῖς διαθήκαις ἔγραψεν γενέσθαι Ἄρεα χρυσοῦν δόρυ ἔχοντα· καὶ ὁ μὲν ἱερεὺς ἀναγινώσκει, Ἄρεα χρυσοῦν, δόρυ ἔχοντα· οἱ δὲ Ἄρεα, χρυσοῦν δόρυ ἔχοντα· εὕρηται δὲ ἑτέρα ἀμφιβολία κατὰ τὸ ἀδιόριστον ὡς ἐπὶ τούτου· παῖς μὴ μαρτυρείτω· ζητεῖται γὰρ ποῖον παῖδα λέγει, τὸν τῇ ἡλικίᾳ παῖδα, τὸν υἱόν, ἢ παῖδα τὸν ἀκόλουθον· καὶ γὰρ τοὺς ἀκολούθους παῖδας ἐκάλουν· παράδειγμα καὶ τούτο· ἔθετο ὁ πλούσιος τὸν τοῦ πένητος παῖδα, τῷ παιδὶ προσγέγονε θυσιαζόντων ἀμφοτέρων τῶν γονέων, τελευτῶν ἔγραψεν, „ὁ πατήρ μου ἔστω κληρονόμος“· καὶ ἀμφισβητοῦσι, πότερον ὁ φύσας πατὴρ ἢ ὁ θετός, πατέρες γὰρ ἀμφότεροι καλοῦνται· εἰδέναι δὲ χρή, ὅτι αὐτὴ μὲν κατ' αὐτὴν ἀμφιβολία οὐδέποτε μελετηθήσεται, γλίσχρον γὰρ καὶ ἀτελὲς τὸ ζήτημα· ἐν ἑτέροις δὲ ἐμπεσὸν ὠφέλειαν παρέχει· ἡνίκα τε ἀπὸ χρησμοῦ ἤ τινος τῶν τοιούτων ἔσται περίστασις, ὡς ὁ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας, τὸ τοὺς ἡγεμόνας φυλάττεσθαι παρέλαβε λέγων· εἰ μὲν πολεμοῦσιν ἡμῖν εἶπεν ὁ θεός, τοὺς στρατηγοὺς δηλοῖ, εἰρήνης δὲ τοὺς δημαγωγούς.[1]

---

1 Cod. στρατηγωγούς, supra lin. δημαγωγούς. Dem. p. 436. τοὺς ἐπὶ τῆς πολιτείας ἐφεστηκότας.

καὶ ταῦτα μὲν περὶ τούτων· εἴδωμεν δὲ καὶ τὰ κεφάλαια.

Προβολῇ ῥητοῦ. κατὰ τὸ ἀμφίβολον δοκεῖ μέν πως ἰσάζειν ταῦτα, καὶ ἀναγκαῖον ἦν ἐκλείπειν αὐτά, ἀλλ' ἐκ τῆς ἐπαγομένης κατασκευῆς περὶ τὴν διάνοιαν τοῦ νομοθέτου ἀμφότερα τὴν κατασκευὴν ἔχει, ὥστε ταῦτα μὲν οὐκ ἂν εἶεν κεφάλαια, προτάσεις δὲ γίνονται τῆς διανοίας τοῦ νομοθέτου· ἀκόλουθος οὖν ἡ διάνοια τοῦ νομοθέτου κοινὴ οὖσα, ἕκαστος γὰρ πρὸς τὸ ἑαυτοῦ συμφέρον ἐξηγεῖται αὐτήν.

Τῷ περιέχοντι καὶ περιεχομένῳ. καὶ τοῦτο κοινόν ἐστιν, ὡς ἂν ἐγχωρῆσαι τὸ σὸν ἀποδεικνύναι μεῖζον.

Ἀντιθέσει. ἡ ἀντίθεσις ἡ μὲν φυγὴ καὶ δίωξις τοῦ κατηγόρου, ὡς ἐπὶ τῆς ἑταίρας τῆς φερούσης τὰ χρυσία ἀντεγκλητικὴ γίνεται· ἡ δὲ ἀμφισβήτησις ἀνάγκη ἢ ἐκλείπειν αὐτὴν, ἢ ἀντιστατικὴν γενέσθαι· ἐκλείπειν μὲν, ὡς ἐπὶ τῶν δύο πατέρων, ἀντιστατικὴ ὡς ἐπὶ τοῦ „πωλῶν μηδεὶς διδότω τέλος". ἐρεῖ γὰρ ἐνταῦθα, ὅτι μὴ βουλόμενος ἡμᾶς δοῦναι τέλος· διὰ τὴν εὐπορίαν καὶ τὴν ὠφέλειαν, ἣν ποιοῦμεν ταῖς πόλεσιν, ἐφιλανθρωπεύσατο ἡμᾶς ὁ νομοθέτης.

Μεταλήψει· μετάληψις ἐπὶ μὲν φυγῆς καὶ διώξεως ἐμπεσεῖται παρὰ τοῦ φεύγοντος λέγοντος, ὅτι ἕτερον τρόπον ἐχρῆν κολάζειν, καὶ οὐ τοῦτον, πολλάκις δὲ προειρήκαμεν καὶ διεμαρτυράμεθα, ὡς ἡ ἀντίθεσις ἀντιλήψεως φύσιν ἔχει, διὸ ἕπεται αὐτῇ ἡ μετάληψις· διὰ τοῦτο δὲ ἡ ἀντίληψις οὐκ ἐπήχθη ἐνταῦθα, ὥσπερ ἐπὶ τῶν ἄλλων, ὅτι ἐπὶ μὲν τῶν ἄλλων πασῶν ὡμολόγηται, ἐνταῦθα δὲ αὐτὸ τοῦτό ἐστι τὸ ἀμφίβολον τοῦ νόμου. καὶ οὐ δύναται ἐπ' ἐξουσίαν καταφυγεῖν. Ταῦτα περὶ ἀμφιβολίας.

---

## ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΥΡΙΟΥ

# ΜΑΞΙΜΟΥ ΤΟΥ ΠΛΑΝΟΥΔΗ

## ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ.[1]

*Τὴν ῥητορικὴν διαφόρως τινὲς ὡρίσαντο. Πλάτων μὲν γὰρ εἶπεν αὐτὴν πειθοῦς δημιουργόν·*[2] *οὐκ ἀποδεκτὸς δὲ οὗτος ὁ ὅρος, καὶ γὰρ καὶ κάλλος πείθει, ὥσπερ τὴν Ἑλένην οἱ τῶν Τρώων δημογέροντες ἰδόντες, καίτοι πολλὰ κακὰ δι' αὐτὴν πάσχοντες, εἶπον·*

1 Titulum posui ex auctoritate codicis Taurin. LXXVII. c. III. 20. Par. 2920 et 2918. vide praefationem voluminis IV. p. VIII. Prolegomena et primum caput descripsi ex Mon. 327. in quo, nullo auctoris nomine praefixo manu recentiore, quam cetera, scripta sunt: contuli Ven. Class. XI. 2. [Ven. 1.] initio etiam Ven. Class. VIII. 18. [Ven. 2.] et Taurinensem. Caput *περὶ στοχασμοῦ*, quod una cum sequentibus capitibus in Mon. scriptura pallida et minuta ad marginem adjectum est, descripsi ex Ven. 1., cetera capita *περὶ στάσεων* ex Par. 2926. Libros *περὶ εὑρέσεων*, *περὶ ἰδεῶν* et *περὶ δεινότητος*, qui in Ald. editione Tom. II. p. 352—417. continentur, contuli cum Par. 2918. Exigua in his codicibus lectionis varietas: omnes enim eodem fere tempore seculo XIV. exeunte vel XV. scripti sunt, neque ullum antiquiorem inveni, quamvis nullius commentarii plures codices existant, praesertim in bibliotheca Parisina et Ambrosiana. 2 Gorg. c. 8. p. 453. A.

Οὐ νέμεσις Τρῶας.[3]

καὶ τὰ ἑξῆς· καὶ Φρύνη δὲ ἀσεβείας κρινομένη, διαῤῥήξασα[4] τὸν χιτωνίσκον οὕτως ἔπεισε τοὺς δικαστὰς ἐνδοῦναι· καὶ Μιλτιάδης περὶ προδοσίας κρινόμενος οὐδὲν εἰπὼν[5] τὸ πάθος ὑπέδειξε· καὶ ἤρκεσεν ἀντὶ ῥητορείας ἡ θέα· Ἀριστοτέλης[6] δὲ δύναμιν τεχνικὴν τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου· οὐδ᾽ οὗτος ἀποδεκτέος· ἁρμόζει δὲ καὶ τῇ διαλεκτικῇ· ἄλλοι δὲ ὡρίσαντο[7] ταύτην οὕτως· δύναμις ἀνασκευαστικὴ καὶ κατασκευαστικὴ δικαίων τε καὶ ἀδίκων πραγμάτων· οὐκ ἀποδεκτέος οὐδ᾽ οὗτος, κοινὸς γάρ ἐστι πάσῃ τέχνῃ, καὶ τὸ ἀγαθὸν, καὶ τὸ κακὸν ἐπισταμένῃ· ἕτεροι δὲ οὕτως· ἐπιστήμη τοῦ εὖ λέγειν· ἡμάρτηται δὲ καὶ οὗτος ἐπιστήμην αὐτὴν καλῶν, ἣν ὁ Πλάτων ἐν Γοργίᾳ[8] πολιτικῆς μορίου εἴδωλον, τοῦ δικαστικοῦ δηλαδὴ, ὀνομάζει· οἱ δὲ Ἑρμαγόρειοι οὕτως· δύναμις περὶ λόγον, τέλος ἔχουσα τὸ πείθειν, ὅσον ἐφ᾽ ἑαυτῇ· ἐλλιπὴς[9] δὲ καὶ οὗτος, οὐ γὰρ περιέχει τὸ ὑποκείμενον, τουτέστι τὰ πολιτικὰ πράγματα· τὸ μέντοι δύναμις πρᾶγμά ἐστιν ἐν μεσότητι, ᾧ ἔξεστι καὶ καλῶς καὶ κακῶς χρήσασθαι· ὡς πλοῦτος, ἰσχὺς, μάχαιρα οἷς ὅμοιόν ἐστι καὶ ἡ ῥητορική· Διονύσιος δὲ[10] ὁ Ἁλικαρνασεὺς οὕτως· „δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς[11] εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον·“[12]

---

3 Taur. πρῶας. Il. γ. 156. 4 Ven. 1. διαρήξασα. — Athen. XIII. p. 590. 5 Herod. VI. 136. Μιλτιάδης δὲ αὐτὸς παρεὼν μὲν οὐκ ἀπολογέετο, ἦν γὰρ ἀδύνατος, ὥστε σηπομένου τοῦ μηροῦ, προκειμένου δὲ αὐτοῦ ἐν κλίνῃ ὑπεραπολογέοντο οἱ φίλοι. Cfr. Corn. Nep. c. 7. 6 Rhet. I. c. 2. ἔστω δὴ ῥητορικὴ δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν. 7 Taur. διωρίσαντο. 8 c. 18. p. 463. D. 9 Ven. 1. ἐλλειπής. 10 δὲ Taur. om. id. et Mon. Ἁλικαρνασεὺς Ven. 1. Ἁλικάρνασσεύς. 11 Ven. 1. et 2. καλῶς. 12 Sequitur in Taur. Ven. 1. 2. Τὸ

*ἀλλὰ δοκεῖ τῶν λοιπῶν ἄμεινον ὁρίσασθαι τὴν ῥητορικὴν ὁ οὕτως ὁρισάμενος· „ῥητορική ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον·“ ἀλλ᾽ ἐπειδὴ πᾶς ὁρισμὸς ἐκ γένους καὶ συστατικῶν διαφορῶν λαμβάνεται, ἴδωμεν, ποία μὲν λέξις ἀντὶ γένους παρείληπται, ποῖαι δὲ ἀντὶ συστατικῶν διαφορῶν σύγκεινται. Παρείληπται τοίνυν τὸ μὲν „τέχνη“ ἀντὶ γένους, τὰ δὲ λοιπὰ ἀντὶ συστατικῶν διαφορῶν, καὶ τὸ μὲν περὶ λόγου δύναμιν διὰ τὴν τεκτονικὴν καὶ τὰς ἄλλας πρακτικὰς τέχνας, τὸ δὲ ἐν πράγματι πολιτικῷ διὰ τὴν γραμματικὴν καὶ διαλεκτικὴν, τὰ δὲ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον ἐκ τοῦ τέλους παρείληπται· οὐ γὰρ πανταχοῦ πείθει ὁ ῥήτωρ, ἀλλ᾽ ἔσθ᾽ ὅτε καὶ ἀποτυγχάνει· δεῖ μέντοι τοῦτον τὰ πείθειν πεφυκότα διεξιέναι. Ἰστέον δὲ, ὅτι πέντε εἰσὶ ῥητορικαὶ, μία μὲν ἡ πρώτη καὶ κυριωτάτη ἡ ἀντίστροφος τῇ φιλοσοφίᾳ, ᾗ ἐχρήσατο Πυθαγόρας καὶ Σωκράτης καὶ Πλάτων, πειθοῖ γάρ τινι, καὶ οὐχ ὡς ἔτυχε, τὸ ἀληθὲς[13] ἀπεδείκνυον, δευτέρα[14] ἡ ἀντίστροφος τῇ πολιτικῇ, ἧς ἡγήσαντο[15] Μιλτιάδης καὶ Κίμων καὶ Θεμιστοκλῆς· οὗτοι γὰρ μηδὲν συγγραφόμενοι ἐπολιτεύοντο· τρίτη ἡ ἀντίστροφος τῇ διαλεκτικῇ, περὶ ἧς ἡμῖν πρόκειται λέγειν, ἧς ἡγήσατο Δημοσθένης[16] καὶ Λυκοῦργος καὶ ἄλλοι ῥήτορες· τετάρτη ἡ συκοφαντικὴ, ἧς ἡγήσαντο[17] Ἀριστογείτων καὶ Ἡγήμων· πέμπτη ἡ κολακευτικὴ, ἧς ἡγήσατο Δημάδης, ναύτης ὢν, ἐπιπηδή-*

---

μὲν οὖν τέχνη ἀντὶ γένους εἴληπται, τὰ δὲ λοιπὰ ἀντὶ συστατικῶν διαφορῶν, καὶ τὸ μὲν πιθανοῦ λόγου διὰ τὴν τεκτονικὴν καὶ τὰς ἄλλας πρακτικὰς τέχνας, τὸ δ᾽ ἐν πράγματι πολιτικῷ διὰ τὴν γραμματικὴν καὶ διαλεκτικὴν, τὸ δὲ πιθανῶς εἰπεῖν ἐκ τοῦ τέλους παρείληπται. Eadem sequuntur paullo post justo loco. 13 Ven. τἀληθές. 14 in Ven. 1. Taur. insertum δέ. 15 Ven. 1. ἡγήνατο. 16 Taur. Ἀριστογείτων. 17 Taur. ἡγησατο.

σας δὲ τῇ τέχνῃ [18] καὶ ἀλόγως αὐτὴν μετερχόμενος. Ὅτι καὶ παρ' Ὁμήρῳ ἐγνωσμένον ἦν τὸ τῆς ῥητορικῆς ὄνομα· φησὶ γοῦν; ὡς ἐκ τοῦ Φοίνικος· [19]

Τοὔνεκα μὲ προέηκε διδασκέμεναι τάδε πάντα,
Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρα δὲ ἔργων.

καὶ οἱ θεοὶ παρ' αὐτῷ δημηγοροῦντες εἰσάγονται, ὡς καὶ [20] παρ' αὐτοῖς δῆλον εἶναι, ῥητορικὴν πολιτεύεσθαι, ἔνθα φησίν·

Οἱ δὲ θεοὶ παρ' Ζηνὶ καθήμενοι ἠγορόωντο· [21]

καὶ ἐν ἥρωσιν ἦν ἡ ῥητορική, ἔνθα φησί· [22]

Τοῖσι δὲ Νέστωρ,
Ἡδυεπὴς ἀνάρουσε λιγὺς Πυλίων ἀγορητής·
Τοῦ καὶ ἀπὸ στόματος γλυκίων μέλιτος ῥέεν αὐδή.

καὶ αὖθις· [23]

Ἀλλ' ἤτοι Μενέλαος ἐπιτροχάδην ἀγόρευεν,
Παῦρα μὲν, ἀλλὰ λιγέως.

Ἐφάνη δὲ ἡ ῥητορικὴ καὶ ἤκμασεν ἐν Σικελίᾳ. Γέλωνος γὰρ καὶ Θέρωνος τετελευτηκότων μετέπεσεν εἰς δημοκρατίαν τὰ πράγματα. Κόραξ οὖν τις, συνετὸς ἀνὴρ, κεχρῆσθαι πράγμασιν ἱκανὸς, συνιδὼν, ὅτι οὐχ ὅμοιον τυράννῳ, διακονεῖσθαι καὶ δήμου γνώμην χειρώσασθαι ἀπελθὼν συνέθηκε τέχνην περὶ προοιμίων καὶ διηγήσεων καὶ ἀγώνων καὶ ἐπιλόγων, δι' ὧν τὸν δῆμον ἔπειθεν· ἐντεῦθεν προῄει βοῶν καὶ παρακαλῶν τὸν βουλόμενον μαθεῖν ἐπὶ ῥητῷ μισθῷ χιλίων δραχμῶν· ὁ τοίνυν Τισίας προσῆλθε μαθεῖν, καὶ μαθὼν ἠγνωμόνησεν αὐτῷ περὶ τὸν μισθὸν, καὶ ἐπὶ τούτῳ συνέστη δικαστήριον, καὶ τῶν κριτῶν συνελθόντων ἔφη ὁ Κόραξ διλημμάτῳ χρησάμενος· ὡς εἰ μὲν νικήσει ὁ Τισίας, [24] ὤφειλε παρασχεῖν, ὠφέληται γάρ· εἰ δὲ μὴ νικήσει, καὶ οὕτως ὤφειλε

---

18 Cfr. Tom. IV. p. 40. l. 3. 19 Il. ι, 442. 20 καὶ recepi ex Ven. 1. om. Mon. 21 Il. δ, 1. 22 Il. α, 248. 23 Il. γ, 213. 24 Mon. constanter Σιτίας. Ven. 1. 2. Τισίας.

παρασχεῖν, ἡττήθη γάρ· ὁ δὲ Τισίας πρὸς ταῦτα λέγων ἀπεκρίνατο· ὡς εἰ μὲν νικήσω, οὐκ ὤφειλον παρασχεῖν, νενίκηκα[25] γάρ, εἰ δὲ μὴ νικήσω, καὶ οὕτως οὐκ ὤφειλον παρασχεῖν, οὐ γὰρ ὠφελήθην. Ἀπορήσαντες οὖν οἱ δικασταὶ ἀνεβόησαν λέγοντες· „κακοῦ κόρακος κακὸν ᾠόν," τουτέστι δεινοῦ διδασκάλου δεινὸς ὁ μαθητής. Ἐπλατύνθη δὲ ἀπὸ Γοργίου τοῦ Λεοντίνου, ὃς πρεσβευτὴς ἀποσταλεὶς πρὸς τοὺς Ἀθηναίους οὕτως ἐπέτυχεν, ὥστε τὰς ἡμέρας ἐκείνας ἐν αἷς ἐπεδέξαντο[26] οἱ Ἀθηναῖοι ἑορτὰς ἐκάλουν, τοὺς δὲ λόγους αὐτοῦ λαμπάδας· ὥσπερ γὰρ τὸ πῦρ ἐκκρούει τὸ σκότος, οὕτως καὶ οἱ συνετοὶ λόγοι τὴν ἄνοιαν.

Διαιρεῖται δὲ ἡ ῥητορικὴ εἰς εἴδη τρία, δικανικόν, συμβουλευτικὸν καὶ πανηγυρικόν· καὶ τὸ μὲν δικανικὸν αὖθις εἰς κατηγορίαν καὶ ἀπολογίαν, οὗ χαρακτηριστικά, τόπος μὲν τὸ δικαστήριον, πρόσωπον δὲ οἱ δικασταί, τέλος δὲ τὸ δίκαιον· τὸ δὲ συμβουλευτικὸν εἰς προτροπὴν καὶ ἀποτροπήν, οὗ χαρακτηριστικά,[27] τόπος μὲν τὸ βουλευτήριον, πρόσωπον[28] δὲ ὁ βουλευτής, τέλος δὲ τὸ συμφέρον· τὸ δὲ πανηγυρικὸν εἰς ἐγκώμιον καὶ ψόγον· χαρακτηριστικὰ δὲ αὐτοῦ, τόπος μὲν τὸ θέατρον, πρόσωπον δὲ ὁ πανηγυριστὴς[29] ἢ ὁ θεατής, τέλος δὲ τὸ καλόν· εἴδη δέ εἰσι τρία· ἐπειδὴ καὶ τρία τὰ τῆς ψυχῆς μέρη· λογικόν, ᾧ ἀναλογεῖ τὸ συμβουλευτικόν· θυμικόν, ᾧ τὸ δικανικόν,[30] ἐπιθυμητικόν, ᾧ τὸ πανηγυρικόν· καὶ[31] τὸ μὲν δικανικὸν ἔχει τὸν παρεληλυθότα

25 Ven. 1. 2. νενίκηκα γάρ· εἰ δὲ μὴ νικήσω. Mon. ἐνίκησα γάρ, εἰ δὲ οὐ νικήσω. 26 Malim ἐπεδείξατο sc. ὁ Γοργίας. 27 In Mon. oculi lapsu repetuntur verba praegressa: τόπος μὲν τὸ δικαστήριον — τὸ δίκαιον. Tum justo ordine sequuntur: τὸ δὲ συμβουλευτικὸν εἰς προτρ. κ. τ. λ. Emendavi ex Ven. 1. 28 Ven. 1. πρόσωπα. Mon. Taur. πρόσωπον. 29 Taur. πανηγυρικός. 30 Taur. Ven. 1. inserit καί. 31 Taur. Ven. 1. 2.

χρόνον· περὶ γὰρ παρεληλυθότων ἡ δίκη γίνεται· τὸ δὲ συμβουλευτικὸν τὸν μέλλοντα· τὸ δὲ πανηγυρικὸν τὸν ἐνεστῶτα· ἥ γε μὴν πρόοδος τούτων ἐκ τοιαύτης αἰτίας γίνεται. Τῶν πραγμάτων τὰ μέν εἰσι καθ᾽ αἵρεσιν, τὰ δὲ κατὰ μάχην· προτρεπόμεθα τοίνυν τινὰ πολλάκις ἑλέσθαι τι, καὶ εἰ μὲν καταδέξεται, τὸ συμβουλευτικὸν κατεσκευάσαμεν· ἂν δὲ ἐν τῇ πρὸς τὸ λεγόμενον, τὸ δικανικὸν ἡμῖν εἶδος ἀνακύπτει· μετὰ δὲ ταῦτα λοιπὸν ἐπαινοῦμεν ἢ ψέγομεν. Τρόποι δὲ ὁμοίως ῥητορικῶν ἀναγνώσεων τρεῖς· πρῶτος μὲν, ὁ σύντονος, ὁ τῷ δικανικῷ ἁρμόζων, κατὰ τὸ·[32]

Ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσι·

δεύτερος ὁ ἀνειμένος, ὁ τοῦ πανηγυρικοῦ κατὰ τὸ,[33]

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή·

τρίτος ὁ καλούμενος μέσος, ὅς ἐστι καὶ συμβουλευτικὸς, καὶ ἐξηγητικὸς καὶ ἐπιστολιμαῖος.

Ὅτι ῥήτορος ἔργα, νόησις, εὕρεσις, διάθεσις· νόησις μὲν, γνῶναι τὸ πρόβλημα, εἰ πολιτικόν ἐστιν, ἢ μὴ, καὶ εἰ συνίσταται, ἢ μὴ, καὶ ἐπὶ ποῖον εἶδος τῆς ῥητορικῆς ἢ στάσιν ἀνάγεται· εὕρεσις δὲ, εὑρεῖν τὸν ὀφείλοντα λεχθῆναι· διάθεσις δὲ, τάξαι καὶ οἰκονομῆσαι, τί μὲν πρῶτον, τί δὲ δεύτερον καὶ ἐφεξῆς εἰπεῖν δεῖ. Ἐξηγήσεται δὲ ὁ ῥήτωρ τὰ ῥητορικὰ μαθήματα ἑπταχῶς· κατὰ ἀλληγορίαν, ὅταν ἔξωθεν καὶ παρὰ τὸ κείμενον ἕτερόν τι νοούμενον ἀγορεύσῃ, κατὰ προϋφήγησιν, ὅταν τὰ κεφάλαια καὶ τὰ ἐνθυμήματα τῆς μελλούσης λέγεσθαι πράξεως συνοψίσας θεωρήσῃ καὶ προδιαστείληται πρὸς σαφεστέραν νόησιν τοῦ ἀκροατοῦ. κατὰ τέχνην, ὅταν εἴπῃ,[34] „ἐνταῦθα εἰ τύχοι πρότασίς ἐστιν, ἢ κατασκευὴ, ἢ μεταληπτικὸν, ἢ ὁρικὸν κεφάλαιον,

ἐκληρώσατο δὲ τὸ μὲν δικανικόν. 32 Il. γ, 222. 33 Il. α, 249. 34 Ven. 1. εἴπῃ. Mon. εἴποι.

ἤ τι τῶν ἀπὸ τῆς τέχνης παραδεδομένων·“[35] κατὰ ἱστορίαν, ὅταν τὴν ὑποκειμένην ἱστορίαν ἀφηγήσηται, χρόνους λέγων τῆς ἱστορίας καὶ πρόσωπα καὶ αἰτίας, καὶ ὅσα κοσμεῖ τὴν ἱστορίαν. κατὰ σχῆμα, ὅταν εἴπῃ. „ἐνταῦθα παρ' ὑπόνοιαν, ἢ παρὰ προσδοκίαν, ἤ τι τῶν τοιούτων·“ κατὰ ἰδέαν, ὅταν εἴπῃ, „ἐνταῦθα λαμπρότης ἐστὶν ἢ σφοδρότης·“ κατὰ σαφήνειαν, ὅταν τὸ ἐμπεσὸν νόημα σαφηνίσῃ. Δεῖ δὲ τὸν ἐξηγητὴν καὶ[36] τρία πρὸ πάντων ζητεῖν παρὰ τοῦ ἀκροατοῦ, εἰ ἐνόησε τὸ ἐνθύμημα, εἰ συνῆκε τὴν λέξιν, εἰ ἐπέστησε τῇ συντάξει· τὸν γὰρ ἀγνοοῦντα ἕν τι τούτων ἀνάγκη ἀγνοεῖν. Ὅτι ῥητορικὴ διαλεκτικῆς διαφέρει, τῷ τὴν μὲν ὕλην ἔχειν τὰ πολιτικά, τὴν δὲ διαλεκτικὴν περὶ πάντων διαλέγεσθαι· ἔπειτα τοῖς ὀργάνοις, ὅτι τεσσάρων ὄντων,[37] δι' ὧν αἱ πίστεις γίνονται, συλλογισμοῦ, ἐπαγωγῆς, ἐνθυμήματος, παραδείγματος, διαλεκτικῆς μέν ἐστιν ὁ συλλογισμὸς, καὶ ἡ ἐπαγωγή· τὰ δὲ λοιπὰ τῆς ῥητορικῆς· ἔστι δὲ συλλογισμὸς μὲν ὁ ἀπὸ τῶν καθόλου τὰ κατὰ μέρος κατασκευάζων, οἷον πᾶσα προδοσία κακὸν, προδότης Αἰσχίνης, οὐκοῦν ἄρα καὶ Αἰσχίνης κακόν· ἐπαγωγὴ δὲ ἡ ἀπὸ τῶν μερικῶν τὸ καθόλου δεικνῦσα· οἷον πᾶς ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, καὶ ἵππος, καὶ κάμηλος καὶ ὄνος, οὐκοῦν ἄρα πᾶν ζῶον τὴν κάτω γένυν κινεῖ. τοῦτο δὲ οὐ πάντως ἐστίν· ἀμέλει ὁ κροκόδειλος τὴν ἄνω γένυν κινεῖ· τὰ μὲν γὰρ καθόλου τῶν μερικῶν διϊκνεῖται, τὰ δὲ μερικὰ οὐ πάντως τῶν καθόλου. ἐνθύμημα δέ ἐστιν ἀτελὴς συλλογισμὸς, καὶ οὐκ ἔχων ἀπὸ τοῦ συμπεράσματος τὸ ἀναγκαῖον, ὥσπερ ἐκεῖνος·[38] „ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ

35 Mon. παραδιδομένων. Ven. 1. παραδεδ. 36 καὶ Ven. 1. non habet. 37 Haec usque ad p. 219. l. 6. Εὐβοεῦσι βεβοηθηκότες leguntur fere ad verbum in Anonymi Prolegomenis, quae continentur in Codd. Monac. 376 et 123. 38 In Mon. manu re-

κατασκευαζόμενος οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ·“ οὐκέτι γὰρ ἐπήνεγκεν, ὥσπερ ἐν συμπεράσματι· „οὐκοῦν καὶ Φίλιππος ταῦτα ποιῶν προδήλως ἡμῖν πολεμεῖ·“ παράδειγμα δὲ ἡ ἐκ τῶν προλαβόντων ὁμοίωσις, ὡς ἐν τῷ πρώτῳ τῶν Φιλιππικῶν [39] „εἰ γὰρ ὅθ᾽ ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες,“ καὶ τὰ ἑξῆς· ἔτι διαφέρει, καὶ ὅτι ἡ μὲν κατὰ πεῦσιν μόνον καὶ ἀπόκρισιν προάγεται ἡ διαλεκτική, ἡ δὲ κατὰ πάντα λόγον τρόπον τε καὶ ἰδέαν. Ὅτι τέχνη διαφέρει ἐπιστήμης καὶ ἐμπειρίας· ἐπιστήμης μὲν γὰρ μία ὁδὸς ἐπὶ τὴν ἀλήθειαν, καὶ οὐδέποτε σφάλλεται, ὡς καὶ ὁ γραμματιστής, τουτέστιν ὁ χαμαιδιδάσκαλος ἀεὶ τὴν αὐτὴν διδασκαλίαν ποιεῖται, μηδὲν μετατρέπων τῶν εἰθισμένων· ἐμπειρία δ᾽ ἐστὶν ἄλογος τριβὴ ἐκ παρατηρήσεως γινομένη· ἴδιον δὲ αὐτῆς τὸ ἀλόγως πράττειν πάντα, καὶ μηδέποτε ἐπιτυγχάνειν, εἰ μὴ ἐκ τοῦ παραδόξου· παράδειγμα δὲ αὐτῆς ἐστιν ὁ ἐπιδίφριος ἰατρός· θεασάμενος γὰρ λογικὸν ἰατρὸν [40] νέῳ πυρέττοντι ψυχρὸν ὕδωρ παρέχοντα ἐπὶ κεκαυμένῃ χολῇ ἐν θέρει καὶ ὑγείαν ποιήσαντα κατὰ τὸν ἰατρικὸν λόγον τὸν λέγοντα, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, παρέσχεν ἀπαραφυλάκτως μὴ σκοπήσας τὴν αἰτίαν, καὶ πολλοὺς μὲν ἀνεῖλεν, [41] ἕνα δὲ ἔσωσεν ἐκ τοῦ παραδόξου· ἡ δὲ τέχνη ἐν μὲν τοῖς λογικοῖς κανόσιν αὐτῆς τοῦ ἀπταίστου ἔχεται, διὰ δὲ τὰ ἔξωθεν συμπίπτοντα ἔστιν ὅτε καὶ ἁμαρτάνει, καὶ μεθόριόν ἐστιν ἐπιστήμης καὶ ἐμπειρίας· ὅθεν καὶ τῆς ἐπιστήμης μίαν ὁδὸν ἐπὶ τὴν ἀλήθειαν γινωσκούσης, οἱ ῥήτορες οὐ διὰ τῶν αὐτῶν ἔρχονται, οὔτε ἀλλήλοις,

centiore superscriptum est: Δημοσθένους ἐν λόγῳ περὶ τῶν ἐν Χεῤῥονήσῳ, Est Phil. III. p. 115. 39 Olynth. I. p. 11. 40 Mon. Ven. 1. ἰατρικὸν, scripsi ἰατρόν. 41 Ven. 1. ἀνεῖλεν, ἔσωσιν. Mon. ἀναιρήσει, σώσει. Paullo post Ven. 1. λόγοις καὶ κανόσιν.

οὔθ' [42] ἑαυτοῖς, ἀλλὰ καὶ ἑαυτοῖς πολλάκις ἐναντιοῦνται· ὥσπερ παρὰ [43] Θουκυδίδῃ· ἐν μὲν τῇ πρώτῃ ἱστορίᾳ μέμψις ἐστὶ τῆς καταφρονήσεως· „οὐ γὰρ δὴ ἐπὶ τὴν πολλοὺς βλάψασαν καταφρόνησιν καταφεύξεσθε.“ ἐν δὲ τῇ τρίτῃ [44] ἱστορίᾳ φησὶν, ὅτι δεῖ κατὰ τῶν πολεμίων ἐλθεῖν οὐ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι· οὐκοῦν οὐκ ἐπιστήμη ἐστὶν ἡ ῥητορικὴ ἀλλὰ τέχνη.

Ὅτι πρὸς τέσσαρα ἐστὶν ἡμῖν ἡ ῥητορικὴ χρήσιμος· πρῶτον μὲν πρὸς τὴν τῶν ἀληθῶν καὶ δικαίων ἐν τοῖς πολιτικοῖς πράγμασιν ἐπίγνωσιν· δεύτερον, τὸ διὰ τῶν κοινῶν καὶ πιθανῶν λόγων πείθειν τοὺς πολλοὺς, ἀλλὰ μὴ διὰ τῶν ἐπιστημονικῶν, ὧν ἐπαΐειν παντελῶς ἀδυνατοῦσι· τρίτον τὸ πρὸς τὰ ἀντικείμενα δύνασθαι διὰ λόγου βοηθεῖν ἑαυτοῖς· τέταρτον τὸ πᾶσαν ἐν λόγοις εὔροιαν, ἥτις πρὸς ἅπασαν ἐπιστήμην ἐστὶ χρήσιμος, ἐκ ταύτης ἡμῖν προσγίνεσθαι.

Ὅτι μέρη τοῦ πολιτικοῦ λόγου πέντε, προοίμια, διηγήσεις, ἀντιθέσεις, λύσεις, ἐπίλογοι, ὧν τινες τὰς ἀντιθέσεις καὶ λύσεις ἑνὶ καλοῦσιν ὀνόματι, τῷ τῶν ἀγώνων, ὡς γίνεσθαι τὰ μέρη τέσσαρα· καὶ ἐπεὶ τοῦ λόγου τὸ μὲν πραγματικόν ἐστι, τὸ δὲ παθητικὸν, τὸ [45] μὲν πραγματικὸν ἔχει τὰς διηγήσεις καὶ τοὺς ἀγῶνας· ἐν τούτοις γὰρ περὶ ζητήματος τῶν πραγμάτων ποιούμεθα τοὺς λόγους· [46] τὸ δὲ παθητικὸν ἔχει τὰ προοίμια, καὶ τοὺς ἐπιλόγους· ἐν τούτοις γὰρ πάθος κινοῦμεν τοῖς ἀκροαταῖς, [47] εὔνοιαν μὲν πρὸς ἡμᾶς, ὀργὴν δὲ κατὰ τῶν ἀντιδίκων· τούτοις προστιθέασι πολλάκις οἱ ῥήτορες προκατασκευὴν καὶ παρέκβασιν· ἣν καὶ προδιήγησιν ἔνιοι καλοῦσι· προοίμιον μὲν οὖν ἐστι, λόγος παρασκευάζων τὸν ἀκροατὴν καὶ οἰκείως διατιθεὶς πρὸς τὸ

---

42 Ven. 1. οὔτε. 43 Ven. 1. παρὰ τῷ. — Thuc. I. 122. 44 L. II. 62. 45 Mon. καὶ τό. Ven. 1. καὶ om. 46 Ven. 1. τοὺς λόγους ποιούμεθα. 47 Ven. 1. δικασταῖς.

παραδέξασθαι ἢ ἀποθέσθαι τόδε τι πάθος τῆς ψυχῆς· διήγησις δὲ τῶν ἐν τῇ ὑποθέσει πραγμάτων ἔκθεσις, εἰς τὸ ὑπὲρ τοῦ λέγοντος μέρος ῥέπουσα· ἀντίθεσις δὲ ἡ τοῦ ἀπολογουμένου προσώπου ἔνστασις, ἡ τὸ ἐν ἡμῖν πιθανὸν διαλύουσα καὶ πρὸς εὐλογωτέραν ἔννοιαν τὸν ἀκροατὴν μετάγουσα· λύσις δὲ λόγος, τὴν ἐκ τῆς ἐνστάσεως βλάβην ἀφαιρούμενος, καὶ εἰς συγκατάθεσιν ἰέναι πείθων τοῦ προκειμένου ζητήματος· ἐπίλογος δὲ λόγος ἐπὶ προειρημέναις ταῖς ἀποδείξεσιν ἐπαγόμενος, ἀθροισμὸν πραγμάτων καὶ ἠθῶν καὶ παθῶν παρέχων.

Ὅτι αἱ ἀποδείξεις καὶ λύσεις [48] καὶ πίστεις λέγονται· ὧν αἱ μὲν ἄτεχνοι, ὡς μαρτυρίαι καὶ νόμοι καὶ ψηφίσματα, καὶ ὅσα ἔγγραφα· ἔντεχνοι δὲ αἱ ἀπὸ τῶν εἰκότων λεγόμεναι.

Ὅτι τῶν τεχνῶν αἱ μέν εἰσι λογικαί, αἳ καὶ θεωρητικαὶ λέγονται, ὧν ἐστι καὶ ἡ ῥητορική, αἱ δὲ πρακτικαί, ὡς ἡ οἰκοδομική, αἱ δὲ μικταί, καὶ τούτων αἱ μὲν ἐπίσης λόγου καὶ πράξεως δέονται, ὡς ἡ κιθαρῳδία, αἱ δὲ πλείονος λόγου ἢ πράξεως ὡς ἡ γραμματική, καὶ γὰρ ὁ γραμματικὸς πολλῇ χρησάμενος τῇ ἐξηγήσει ἔστιν ὅτε καὶ πράξει ὀλίγῃ κέχρηται, στίζων ἢ τονίζων· αἱ δὲ πλείονος πράξεως ἢ λόγου, ὡς ἡ ἰατρική, καὶ γὰρ ὁ ἰατρὸς φλεβοτομῶν καὶ τέμνων καὶ καίων πλείστῃ μὲν πράξει κέχρηται, ὀλίγῳ δὲ λόγῳ, διὰ τὸ τὰς αἰτίας ἀποδοῦναι· καὶ τὰ πολλά, ἃ μηχανώμενος ποιεῖ πρὸς κτῆσιν τῆς [49] ὑγείας, πράξεως εἰσίν.

48 Ven. καὶ πίστεις καὶ λύσεις. 49 τῆς Ven. 1. om.

## ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΩΝ ΣΤΑΣΕΩΝ.

Ὁ τὸ τῆς ῥητορικῆς βιβλίον συντεταχὼς Ἑρμογένης ἐστὶν ὁ Ταρσεύς, ὃς γέγονε μὲν ἐπὶ Μάρκου τοῦ βασιλέως καὶ Ἀριστείδου τοῦ ῥήτορος. ἐπαίδευσε δὲ πρῶτον ἐν Ταρσῷ. διαβὰς δὲ ἐπὶ τὴν Ἀσίαν κἀκεῖ παιδεύων τοσοῦτον ἐθαυμάσθη, ὡς καὶ τὸν Μάρκον φοιτῶντα συνεχῶς παρὰ τὸ διδασκαλεῖον ἀκούειν αὐτοῦ· πρὸς ὃν φασι καὶ τοῦτο [1] τὸν Ἑρμογένην εἰπεῖν: „ἥκω σοί, βασιλεῦ, ῥήτωρ παιδαγωγοῦ ἔτι δεόμενος“. Ἑπτακαίδεκα μὲν γὰρ ἐτῶν γεγονὼς γράφει τὸ προκείμενον βιβλίον. εἰς τρίτον δὲ καὶ εἰκοστὸν προελθὼν τὸ περὶ τῶν ἰδεῶν ἐξέδωκε σύνταγμα, ἐν δὲ τῷ πέμπτῳ καὶ εἰκοστῷ ἐξελάθετο, ὥστε καὶ λέγεται, ἐπ᾽ αὐτῷ τοὺς ἀντιτέχνους εἰπεῖν, „Ἑρμογένης ἐν παισὶ μὲν γέρων, ἐν δὲ γέρουσι παῖς“.

Ἐπεὶ δὲ ἐν ἀρχῇ παντὸς βιβλίου [2] ταῦτα ζητεῖται, ὁ σκοπός, τὸ χρήσιμον, τίς ἡ ἐπιγραφή, εἰ τοῦ παλαιοῦ γνήσιον τὸ βιβλίον, τίς ἡ τάξις τῆς ἀναγνώσεως, τίς ἡ εἰς τὰ μέρη τομή, καὶ ἡμῖν ζητητέον. Σκοπὸς μὲν οὖν ἐστιν αὐτῷ ἐν τῷ τῶν στάσεων βιβλίῳ, περὶ τῆς εἰς κεφάλαια διαιρέσεως τῶν ῥητορικῶν ζητημάτων εἰπεῖν· ἀλλὰ πρῶτον μὲν περὶ τῶν ἀσυστάτων προβλημάτων φησί, δεύτερον δὲ περὶ τῶν συνεστώτων διέξεισιν, ἃ καὶ ζητήματα λέγεται. καὶ τρίτον τὴν τούτων εἰς τὰ κεφάλαια ποιεῖται διαίρεσιν. Ἐκ δὲ τοῦ σκοποῦ καὶ ἡ εἰς τὰ μέρη τομὴ σεσαφήνισται· τέμνεται γὰρ τὸ ὅλον βιβλίον τῶν στάσεων εἴς τε τὰ ἀσύστατα καὶ συνεστῶτα, καὶ εἰς τὴν τῶν συνεστηκότων διαίρεσιν. Τὸ δὲ χρήσι-

1 Taur. τοῦτο Mon. τοῦτον. 2 Taur. βυβλίου (ut constanter per totum codicem) παντός.

μον, ὅτι τῆς ῥητορικῆς τὸ μέν ἐστιν ἐξηγητικὸν,[3] τὸ δὲ λεκτικόν· οὐδέτερον οὖν τούτων εἰδέναι δυνατὸν, ἀμύητον ὄντα τοῦ παρόντος συγγράμματος. Διελεῖν μὲν γὰρ λόγον ἀρχαῖον χωρὶς τέχνης ἀδύνατον· εἰπεῖν δέ τι καινότερον ἐκτὸς τέχνης πάλιν ἀδύνατον, ἐνταῦθα δέ φασί τινες ἄχρηστον εἶναι τὴν ῥητορικὴν, ὡς περὶ καθολικῶν διαλεγομένην στάσεων, τὸ δὲ περὶ τῶν καθόλου διαλέγεσθαι φιλοσόφων, ἀλλ' οὐ ῥητόρων. Πρὸς δὴ τοῦτο φαμὲν, ὅτι πᾶσα τέχνη καθολικοὺς μὲν τοὺς κανόνας καὶ τοὺς λόγους αὐτῆς ἔχει, μερικὰ δὲ τὰ ἀποτελέσματα· λέληθε δ' αὐτοὺς, καὶ ὅτι διαφέρει τέχνη ἐμπειρίας· ἡ μὲν γὰρ ἐμπειρία τῶν μερικῶν ἀντέχεται, ἡ δὲ τέχνη καθολικοὺς ἔχει λόγους, ὥσπερ καὶ ἡ ῥητορική. Τὴν δὲ διαφορὰν τούτων καὶ Πλάτων ἐν τῷ Μένωνί φησιν·[4] „ὥσπερ γὰρ εἰ τὸν Δαίδαλον," φησὶν, „ὑποθοίμεθα ποιῆσαι ἀνδριάντας δύο, ὧν ὁ μὲν ἕτερος πτερωτός ἐστι καὶ μεθιστάμενος, ὅπη τύχοι, ὁ δὲ ἕτερος ἐπὶ βάσεως ἕστηκε καὶ διὰ τοῦτο ἔχει τὴν στάσιν βεβαίαν[5] ἀεὶ καὶ ἀκίνητον, οὕτως ἡ μὲν ἐμπειρία τοῦ μερικοῦ ἀντιλαμβανομένη ἅμα τῷ ἀποτυχεῖν ἀφίπτασθαι πέφυκεν· ἡ δὲ τέχνη οὐχ οὕτως, ἀλλ' ἔχουσα καθολικοὺς λόγους τὴν αἰτίαν ζητήσει, καὶ οὐκ εὐθὺς ἀποστήσεται. Ἔτι δέ[6] φασι μὴ χρήσιμον εἶναι τὸ βιβλίον τόδε διὰ ταῦτα· εἰ γὰρ, φασὶ, διδάσκει ἡμᾶς, πῶς ὑπὲρ ὧν ἐγκαλούμεθα, ἀπολογεῖσθαι μελλήσομεν, οὐδὲν πλέον ἡμῖν τῆς φύσεως δίδωσι· καὶ γὰρ ἐν τῷ στοχασμῷ οὐδὲν ἕτερον ἐρεῖ ὁ κατηγορούμενος, ἢ ὅτι οὐκ ἐφόνευσε, καὶ χρήσεται πρὸς τοῦτό τισιν ἀποδείξεσιν, εἰ τοίνυν τοῦτο παρὰ τῆς φύσεως ἔχομεν, τὸ τῆς τέχνης περιττόν. Λεκτέον οὖν, ὡς ἐν μὲν ταῖς ἁπλαῖς καὶ εὐ-

3 Taur. ἐξητικόν. 4 Ad sensum exponit locum p. 97. D. 5 Ven. 1. ἀεὶ βεβαίαν. 6 δὲ Ven. om.

χερέσι τῶν στάσεων δυνατὸν ἴσως τὰς λύσεις ἀνευρίσκειν φυσικῶς, εἰ καὶ μὴ μετὰ τάξεως, ἐν δὲ ταῖς συνεζευγμέναις ἢ ἁπλῶς δυσχερέσιν οὐκέτι, οἷον ἐν συνεζευγμένῳ. ὑποπτεύσας τις τὸν οἰκέτην ἐπὶ μοιχείᾳ τῆς αὑτοῦ γυναικὸς ἔδησε, δήσας ἀπεδήμησεν, ἐν τοῖς θεσμοφορίοις ἔλυσεν ἡ γυνὴ, νόμου προστάττοντος,[7] μηδένα εἶναι ἐν τῇ ἑορτῇ δεσμώτην· εὑρέθη ὁ ἀνὴρ ἐπ᾽ ἐρημίας νεκρὸς ἀσκύλευτος, καὶ κρίνεται ἡ γυνὴ συνειδότος, ἐνταῦθα γὰρ οὐκ ἔστιν εἰδέναι κατὰ φύσιν, ποῖον δεῖ ζητεῖν, δυοῖν ἐγκλημάτων ὄντων, μοιχείας καὶ φόνου· ἔστι δὲ καὶ τόδε πολυσχιδὲς τὸ ζήτημα· οἷον νόμος, μηδένα εἰσηγεῖσθαί χρεῶν ἀποκοπὰς πολεμίων ἐπικειμένων· ἔκαυσέ τις τὰ συμβόλαια, ἐμιμήσαντο τοῦτον οἱ λοιποί· ἐξελθόντες οἱ χρεῶσται νενικήκασι τὸν πόλεμον· ὁ γὰρ ἀπολογούμενος κέχρηται πρῶτον τῷ ὅρῳ· τίνι γὰρ, φησὶν, ὁρίζεσθε τὴν παρονομίαν; οὐκ ἐν τῷ εἰσηγήσασθαι; ἐγὼ δὲ οὐκ εἰσηγησάμην, ἀλλ᾽ ἔκαυσα· δεύτερον τῇ ἀντιλήψει, ἐξουσίαν ἔχων τῶν ἐμῶν· τρίτον τῇ συγγνώμῃ, ὅτι τὸ μέλλον ἠγνόουν· πόθεν γὰρ ἠπιστάμην, ὅτι ζηλωτὰς ἕξω τῆς ἐπιχειρήσεως; τέταρτον τῇ ἀντιστάσει· μᾶλλον ὠφέλησα τὴν πόλιν, διὰ γὰρ τὴν ἐμὴν οἱ χρεῶσται νενικήκασι πρᾶξιν. Ἔστι δ᾽ αἶ πάλιν ἐπὶ ἑνὸς προβλήματος ἐννέα στάσεις ἐνδείξασθαι· οἷον, ἐσεσύλητό τις πάντα τὰ ὄντα αὐτῷ χρήματα ὑπὸ πολεμίων ἐπελθόντων, ἰδιωτικὰ χρήματα, χρεώστου ἀγνωμονοῦντος καὶ πολλάκις ἀπαιτηθέντος τὸ ὄφλημα, ἐν ἱερῷ κείμενα, συγχωρήσαντος τοῦ ἱερέως ὑφείλετο· καὶ τούτοις αὐτοῖς τὴν πατρίδα ἐκ τῶν πολεμίων ῥυσάμενος, ὕστερον ὑπὸ τοῦ χρεώστου κρίνεται· δῆλον γὰρ, ὡς εἰ μὲν παραιτήσοιτο τὸ πρόσωπον, ποιήσει μετάληψιν· οἷον χρεώ-

7 Ven. 1. προστάσσοντος.

χρεώστης εἶ καὶ ὀφείλεις χρήματα, καὶ οὐ σόν ἐστι περὶ τούτων δικάζεσθαι· εἰ δὲ ἀρνήσαιτο [8] τὴν ὑφαίρεσιν, στοχαστικὴν δηλαδὴ ποιήσει τὴν στάσιν· εἰ δὲ συγχωρεῖ μὲν, ἄλλο δέ τι ὄνομα ἐπιθήσει τῇ πράξει, μήτε κλοπὴν εἶναι λέγων, μήτε ἱεροσυλίαν, ἀλλ' οἷον, εἰ τύχοι, ἀπόληψιν ὁριστικήν. εἰ δὲ ἐξὸν αὐτῷ λέγειν τὸ τοῦτο πεποιηκέναι, διὰ τὸ ἐκεῖνον ὀφείλειν, ἀντίληψιν· εἰ δὲ μὴ εἶναι τὴν ἀρχὴν ἐκείνου λέγοι, ἀλλ' ἑαυτοῦ, καὶ περὶ τούτου ἀμφισβητήσει, πραγματικήν· εἰ δὲ προβάλοιτο τὴν ἀπορίαν καὶ τὸ ὑπὸ τῶν πολεμίων σεσυλῆσθαι, συγγνώμην· εἰ δὲ ἀντεγκαλέσει [9] τῷ χρεώστῃ, καὶ διὰ τὴν ἀγνωμοσύνην ἐκείνου φήσει τοῦτο πεποιηκέναι, ἀντέγκλημα· εἰ δὲ μηδὲν τοῦτο προΐσχοιτο, ἀνενέγκοι δὲ τὸ γεγονὸς ἐπὶ τὸν ἱερέα, μεταστατικὴν ποιήσει τὴν στάσιν. Ἀλλ' ἔτι εἰσὶν οἱ λέγοντες, μὴ χρήσιμον εἶναι τὸ βιβλίον, ἀλλὰ καὶ βλάβης, ὡς ἔοικεν, αἴτιον, τῆς πείρας αὐτὸ διελεγχούσης· οἱ γὰρ ἀρχαιότεροι ῥήτορες, οἷον Αἰσχίνης καὶ Δημοσθένης, πρὸ τοῦ συγγράμματος τοῦδε γενόμενοι, βελτίους ἡμῶν εἰσι, καὶ οὐδεὶς μετὰ τὸ σύγγραμμα τοῦτο ῥήτωρ ἀπέβη τοιοῦτος· πρὸς οὓς ἔστιν ἐκεῖνο φάναι, ὡς ἐκείνοις ἡ μείζων ἐπιμέλεια καὶ ἀμείνων φύσις τὸ πρὸς ἡμᾶς παρέσχε διάφορον· ὅτι δὲ κἀκεῖνοι μεθόδους τινὰς εἶχον καὶ κανόνας, εἰ καὶ μὴ ἐν συγγράμμασιν, ἀλλ' ἐκ παραδόσεως τῶν διδασκάλων, δηλοῖ μὲν καὶ Ἰσοκράτης ἐν τῷ κατὰ σοφιστῶν, δι' ὧν φησι τὸν μὲν σοφιστὴν ὀφείλειν [10] δύο ταῦτα ποιεῖν, πρῶτον τοὺς κανόνας ἐκτίθεσθαι, ἔπειτα παρασκευάζειν τοὺς ἰδίους λόγους, εἰς παράδειγμα τῶν παραδεδομένων κανόνων· τὸν δὲ μαθητὴν εἰσφέρειν τρία τῷ διδασκάλῳ, εὐφυΐαν, μνήμην, ἐπιμέλειαν. Δηλοῦσι δὲ καὶ οἱ ἀρχαῖοι διὰ τῶν ἐκτεθέντων αὐτοῖς λόγων·

---

8 Mon. Ven. 1. ἀρνήσοιτο. 9 Ven. 1. ἀντεγκαλέσει. Mon. ἀντεγκαλέσῃ. 10 Ven. ὀφείλει.

πολλοὺς γὰρ εὑρίσκομεν παρὰ διαφόροις ῥήτορσι λόγους, τῆς αὐτῆς στάσεως ὄντας, καὶ τοῖς αὐτοῖς κεφαλαίοις κατεσκευασμένους· εἰ δὲ, ὡς ἔτυχε, τοῖς κεφαλαίοις καὶ[11] μὴ κατὰ μίαν τινὰ τέχνην ἐκέχρηντο, οὐκ ἂν περὶ αὐτὰ συνηνέχθησαν.

Ἐπιγέγραπται δὲ τέχνη ῥητορικὴ τὸ βιβλίον, καίτοι οὐ περὶ πάσης ἐνταῦθα τῆς ῥητορικῆς διαλέγεται, οὐ μόνον γὰρ οὐκ εἰς πάντα τὰ εἴδη τῆς ῥητορικῆς τὸ περὶ τῶν στάσεων συντελεῖ, ἀλλ' οὐδὲ εἰς τέλειον λόγον· τοῖς γὰρ ἀγῶσι μόνον χρήσιμον· οἱ δὲ ἀγῶνες οὐ τέλειος λόγος, ἀλλὰ μέρος· ὅτι δὲ οὐκ εἰς πᾶν εἶδος συντελεῖ, δῆλον· περὶ γὰρ στάσεων διαλέγεται, οὐ πᾶν δὲ εἶδος στασιάζεται, μόνον δὲ τὸ δικανικόν· τοῦ δὲ συμβουλευτικοῦ τὸ μὲν στασιαζόμενον μέρος καὶ ὁμώνυμον τῷ εἴδει ὑποπίπτει ταῖς στάσεσι, τὸ δὲ ὁμολογούμενον, ὅπερ ἐστὶ τὸ παραινετικὸν, οὐδαμῶς· ὁμοίως καὶ τὸ πανηγυρικὸν ὅλον ἀστασίαστον μένει. Ἡ τοίνυν προτροπῆς ἕνεκα τῶν νέων οὕτως ἐπιγέγραπται, ἢ ὅτι γενικῷ ἐχρήσατο ὀνόματι· ὅσα γὰρ κατὰ τῶν γενῶν, ταῦτα καὶ κατὰ τῶν εἰδῶν λέγεται· ἢ τό γε ἀληθέστερον, ὅτι τὸ πᾶν τῆς τέχνης ἐνταῦθα θεωρεῖται, καὶ πρὸς τοῦτο ῥέπει τὸ σύνταγμα. Τὰ γὰρ προοίμια καὶ οἱ ἐπίλογοι διὰ τοὺς ἀγῶνας παρελήφθησαν· τὰ μὲν γὰρ κατασκευαστικὰ[12] τούτων εἰσὶν, οἱ δὲ ἐπίλογοι ἀνακεφαλαίωσις τούτων καὶ αὔξησις. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὸ περὶ ἰδεῶν πρὸς τὴν τοῦδε χρείαν γέγονεν, ὡς δειχθήσεται. Ἰστέον δὲ, ὅτι τινές φασι καὶ πάντα τὰ εἴδη τῆς ῥητορικῆς στασιάζεσθαι, ἢ ἐνεργείᾳ, ἢ δυνάμει. Ἐνεργείᾳ μὲν, ὡς τὸ δικανικὸν, καὶ τοῦ συμβουλευτικοῦ τὸ ἀμφιβαλλόμενον, ὥσπερ εἴρηται· δυνάμει δὲ, τοῦ τε συμβουλευτικοῦ τὸ παραινετικὸν, οἷον εἴ τις λέγοι, δεῖν τι-

---

11 καὶ ex Ven. 1. recepi, Mon. om. 12 Ven. κατασκευαστικά. Mon. καταστατικά.

μᾶν τὸ θεῖον· πρὸς μὲν γὰρ τὴν κοινὴν ἔννοιαν ὡμολόγηται· παρὰ δὲ τοῖς Ἐπικουρείοις ἔλθοι ἂν εἰς ἀμφισβήτησιν. Οἱ γὰρ ἀπρονόητα πάντα εἶναι λέγοντες, καὶ τὴν εἰς τὸ θεῖον ἐπιμέλειαν περιττὴν ἡγοῦνται. Καὶ ἔτι τὸ πανηγυρικόν· ὥσπερ εἴ τις ἐγκωμιάζοι παρ' Ἀθηναίοις Πλάτωνα τὸν φιλόσοφον· παρὰ μὲν γὰρ τοῖς Ἀθηναίοις οὐ στασιασθήσεται τὸ ἐγκώμιον· παρὰ δὲ Σκύθαις ἤ τισιν ἄλλοις ἀγνοοῦσιν αὐτὸν, εἰ ταῦτά τις λέγοι, ἀμφισβητήσουσι πάντως.

Ὅτι δὲ γνήσιον τοῦ παλαιοῦ Ἑρμογένους τὸ βιβλίον, ἡ τῶν ἐνδόξων κρίσις δηλοῖ· οἵ τε γὰρ ὑπομνηματίσαντες αὐτὸ, καὶ οἱ ἀρχαιότεροι σοφισταὶ πάντες, Ἑρμογένους ὡμολόγησαν εἶναι· ὅτι δὲ καὶ τὸ περὶ ἰδεῶν τοῦ αὐτοῦ ἐστι, δῆλον ἐξ ὧν αὐτὸς ἐν μὲν τῷ [13] περὶ τῶν στάσεων τοῦ περὶ ἰδεῶν μνημονεύει· ἐν δὲ τῷ περὶ ἰδεῶν τοῦ περὶ τῶν στάσεων. Ἡ δὲ τάξις τῆς ἀναγνώσεως, ὅτι δεῖ πρῶτον τὰ καλούμενα προγυμνάσματα ἀναγνόντας οὕτως ἐπὶ τόδε τὸ βιβλίον ἰέναι. Τὰ μὲν γὰρ κεφάλαια καθ' αὑτὰ μὲν ἀτελῆ ἐστιν· ἀναπληρωτικὰ δὲ γίνεται τοῦ τελείου λόγου· τὰ δὲ προγυμνάσματα τῶν κεφαλαίων πάλιν ἐστὶν ἀναπληρωτικά. Ἰστέον δὲ, ὅτι τὸ παρὸν βιβλίον τινὲς περὶ στάσεων ἐπέγραψαν· οἱ δὲ τοιοῦτοι καλῶς ποιοῦντες πολλῶν ἡμᾶς τῶν ἀνωτέρω περὶ τῆς ἐπιγραφῆς τοῦ βιβλίου ῥηθέντων λόγων ἀπαλλάττουσιν· ὅτι δὲ προηγεῖται τὸ περὶ τῶν στάσεων τοῦ περὶ τῶν ἰδεῶν, εἰκότως· δεῖ γὰρ πρότερον νοῆσαι καὶ διελεῖν τὰ κεφάλαια, καὶ οὕτως ἅπερ ἐννοήσαμεν, φράζειν. Δύο γάρ ἐστι τὰ συνιστῶντα τὸν λόγον, δύναμις καὶ ἡδονή· καὶ ἡ μὲν δύναμις ἐν τοῖς ἐνθυμήμασι καὶ τοῖς κεφαλαίοις ἀναφαίνεται, ἡ δὲ ἡδονὴ διὰ τῆς φράσεως λαμβάνει τὴν ἰσχὺν, τά τε σχήματα καὶ τὰ ἤθη καὶ ὅσα ἕτερα τῆς ἡδονῆς ἐστι παρασκευαστικά.

13 τῷ inserui ex Ven. 1., Mon. om.

Ζώῳ γὰρ πρὸς τῶν παλαιῶν ὁ λόγος εἴκασται· ἐκ ψυχῆς μὲν, οἱονεὶ τῶν ἐνθυμημάτων· ἐκ σώματος δὲ τῆς φράσεως. Ἔτι ἰστέον, ὅτι τριῶν τεχνωθέντων τῷ Ἑρμογένει βιβλίων, τὸ περὶ τῶν στάσεων προτέθειται, ὡς παχυμερέστερον καὶ ἀναλογοῦν μείζοσι ζώου μέρεσιν,[14] οἷον κεφαλῇ, χερσὶ, ποσί. Δεύτερον τὸ τῶν εὑρέσεων, λεπτομερέστερον ἐκείνου, καὶ ἀναλογοῦν ἐλάττοσι μέρεσιν, οἷον ὀφθαλμοῖς, δακτύλοις· τρίτον δὲ τὸ τῶν ἰδεῶν τῶν ἄλλων λεπτότατον, καὶ ἀναλογοῦν τοῖς ἐλαχίστοις μέρεσιν, οἷον κόρῃ, κανθῷ, ὄνυχι· ἢ μᾶλλον, ἡ μὲν περὶ τῶν στάσεων καὶ εὑρέσεων ἀναλογία καλῶς ἀποδέδοται, αἱ δὲ ἰδέαι εἴδεσι καὶ μορφαῖς προσεοίκασιν, ἕκαστα τούτων ἐπιμορφάζουσαι. Τὴν στάσιν τινὲς ὡρίσαντο, ἀμφισβήτησιν εἶναι δυοῖν[15] προσώπων περὶ πρᾶγμα ὡρισμένον· οὐχ ὑγιὴς δὲ ὁ ὅρος· αὐτίκα γὰρ καὶ γραμματικοὶ ἀμφισβητοῦσι, καὶ ὡρισμένον ἔχουσι τὸ ζητούμενον· ὁ δὲ ἀληθῶς ἔχων ὅρος οὗτός ἐστι· στάσις ἐστὶν ἀμφισβήτησις λογικὴ, καθ' ἣν αἱ διαιρέσεις τῶν κεφαλαίων γίνονται εἰς πίστιν κομιζομένων· λογικὴ μὲν οὖν, διὰ τὰς τῶν αὐλητῶν καὶ τῶν ὁμοίων· τὸ δὲ „καθ' ἣν αἱ διαιρέσεις" πρὸς ἀντιδιαστολὴν τοῦ προβλήματος. Ἴδιον γὰρ τῶν στάσεων τὰ κεφάλαια τοῦ ῥήτορος· οἱ γὰρ φιλόσοφοι οὐκ οἴδασιν εἰς κεφάλαια τοὺς λόγους διαιρεῖν, ἀλλὰ τὸ ἀνυόμενον ἐκ τῶν λόγων καλοῦσι κεφάλαιον. Στάσις δὲ εἴρηται παρὰ τὸ ἑκάτερον τῶν ἀγωνιζομένων ἵστασθαι πρὸς τὸ νομιζόμενον αὐτῷ αἱρετόν. Ἰστέον, ὅτι τῶν ζητημάτων τὰ μὲν ἐπ' εὐθείας ἄγεται ἐν δικαστηρίῳ, τὰ δὲ ἐσχημάτισται· γίνεται δὲ τὸ σχῆμα τριχῶς κατὰ τὸ μεῖζον, κατὰ τὸ πλάγιον, κατὰ τὸ ἐναντίον· κατὰ μὲν τὸ μεῖζον, οἷον ἑάλω Δημοσθένης ἐπὶ τοῖς ἁρπαλείοις χρήμασι· καὶ ὁ μὲν κατήγορος αὐτῷ τιμᾶ-

14 Idem legitur in Prolegomenis Anonymi, quae continentur in cod. Paris. 2978. et 2980. 15 Ven. 1. δυεῖν.

ται φυγῆς· ὁ δὲ ἀντιτιμᾶται αὐτῷ θανάτου, προσποιούμενος τὸ μεῖζον, ἵνα συγχωρηθῇ τὸ ἧττον, καὶ ὅπως ὀνειδίσῃ, ὅτι ὅλως αὐτοῦ κατεψηφίσαντο, κατὰ δὲ τὸ πλάγιον· νόμος, τὸν μαινόμενον φεύγειν, φήμης οὔσης, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικὶ, ἀξιοῖ ὁ παῖς ὡς μαινόμενος φεύγειν· καλεῖται δὲ κατ' ἔμφασιν· ἐνταῦθα γὰρ τῷ μὲν δοκεῖν περὶ τῆς μανίας ὁ παῖς διαλέγεται, πλαγίως δὲ ἐμφαίνει τὴν τοῦ πατρὸς μοιχείαν, ὅτι τοὺς πολίτας ἐρυθριῶν οὐ φέρει τοῦ λοιποῦ τὸ πάθος· κατὰ δὲ τὸ ἐναντίον, οἷον νόμος, μὴ εἶναι προδότου γνώρισμα· τοὺς Θεμιστοκλέους γράφει τις παῖδας ἐξελαύνειν, οἱ δὲ ἀξιοῦσι καθαιρεθῆναι τὰ τείχη, ἃ Θεμιστοκλῆς ᾠκοδόμησεν· ἐνταῦθα γὰρ δεῖξαι βούλεται ἐκ τοῦ ἐναντίου. ὅτι οὐ προδότης ἦν· τὰ γὰρ ἐσχηματισμένα ἕτερον μὲν ἔχει τὸ κεκρυμμένον, ἕτερον δὲ τὸ φαινόμενον, γίνεται δὲ, ὅταν μετὰ παῤῥησίας μὴ δυνώμεθα ποιεῖσθαι τοὺς περὶ τοῦ προκειμένου πλάσματος λόγους.

Τῶν στάσεων αἱ μέν εἰσι λογικαὶ, αἱ δὲ νομικαί· λογικαὶ μὲν οὖν εἰσιν αἱ ἀνωτάτω τέσσαρες, στοχασμὸς, ὅρος, ἀντίληψις, ποιότης· νομικαὶ δὲ τέσσαρες, ῥητὸν καὶ διάνοια, ἀντινομία, συλλογισμός. Αἱ μὲν οὖν ῥηθεῖσαι πᾶσαι στάσεις εἴδη εἰσὶν, ἡ δὲ ποιότης γένος, καὶ τέμνεται εἰς πραγματικὴν καὶ δικαιολογικήν· καὶ ἡ μὲν πραγματικὴ εἶδος γίνεται, ἡ δὲ δικαιολογικὴ γένος· καὶ διαιρεῖται εἰς δύο, εἴς τε ἀντιληπτικὴν καὶ ἀντιθετικήν·[16] μενούσης δὲ τῆς ἀντιληπτικῆς ἐφ' ἑαυτὴν, ἡ ἀντιθετικὴ εἰς τέσσαρα διαιρεῖται· ἀντίστασιν, μετάστασιν, ἀντέγκλημα, συγγνώμην. Ὑφαιρουμένων τοίνυν τῶν τριῶν γενῶν, τῆς τε ποιότητος, καὶ δικαιολογικῆς καὶ ἀντιθετικῆς, στάσεις γίνονται αἱ πᾶσαι δεκατρεῖς,

16 Ven. 1. ἀνθετικήν.

οἷον στοχασμὸς, ὅρος, ἀντίληψις, πραγματικὴ μετάληψις, ἀντίστασις, ἀντέγκλημα, μετάστασις, συγγνώμη, ῥητὸν καὶ διάνοια, ἀντινομία, συλλογισμὸς, ἀμφιβολία. Ἴδιον στοχασμοῦ τὸ ἀνεύθυνον εἶναι τὸ πραττόμενον, σημεῖον δέ τινος γενέσθαι ὑπευθύνου· ὅρου δὲ, τὸ λείπειν τι, οὗ προστεθέντος ἀσύστατον γίνεσθαι τὸ πρόβλημα· ἀντιλήψεως, τὸ μὴ τῶν φύσει ἀδικημάτων εἶναι τὸ πραττόμενον, ἀλλ' ἔξωθεν ἐπιδείκνυσθαι· ἀντιστάσεως, τὸ μηδὲν ζητεῖσθαι, ἀλλ' ὁμολογεῖν μὲν τὸν κατηγορούμενον τὸ ἀδίκημα, ἀντιτιθέναι δέ τι μεῖζον εὐεργέτημα δι' αὐτοῦ γεγενῆσθαι. ἀντεγκλήματος, τὸ λέγειν αὐτὸν τὸν πεπονθότα ἄξιον εἶναι τοῦ τοιάδε παθεῖν. μεταστάσεως, ὁμολογεῖν μὲν τὸ ἀδίκημα, ἕτερον δὲ ποιεῖν ὑπεύθυνον τῷ τολμήματι· συγγνώμης, ὁμολογεῖν μὲν τὸ ἀδίκημα, φάσκειν δὲ, δεῖν συγγνώμης τυχεῖν· πραγματικῆς, τὸ ζητήσεις ποιεῖσθαι περὶ μελλόντων πραγμάτων· ῥητοῦ καὶ διανοίας, τὸ τὸν μὲν κατηγοροῦντα τῷ ῥητῷ χρῆσθαι, τὸν δὲ φεύγοντα τῇ διανοίᾳ· συλλογισμοῦ, τὸ τῷ κειμένῳ ῥητῷ κεκωλυμένῳ ἄλλο ἔξωθεν κεκωλυμένον ὅμοιον ἐπιδεικνύναι. ἀντινομίας, τὸ παραβεβάσθαι ἤδη νόμον τινά· ἀμφιβολίας, τὸ[18] ἑνὶ ῥητῷ σημαίνειν πλείονα· μεταλήψεως, τὸ περιστατικὸν ἔχειν πλέον τοῦ πεπραγμένου.

---

17 τὸ inserui ex Ven. 18 Mon. τῷ, scr. τό.

## ΠΩΣ ΕΠΙΓΝΩΣΟΜΕΘΑ ΤΑΣ ΣΤΑΣΕΙΣ.[1]

Ἐὰν ἄδηλον ᾖ κατ' οὐσίαν τὸ κρινόμενον, ποιεῖ στοχασμόν.

Ἐὰν φανερὸν ἐν ἀδήλῳ ὀνόματι, ποιεῖ ὅρον.

Ἐὰν ἐξουσίαν νόμου ἢ φύσεως ἢ τέχνης ἢ ἔθους προβάληται,[2] ποιεῖ ἀντίληψιν.

Ἐὰν ἑκών τις ἔβλαψεν, ἐπ' ἐλπίδι τῆς συμβαινούσης εὐεργεσίας ποιεῖ ἀντίστασιν.

Ἐὰν ἐγκαλῇ, ὡς ἀξίῳ παθεῖν τῷ πεπονθότι, ἃ πέπονθε, ποιεῖ ἀντέγκλημα.

Ἐάν τι τῶν δεόντων οὐκ ἐποίησεν, ὑπὸ νόμου ἢ προσώπου κωλυθεὶς, ποιεῖ μετάστασιν.

Ἐάν τι τῶν δεόντων φόβῳ ἢ ἄλλῳ πάθει ψυχῆς κινηθεὶς, ποιεῖ συγγνώμην.

Ἐάν τι δοκιμάζηται ἔγγραφον ἢ σκοπῆται περὶ τοῦ μέλλοντος ἢ δωρεᾶς ἀμφίβολος δόσις ἀδήλου καὶ ποιᾶς, ποιεῖ πραγματικήν.

Ἐὰν νόμου διάνοιαν ἀντιτιθῇ τις τῷ ῥητῷ, ποιεῖ ῥητὸν καὶ διάνοιαν.

Ἐὰν νόμον νόμῳ ἀντιτιθῇ τις, ἢ μέρος μέρει, ποιεῖ ἀντινομίαν.

Ἐὰν ἔγγράφον ἀγράφῳ παρατιθῇ τις, ποιεῖ συλλογισμόν.

Ἐὰν περὶ τόνου ἢ διάστασιν συλλαβῶν ἀμφιβάλλῃ τις, ποιεῖ ἀμφιβολίαν.

Ἐὰν περιστατικὸν αἰτιᾶταί τι καὶ τῷ πράγματι συγχωρῇ, ποιεῖ μετάληψιν.

Ἐὰν δὲ νόμῳ[3] ἐρείδηται περὶ τοῦ πράγματος κελεύοντι, ποιεῖ τελείαν παραγραφήν.

---

1 Haec in aliis codicibus a commentario hoc sejuncta sunt, quare an eiusdem auctoris sint neque affirmandi neque negandi firma caussa suppetit. 2 Ven. προβάλληται. 3 Ven. 1: νόμῳ. Mon. νόμον.

# ΜΑΞΙΜΟΥ ΤΟΥ ΠΛΑΝΟΥΔΗ
## ΣΧΟΛΙΑ
## ΕΙΣ ΤΗΝ ΤΟΥ ΕΡΜΟΓΕΝΟΥΣ ΤΕΧΝΗΝ.

*Πολλῶν ὄντων.* Λεληθότως μὲν ἀποδίδωσι τὸν τῆς ῥητορικῆς ὅρον ὁ Ἑρμογένης· τέχνην μέντοι αὐτὴν εἶναι φανερῶς φησιν· ὁ δὲ ὁρισμός ἐστιν οὗτος· „τέχνη κἂν ταῖς βουλαῖς κἂν τοῖς δικαστηρίοις καὶ πανταχοῦ·“ πλὴν ὅτι ἀντὶ τοῦ „τέχνη“ τὸν τῆς τέχνης προσέθηκεν ὁρισμόν, καὶ οὕτω πως λέγει· „ῥητορική ἐστι σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ κἂν ταῖς βουλαῖς, κἂν τοῖς δικαστηρίοις καὶ πανταχοῦ·“ Διὰ μὲν γὰρ τοῦ „συνίστησι,“ τὸ σύστημα ἐμφαίνει, διὰ δὲ τοῦ „καταληφθέντα καὶ συγγυμνασθέντα“ τὸ ἐκ καταλήψεων ἐγγεγυμνασμένων, διὰ δὲ τοῦ „σαφῆ τε τὴν ὠφέλειαν παρεχόμενα τῷ βίῳ“ τὸ[1] πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. Λεληθότως δὲ αὐτὴν ὁρίζεται διὰ Πλάτωνα, εὐλαβούμενος, ἀντιπίπτειν αὐτῷ διαβάλλοντι τὴν ῥητορικὴν, καὶ ἐμπειρίαν, εἴτουν ἄλογον τριβὴν ὀνομάζοντι,[2] καὶ οὐ τέχνην· ὅμως μέντοι καὶ λεληθότως αὐτὴν ὁριζόμενος οὐκ ἔδεισε καὶ τέχνην προσειπεῖν. Ἐπεὶ δὲ πᾶς ὁρισμὸς ἐκ γένους καὶ συστατικῶν διαφορῶν σύγκειται, ἔστι[3] κἀνταῦθα γένος μὲν τὸ σύστημα, τὸ δὲ ἐκ καταλήψεων ἐγγεγυμνασμένων καὶ τὰ λοιπὰ διαφορά·[4] Πλαγίᾳ δὲ συντάξει

1 τὸ addidi ex Taur., Mon. om. 2 Gorg. c. 18. p. 463. B. 3 Ven. 1. ἔστι. Mon. ἔτι. 4 Ven. 1. διαφοραί.

ἐχρήσατο, ἢ διὰ τὸ λαθεῖν ὁριζόμενος, οἱ γὰρ ὅροι διὰ τῆς εὐθείας τῆς καὶ ὀνομαστικῆς προφέρονται, διὰ γὰρ μόνης ταύτης αἱ φύσεις τῶν πραγμάτων δηλοῦνται, ἢ ὅτι αἱ μὲν εὐθεῖαι μιᾶς περιόδου εἰσὶν ἀναπληρωτικαὶ, οἷον ἐγὼ περιεπάτουν, ὁ τοῖχος ἔπεσεν· αἱ δὲ πλάγιαι ἐφελκυστικαί εἰσιν ἑτέρων νοημάτων, οἷον εἰ εἴποιμι, ἐμοῦ περιπατοῦντος, μένει γὰρ ἀτελὲς τὸ ἐνθύμημα· ἄχρις οὗ ἐπενέγκωμεν τὴν ἀπόδοσιν. Ἵν' οὖν δύο ἐνθυμήματα, τό τε „πολλῶν ὄντων καὶ μεγάλων," καὶ τὸ „μέγιστον εἶναί μοι δοκεῖ," περιλάβῃ μιᾷ περιόδῳ, τῇ πλαγίᾳ ἐχρήσατο. Πολλῶν δὲ φησι βιβλίων τῶν περὶ προγυμνασμάτων, στάσεων, εὑρέσεων, ἰδεῶν, μεθόδου δεινότητος, ἢ προοιμίων, διηγήσεων, ἀγώνων, ἐπιλόγων, φράσεων, σχημάτων, κεφαλαίων, ἐπιχειρημάτων, ἐνθυμημάτων, τῶν εἰδῶν αὐτῆς τῆς ῥητορικῆς.

β) Καὶ μεγάλων· πολλῶν εἰπὼν, ὅπερ ἦν πλήθους δηλωτικὸν, καὶ τοῦ διακεκριμένου ποσοῦ, τὸ μεγάλων ἐπήνεγκεν, ὅπερ ἐστὶ μεγέθους, καὶ τοῦ συνεχοῦς ποσοῦ, δι' ἀμφοτέρων τὸν τῆς ῥητορικῆς αὔξων ἔπαινον· προτάττεται δὲ τὸ διωρισμένον τοῦ συνεχοῦς, ἐπειδὴ τὸ μὲν ἀριθμητικῆς, τὸ συνεχὲς δὲ γεωμετρίας· προτέρα δὲ γεωμετρίας ἀριθμητικὴ, καὶ ὡς συναναιροῦσα καὶ συνεισφερομένη.

γ) Καὶ τέχνην ποιεῖ, ἀντὶ τοῦ ἀποκαθίστησιν, ἐπειδὴ πρὶν εὑρεθῆναι τοὺς συνιστῶντας κανόνας τὴν ῥητορικὴν καὶ ἀξιοῦντας τέχνην ὀνομάζεσθαι οὐδὲ τέχνη ἦν αὕτη, ἀλλὰ φύσεως δεξιᾶς ἔργον κατὰ Πλάτωνα.

δ) Καταληφθέντα· τουτέστι μετὰ λόγου γνωσθέντα, ἢ αἰσθήσει καὶ πείρᾳ γνωσθέντα, ἀλλ' οὐ φαντασθέντα· τοῦτο δὲ λέγων βούλεται ἀναγκαίαν καὶ χρησίμην ἀποδεῖξαι τὴν τέχνην. τῶν γὰρ τεχνῶν αἱ μὲν χρήσιμοι καὶ ἀναγκαῖαι, οἷον ἀρτοποιητικὴ, ἰατρικὴ, νομοθετικὴ, ὧν ἄνευ οὐκ ἂν συσταίη ὁ βίος·

ἐφ᾽ ᾧ καὶ Δημοσθένης φησὶν,[5] ὅτι τὰ μὲν ἐν τῷ σώματι πάθη ἰατρικῇ θεραπεύεται, τὰς δὲ τῶν ψυχῶν ἀγριότητας, αἱ τῶν νόμων ἐξορίζουσι διάνοιαι· αἱ δὲ χρήσιμοι μὲν, οὐ μὴν ἀναγκαῖαι, ὡς ἡ γραμματικὴ, αἱ δὲ οὔτ᾽ ἀναγκαῖαι, οὔτε χρήσιμοι, ὡς ἡ ἁρματηλατική· αἱ μὲν οὖν πρῶται μετὰ λόγου καὶ αἰσθήσεως ἐγνώσθησαν, τουτέστι τῆς φύσεως ἡμῶν δεηθείσης αὐτῶν· ὡς καὶ περὶ τῆς νουθετικῆς Αἰσχίνης φησὶν,[6] ὅτι ἐκ τοῦ γίνεσθαι τινὰ, ὧν μὴ δεῖ, τοὺς νόμους ἔθεντο οἱ παλαιοί· καὶ Σόλων ἐρωτηθεὶς, διατί νόμον οὐκ ἔθετο κατὰ πατροκτόνου, ἔφη,[7] μὴ πιστεύειν δύνασθαι τοῦτο ποιῆσαι τὴν φύσιν, αἱ δὲ δεύτεραί τε καὶ τρίται ἐκ περιττῆς τινος ἐπινοίας ὑπέστησαν. Ἐξ ἀρχῆς· καὶ εἰ ἐξ ἀρχῆς κατελήφθησαν, τίς χάρις Ἑρμογένει, περὶ τούτων διαλαμβάνοντι; χάρις μὲν οὖν, ὅτι ταῦτα αὐτὸς διήρθρωσε[8] καὶ ὠργάνωσεν, ὡς καὶ Ἀριστοτέλης τὰ τῆς φιλοσοφίας. ἐξ ἀρχῆς δὲ, οὐκ ἀφ᾽ οὗ γεγόνασιν ἄνθρωποι, ἀλλ᾽ ἀφ᾽ οὗ Κόραξ καὶ Τισίας[9] εἰς φῶς τὰ τῆς ῥητορικῆς[9] ἔργα προήγαγον· τὸ δὲ συγγυμνασθέντα τῷ χρόνῳ ἀντὶ τοῦ πεῖραν δόντα, δοκιμασθέντα· δεῖ γὰρ πρὸς τῇ εὑρέσει καὶ γυμνασίας, ὡς ἐδήλωσε Δημοσθένης, οὐ τοιοῦτος ὢν περὶ τὸ πανηγυρικὸν, οἷος περὶ τὰ λοιπὰ τῆς ῥητορικῆς ἦν εἴδη, διὰ τὴν περὶ αὐτὸ ἀμελετησίαν· τὸ δὲ „τῷ χρόνῳ," ὅτι αἱ μὴ χρήσιμοι τέχναι καὶ βιωφελεῖς ἀκμάσασαι πάλιν ἀπογίνονται.

ε) Σαφῆ τε τὴν ὠφέλειαν· τοῦτο πρὸς τοὺς Πλατωνικοὺς, ὥσπερ εἰ ἔλεγεν, ὅτι γεωμετρία[10] καὶ ἀστρονομία ἄδηλον, εἰ ὠφελεῖ· ἡ δὲ ῥητορικὴ δῆλον, εἴγε

---

5 Contr. Aristogit. II. p. 808. — Cfr. Sopatrum p. 20.
6 Contr. Timarch. p. 254. Bekk. 7 Diog. L. Vit. Sol. c. X.
8 Ven. 1. διήρθρωσε. Mon. διώρθωσε. 9 Ven. 1. Τισίας. Mon. Σιτίας. 10 Ven. 1. ἡ γεωμ.

τέχνη ἐστί· τῶν γὰρ τεχνῶν ἡ μέν τίς ἐστι καλλιτεχνία, ἡ ἀγαθοῦ ἕνεκεν ἐπινενοημένη· οἷον ἰατρική, γραμματική, ῥητορική· ἡ δὲ ψευδοτεχνία, ἢ ματαιοτεχνία,[11] οἷον ἡ ὀρχηστικὴ, ἧς τέλος οὐδὲν, ὡς ἐν ἑαυτῇ ἀποσβεννυμένης· ἡ δὲ κακοτεχνία, ὡς ἡ τῶν δηλητηρίων ποίησις καὶ ἡ μαγική.

ζ) Καὶ πανταχοῦ· διὰ μὲν τοῖ βουλαῖς καὶ δικαστηρίοις τὸ συμβουλευτικὸν καὶ δικανικὸν ἐδήλωσε. ταῦτα γὰρ αὐτῶν τόποι· διὰ δὲ τοῦ πανταχοῦ τὸ πανηγυρικὸν, ὡς καὶ ἐν ἐκείναις· καὶ πανταχοῦ ἐξὸν ἐγκωμιάζειν· ἢ πανταχοῦ, ἀντὶ τοῦ καὶ ἐν ποιητικῇ καὶ διαλεκτικῇ καὶ ταῖς ἄλλαις λογικαῖς τέχναις. Παρατηρητέον δὲ, ὅτι καὶ ἐκ τῶν[12] τόπων τὰ εἴδη αἰνίττεται.

η) Μέγιστον· σημείωσαι, ὅτι ὑπερθετικῶς εἴωθε τὰ προοίμια τῶν οἰκείων συγγραμμάτων ὁ Ἑρμογένης προφέρειν. οὕτω γὰρ καὶ[13] ἐν τῷ περὶ εὑρέσεως ἔφη· „ἡ πρώτη καὶ καλλίστη τῶν προοιμίων εὕρεσις·“ καὶ ἐν τῷ περὶ ἰδεῶν· „εἴπερ ἄλλο τι τῷ ῥήτορι, καὶ τὰς ἰδέας οἶμαι τοῦ λόγου τῶν ἀναγκαιοτάτων εἶναι γινώσκειν.“

ϑ) Τὸ περὶ διαιρέσεως· ἓξ εἴδη εἰσὶ διαιρέσεως, ἀπὸ γένους εἰς εἴδη, ἀπὸ εἴδους εἰς ἄτομα, ἀπὸ ὅλου εἰς μέρη, ἀπὸ συμβεβηκότων εἰς οὐσίας, ἀπὸ οὐσιῶν εἰς συμβεβηκότα, ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα· ἔξωθεν δὲ τούτων, καὶ ὡς τὰ ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν· καθὸ καὶ διαιρεῖσθαί φασί τινες τὴν ῥητορικὴν εἰς τὰ αὐτὰ[14] εἴδη. Τῶν γὰρ ἀπὸ γένους εἰδῶν ἕτερα τὰ τέλη. Τοῦ γὰρ ζώου τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον, τὰ δὲ τούτων τέλη διάφορα· τῶν δὲ τῆς ῥητορικῆς εἰδῶν τέλη τοῦ μὲν δικανικοῦ τὸ δίκαιον, τοῦ δὲ συμβουλευτικοῦ τὸ συμφέ-

---

11 ἢ ματαιοτεχνία Ven. om. 12 τῶν Mon. om., recepi ex Ven. 1. 13 καὶ Mon. om., recepi ex Ven. 1. — Initia libri de invent. et de ideis. 14 Ven. 1. αὐτῆς.

ῥον, τοῦ δὲ πανηγυρικοῦ τὸ καλόν. Ταῦτα δὲ συνυπάρχει ἀλλήλοις· εἴ τι γὰρ δίκαιον, τοῦτο καὶ συμφέρον καὶ καλὸν, καὶ εἴ τι συμφέρον, τοῦτο καὶ δίκαιον καὶ καλὸν, καὶ εἴ τι καλὸν, τοῦτο καὶ δίκαιον καὶ συμφέρον. Ἐπεὶ δὲ ἐκ πασῶν τῶν διαιρέσεων δύο μόνων ἐμνημόνευσεν ὁ Ἑρμογένης, τῆς τε ἀπὸ γενῶν εἰς εἴδη, καὶ τῆς ἀπὸ ὅλων εἰς μέρη, φασί τινες τὴν μὲν [15] προτέραν εἶναι, καθ' ἣν ἡ ῥητορικὴ διαιρεθείη ἂν εἴς τε τὸ δικανικὸν καὶ συμβουλευτικὸν καὶ πανηγυρικόν· τὴν δὲ δευτέραν, καθ' ἣν ὅλος ὁ λόγος εἰς προοίμια, διηγήσεις, ἀγῶνας, καὶ ἐπιλόγους· ἕτεροι δέ φασι, μὴ ταῦτα εἶναι, οὐ γὰρ ἂν εἶπε γενῶν καὶ ὅλων, ἀλλὰ γένους καὶ ὅλου· καὶ ἔστι μὲν εὐήθης ἡ τοιαύτη ἀπορία. Ὅμως δέ φασι, τὴν μὲν προτέραν, καθ' ἣν ἐν ταῖς ἰδέαις ἡ σαφήνεια, γένος οὖσα, εἰς εἴδη [16] διῃρέθη, τὴν εὐκρίνειαν καὶ τὴν καθαρότητα, καὶ ἄλλαι εἰς ἄλλας· τὴν δὲ δευτέραν, καθ' ἣν τὰ εἴδη, οἷον ἡ καθαρότης εἰς ὀκτὼ μέρη τινὰ, ἔννοιαν, μέθοδον καὶ τὰ τοιαῦτα.

ι) Καὶ ἀποδείξεως· διότι ἐν αὐτῷ περὶ τοῦ ἀγωνιστικοῦ μέρους τοῦ λόγου μανθάνομεν, τὰ γὰρ κεφάλαια τῶν ἀγώνων, ὧν ἴδιον ἡ ἀπόδειξις, ὥσπερ καὶ τῶν ἐπιλόγων ἡ αὔξησις.

ια) Τῶν πολιτικῶν ζητημάτων· πολιτικὰ ζητήματα καλεῖ πάντα τὰ ὑπὸ τὰς δεκατρεῖς ἀναγόμενα στάσεις· πολιτικὸν δὲ τὸ ῥητορικὸν πρὸς ἀντιδιαστολὴν τῶν φιλοσόφων.

ιβ) Εἰς τὰ λεγόμενα κεφάλαια· λεγόμενα τὰ παρὰ τοῖς ἀρχαίοις οὕτω καλούμενα· κεφάλαια δὲ, ἐκ μεταφορᾶς τῆς κεφαλῆς· ὡς γὰρ ἐκείνη περιεκτικὴ τῶν αἰσθήσεων, οὕτω καὶ πᾶν κεφάλαιον ῥητορικὸν περιεκτικόν

---

15 μὲν Mon. om., recepi ex Ven. 1. 16 Ven. 1. εἴδη. Mon. ἤδη.

ἐστιν ἐπιχειρημάτων, ἐργασιῶν, ἐνθυμημάτων, ἐπενθυμημάτων καὶ πλαστῶν.

ιγ) Ὁ αὐτὸς σχεδόν. διὰ μὲν τοῦ „ὁ[17] αὐτὸς“ τὴν κοινωνίαν ἔδειξε· διὰ δὲ τοῦ „σχεδὸν“ τὴν διαφορὰν, κοινωνεῖ μὲν γὰρ, ἐπειδὴ τὸ περὶ εὑρέσεως περὶ τῶν ἐνθυμημάτων καὶ τῶν παραδειγμάτων ἐστὶν, ἐξ ὧν, ὡς ἐκ τόπων, συνίστανται τὰ κεφάλαια· διαφέρει δὲ, ὅτι τὸ περὶ εὑρέσεως ἀναπληρωτικὸν τοῦ περὶ τῶν στάσεων, εἴτουν τῶν[18] κεφαλαίων.

α) Ἔστι τοίνυν· τὸ μὲν „ἀμφισβήτησις“ γένος· τὰ δὲ λοιπὰ, διαφοραί· τὸ μὲν γὰρ „λογικὴ“ πρὸς διαφορὰν τῆς τῶν πυκτῶν·[19] τὸ δὲ „ἐπὶ μέρους,“ διὰ τὰ τῶν φιλοσόφων καθόλου ζητήματα· ὁ γὰρ ῥήτωρ τὸ μερικὸν δίκαιον ζητεῖ· εἰ δὲ καὶ οἱ ῥήτορες πολλάκις τοῖς καθόλου χρῶνται, ὡς Δημοσθένης· πέρας μὲν γὰρ ἅπασι τοῦ βίου ὁ θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν[20] καθείρξας τηρῇ· καὶ πάλιν ἐν Φιλιππικοῖς,[21] οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι, ἀλλὰ πρὸς κατασκευὴν ἑτέρων ταῦτα λαμβάνουσιν, οὐ γὰρ περὶ τούτων προύκειτο σκοπὸς τῷ ῥήτορι· ἀλλ᾽ ἕτερά τινα διὰ τούτων κατεσκεύαζεν.[22]

β) Περὶ τοῦ νομισθέντος· οὐ γὰρ ζητεῖ ἡ ῥητορικὴ τὸ ἀληθινὸν δίκαιον, ἢ το καθόλου καλὸν, ἢ τὸ τελείως συμφέρον, ἀλλ᾽ ὅπερ ἕκαστον ἔθνος ἢ πολιτεία ἀγαπᾷ· οἷον νόμιμον ἐν Λακεδαίμονι τὸ τοὺς ξένους διώκειν, ὅπερ ὠμότητος ὂν, πῶς ἂν εἴη ἀληθινὸν δίκαιον; ἐπαινεῖται μέντοι παρὰ Λακεδαιμονίοις καὶ[23]

17 ὁ Codd. om. 18 τῶν Mon. om., recepi ex Ven. 19 Mon. ποιητῶν. Ven. πυκτῶν. 20 αὐτὸν adjeci ex Ven. 1. — pro cor. p. 258. 21 Olynth. II. p. 20. 22 Ven. κατεσκεύαζεν, Mon. κατασκευάζειν. 23 καὶ Mon. om., recepi ex Ven. 1.

δίκαιον νομίζεται, ὅμοιον τούτῳ, καὶ τὸ ἐν Ἀθήναις ἀπαιτεῖν τοὺς ξένους ἐνοίκιον.

γ) Πάντων ἅμα ἢ τινῶν· ὅταν γὰρ συμπεπλεγμένος ὁ λόγος ᾖ, πάντα εὑρίσκεται, τέλος μὲν γὰρ αὐτοῦ τὸ δίκαιον· κατασκευάζεται [24] δὲ τὸ πανηγυρικὸν, στάσεως δέ ἐστι πραγματικῆς.

δ) Ἀνάγκη· εἰκότως ἀνάγκη, δεῖ γὰρ πάντως τὸ μὲν πράττειν, τὸ δὲ ὑπό τινος πράττεσθαι· ὕλη δὲ τῶν ζητημάτων τὰ πρόσωπα ταῦτα καὶ πράγματα· ὡς καὶ τῆς γραμματικῆς τὰ ὀκτὼ μέρη τοῦ λόγου.

ε) Ὧν πλείστη· οὐ προσώπων πρὸς τὰ [25] πράγματα λέγει, τοῦτο γὰρ καὶ τυφλῷ δῆλον, ἀλλὰ προσώπων πρὸς πρόσωπα, καὶ πραγμάτων πρὸς πράγματα.

ς) Καὶ ὅσα ὅλως· οὐ γὰρ πάντα δύναται διαιρεῖσθαι, τὰ γοῦν ἰσάζοντα οὐχ οἷόν τε διαιρεθῆναι, οἷον, δύο νέοι πλούσιοι καὶ τὰ ἑξῆς.

ζ) Τῶν οὖν προσώπων· τῶν γὰρ πραγμάτων τὰ μὲν ὡμολογημένα καὶ μὴ ἔχοντα ἀντίῤῥησιν οὐ κρίνεται· οἷον, ἐφωράθη τις φονεύων τινά· τὸ πρᾶγμα οὐκ ἔχει ποιότητα, οὔτε τὸ πρόσωπον· ὁμολογεῖται γὰρ ὁ φόνος, καὶ οὐκ ἔχει κρίσιν, ἀλλὰ κοινὸς γίνεται τόπος· ἐπὶ δὲ τῶν προσώπων τὸ ἐναντίον ἐξέτασιν ἔχει καὶ ἰσχὺν, ὅσα ὡμολόγηται, τὰ δὲ μὴ [26] ὡμολογημένα οὐ κρίνεται, ὥσπερ τὸ τίς.

η) Τόπον δέ· ἐπιχείρημα καὶ ὕλην τινὰ καὶ ἐργασίαν καὶ ἀφορμὴν δίδωσι τῷ λόγῳ.

θ) Ἰσχυροτάτην μέν· τὴν εὐπορίαν ἔχουσι τὰ κύρια, ἀπὸ τῶν ἐγκωμιαστικῶν τόπων, γένους, ἀνατροφῆς, παιδείας καὶ τῶν τοιούτων· τὰ δὲ [27] ὡρισμένα ἀντὶ τοῦ γνώριμα· οὐδὲν γὰρ ὠφελεῖ τὸ κύριον, οἷον Σω-

---

24 Ven. 1. μετασκευάζεται. 25 τὰ Ven. 1. non habet. 26 μὴ ex Ven. 1. adjeci. 27 δὲ ex Ven. 1. recepi.

κράτης, ἐὰν μὴ εἰδῶ ἀπὸ ἱστορίας ἢ πράξεως αὐτοῦ, τίς ἐστιν.

ι) Τὰ πρός τι· πρός τι λέγομεν πρόσωπα, ὅσα λεγόμενα συνεμφαίνουσι καὶ ἕτερον πρόσωπον· ταῦτα δὲ ἀπὸ μόνης τῆς τοιᾶςδε σχέσεως ἐξετάζεται· εἰ γὰρ καὶ [28] μὴ ἐν ταῖς ἱστορίαις αὐτῶν ἔχομεν τὴν ποιότητα, ἀλλ' οὖν δέδωκεν ἡμῖν ἡ φύσις κοινὴν περὶ αὐτῶν ἀναπλάσασθαι ποιότητα, καὶ τοιαύτην τινὰ περὶ αὐτῶν ὑπόληψιν ἔχομεν, οἷον περὶ τῶν πατέρων, ὅτι χρηστοὶ καὶ φιλόπαιδες· καὶ περὶ τῶν λοιπῶν ὡσαύτως. Τὰ δὲ πρός τι ταῦτα ἰσχυρότερα μέν ἐστι τῶν μετὰ ταῦτα. [29] λείπεται δὲ τῶν [30] ὡρισμένων· ἐκεῖνα μὲν γὰρ βεβαίαν ἔχει τὴν ποιότητα, τὰ δὲ πρός τι οὐ πάντως· εἰ γὰρ καὶ χρηστὸν τῶν πατέρων τὸ πρόσωπον, ἀλλ' εὑρίσκομέν τινας ἔλαττον φροντίσαντας τῆς φύσεως· καὶ τὰ μὲν πρός τι φύσεως ἢ σχέσεώς εἰσι, τὰ δὲ μετὰ ταῦτα τῶν τρόπων, οἷον ἄσωτοι, μοιχοί.

ια) Οἷον ἄσωτοι· ὁ μοιχὸς οὐ τῶν διαβεβλημένων· διαβεβλημένα γὰρ τὰ μισούμενα, οὐ τὰ κολαζόμενα· ὁ δὲ μοιχὸς τῶν κολαζομένων· ἀλλ' οὐ τοῦτο δεῖ νοεῖν, ὅτι μοιχὸν λέγει τὸν διὰ μοιχείαν κρινόμενον, ἀλλ' ἐφ' ἑτέρῳ πράγματι· ὡς [31] ἐπὶ τοῦ ἀριστέως μοιχοῦ, τοῦ ἀναθέντος τὰ ὅπλα εἰς τὸ ἱερὸν καὶ ἀσεβείας κρινομένου· ἐνταῦθα γὰρ ἡ μοιχεία εἰσῆλθεν εἰς δικαστήριον, οὐ κρίσιν ὑπέχουσα, ἀλλὰ διὰ τὴν ἀσέβειαν ἐξεταζομένη· τὸ γὰρ ζητούμενον, εἰ ἠσέβηκεν ἢ μή, νόμῳ τῶν ἀριστέων τὴν πανοπλίαν ἀναθείς. Τρίτην δὲ ταῦτα τάξιν ἔχει τὰ διαβεβλημένα, ἐπειδὴ τὰ μὲν προηγούμενα παραλαμβάνομεν εἰς ἀπόδειξιν καὶ ἀγῶνας· ταῦτα δὲ πρὸς καταδρομὴν μόνον· ὃ γὰρ δύναται ἐν τοῖς προτέ-

---

28 καὶ ex Ven. 1. adjeci. 29 Ven. 1. μετ' αὐτά. 30 Mon. ἀπὸ τῶν. Ven. 1. ἀπὸ om. 31 ὡς ex Ven. 1. recepi.

ροις ἡ ἀπόδειξις, τοῦτο ἐν τούτοις ἡ τῶν δικαστῶν πρόληψις, προμεμίσηται γὰρ τὸ πρόσωπον.

ιβ) Τετάρτην τὰ ἠθικά· τῶν ἐξ ἡμετέρας ἐπιτηδεύσεως ὄντων τὰ μὲν μισεῖται καὶ καλεῖται διαβεβλημένα, τὰ δὲ γελᾶται, καὶ καλεῖται ἠθικὰ, τὰ δὲ οὐδέτερον· ψιλὴν δὲ μόνην ἔμφασιν παρέχει, ὡς τὰ ἁπλᾶ προσηγορικά· ἰσχυρότερα οὖν τὰ μισούμενα τῶν γελωμένων, καὶ τὰ γελώμενα τῶν ἁπλῶν· ἠθικὰ δὲ λέγονται, καίτοι καὶ ἐν τοῖς ἄλλοις προσώποις τοῦ ἤθους ἐμφαινομένου, διὰ τὸ ἐν τούτοις εὐπορίαν τινὰ τὸν λέγοντα ἀπὸ μόνου τοῦ ἤθους λαμβάνειν, τὰ γὰρ τοιαῦτα τῶν ζητημάτων κωμῳδίας τόπον ἐπέχει, καὶ οὐδὲν ἀγωνιστικὸν συνεπάγεται, οἷον γεωργὸς μυριζομένην τὴν γυναῖκα ἀποπέμπει.

ιγ) Δύο προσηγοριῶν· προσηγορίας φησὶ τὰ προσηγορικὰ, οἷον ἄνθρωπος, ἵππος, καὶ ἔτι τὰ μὴ κύρια, οἷον ῥήτωρ, φιλόσοφος, νέος, γέρων, καὶ τὰ τοιαῦτα.

ιδ) Προσώπου καὶ πράγματος· περὶ προσώπων προθέμενος λέγειν περὶ πράγματός φησι· πεποίηκε δὲ τοῦτο, ἐπειδὴ τὸ μὲν πρόσωπον καθ' αὑτὸ οὐχ ὑποπίπτει κρίσει· ἔστι δ' ὅτε οὐδὲ τὸ πρᾶγμα καθ' αὑτό· ἀνοίκειον δὲ προσώπῳ τινὶ πρᾶγμά τι [32] συναπτόμενον, στάσιν ποιεῖ.

ιε) Αὐτίκα ὁ Δημοσθένης· εἰ γὰρ λάβοι τις Δημοσθένην, καὶ πολιτευόμενον ἔλαβε καὶ πατέρα καὶ ῥήτορα· εἰ δὲ καὶ τῷ κυρίῳ τὰ ἄλλα παρέπεται, φασὶν, ἔδει περὶ τούτων εἰπόντα μόνων ἀρκεῖσθαι· ἀλλὰ φαμὲν, ὅτι μὴ δυνατὸν τὴν τῶν διπλῶν δύναμιν πρὸ τῶν ἁπλῶν μαθεῖν.

ις) Τοῖς ἐγκωμιαστικοῖς· ἰστέον, ὡς ἐπὶ τῶν κυρίων μόνων χρώμεθα τοῖς ἐγκωμιαστικοῖς· οὐ μὴν καὶ

ἐπὶ

32 Mon. πράγματι, scr. πρᾶγμά τι.

ἐπὶ τῶν ἄλλων· τὸ δὲ τοῖς συμπίπτουσιν, οὐ τοῖς εὑρισκομένοις φησίν· οὐδὲ γὰρ πάντως ἐξετάζειν[33] ἕκαστα συμφέρει τῶν εὑρισκομένων, ἀλλὰ τὰ κατεπείγοντα καὶ συμφέροντα.

ιζ) *Οἷον τὸ τίς·* θεραπεύομεν δὲ αὐτὸ τρόποις τρισίν· ἢ λογισμὸν ἀποδιδόντες, ὧν λέγομεν, ἢ ἐγκώμιον τοῦ εἰπόντος ὡς ἔχει τό·[34] „ὡς δὲ ἐγώ τινος ἤκουσα ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι," ἢ ἐξ ἐπικρίσεως ἡμετέρας· „καὶ νὴ Δία οὐδὲν ἄπιστον·"[35]

α) *Ἐφ' οἷς τις αὐτός·* εἰκότως τούτῳ τὴν πρώτην τάξιν ἀπένειμε· διαβεβαιούμεθα γὰρ ἐνταῦθα ὑπὲρ τῆς ἡμῶν αὐτῶν γνώμης, καὶ ἢ μίαν ἐροῦμεν ἀπολογίαν ἢ πολλάς, οὐκ ἐναντιουμένας ἀλλήλαις, ἐν δὲ τοῖς λοιποῖς στοχαζόμεθα τῆς τῶν πεπραχότων γνώμης· οὐ γὰρ δυνάμεθα διϊσχυρίζεσθαι, ἐπείτοι ὑπόνοιαν καθ' ἡμῶν αὐτῶν παρέχομεν τοῦ εἰδέναι τὰ τῶν ἐχθρῶν ἀκριβῶς· διὸ καὶ ἀπολογίας ἐροῦμεν πολλὰς καὶ ἀναιρετικὰς ἀλλήλων, ἅτε δῆθεν στοχαζόμενοι.

β) *Ὡς ὁ θάπτων·* τοῦτο οὕτως φησὶν, ἐπειδὴ οὐκ αὐτὸς ἔπλασεν, ἀλλ' ἐκ τῶν παλαιῶν εἴληφε τὸ παράδειγμα.

γ) *Δευτέραν δέ·* ἰστέον δὲ, ὅτι κατὰ ἕνδεκα τρόπους διαιροῦσί τινες τὰ πράγματα· ἢ γὰρ ἐφ' οἷς εἶπέ τις κρίνεται, ἢ ἐφ' οἷς δέον εἰπεῖν οὐκ εἶπεν, ἢ ἐφ' οἷς ἑτέρου εἰπόντος ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται, ἢ[36] ἐφ' οἷς ἑτέρου εἰπόντος οὐκ ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται, καὶ πάλιν, ἐφ' οἷς ἔπραξέ τις, ἢ ἐφ' οἷς δέον πρᾶξαι οὐκ ἔπραξεν, ἢ ἐφ' οἷς ἑτέρου πράξαντος ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται, ἢ ἐφ' οἷς ἑτέρου πράξαντος οὐκ ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται, ἢ ἐκ πάθους; οἷον

33 Ven. ἐξετάσθαι. 34 Dem. Olynth. II. p. 23. 35 Olynth. I. p. 15. 36 ἢ ἐφ' οἷς — οὐκ ἄντικρυς εἰς αὐτὸν ἀναφ. l. 26. Mon. om., recepi ex Ven. 1.

νέος πλούσιος, συνεχῶς ἀφορῶν εἰς τὴν ἀκρόπολιν δακρύει καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· ἢ ἐφ' οἷς κέκτηται, ὡς παρὰ Δημοσθένει εὑρέθη εἰκὼν Φιλίππου, καὶ κρίνεται προδοσίας· ἑνδεκάτη δὲ διαφορὰ ἡ τοῦ συμβουλευτικοῦ εἴδους, μηδὲν κοινὸν ἔχουσα πρὸς τὰς εἰρημένας· γελοία δὲ ἡ τοιαύτη διαίρεσις· πᾶσαι γὰρ αὗται ὑπὸ τὰς ἐκτεθείσας τρεῖς τῷ τεχνογράφῳ ἄγονται· εἴτε γὰρ ἐν λόγοις εἴη τὰ ζητούμενα, εἴτε ἐν ἔργοις, πράγματα καλεῖται· ὅσα γὰρ μὴ πρόσωπα, ταῦτα πράγματα ὀνομάζονται.

δ) Τρίτην, ἃ μεταξύ· μεταξὺ εἶπε διὰ τὸ κοινωνίαν ἔχειν αὐτὸ καὶ διαφορὰν ἑκατέρων· πρὸς μὲν οὖν τὸ δεύτερον κοινωνίαν μὲν ἔχει, καθόσον ἑκάτερον ὑφ' ἑτέρου πέπρακται· διαφορὰν[37] δὲ, ὅτι τὸ μὲν ἄντικρυς εἰς αὐτὸν μεταφέρεται, τὸ δὲ οὐκ ἄντικρυς· πρὸς δὲ τὸ πρῶτον, κοινωνίαν μὲν, ὅτι ἑκάτερον διὰ τῶν ἀποδεικτικῶν σημείων κατασκευάζεται, διαφορὰν δὲ, ὅτι ἐκεῖνο μὲν προσεχῆ ἔχει τὰ σημεῖα, τοῦτο δὲ οὐχ οὕτως, ἀλλ' ἔξωθεν λαμβανόμενα. Ἀντιλέγουσι δέ τινες πρὸς τοῦτο· εὑρίσκεται γάρ, φασὶν, ἐν τούτῳ τὸ σημεῖον αὐτὸ τὸ ἀποδεικτικὸν ἀφανές· ἐξ ἀφανοῦς δὲ ἀφανὲς οὐκ ἂν πιστωθείη· ἀλλά φαμεν, ὡς οὐκ ἐνταῦθα μόνον ὁρᾶται τοῦτο, ἀλλὰ καὶ ἐπὶ τοῦ συγκατασκευαζομένου στοχασμοῦ τὸ πρῶτον σημεῖον ἀφανές· τὰ δὲ ἐξ αὐτοῦ, τουτέστι τὰ τούτου κατασκευαστικὰ, φανερά· οὕτω καὶ ἐπὶ τούτου τὸ μὲν πρῶτόν ἐστιν ἀφανὲς, τὰ δ' ἑξῆς φανερὰ, οἷον ἐδωροδόκησας Ἀρχίδαμε· τῷ δῆλον; Περικλῆς ἔγραψεν εἰς δέον ἀνηλωκέναι πεντήκοντα τάλαντα· τοῦτο ἀφανὲς τὸ σημεῖον· τὰ δὲ τούτου κατασκευαστικὰ φανερὰ, οἷον φίλος γὰρ ἦσθα τῷ Περικλεῖ, καὶ τοὺς αὐτοῦ οὐκ ἐδῄωσας ἀγρούς· ταῦτα γὰρ

37 διαφορὰν δὲ usque ad σημείων κατασκευάζεται Ven. 1. om.

πάντα φανερά τε καὶ ἀναμφίλεκτα· δόξειε δ᾽ ἂν μηδὲν διαφέρειν τῆς πρώτης τάξεως τὰ πεπραγμένα τῷ Ἀρχιδάμῳ· οἷον ὅτι μὴ τοὺς καρποὺς τοῦ Περικλέους ἐδήωσε· τοῦτο γὰρ τὸ ὑπ᾽ αὐτοῦ πεπραγμένον· ὁ γὰρ αὐτός ἐστι καὶ πεπραχὼς καὶ κρινόμενος· φαμὲν οὖν, ὡς εἰ μὲν, ἐξ ὧν ὁ Ἀρχίδαμος ἔπραξεν, ἐκρίνετο, εἶχεν ἂν λόγον· νῦν δὲ οὐκ ἐξ αὐτῶν, ἀλλ᾽ ἐξ ὧν ὁ Περικλῆς ἔγραψε, δώρων φεύγει·[38] καὶ τούτου σημεῖον, ὅτι μὴ τοὺς ἐκείνου καρποὺς ἐδήωσε· γίνεται γοῦν τὸ τρίτον εἶδος τοῦτο, ἐξ ὧν ἂν αὐτός τε καὶ ἕτερος πράξωσι, διὸ καὶ κατὰ τοῦτο μεταξὺ ἐκείνων λέγεται εἶναι, ὡς καὶ ἀμφοτέρων μετέχον.

ε) Διὰ δὲ τὰ ἄλλα· οἷον διὰ τὰς φιλίας, διὰ τὴν διατριβὴν[39] τὴν ἐν τῷ Ἰσθμῷ, διὰ τὸ μὴ δηῶσαι τοὺς ἀγρούς.

ϛ) Καὶ οὐκ ἀγνοῶ γε· πρὸς Μινουκιανὸν ἀποτείνεται λέγοντα, δύνασθαι εἶναι στοχασμὸν ἀτελῆ ἁπλοῦν, ἀπὸ προσώπου μόνον ἐξεταζόμενον μὴ κρινομένου τοῦ πράγματος, ὅπερ Ἑρμογένης οὐ παραδέχεται, ἀλλὰ διπλοῦν μὲν εἶναι λέγει ἀτελῆ, ὅταν τὰ πράγματα ἐξισάζωσιν, ἁπλοῦν δὲ οὐδαμῶς.

ζ) Θαυμάζω δέ· κατὰ συλλογισμὸν δείκνυσιν, ὅτι καὶ τὸ ἀφανὲς πρᾶγμα ἐξετάζεται, εἰ συνέστηκε γὰρ, φησὶ, τὸ ζήτημα, ἀπολογίαν ἕξει ὁ ἄσωτος, εἰ δὲ ἀπολογίαν, καὶ μετάθεσιν αἰτίας ἐρεῖ, εἰ δὲ τοῦτο, καὶ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους συνέχει, εἰ δὲ τοῦτο, συνέστηκε τὸ πρᾶγμα, καὶ ἄλλως· ἐπειδήπερ ἐν τοῖς ζητήμασίν εἰσι μὲν[40] κεφάλαια προσωπικὰ, εἰσὶ δὲ καὶ πραγματικὰ, ὧν ἔστι καὶ ἡ τῆς αἰτίας μετάθεσις, θαυμάζω, εἰ τὸ τοιοῦτον κεφάλαιον ἀποδοίη τις, μὴ κρινομένου τοῦ πράγματος.

38 Ven. 1. φεύγει. Mon. φεύγειν. 39 Ven. 1. τριβήν. 40 μὲν ex Ven. 1. adjeci.

η) Ἐνταῦθα γὰρ πάλιν·[41] τὸ πάλιν οὐκ ἀργὸν κεῖται, δηλοῖ γάρ, ὅτι ὥσπερ ἀνωτέρω ἐν τῷ δύο νέοι πλούσιοι, εἰ ἐπί τῳ κρίνοιεν ἀλλήλους, τὰ πρόσωπα ἐδείκνυτο ἀνεξέταστα, οὕτω κἀνταῦθα τῶν προσώπων ἐξεταζομένων, τὰ πράγματα διὰ τὸ ἰσάζειν οὐκ ἐξετάζεται. Σημείωσαι δέ, ἐν μὲν τῷ εἰπεῖν „τὰ συνεστῶτα,“ τὰ εἰς τὰς δεκατρεῖς στάσεις ἀναγόμενα ζητήματα ᾐνίξατο· ἐν δὲ τῷ[42] „καὶ τὰ διαιρεῖσθαι δυνάμενα“ τὰ ἐγγὺς ἀσυστάτων, ἅτινα μελετῶνται μὲν καὶ διαιροῦνται, ἀλλ' οὐ συνίστανται· ἐν δὲ τῷ „ὅσα ὅλως μὴ συνέστηκε,“ τὰ πάντη ἀσύστατα, ὥστε τοῦτο λέγει, ὅτι ἡ τῶν προσώπων καὶ πραγμάτων διδασκαλία εἰς τὰ τρία ταῦτα συμβάλλεται, εἴς τε τὴν τῶν συνεστώτων, καὶ εἰς τὴν τῶν ἀσυστάτων, καὶ εἰς τὴν τῶν μέσων ἤγουν τῶν ἐγγὺς ἀσυστάτων διάγνωσιν. Καταχρηστικῶς ἐνταῦθα τὰ ἀσύστατα καὶ τὰ ἐγγὺς ἀσυστάτων ὀνομάζει ζητήματα. κυρίως τῶν συνεστώτων μόνων τούτῳ καλουμένων τῷ ὀνόματι· τὰ γὰρ παρὰ ταῦτα προβλήματα οὐ κύρια· καταχρηστικῶς δὲ καὶ ζητήματα λέγεται. Τὰ μὲν γὰρ ἤτοι ἄμφω· τὸ ἁπλῶς πολιτικὸν ὁρισάμενος ζήτημα νῦν τὸ συνεστὼς οἱονεὶ μόνον ὁρίζεται, ὥσπερ ἐκεῖ τὸ ἁπλῶς πολιτικὸν ὁρισάμενος ζήτημα ἀπὸ τῶν παρακειμένων διὰ τοῦ ὁρισμοῦ τοῦτο διῄρει· ταῦτα δὲ ἦσαν τά τε ἰατρικὰ καὶ γεωμετρικὰ καὶ τὰ κατὰ φιλοσοφίαν καὶ τὰς ἄλλας ἐπιστήμας καὶ τέχνας ὀνομαζόμενα ζητήματα, οὕτω καὶ νῦν τὰ συνεστῶτα τῶν πολιτικῶν ὁριζόμενος ζητημάτων ἀπὸ τῶν παρακειμένων διὰ τοῦ ὁρισμοῦ διαστέλλει ταῦτα, τὰ δέ εἰσι τὰ πάντη ἀσύστατα.

α) Καὶ ὅσα μὴ συνέστηκεν· προβλήματα δηλονότι, οὐδὲ γὰρ ζητήματα καὶ αὐτά.

β) Τὰ μὲν γὰρ[1] ἤτοι ἄμφω· ὁ μὲν Μινουκια-

41 Tota haec sectio in Ven. 1. deest. 42 τῷ abest a cod.

1 γὰρ ex Ven. 1. inserui.

νὸς τρεῖς τῶν ζητημάτων παραδέδωκε τρόπους· αἴτιον, συνέχον καὶ κρινόμενον· αἴτιον μὲν τὸν κατήγορον ὀνομάζων, αὐτὸς γάρ ἐστιν ὁ παρέχων τὴν ἀφορμὴν τῇ γραφῇ· συνέχον δὲ τὸν φεύγοντα, ἐξ αὐτοῦ γὰρ συνέχεται τὸ ζήτημα· κρινόμενον δὲ τὴν ψῆφον τῶν δικαστῶν, αὐτὴ γάρ ἐστιν ἡ κρίνουσα. Ὁ δὲ Ἑρμογένης τέσσαρας τόπους τῶν συνεστώτων τιθέμενος ἅμα δι' αὐτῶν καὶ τὰ μὴ συνεστῶτα διδάσκει· καὶ πρῶτος μὲν τρόπος, ὅτι ἢ πρόσωπόν ἐστιν ἢ πρᾶγμα τὸ κρινόμενον· δεύτερος, ἡνίκα ἑκάτερος τῶν ἀντιδίκων πιθανοὺς ἔχει λόγους καὶ ἰσχυρούς· τρίτος, ἡνίκα μὴ παρὰ τοῖς δικάζουσι προείληπται· τέταρτος, ἡνίκα μὴ τὸ πέρας ἀδύνατον. Διὰ μὲν οὖν τοῦ [2] εἰπεῖν „καὶ πρόσωπον καὶ πρᾶγμα," ἀντιδιέστειλε τὰ ἐξ ἑνὸς μέρους ἀσύστατα, διὰ δὲ τοῦ, „ἢ τὸ ἕτερόν γε," τὰ ἐξ ἀμφοῖν ἀσύστατα, διὰ δὲ τοῦ „ἐξ ἑκατέρου μέρους" τὰ μονομερῆ καὶ τὰ ἀπερίστατα, καὶ τὰ ἑτερορρεπῆ, διὰ δὲ τοῦ „σὺν τῷ πιθανῷ" τὰ ἀπίθανα, διὰ δὲ τοῦ „διαφόρους" τὰ ἀντιστρέφοντα, διὰ δὲ τοῦ „πίστεσιν ἰσχυρούς," τὰ ἀδύνατα καὶ τὰ κακόπλαστα· καὶ γὰρ καὶ ταῦτα ἀδύνατα, κατὰ θανόντων τὴν κατηγορίαν ἐπάγοντα, διὰ δὲ τοῦ „μὴ προειλημμένου" τὸ προειλημμένον τῇ κρίσει καὶ τὸ ἄδοξον. καὶ γὰρ καὶ [3] τὸ ἄδοξον, εἰ καὶ μὴ τοῖς δικασταῖς προδιέγνωσται, ἀλλὰ τῇ γνώμῃ, καὶ πρὸ διαγνώσεως παρ' αὐτῶν τὸ πρᾶγμα μεμίσηται, καὶ ἅμα τῇ εἰσαγωγῇ τοῦ δικαστηρίου ἐκβάλλεται· διὰ δὲ τοῦ „δυνάμενόν τε πέρας λαβεῖν" τὸ ἄπορον.

γ) Καὶ πρόσωπον· τοῦτο διὰ τὸ ἀπερίστατόν φησιν, ὃ καὶ προσώπου καὶ πράγματος ἐλλιπές ἐστιν, οἷον φόνος γέγονε, καὶ κρίνεταί τις.

δ) Ἢ τὸ ἕτερόν γε· δοκεῖ ὁ Ἑρμογένης ἐναντιοῦ-

---

2 Ven. 1. τό. 3 καὶ ex Ven. 1. adjeci.

σθαι ἑαυτῷ, ἀνωτέρω μὲν εἰπὼν, μὴ δύνασθαι συστῆναι ζήτημα ἄνευ πράγματος, νυνὶ δὲ δίχα θατέρου, τουτέστιν ὁποτερουοῦν, προσώπου δηλονότι ἢ πράγματος, συνεστάναι· ἔστιν οὖν εἰπεῖν, ὅτι ἢ τὸ ἕτερον ὡρισμένον ἐπὶ τοῦ προσώπου μόνου ληπτέον, ὅπερ ἐστὶν ἐπὶ τῶν ἁπλῶν, ἢ εἰ[4] ἐπ' ἀμφοτέρων δύναται νοεῖσθαι, ἐπὶ τῶν διπλῶν, ἐν οἷς ἐξισάζει μόνα τὰ πράγματα, νοητέον.

ε) Καὶ πρῶτόν γε· ὥσπερ ἐπὶ τῶν προσώπων ἐκ τῶν ἰσχυροτέρων ἤρξατο καὶ προῆλθεν ἐπὶ τὰ ἀσθενέστερα, οὕτω καὶ ἐνταῦθα ἐκ τῶν μᾶλλον ἀσυστάτων ἤρξατο· ταῦτα γὰρ μᾶλλον ἰσχυρότερα, καθὸ ἀσύστατα, καὶ κατέληξεν εἰς τὰ ἐγγὺς ἀσυστάτων, καὶ ἐν αὐτοῖς δὲ τοῖς ἀσυστάτοις ἤρξατο ἐκ τοῦ μονομεροῦς, ἐν ᾧ τὸ πᾶν τῆς δυνάμεως ὁ κατήγορος ἔχει, καὶ κατέληξεν εἰς τὸ ἀπερίστατον, ἐν ᾧ ἰσχυρὸς μὲν ὁ ἀπολογούμενος, τῷ δὲ κατηγόρῳ οὐδεμία ἰσχὺς, τὰ δ' ἄλλα μέσον εἰσάγει, ἐν οἷς ὑφ' ἑαυτῶν ὅ τε κατήγορος καὶ ὁ κατηγορούμενος ἁλισκόμενοι φαίνονται. Ἐπὶ δὲ τῶν ἐγγὺς ἀσυστάτων ἀπὸ τοῦ[5] ἑτερορρεποῦς μὲν ἄρχεται, ἐν ᾧ ἧττον ὁ ἐναγόμενος δύναται, εἰς δὲ τὸ τῇ κρίσει προειλημμένον καταπαύει τὸν λόγον.

ϛ) Τὸ μονομερές· εἴδη γενικώτατα τῶν ἀσυστάτων δύο· ἢ γὰρ τὰ ἐναργῆ καὶ αὐτόθεν πρόδηλα οὐ ζητεῖται, ὡς ἐν ἡμέρᾳ οὐ ζητοῦμεν, εἰ ἡμέρα ἐστὶν, ἢ τὰ ἀδύνατα εὑρεθῆναι, οἷον οἱ ἄρτιοι, οἱ ἀστέρες, λοιπὸν ἐκεῖνα λείπεται εἶναι ζητήματα, ἃ[6] καθ' ἑαυτὰ μὲν ἄγνωστά ἐστιν· ἀπὸ δὲ ζητήσεως εὑρεθῆναι δύναται.

ζ) Τὸ ἐξισάζον διόλου· καὶ γὰρ καὶ ἐν τούτῳ, καὶ ἐν τοῖς ἄλλοις ἀσυστάτοις, ἐάν τι τῶν περιστατικῶν προςτεθῇ, ζήτημα γίνεται, διὸ καὶ διόλου εἶπεν.

η) Τρίτον κατὰ τὸ ἀντιστρέφον· διαφέρει

4 εἰ abest a Ven. 1. 5 τοῦ ex Ven. 1. adjeci. 6 ἃ Mon. om., recepi ex Ven. 1.

τοῦτο τοῦ ἰσάζοντος, τῶν ἀντιδίκων ἐπ' ἀμφοτέροις τοῖς ἀλλήλων χρωμένων λόγοις κατὰ τὸν χρόνον· ἐκεῖ μὲν γὰρ κατὰ τὸν αὐτὸν ἐλέγχεται χρόνον ὑφ' ἑαυτοῦ, ἐνταῦθα δὲ ὑφ' ἑαυτοῦ μὲν, ἀλλ' ἐν διαφόροις χρόνοις.

ϑ) Τέταρτον κατὰ τὸ ἄπορον· ἄπορον καλοῦμεν τὸ τοιοῦτον, καίτοι καὶ τῶν ἄλλων ἀπόρων ὄντων, ὅτι δύο τινά ἐστιν ἐν τοῖς λόγοις, τὰ μὲν κατασκευαστικὰ τῶν ἡμετέρων, τὰ δὲ ἀνατρεπτικὰ τῶν ἐναντίων. Ἐν μὲν οὖν τοῖς ἄλλοις τῶν κατασκευαστικῶν ἡ ἀσθένεια ποιεῖ τὸ ἀσύστατον· οὐ δυνάμεθα γὰρ κατασκευάσαι ἐν ἐκείνοις τὰ οἰκεῖα· ἐν δὲ τούτῳ οὐ μόνον τις τὰ οἰκεῖα δύναται[7] κατασκευάζειν, ἀλλὰ καὶ τὰ ἐναντία, ὧν βούλεται,[8] πάντως κατασκευάζει.

ι) Κατὰ τὸ ἀπίθανον· ἀπίθανόν ἐστιν, ᾧ[9] μὴ δυνατὸν τὴν ἱστορίαν ἐναντιοῦσθαι· εἰ δὲ καὶ κατηγορήθη Σωκράτης, ἀλλ' ἐπ' ἀσεβείᾳ, οὐκ ἐπὶ πορνείᾳ· σώφρονος γὰρ παρὰ πᾶσιν ἐκέκτητο δόξαν. Τὸ δὲ „εἰ Σιφνίους," τὸ Δημοσθενικὸν[10] παρῴδησεν· ἐκεῖνος γάρ φησιν· „ὥσπερ γὰρ[11] ἀδύνατον Σιφνίους ἢ Μαρωνείτας περὶ τῆς τῶν Ἑλλήνων ἀρχῆς βουλεύεσθαι," εἶτα ἐπειδὴ τοῦτο εἶδεν ἀμφιβαλλόμενον, ὡς δυνατὸν τῷ χρόνῳ ποτὲ γενέσθαι· καίτοιγε αὐτὸς περὶ τῆς τότε καταστάσεως αὐτῶν λέγει, ἐπήγαγε τὸ, „ἢ τὸν Πύθιον ψεύδεσθαι."

ια) Κατὰ τὸ ἄδοξον· ἄδοξον τὸ κακόδοξον καὶ αἰσχρὸν, οὔτε γὰρ προβαλεῖται πίστιν ἀνὴρ προαγωγὸς τῆς αὑτοῦ γυναικὸς, οὔτε δικαστὴς σώφρων ἂν εἴη, ὃς οὐχὶ καὶ πρὸ τῆς κρίσεως αὐτὸν καταλεύσει.

---

7 Mon. οὐ δύναται. Ven. 1. οὐ om. 8 Ven. 1. βούλεται. Mon. βούλονται. 9 Ven. 1. ᾧ. Mon. ὅ. 10 περὶ συντάξ. p. 176. εἰ μὲν οὖν Σιφνίοις ἢ Κυθνίοις ἢ τισιν ἄλλοις τοιούτοις οὖσι συνήδειν ὑμῖν, ἔλαττον φρονεῖν συνεβούλευον ἄν. 11 γὰρ Ven. 1. om.

ιβ) Κατὰ τὸ ἀπερίστατον· ἀπερίστατον λέγεται καίτοι καὶ πρόσωπον ἔχον καὶ πρᾶγμα, διὰ τὸ τὴν αἰτίαν λείπειν, αὕτη γάρ ἐστι τὸ κυριώτατον τῶν περιστατικῶν καὶ συνεκτικώτατον· ὅθεν δὴ καὶ χρῶμα ἡ μετάθεσις τῆς αἰτίας λέγεται, ἡ γὰρ αἰτία ἐστὶν ἡ χρωννῦσα τὸ ζήτημα, καὶ τοιόνδε ἢ τοιόνδε ποιοῦσα. Ἰστέον δὲ, ὅτι τριῶν ὄντων περὶ ἕκαστον [12] τῶν πραγμάτων, χρήσεως, δόξης καὶ φύσεως, τὰ μὲν δύο τῷ ῥήτορι ἀπονενέμηται, ἡ δὲ φύσις τοῖς φιλοσόφοις· τῶν δὲ παρὰ τοῖς ῥήτορσι κυριώτερον ἡ χρῆσις, ἐπειδήπερ ἐξ αὐτῆς καὶ ἡ δόξα προέκυψεν· εἰ γὰρ τὰς φύσεις οὐκ ἐπιζητοῦσι τῶν πραγμάτων, ἐκ τῆς χρήσεως οἶμαι τόδε τι νομίζουσι περὶ τοῦ πράγματος· διὸ καὶ πρῶτον τὸ ἄπορον ἔταξεν, ἀπὸ γὰρ τῆς χρήσεως εἶχε τὴν βλάβην· δεύτερον δὲ τὸ ἀπίθανον, ὅπερ ἐστὶ τῆς δόξης, τρίτον δὲ τὸ ἀδύνατον, ὅπερ ἐστὶ τῆς φύσεως.

α) Ἐγγύς· καλῶς τὸ ἐγγὺς προσέθηκεν, οὐ γὰρ τελέως ἀσύστατά ἐστιν, ἀλλ' ἐγγὺς μὲν ἀσυστάτων, μελετώμενα δὲ ὅμως· μελετώμενα δὲ εἶπε διὰ τὸ μὴ ἐπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀληθείας τὴν ζήτησιν γίνεσθαι, γελοῖον γὰρ ἂν ἦν, ἀλλὰ λόγῳ μόνον γυμνασίας ἕνεκα μελετᾶσθαι, ταῦτα δὲ τὰ τρία εἴδη αὐτὸς ἐπενόησεν.

β) Τὸ ἑτερόῤῥεπές. ἑτερόῤῥεπὲς λέγεται, ἐπειδὴ θάτερον μέρος πλεονεκτεῖ, ἐκ μεταφορᾶς τῆς πλάστιγγος· ὁ μὲν γὰρ κατήγορος φήσει, ὅτι οὐ τιμὴ, ἀλλὰ τιμία καὶ Ἁρμοδίου καὶ Ἀριστογείτονος τῶν τυραννοκτόνων, τὸ τὸν τύραννον δι' ἐκείνων σώζειν· ὁ δὲ ἀπολογούμενος τούτοις ἀντιλέγειν οὐκ ἔχων ἐπὶ τὸν τῶν εἰκόνων μόνον καταφεύξεται νόμον.

γ) Τὸ κακόπλαστον· τοῦτο τοῦ ἀδυνάτου [13].

---

12 Ven. 1. ἑκάστου. 13 Ven. 1. τοῦ ἀδυνάτου. Mon. τὸ ἀδύνατον.

διαφέρει τῷ χρόνῳ μόνῳ, παρὰ γὰρ τὸν χρόνον ἐστὶ τὸ ἁμάρτημα· ἀλλ' οὐχ ὡς ἀδύνατον τῇ φύσει πλάττεται· φύσει γὰρ ἀδύνατον, ὅτι βούλεται Ἀλέξανδρος εἰς ἤπειρον μεταθεῖναι τὰς νήσους.

δ) Καὶ τὸ προειλημμένον· ζητεῖται διατὶ τὸν ὅρον ἐκτιθέμενος τοῦ ζητήματος, καὶ εἰπὼν, ὅτι τὸ μὴ προειλημμένον συνέστηκε, νῦν αὐτὸ εἰς τὰ μεταξὺ τέταχε· καὶ λέγομεν, ὅτι δύναται καὶ ἀσύστατον εἶναι καὶ συνεστηκός· ἀσύστατον μὲν, ἐὰν ἐν αὐτῇ τῇ πόλει κρίνηται, καθ' ἣν γέγονεν ἡ εὐεργεσία, οὐδεὶς γὰρ καταψηφίσεται,[14] συνιστάμενον δὲ, ἐὰν ἐν ἑτέρᾳ πόλει ἡ κρίσις ᾖ· ἔστι δὲ τῶν ἐμμέσων, ὅτι κἂν ἀλλαχοῦ κρίνηται, οὐ πάνυ καταψηφιοῦνται τῆς γυναικός. Διαφέρει δὲ ἀντιστάσεως, ὅτι ἐν μὲν ἐκείνῃ ὁμολογεῖται τὸ ἔγκλημα· ἀντεισφέρεται δὲ μεῖζον εὐεργέτημα· ἐνταῦθα δὲ οὐχ ὁμολογεῖται· κἀκεῖ μὲν γὰρ καὶ τὸ ἔγκλημα καὶ τὸ εὐεργέτημα ἢ ἄμφω δημόσια, ἢ ἄμφω ἰδιωτικά· ἐνταῦθα δὲ τὸ μὲν ἔγκλημα ἰδιωτικὸν, τὸ δὲ εὐεργέτημα δημόσιον. Ἰστέον δὲ, ὅτι τὸ προειλημμένον τῇ κρίσει ἢ περὶ πρόσωπον γίνεται ἢ περὶ πρᾶγμα· τὸ μὲν οὖν περὶ τὸ πρόσωπον τὸ ἀπίθανόν ἐστι, τὸ δὲ περὶ τὸ πρᾶγμα τὸ προειλημμένον, διὸ ἐκεῖνο μὲν ἐν τοῖς ἀσυστάτοις ἐτάχθη, τοῦτο δὲ ἐν τοῖς ἐμμέσοις· ἔτι καὶ τοῦτο ἰστέον, ὅτι τὸ μὲν ἑτερόῤῥεπὲς ἀσθενέστατόν ἐστι τῶν μετ' αὐτὸ, κινδυνεύει γὰρ εἶναι μονομερὲς, τῶν δὲ μετ' αὐτὸ ἀσθενέστερον τὸ κακόπλαστον τοῦ προειλημμένου. τὸ μὲν γὰρ εἰς ἑαυτὸ βέβλαπται, τὸ δὲ εἴς τι τῶν ἔξωθεν, οἷον τὸν δικαστήν.

ε) Τάχα δ' ἂν καὶ παρὰ ταῦτα· ἰστέον, ὅτι καὶ ἕτερά τινες ἀνεπλάσαντο· ἀνάγεται μέντοι καὶ ταῦτα εἰς τὰ εἰρημένα· τὰ δέ εἰσι τὸ πάντη φανερὸν, οἷον

---

14 Ven. 1. καταψηφίσηται.

εἴ τις ἀπροφασίστως ἐγκαλοῖτο φόνου ἢ κλοπῆς· τοῦτο δὲ ὑπὸ τὸ ἀπερίστατον ἀναφέρεται· ἕτερον τὸ ἀνακόλουθον, οἷον εἴ τις ὑβρίσας κατηγοροῖτο κλοπῆς· ἀπερίστατον δὲ καὶ τοῦτο· ὅσον γὰρ εἰς κλοπὴν, οὐδεμίαν αἰτίαν εἰσήνεγκεν ὁ κατηγορούμενος· ἕτερον τὸ ἀπρεπές· οἷον ἠράσθη τις παῖς τῆς ἑαυτοῦ μητρὸς, συνεχωρήθη παρὰ τοῦ πατρὸς συγγενέσθαι αὐτῇ, καὶ κρίνεται παρὰ τοῦ πατρὸς ἀθεμιτοπραξίας ὁ παῖς· καὶ τοῦτο δὲ ταὐτὸν τῷ ἀδόξῳ· ἕτεροι δὲ προστιθέασι ταῦτα· τὸ πάντῃ δῆλον, οἷον πατὴρ φονεύσας τὸν υἱὸν κρίνεται, ἔστι δὲ ταὐτὸν τῷ μονομερεῖ τὸ πάντῃ ἄδηλον, οἷον πατήρ τις ἐτελεύτησεν ἐπὶ δυσὶ παισί· τελευτῶν δὲ θατέρῳ τῶν υἱῶν εἰς ὦτα διειλέχθη· καὶ ἀπαιτεῖ ὁ ἕτερος θησαυρόν· τὸ δέ ἐστι ταὐτὸν τῷ ἀπεριστάτῳ· τί γὰρ [15] σημεῖον τοῦ θησαυροῦ· τί δὲ, εἰ διειλέχθη; τὸ γὰρ σημεῖον τοῦ θησαυροῦ τόδε· εἰ διειλέχθη, φυλάττεσθαι τὸν ἀδελφὸν, ὡς ἐπιβουλεύοντα· ἕτερον τὸ ἀχρώματον ἀναπολόγητον, οἷον νόμου ὄντος παρθένους καὶ καθαρὰς εἶναι τὰς ἱερείας, ἱέρειά τις εὑρέθη, ἀτόκιον φοροῦσα καὶ κρίνεται, καὶ τοῦτο ὑπὸ τὸ μονομερές, οὐ γὰρ ἕξει τι λέγειν ἱέρεια· ἔτι τὸν κροκοδειλίτην καὶ πρίονα· οἷον κατὰ τὸν Αἰγύπτιον μῦθον γυνὴ ἔχουσα παιδίον ἐβάδιζε πρὸς ταῖς ὄχθαις τοῦ ποταμοῦ· ταύτης κροκόδειλος ἀφείλετο τὸν παῖδα, καὶ προστίθησιν, ὡς εἴπερ τἀληθὲς ἐρεῖ, ἀπολήψεται τὸν παῖδα· ἡ δὲ ἔφη, οὐκ ἀποδώσεις· καὶ ἀξιοῖ τὸ παιδίον ἀπολαβεῖν· καὶ αὖθις ὑπὸ λῃσταῖς ἐγίνετο μάντις ἔχων θυγατέρα· ταύτην ἀφείλοντο ἐκεῖνοι, καὶ ὑπισχνοῦνται τἀληθὲς λέγοντι ἀποδώσειν τὴν θυγατέρα· ὁ δὲ, ὡς οὐκ ἀποδώσουσιν ἀπεκρίνατο, καὶ ἀξιοῖ ταύτην ἀπολαβεῖν· κροκοδειλίτην μὲν οὖν τὸ πρόβλημα καλοῦσι διὰ τὸν κροκόδειλον, πρίονα δὲ, ὅτι, ὥσπερ [16] ἐκεῖνος

15 Τί γὰρ σημ. τοῦ θησ. τί δὲ, εἰ διειλέχθη Mon. om., recepi ex Ven. 2. 16 Ven. 1. ὥσπερ. Mon. ὅπερ.

τῶν τεμνομένων σωμάτων ἀντέχεται, οὕτω καὶ ἐν τούτῳ ἀλλήλων αἱ προτάσεις ἀντέχονται, καὶ τοῦτο δὲ ταὐτὸν τῷ ἀπόρῳ· ἔτι ἦθος καὶ μάχην, οὕτω καλούμενον ὑπ' αὐτῶν· οἷον πλούσιος καὶ πένης ἐχθροὶ τὰ πολιτικὰ πρεσβεύειν ἐκρίθησαν· νόμου κελεύοντος μὴ συμπλεῖν τοὺς πρέσβεις, ναυαγίῳ περιπεσὼν ὁ πένης ἀξιοῖ δεχθῆναι ἐπὶ τῆς νεὼς, ἐφ' ἧς ὁ πλούσιος ἔπλει· ὁ δὲ αὐτὸν οὐχ ὑπεδέξατο, καὶ τελευτήσαντος κρίνεται δημοσίων ἀδικημάτων· τοῦτο μὲν οὖν σχεδὸν καὶ συνεστηκός ἐστι. Καί τινες αὐτὸ μετάστασιν νενομίκασιν, ἐπὶ[17] τὸν νόμον ἄγοντες τοῦ πλουσίου τὴν αἰτίαν, καὶ καλῶς ἂν ἔλεγον, εἰ μὴ πρόσωπον προείληπτο· ἀνάγεται οὖν ἐπὶ τὸ προειλημμένον· προείληπτο γὰρ, ὅτι ἐχθροὶ τὰ πολιτικά. ἕτερον τὸ κατὰ κακοήθειαν· οἷον νόμος, τὸν νόθον ἐξ ἴσου τῷ γνησίῳ κληρονομεῖν, διανέμειν δὲ τὴν οὐσίαν τὸν γνήσιον· ἐτελεύτησέ τις ἐπὶ παιδὶ γνησίῳ καὶ νόθῳ ἐκ δούλης. Διανέμων ὁ γνήσιος τὴν οὐσίαν ἐν μιᾷ θεὶς μοίρᾳ τὴν τοῦ νόθου παιδὸς μητέρα, τὰ ἄλλα πάντα ἐν τῇ ἑτέρᾳ ἔθηκε· καὶ κρίνεται κακοηθείας· ἀλλὰ καὶ τοῦτο ὑπὸ τὸ ἑτερο ῤῥεπὲς ἀνάγομεν· ἐντεῦθεν οὖν δῆλον, ὡς εἴ καί τι ἕτερον προσεξευρεῖν δυνηθείη τις, εἰς τὰ προανατεταγμένα τῷ τεχνικῷ ἀναχθήσεται· ζητοῦσι δ' ὅμως τινὲς, πῶς, εἴπερ εἴδη τινὰ ἐλλείποντα ἠπίστατο, μὴ ζητήσας προσέθηκε· καὶ φαμὲν, ὅτι πρῶτα μὲν οὐ πάντα πιστεύει τῇ ἑαυτοῦ φύσει, ἀλλ' ὑποπτεύει, καὶ παρ' ἑτέρων ἄλλα τινὰ ἐπινοηθῆναι οἷόν τε εἶναι· ἔπειτα τὰς μὲν ἀρετὰς ὁρίζομεν, αἱ δὲ κακίαι ἀπεριόριστοι· οὕτως οὖν τὰ μὲν συνεστηκότα περιορίζει, τὰ δὲ ἀσύστατα ἐνόμισε μὴ πάντῃ περιορίζεσθαι.

ϛ) Εἴδους γὰρ ἕνεκα· ὁ Μινουκιανὸς τῷ περὶ τῶν στάσεων λόγῳ τὸν περὶ τῶν ἰδεῶν συνανέφυρεν,

---

17 Ven. 1. ὑπό. h. l. et paullo post l. 12.

οὐ γενναῖόν τι καὶ λόγου ἄξιον διδάσκων, οὐδὲ περὶ τοῦ καθόλου τῶν προβλημάτων εἴδους ἢ τῶν τρόπων, ὥσπερ ὁ τεχνικὸς ἐν τῷ περὶ ἰδεῶν λόγῳ ἐδίδαξεν· ἀλλὰ ψεκάδας τινὰς εἰδῶν καὶ τρόπων ἰσχνῶς καὶ μικρολόγως ὑποτιθεὶς, καὶ πέντε τινὰ εἴδη προβλημάτων εἰσάγει, πανηγυρικὸν, δικανικὸν, ἠθικὸν, παθητικὸν καὶ μικτόν· τέσσαρας δὲ τρόπους· ἔνδοξον, ἄδοξον, ἀμφίδοξον, καὶ παράδοξον, σύγχυσιν ἐντεῦθεν ἐργαζόμενος· διαφέρει δὲ εἶδος ἰδέας, τῷ τὸ μὲν [18] εἶδος ἀπὸ γένους διαιρεῖσθαι, τὴν δὲ ἰδέαν ποιότητα εἶναι φράσεως.

ζ) Ἐπιδεικτικόν· τὸ πανηγυρικὸν οὕτω λέγει, ἢ ὅτι τὸ ἦθος τοῦ ἐπαινουμένου τοῖς ἄλλοις ἐπιδεικνύμεθα, ἢ ὅτι οὐκ ἀναγκαίως ὡς τὸ δικανικόν τε καὶ συμβουλευτικὸν γίνεται, ἀλλ᾽ ὡς ἐπὶ πᾶν κατὰ μόνην ἐπίδειξιν.

η) Τῆς εἰς τὰ λεγόμενα κεφάλαια· τοῦ πολιτικοῦ λόγου τὰ μὲν μέρη καλοῦνται, ὡς προοίμια, διηγήσεις, καὶ ἑξῆς, τὰ δὲ κεφάλαια, ὡς τὰ στοχαστικὰ, ὁρικὰ, ἀντιληπτικὰ, ἅπερ ἐκ τῶν μερῶν τοῖς ἀγῶσι συμπλέκονται.

θ) Διαιρήσεις τοίνυν· ἀνακεφαλαιοῦται τὴν πραγματείαν, καὶ τὸν σκοπὸν τοῦ βιβλίου, τὰ μὲν κατὰ ἀνακεφαλαίωσιν λαβὼν, τὰ δὲ κατ᾽ ἐπαγγελίαν· δῆλον δὲ, ὅτι ἀνακεφαλαιούμεθα μὲν τὰ εἰρημένα, [19] ἐπαγγελλόμεθα δὲ περὶ τῶν μελλόντων ῥηθήσεσθαι.

ι) Ὅθεν μὲν γὰρ εἴρηται· πανταχοῦ δείκνυσιν ἑαυτὸν, μὴ τῶν ὀνομάτων ἀντιποιούμενον· τὸν μέντοι τῆς στάσεως ὁρισμὸν αὐτὸς ἀπέδωκεν, εἰπὼν ἐν ἀρχαῖς, ἀμφισβήτησις λογικὴ, καὶ ἑξῆς. Κατὰ μέντοι τὸν Ἑρμαγόραν στάσις ἐστὶ, καθ᾽ ἣν ἀντιλαμβανόμεθα τοῦ ὑποκειμένου πράγματος· διὰ δὲ τοῦ „ἀντιλαμβανόμεθα“ τὰ τῶν ἀντιδίκων παρέστησε πρόσωπα.

18 Ven. 1. μέν. Mon. μηδέν. 19 Ven. 1. εἰρήσεσθαι.

ια) Ὄνομα δὲ ἀφείς· κοινὸν μὲν τὸ μήπω τινὶ ἐπικείμενον, ἀλλ' ἐν μόνῃ ὂν προφορᾷ, ὃ γίνεται ἰδιωτικὸν, ὅταν ἐπί τινα ἐνεχθῇ, ὡς τὸ Δημοσθένης ὄνομα, ὅταν μηδενὸς ἀντιλαμβανώμεθα· συμβεβηκὸς δὲ τὸ ἔκ τινος συμβάντος ἐπιτεθὲν, μήπω πρότερον εὑρεθὲν ἐν τῇ κοινῇ προφορᾷ, ὡς ἔχει τὸ Νεῖλος ἐκ τοῦ νέαν ἰλὺν ἕλκειν τὸν ποταμὸν, οὐ γὰρ ἐπ' ἄλλου ποταμοῦ δύναται λέγεσθαι, ὥσπερ τὸ Δημοσθένης· ἐπὶ παντὸς ἀνθρώπου, ἢ κοινὸν μὲν τὸ φυσικὸν τῶν στάσεων ἁπασῶν, ὡς ἡμῶν τὸ „ἄνθρωποι," συμβεβηκὸς δὲ τὸ ἔκ τινος αἰτίας ἐπισυμβὰν, ὡς τὸ Αἰθίοψ ὄνομα διὰ τὴν ἡλιακὴν καῦσιν.

ιβ) Ἀπὸ στοχασμοῦ ἀναγκαίως· ἀναγκαίως ἀντὶ τοῦ φυσικῶς· ὡς γὰρ φύσει τὸ μὴ ὂν ἐν τοῖς γεννητοῖς [20] προηγεῖται τοῦ ὄντος, οὕτω καὶ ὁ στοχασμὸς τῶν ἄλλων στάσεων, ἢ ὅτι τῶν ζητημάτων [21] ἢ κατ' οὐσίαν ὄντων, ἢ κατ' ἰδιότητα, ἢ κατὰ ποιότητα, τὸ κατ' οὐσίαν δεῖ προϋπάρχειν τῶν ἄλλων· ἐν δὲ τῷ στοχασμῷ περὶ τῆς τοῦ πράγματος οὐσίας ἐστὶν ἡ ζήτησις, ἢ ὅτι ἐν ταῖς πλείοσι τῶν ἄλλων στάσεων ἐμπίπτει ὁ στοχασμὸς, καὶ διὰ τοῦτο αὐτὸν προέταξεν, ἵνα μαθόντες μὴ ξενιζώμεθα ἐν ταῖς ἄλλαις στάσεσιν αὐτὸν εὑρίσκοντες. Ταύτην τὴν αἰτίαν αὐτὸς Ἑρμογένης φησὶν, ὅτι [22] κατὰ ἄρνησιν τοῦ πράγματος γίνεται· φύσει δὲ οἱ ἄνθρωποι ἐπὶ τὸ ἀρνεῖσθαι τὰ ἐπιφερόμενα ἐγκλήματα καταφεύγομεν, καὶ μεῖζόν ἐστι τὸ μηδὲ πρασίε-

---

20 Ven. 1. γενητοῖς. 21 Mon. in marg. infer.: ζήτημα παρὰ τοῖς ῥήτορσι καλεῖται τὸ ἤδη ὁμολογηθὲν συνίστασθαι πρόβλημα, εἰ γὰρ μὴ ὁμολογηθὲν συνίστασθαι τὸ πρόβλημα, οὐκ ἀξιοῦται τῆς τοῦ ζητήματος προσηγορίας· καὶ εἴ τι μὲν ζήτημα, τοῦτο καὶ πρόβλημα πάντως· οὐκ εἴ τι δὲ πρόβλημα, τοῦτο καὶ ζήτημα. 22 Ven. 1. ἢ ὅτι.

σθαι τὸ πρᾶγμα, ἢ αὐτὸ μὲν[23] προσίεσθαι, λέγειν δὲ, ὡς δικαίως εἴη πεπραγμένον ἢ συμφερόντως·

α) Παντὸς οὑτινοσοῦν· τεττάρων ὄντων εἰδῶν τοῦ διδασκαλικοῦ τρόπου, διαιρετικοῦ, ὁριστικοῦ, ἀναλυτικοῦ, ἀποδεικτικοῦ, τοῖς προτέροις δυσὶν ὁ Ἑρμογένης πανταχοῦ χρώμενος φαίνεται. ἰστέον δὲ, ὅτι ἐν πάσαις ταῖς στάσεσιν ἄρνησις γίνεται τοῦ ἐπιφερομένου ἐγκλήματος· ἀλλ' οὐχ ὁμοίως· τριῶν γὰρ ὄντων τῶν ποιούντων τὰς στάσεις, ὑπάρξεως, ἰδιότητος, ποιότητος, ἐν μὲν τῷ στοχασμῷ τὴν τοῦ πράγματος ὕπαρξιν ἀρνούμεθα, ἐν δὲ τῷ ὅρῳ τὴν ἰδιότητα, τὸ μὲν γάρ τι τοῦ πράγματος ὁμολογοῦμεν πεποιηκέναι, τὸ δὲ οὐχ ὁμολογοῦμεν, ἐν δὲ ταῖς ἄλλαις στάσεσιν ὁμολογοῦντες τὰ πράγματα τὴν ἐπιφερομένην αὐτοῖς ποιότητα μόνην ἀρνούμεθα. ἐπεὶ δὲ ἐν τῷ στοχασμῷ παντελῶς ὁ φεύγων ἀρνεῖται πεποιηκέναι, ἐφεῦρεν ἡ τέχνη σημεῖά τινα φανερὰ, ἐξ ὧν δύναται γενέσθαι φανερὸν καὶ τὸ ἔγκλημα· εἰ γὰρ μὴ ταῦτα εἴη, μάτην ἔσται ἡ ζήτησις· δεῖ γὰρ, ὥς φησιν Ἰσοκράτης, τὰ ἀφανῆ ἐκ τῶν φανερῶν ταχίστην ἔχειν τὴν[24] διάγνωσιν· φανερὰ δὲ λέγομεν τὰ σημεῖα, οὐχ ὡς πάντως τοῦ πράγματος ὄντα δηλωτικὰ, ἀλλ' ὡς ὁμολογούμενα ὑπ' ἀμφοῖν, τοῦ τε διώκοντος καὶ τοῦ φεύγοντος· δεῖ δὲ ταῦτα καὶ ἀνεύθυνα εἶναι, ὡς τὸ θάπτειν τὸ νεοσφαγὲς σῶμα· οὕτω γὰρ καὶ ὁ φεύγων παῤῥησιαζόμενος ὁμολογήσει αὐτὰ, καὶ δεῖ τὸν φεύγοντα πρὸς ταῦτα τῇ μεταθέσει τῆς αἰτίας χρήσασθαι, οἷον ὅτι ἐλεήσας ἔθαπτεν, ἤ τι τοιοῦτον, εἰ δὲ μὴ, οὐδὲ ζήτησις ἔσται.

β) Ἢ φανερόν· τριῶν ὄντων, προσώπου, πράγματος καὶ γνώμης, οὔτε ὁμοῦ πάντων ἀφανῶν ὄντων, οὔτε ὁμοῦ φανερῶν, συστήσεται ζήτημα, ἀλλὰ τὸ μέν τοι τούτων

---

23 μὲν ex Ven. 1. adieci. 24 τὴν Mon. om., recepi ex Ven. 1.

ἀφανὲς εἶναι δεῖ, τὸ δὲ φανερὸν, καὶ ἄλλως· κατὰ μὲν τὴν οὐσίαν ἔστι τὸ φανερὸν, κατὰ δὲ τὴν ἰδιότητα οὐδαμῶς· ἢ κατὰ μὲν τὴν ἰδιότητα φανερὸν, οὐκέτι δὲ κατὰ τὴν ποιότητα· οἷον ἐν οἴκῳ πόῤῥωθεν ὁρᾶμέν τι, καὶ ἐπιστάμεθα μὲν, ὅτι ἐστίν τι ἐν αὐτῷ, τὴν δὲ ἰδιότητα αὐτοῦ οὐκ ἴσμεν, πότερον ξύλον ἐστὶν ἢ ἄνθρωπος· ἢ πάλιν ἴσμεν τὴν ἰδιότητα, ὅτι ἄνθρωπος, οὐκέτι δὲ τὴν πυιότητα, πότερον Λάκων ἢ Ἀθηναῖος.

γ) Ἡ ἀπὸ τῆς περὶ τὸ πρόσωπον· ἐπειδὴ στοχασμοί εἰσιν, ἐφ᾽ ὧν ἐκλείπουσι τὰ σημεῖα, οἷον ἐπὶ τῆς μητρυιᾶς, τῆς τὸν υἱὸν τυψάσης, τὸν δὲ πρόγονον [25] ἀνελούσης, καὶ ἐπὶ τοῦ ἀσώτου καὶ πολλῶν ἄλλων, τούτου χάριν προσέθηκεν, ἢ καὶ [26] ἀπὸ τῆς περὶ τὸ πρόσωπον ὑποψίας, ὕποπτον γὰρ ἡ μητρυιὰ καὶ ὁ ἄσωτος. τοῖς δὲ τοιούτοις ἐπειδὴ τὰ σημεῖα ἐκλείπει πρόσεστι τὰ καλούμενα εἰκότα, οἷον ἄσωτος ἦν καὶ εἰκὸς ἀνελεῖν τὸν πατέρα· τοῦ γὰρ σημείου τὸ μὲν τί ἐστιν εἰκὸς, τὸ δὲ ὁμωνύμως σημεῖον· ἴδιον δὲ στοχασμοῦ τὸ δύο πράγματα ἔχειν, ὧν τὸ μὲν ἀνεύθυνον καὶ φανερὸν καὶ σημεῖον, τὸ δὲ ἀφανὲς καὶ ἀπεύθυνον.

δ) Ἡ ἀτελές· περὶ τοῦ ἀτελοῦς πρῶτον διαλαμβάνει, καὶ εἰκότως· τὸ γὰρ ἀτελὲς φύσει πρότερον τοῦ τελείου, εἴγε τὸ τέλειον ὅλον ἐστὶ, τὸ δὲ ὅλον ἐκ τῶν μερῶν, τὸ δὲ μέρος ἀτελὲς, ὥστε τὸ τέλειον ἐκ τοῦ ἀτελοῦς γίνεται.[27]

ε) Τινὸς ὡς λείποντος· ἀκριβῶς τὸ „ὡς“, τὸ γὰρ πρᾶγμα τέλειόν ἐστι φύσει, οὐδὲν γὰρ ἀτελὲς εἰς δικαστήριον εἰσάγεται· ζητεῖται δὲ, ὡς εἰ τῷ ἀτελεῖ προστιθέμενόν τι ἀσύστατον αὐτὸ ποιεῖ, πῶς τὸ τέλειον συνεστάναι δύναται· φησὶ γὰρ, ὅτι τοῦ φανεροῦ τὸ μὲν

---

25 In Mon. primum scriptum fuit πρόσωπον, sed correctum manu seriore et liquore pallido. 26 καὶ Ven. om. 27 Ven. 1. γίνεσθαι.

ἀτελές, τὸ δὲ τέλειον· φαμὲν οὖν, ὅτι τὸ τέλειον οὐ περὶ τῆς ἰδιότητος ἔχει τὴν ζήτησιν, τοῦτο γὰρ ὅρου, ἀλλὰ περὶ τῆς ποιότητος· ἀτελὲς δέ ἐστιν, ὃ καθ' αὑτὸ μὲν ὀνομασθῆναι, τί ποτέ ἐστιν, οὐ δύναται, προςτεθέντος δὲ αὐτῷ τινος, τηνικαῦτα καὶ ὀνομάζεται. Ἐπιλαμβάνονται δέ τινες τοῦ ὁρισμοῦ κατὰ τὸ ἐλλεῖπον· τεττάρων γάρ; φησὶν, ὄντων, εἰδῶν τοῦ ὅρου, τοῦ πάντη ἀτελοῦς, τοῦ ἐλλείποντος, τοῦ τελείου, τοῦ πλεονάζοντος, ἓν μόνον παρέθετο[28] τὸ ἐλλεῖπον, καὶ πάντη μὲν ἀτελές φησιν[29], οἷον ἀνασχών τις τὰς χεῖρας πολλάκις ἐπὶ τῷ πλῆξαι, μὴ πλήξας ὕβρεως κρίνεται· τέλειον δὲ, οἷον νόμος, τὸν καινὸν ὅπλον ἀνευρίσκοντα δωρεὰν αἰτεῖν, ἵππον τις πρῶτον διδάξας πολεμιστὴν, ἀξιοῖ τυχεῖν δωρεᾶς· πλεονάζον[30] δὲ, οἷον νόμος, τοὺς τελείους ἱερᾶσθαι, τοὺς δὲ μὴ τελείους ἀπείργεσθαι, περιττόν τις ἔχων δάκτυλον πρόσεισι τοῖς ἱεροῖς, καὶ κωλύεται. φαμὲν οὖν, ὅτι πάντα ταῦτα πρὸς τὸ ἐλλεῖπον ἀνάγεται, ὅπερ ἐστὶν ἴδιον[31] μόνον ὅρου, ἐν μὲν γὰρ τῷ πρώτῳ ἐλλείπει, ὅτι ἵππος εὕρηται καὶ οὐχ ὅπλον· εἰ γὰρ μὴ οὕτως ἐλλείπει ἀσύστατον ἔσται τῷ ὡμολογῆσθαι· ἐν δὲ τῷ δευτέρῳ πέπρακται μὲν τὸ ἀνασχεῖν τὰς χεῖρας, ἐλλείπει δὲ τὸ πλῆξαι· ἐν δὲ τῷ τρίτῳ πέπρακται μὲν τὸ πέντε ἔχειν δακτύλους, ἐλλείπει δὲ τὸ περιττὸν ἔχειν. τὸ γὰρ περιττὸν οὐ κατὰ φύσιν, τὸ δὲ μὴ κατὰ φύσιν ἀτελές. κοινωνεῖ δὲ ὅρος στοχασμῷ τῇ ἀρνήσει, διαφέρει δὲ τῷ τε τρόπῳ τῆς ἀρνήσεως, ὡς εἴρηται· καὶ ὅτι ἐν μὲν τοῖς ὅροις ὑπεύθυνα τὰ ὁμολογούμενα, ἐν δὲ στοχασμῷ ἀνεύθυνα· καὶ ὅτι ἐν μὲν στοχασμῷ ἄλλο δι' ἄλλου κατασκευάζεται, ἐν δὲ τῷ ὅρῳ οὐχ οὕτως.

ϛ)

---

28 Ven. 1. παρέθετο. Mon. παρέθεντο. 29 Ven. 1. φασίν. 30 Ven. 1. πλεονάζον. Mon. πλεονάζων. 31 Ven. 1. μόνον ἴδιον.

ς) Ὄνομα μὲν γενικόν· ποιότης μὲν ὀνομάζεται, ὅτι ὁποῖόν τι τὸ πρᾶγμα ἐξετάζομεν ἐν αὐτῇ· γενικὸν δὲ, ὅτι πλειόνων στάσεων περιεκτικὴ γίνεται.

ζ) Οἷον εἰ δίκαιον· εἰ καὶ ἡ [32] πραγματικὴ περὶ τὸ δίκαιον καὶ τὸ συμφέρον καὶ τὸ νόμιμον καταγίνεται, ἀλλ᾽ οὐ περὶ αὐτῆς νῦν, περὶ δὲ τῆς καθόλου ποιότητος ἀποφαίνεται.

η) Κἂν μὲν περὶ ῥητὸν ᾖ· εἰ καὶ ὁμολογοῦμεν προτιμότερα τῶν νόμων τὰ πράγματα, διὰ γὰρ τὰ πράγματα οἱ νόμοι παρελήφθησαν, οὐ διὰ τοὺς νόμους τὰ πράγματα, καὶ πρεσβύτερα τῶν νόμων τὰ πράγματα, ἀλλ᾽ οὖν προτέρων τῶν περὶ ῥητὸν ἐμνήσθη· ἐπειδὴ περὶ τούτου ἀναβάλλεται τέως εἰπεῖν, ὡς μέλλων ἐνδιατρίψειν ἐν τοῖς περὶ τὰ πράγματα.

ϑ) Ἂν δὲ περὶ πρᾶγμα, λογικόν· ζητεῖται, πῶς τὴν μὲν φησι λογικὴν, τὴν δὲ νομικήν· καίτοι τῆς νομικῆς καὶ δὴ καὶ πάσης [33] ῥητορικῆς λογικῆς οὔσης· φαμὲν οὖν, ὅτι δυοῖν ὄντων, τοῦ ἀποδεικνύντος καὶ τοῦ ἀποδεικνυμένου, κυριώτερόν ἐστι τὸ ἀποδεικνύμενον· πρὸς οὖν τοῦτο καὶ τὰς στάσεις λαμβάνομεν, κἂν μὲν νόμος ᾖ ὁ ἀποδεικνύμενος, νομικὴν καλοῦμεν τὴν στάσιν, ἐὰν δὲ πρᾶγμα, ἁπλῶς λογικὴν, κἂν μυρίοι νόμοι πρὸς κατασκευὴν τούτου λαμβάνωνται.

ι) Ἢ γὰρ περὶ μέλλοντος· προέταξε τὸν μέλλοντα τοῦ παρεληλυθότος, ὡς συντομωτέρας τῆς περὶ τοῦτο διδασκαλίας ἐσομένης· βούλεται οὖν ἀπαλλαγεὶς ἐντεῦθεν ἐπὶ τὰ πλείονος δεόμενα λόγου τραπέσθαι· ὅπερ πολλαχοῦ φαίνεται ποιῶν· τὸ δ᾽ οὖν μέλλον ἅπαν μίαν συλλήβδην περιλαβὼν στάσιν πεποίηται, οἷον μήπω ἐκβεβηκὸς εἰς ἐνέργειαν· ὡς γὰρ ἐπὶ τῶν μήπω εἰς φῶς ἐξεληλυθότων ἀνθρώπων ἑνὶ ὀνόματι τοῦ ἐμβρύου ἀρκού-

32 ἡ ex Ven. 1. recepi. — l. 11. τὰ abest a codd. 33 Ven. 1. περὶ πάσης, et paullo post δυεῖν.

μεθα, τὰς ποικίλας μετὰ τὴν γένεσιν προσηγορίας ποιούμενοι, οὕτω καὶ ὁ τεχνικὸς τὴν φύσιν ἀπομιμούμενος τὸ μὲν τοῦ μέλλοντος εἰς μίαν ἀπεκορύφωσε στάσιν, τὸ δὲ παρῳχηκὸς εἰς πλείους διεῖλεν. Ὠνόμασται δὲ πραγματική, καίτοι καὶ ἄλλων πολλῶν στάσεων περὶ πράγματα καταγινομένων, ὅτι μόνη αὕτη ἐπὶ πρᾶξιν προτρέπεται· φασὶ δέ τινες, μὴ περὶ πραγματικῆς μόνης γενέσθαι τὸν ὅρον, ἀλλὰ καὶ στοχασμὸν καὶ ὅρον, κατὰ τὸ μέλλον καὶ αὐτῶν ἐχόντων τὴν ζήτησιν· στοχασμοῦ μὲν, οἷον νέος πλούσιος ἀποβλέψας εἰς τὴν ἀκρόπολιν ἐδάκρυσε, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· ὅρου δὲ, οἷον φιλόσοφος συνεχῶς παρὰ τὸν τύραννον ἀνιὼν πείσας αὐτὸν καταθέσθαι τὴν τυραννίδα ὡς τυραννοκτόνος ἀξιοῖ δωρεὰν λαβεῖν· μέλλοντος γὰρ ἐκεῖ μὲν, τὸ εἰ τυραννήσει, ἐνταῦθα δὲ, τὸ εἰ χρὴ τὴν δωρεὰν λαβεῖν. φαμὲν οὖν, ὅτι οὐκ ἔστιν ἐνταῦθα τῷ ὄντι ἡ σκέψις περὶ τοῦ μέλλοντος, ἀλλὰ περὶ τοῦ παρεληλυθότος· οἷον, εἰ τυραννικῇ γνώμῃ βλέπων ἐδάκρυσε, καὶ εἰ τυραννοκτόνος ἐγένετο· εἰ γὰρ ὁ περὶ τοῦ παρεληλυθότος λόγος ἀστασίαστος εἴη, οὐκέτι συνίσταται τὸ πρόβλημα, περὶ γὰρ τοῦ μέλλοντος ἡ πραγματικὴ μόνη ποιεῖται τὸν λόγον, οὐ περὶ τῆς ὑπάρξεως τοῦ πράγματος, ἀλλὰ τῆς αὐτοῦ ποιότητος, οἷον ἀνελών τις τύραννον ἀξιοῖ τὴν οὐσίαν αὐτοῦ λαβεῖν· ὅτι μὲν γὰρ δεῖ δοῦναί τινα δωρεὰν, ὁμολογούμενον, ὅτι δὲ τήνδε ἢ τήνδε, στασιάζεται. τυραννήσεις γάρ, φησὶν, ὥσπερ ἐκεῖνος, εἰ λάβοις τὴν οὐσίαν αὐτοῦ.

ια) Ἂν μέντοι πεπραγμένον ᾖ· ὥσπερ λογικῶν [34] ἁπασῶν τῶν στάσεων οὐσῶν τὰς μετὰ τὴν τῶν νομικῶν ὑπεξαίρεσιν λογικὰς προσηγόρευσεν, οὕτω κἀνταῦθα τοῦ δικαιολογικοῦ πασῶν μετεχουσῶν τὰς μετὰ

34 Mon. λογικῶς. Ven. 1. λογικῶν.

τὴν πραγματικὴν δικαιολογικὰς ἀπεκάλεσεν, ὡς τῶν λοιπῶν ἰδιοσήμοις προσαγορευομένων[35] ὀνόμασιν. Ἰστέον δὲ, ὅτι οὔτε ἐν στοχασμῷ ζητεῖται τὸ δίκαιον, ἀφανὲς γὰρ κατ' αὐτήν ἐστι τὴν οὐσίαν· περὶ δὲ τοῦ ἀφανοῦς πῶς ἄν τις ζητήσειε, πότερον δίκαιον, ἢ μὴ, οὔτε ἐν ὅρῳ, ἀτελὴς γάρ· διὸ οὐδὲ συνεισάγονται ταῖς δικαιολογικαῖς.

ιβ) Κἂν μὲν μηδαμῶς φάσκῃ· τριχῶς λαμβάνεται ἡ ἀντίληψις· ἢ ἐξ ἔθους ἢ[36] νόμου, ἢ φύσεως, ταῦτα γὰρ ἡμῖν παρέχει τὴν ἐξουσίαν τοῦ πράγματος· τινὲς δὲ προστιθέασι καὶ τὸ ἐκ τῆς τέχνης, οἷον τὸ τοῦ ζωγράφου τοῦ γράψαντος τὰ ναυάγια· ἀνάγεται δὲ καὶ τοῦτο ὑπὸ τὸ ἔθος ἢ τὸν νόμον. Ἐπιδιαιρεῖται δὲ καὶ οὕτως· τῆς ἀντιλήψεως τὸ μέν ἐστι κατὰ τὸ μὴ κεκωλύσθαι· οἷον Ἀλκιβιάδης δᾳσὶ μυστικαῖς κωμάζων κρίνεται ἀσεβείας, ἐρεῖ γὰρ, ὡς οὐ κεκώλυται· τὸ δὲ κατὰ τὸ ἐπιτετραμμένον, οἷον νόμος, τὸν μοιχὸν ἀναιρεῖν, τρισαριστέα τις εὑρὼν μοιχὸν ἀνεῖλε, καὶ κρίνεται δημοσίων ἀδικημάτων· ἐπιτέτραπται γὰρ τὸ τὸν μοιχὸν ἀναιρεῖν· πάλιν τῆς ἀντιλήψεως τὸ μὲν ἔχει τὴν κρίσιν, ἀφ' ὧν ἐποίησεν, ὡς ἐπὶ τοῦ ζωγράφου τοῦ γράψαντος τὰ ναυάγια, τὸ δὲ, ἀφ' ὧν οὐκ ἐποίησεν, οἷον ζωγράφος, μὴ γράψας ποτὲ θεοὺς, κρίνεται ἀσεβείας· ἔτι τῆς ἀντιλήψεως τὸ μὲν ἔχει τι ἐπισυμβαῖνον ἄτοπον, οἷον ἐπὶ τοῦ γράψαντος τὰ ναυάγια· ἄτοπον γάρ τι συνέβη τὸ μὴ καταίρειν τοὺς ἐμπόρους· τὸ δὲ οὐκ ἔχει, ὡς ὁ Ἀλκιβιάδης δᾳσὶ μυστικαῖς κωμάζων.

ιγ) Ὄνομα μὲν πάλιν· ἐξ ἀντιθέσεως πασῶν τῶν στάσεων γινομένων, οἷον ἐφόνευσας, οὐκ ἐφόνευσα, ἰδιώτης ταύτας ἀντιθετικὰς προσηγόρευσεν· ἐν ταύταις γὰρ αὐτὸς ἑαυτῷ τρόπον τινὰ ὁ κατηγορούμενος ἀντιτί-

35 Ven. 1. προσηγορευμένων. 36 ἢ Mon. om.

θησιν, ὥστε εἶναι σχεδὸν δύο ἀντιθέσεις, τὴν μὲν τοῦ κατηγόρου, τὴν δὲ τοῦ κατηγορουμένου, ἣν αὐτὸς ἑαυτῷ ἀντιτίθησι τῷ δέχεσθαι τὸ ἔγκλημα.

ιδ) Πεποιηκέναι τι· διὰ μὲν τοῦ „τί" τὸ μέτριον καὶ μικρὸν ἐσήμανε, διὰ δὲ τοῦ „ὡς" τὸ δοκοῦν τε καὶ νομιζόμενον.

ιε) Δι' αὐτοῦ· δι' αὐτοῦ γὰρ τοῦ ἀδικήματος ἀντεισάγειν τὸ εὐεργέτημα χρή· οὐ γὰρ δυνατὸν, τὸν καθελόντα τὰ τείχη λέγειν, ὥς ποτε εἰσενεγκὼν εἴη τῇ πόλει χρήματα. Ἔστι δὲ ἀεὶ ἐναντία τῇ ἀντιλήψει ἡ ἀντίστασις· ἐν μὲν γὰρ τῇ ἀντιλήψει αὐτὸ τὸ πεπραγμένον ἀνεύθυνόν ἐστι, διὰ δὲ τὴν περίστασιν ὑπεύθυνον γίνεται.

ις) Πρᾶγμα ἢ πρόσωπον· ζητοῦσι, πῶς δυνατόν ἐστι πρᾶγμα ὑπ' εὐθύνην καὶ κρίσιν πεσεῖν, τοῦτο γὰρ προσώπων ἐστὶ, φαμὲν οὖν πράγματα λέγειν ἐνταῦθα τοὺς νόμους καὶ τὰ ψηφίσματα.

ιζ) Εἰ δέ τις ἡμῖν· πρὸς Μινουκιανὸν ἀποτείνεται, ἄλλως τὰ περὶ μεταστάσεως καὶ συγγνώμης ὁρίζοντα, οὐ τῷ ἀνευθύνῳ καὶ ὑπευθύνῳ, ἀλλὰ τὸ μὲν εἴς τι πάθος οἰκεῖον τὴν αἰτίαν ἀναφέρειν, οἷον μέθην, ὀργὴν, ἔρωτα, συγγνώμην οὗτος εἶναί φησι, τὸ δὲ εἴς τι τῶν ἔξωθεν μετάστασιν, ὥσπερ καὶ τόδε· πρεσβευτὴς ἐξελθὼν τῆς πόλεως, οἰκείῳ παιδὶ τελευτήσαντι χοὰς ἐπενεγκεῖν, γέγονεν ὑπὸ τοῖς πολεμίοις, εἶτα μαστιζόμενος ἐξεῖπε τὸ ἀπόῤῥητον· καὶ ἐπανελθὼν κρίνεται δημοσίων ἀδικημάτων, ἄλλοι δὲ διαφέρειν αὐτὰς ἔφασαν, τῷ τὴν μὲν [1] συγγνώμην εὐτελοῦς ὑποκειμένου προσώπου γίνεσθαι, τὴν δὲ μετάστασιν ἐνδόξου· οἷον εἰ μὴ οἱ δέκα στρατηγοὶ κρίνονται, ἀλλὰ Περικλῆς. Περιφανὲς γὰρ ὂν τὸ πρόσωπον οὐκ ἄν ποτε ἕλοιτο συγγνώμην αἰτεῖν, ἀλλὰ

1 μὲν ex Ven. 1. recepi.

μεταστατικῶς ἐπὶ τὸν χειμῶνα χωρήσει· ὁ δὲ Πορφύριός φησιν, ὡς εἰ μὲν εἴη τὸ ἀδίκημα, οἷον ἐνδεχόμενον μὴ γεγενῆσθαι, ἀλλὰ θεραπείας τετυχηκέναι τινὸς, μετάστασις γίνεται· ἐὰν δὲ ᾖ μὴ ἐνδεχόμενον ἑτέρας γεγενῆσθαι, συγγνώμην ἔτι ζητοῦσι. Τί δήποτε τῶν ἀντιθετικῶν πασῶν τοῖς αὐτοῖς τεμνομένων κεφαλαίοις, οὐ μιᾶς καὶ τῆς αὐτῆς στάσεως, οἷον τῆς ἀντιθέσεως εἴδει αὐτὰς ὁ τεχνικὸς ἀπεκάλεσεν, ὥσπερ ἐπὶ τοῦ στοχασμοῦ καὶ τοῦ ὅρου καὶ τῆς ἀντιλήψεως, ἀλλ' ἑκάστην αὐτῶν ἰδίᾳ στάσιν ὠνόμασε; φαμὲν οὖν πρὸς τοῦτο, ὅτι ταυτότητα στάσεως οὐχ ἡ τῶν κεφαλαίων ποιεῖ ταυτότης, ἀλλ' ἡ τοῦ ὁρισμοῦ.

ιη) *Πρῶτον μὲν περὶ ῥητά*· εἰ γὰρ καὶ ἐν ταῖς λογικαῖς εὑρίσκονται νόμοι, ἀλλ' οὖν ἀπὸ ῥητῶν μὲν ἡ ζήτησις, οὐ μὴν δὲ περὶ ῥητά.

ιθ) *Καὶ ἐπιστολάς*· οὐ τὰς ἐν τύπῳ φιλίας, ἴσως μὲν γὰρ καὶ ταύτας, ἀλλὰ τὰς ἐκ διαταγῆς βασιλέων τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν πεμπομένας· κηρύγματα δὲ, τὰ ἐπὶ συμφέροντι τῆς πόλεως κηρυττόμενα. *Εἰς δύο*[2] *μέρη διαιρῆται*· τοῦτο περὶ τῆς ἀντινομίας φησί.

κ) *Θάτερον τῶν μερῶν*· τουτέστιν, ὅταν τοῦ ἑτέρου τῶν μερῶν, εἴτε τοῦ διώκοντος, εἴτε τοῦ φεύγοντος, τῷ[3] ῥητῷ χρωμένου καὶ ὡς ἐπὶ τὸ πλεῖστον τοῦ διώκοντος, τὸ ἕτερον μέρος τὴν διάνοιαν μεταχειρίζηται, ὅτι δὲ καὶ ὁ φεύγων πολλάκις ἐν τοῖς κατὰ αἴτησιν τῷ ῥητῷ χρῆται, φανερὸν, ὡς καὶ Μινουκιανός φησι, διὰ τοῦτο γὰρ καὶ Ἑρμογένης ὡς ἐπὶ τὸ πλεῖστον προσέθηκεν· οἷον νόμος τὸν πεπηρωμένον ἐκ τοῦ δημοσίου τρέφεσθαι· πηρώσας τις ἑαυτὸν ἀξιοῖ ἐκ τοῦ δημοσίου τρέφεσθαι· ἐνταῦθα γάρ, φησὶν, ὁ μὲν κατηγορῶν χρήσεται τῇ διανοίᾳ οὕτως· ὁ νόμος κελεύει τοὺς κατὰ περίστασιν πηρωθέντας

---

2 εἰς δύο — φησὶ Mon. om., recepi ex Ven. 1. 3 Mon. ἐν τῷ. Ven. 1. τῷ.

ἐκ τοῦ δημοσίου τρέφεσθαι, οὐ τοὺς ἐξεπίτηδες· ὁ δὲ ἀπολογούμενος χρήσεται τῷ ῥητῷ· οὐκ ἀληθὲς μέντοι τοῦτο, ὁ γὰρ πεπηρωμένος ἐνταῦθα κατηγόρου τάξιν ἐπέχει· αὐτὸς γάρ ἐστιν ὁ πρώτως λέγων· ὅπερ ἴδιον τοῦ διώκοντος, ἀλλ' ἵνα μὴ δόξῃ πάντα ἐναντιοῦσθαι Μινουκιανῷ, προςέθηκε τὸ „ὡς ἐπὶ πλεῖστον", οὐ γάρ τοι τὸ ῥητὸν τοῦ κατηγόρου ἐστίν.

α) Ἔστι γὰρ συλλογισμός· τοῦ μὲν κατηγόρου λέγοντος, ταὐτὸν εἶναι τὸ ἄγραφον τῷ ἐγγράφῳ, τοῦ δὲ ἀπολογουμένου, πολὺ ταῦτα διαφέρειν, ὁ συλλογισμὸς γίνεται, ὁ μὲν γάρ φησιν, ὅτι [4] οὐδὲν τὸ διάφορον, εἴτε ἐκ πόρνης, εἴτε ἐκ πόρνου τις γεννηθείη· τὸ γὰρ ἁμάρτημα τῶν γεννητόρων ταὐτὸν, καὶ ἡ αἰσχρότης ἴση· ὁ δὲ, ὅτι πάνυ διαφέρει· ὁ μὲν γὰρ ἐκ πόρνης ἀμφίβολος, τίνος ἂν εἴη παῖς, ὁ δὲ ἐκ πόρνου δῆλος, σώφρονος οὔσης τῆς μητέρος· ἔστι δὲ διαφορὰ συλλογισμοῦ πρὸς ῥητὸν καὶ διάνοιαν· καίτοι καὶ ἐν ἀμφοῖν τῆς διανοίας ἐξεταζομένης τοῦ νομοθέτου, ὅτι ἐν μὲν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ αἰτίαν ἀποδίδομεν· οἷον διὰ τὸ μὴ βλάβην τινὰ γενέσθαι, ἀνελθόντος τοῦ ξένου ἐπὶ τὸ τεῖχος· ἐγὼ δὲ ὠφέλησα· ἐν δὲ τῷ συλλογισμῷ οὐκ [6] αἰτίαν ἀποδώσομεν, ἀλλ' αὐτὸ [7] τοῦτο εἶναι φήσομεν τὸ ἐκ τοῦ νόμου διηγορευμένον· ἔπειτα ἐν μὲν τῷ συλλογισμῷ ὁ διώκων συνάγει τό τε ῥητὸν καὶ τὸ ἔξωθεν φερόμενον, ἐν δὲ τῷ ῥητῷ καὶ τῇ διανοίᾳ διΐστησι· τὸ γὰρ ῥητὸν μόνον προβάλλεται, τὴν δὲ τῆς διανοίας ἐξέτασιν τοῦ φεύγοντος οὖσαν οὐ παραδέχεται. ἐπεὶ δὲ καὶ ὁ τεχνικὸς ἐν τῇ τῶν κεφαλαίων τοῦ συλλογισμοῦ διαιρέσει φησὶν, ὅτι [8] ὅλως ὁ συλλογισμὸς, πλὴν τῆς ἐναλλαγῆς τῶν πρώτων κεφαλαίων κατὰ τὸν ὅρον διαιρεῖται, καὶ γὰρ προσεοίκασιν ἀλλήλαις αἱ στά-

4 ὅτι ex Ven. 1. adjeci. 5 Ven. 1. τις. Mon. τι. 6 οὐκ ex Ven. 1. recepi. 7 Mon. ἀλλὰ τοῦτο. Ven. 1. ἀλλ' αὐτὸ τοῦτο. 8 ὅτι ex Ven. 1. recepi.

σεις, οἷον, ὅτι ταὐτόν ἐστι, κἂν ἱερὰ, κἂν ἰδιωτικὰ ᾖ τὰ ἐξ ἱεροῦ ἀποσυλώμενα, καὶ πάλιν ταὐτόν ἐστι, κἂν ἐκ πόρνης κἂν ἐκ πόρνου τις ᾖ γεγενημένος,[9] κἀκεῖ μὲν νόμος, τὸν ἱερόσυλον τεθνάναι, ἐνταῦθα δὲ νόμος, τὸν ἐκ πόρνης μὴ λέγειν, ζητητέον τὴν διαφοράν· ἔστιν οὖν, ὅτι ἐπὶ μὲν τοῦ ὅρου οὐκ αὐτὸ ἐκεῖνο τὸ πεπραγμένον ὁ κατήγορος ἐγκαλεῖ· οἷον ὅτι ἰδιωτικὰ ὑφείλου χρήματα ἐκ τοῦ ἱεροῦ, καὶ ἐπὶ τούτων ἱερόσυλος εἶ, ἀλλὰ τὸ ἰδιωτικὰ εἶναι τὰ χρήματα ὑπεκκλίνων, ὡς καθαιροῦν καὶ ὑποβιβάζον τὸ ἔγκλημα τοῦτο μόνον φησὶν, ὅτι ἱερόσυλος εἶ, ὡς συλήσας ἐξ ἱεροῦ. ἐπὶ δὲ τοῦ συλλογισμοῦ αὐτὸ τὸ πρᾶγμα τὸ ὂν ὁ κατήγορος λέγει, οὐ γὰρ δύναται ἄλλως εἰπεῖν, ἀλλ' ὅτι ἐκ πόρνης εἶ καὶ οὐ δεῖ σε λέγειν, ὥσπερ καὶ ἐπὶ τοῦ εὐνούχου τοῦ ἁλόντος ἐπὶ μοιχείᾳ καὶ ἀναιρεθέντος· συλλογισμὸς δὲ εἴρηται ἀπὸ τοῦ παρὰ τοῖς φιλοσόφοις συλλογισμοῦ, τῶν προτάσεων οὕτω προβαινουσῶν· ὁ πόρνος τὸν αὐτὸν τῇ πόρνῃ βίον βιοῖ, τὸν ἐκ πόρνης λέγειν ὁ νόμος οὐ συγχωρεῖ, τὸν ἐκ πόρνου ἄρα λέγειν ὁ νόμος οὐ συγχωρεῖ.

β) *Μὴ φύσει ἐναντίων*· οὐ γὰρ δεῖ τὰ ῥητὰ ἐκ τῆς ἑαυτῶν φύσεως ἐναντιοῦσθαι πρὸς ἄλληλα· τοῦτο γὰρ ἀμαθὲς, ἀλλ' ἐκ περιστάσεως γίνεσθαι· οὐ γὰρ δεῖ τὸν μὲν τῶν νόμων λέγειν, δεῖν τὸν κλέπτην κολάζεσθαι, τὸν δὲ λέγειν, δεῖν τὸν αὐτὸν στεφανοῦσθαι, ἀλλὰ κατὰ περίστασιν, ὡς εἴρηται· οἷον νόμος, τὸν στρατιώτην μὴ πωλεῖν τὰ ὅπλα, καὶ νόμος θάπτειν τὸν πατέρα· ἐπὶ στρατοπέδου τις ἀποθανόντος τοῦ[10] πατρὸς πωλήσας τὰ ὅπλα θάπτει αὐτὸν καὶ κρίνεται.

γ) *Καὶ ὅλως διπλῆ τις*· καὶ διὰ τί, φασὶν, μὴ διπλοῦν ῥητὸν καὶ διάνοια καλεῖται, ὥσπερ διπλοῖ στοχασμοὶ καὶ ὅροι· καὶ φαμὲν, ὅτι ἐν μὲν[11] ῥητῷ καὶ δια-

---

9 Ven. 1. γεγεννημένος. 10 τοῦ ex Ven. 1. recepi. 11 μὲν ex Ven. 1. recepi.

νοίᾳ παράβασις εὑρίσκεται νόμου· ἐνταῦθα δὲ τῶν νόμων ὁ ἕτερος εὑρίσκεται φυλαττόμενος, τὸ οὖν διάφορον στάσιν ἑτέραν ἐποίησεν· ὀλίγη[12] γὰρ ἐναλλαγὴ στάσιν ἑτέραν ἀπεργάζεται· ἐν δὲ στοχασμῷ καὶ ὅρῳ, ἐπὶ πάντων τῶν εἰδῶν τὸ ὅμοιον σώζεται, διπλῆ δὲ, ἐπεὶ καὶ ἀμφότερα διπλᾶ δείκνυται· οὐχ ὡς ἐν ῥητῷ καὶ διανοίᾳ ὁ μὲν τὸ ῥητὸν ἀπενείματο, ὁ δὲ τὴν διάνοιαν, ἀλλ' ἀμφότεροι ἀμφοτέροις κέχρηνται. Ἑκάτερος γὰρ λύσας τῇ διανοίᾳ τὸ τοῦ ἐναντίου ῥητὸν οὕτως ἐπεισάγει τὸ ἴδιον· καθολικὸν γὰρ τοῦτο, τοῖς βλάπτουσι ῥητοῖς ἀντιτάττειν τὰς διανοίας.

δ) Ἡ μέντοι ἀμφιβολία· φασί τινες ἀσύστατον εἶναι τὴν ἀμφιβολίαν· οὐ γὰρ δυνατὸν πέρας ἢ λύσιν αὐτῆς εὑρεθῆναι· ἰσάζει γὰρ τὰ λεγόμενα· φαμὲν οὖν, ὡς εἰ μὲν ἐφ' ἅπασι τὸ ἐξισάζον εἶχεν, ἀσύστατον ἂν ἦν· νῦν δὲ διαφόρους ἐστὶ τὰς τῶν προσώπων ποιότητας εὑρεῖν, ἐξ ὧν ἂν γένοιτο τὸ[13] συνεστηκός· καὶ δείκνυσι τοῦτο Δημοσθένης·[14] ἔχρησε γὰρ ὁ θεὸς τοῖς Ἀθηναίοις, τοὺς ἡγεμόνας φυλάττεσθαι, καὶ ἀμφισβητοῦσιν, οἱ μὲν τοὺς ῥήτορας, οἱ δὲ τοὺς στρατηγοὺς λέγοντες· ἐπιχειρεῖ οὖν Δημοσθένης ἐκ τοῦ καιροῦ, εἰ μὲν γὰρ ἦν, φησὶ, πολέμου καιρὸς, τοὺς στρατηγοὺς ἂν ἔλεγε, νῦν δὲ, οὐκ ὄντος πολέμου, τίνας ἑτέρους ἢ τοὺς ῥήτορας φησίν;

ε) Ἔστι γὰρ ἀμφιβολία· ἐκ τῶν σαφεστέρων ὑπέγραψεν αὐτήν· ἔστι δὲ τὸ μὲν κατὰ προσῳδίαν, κατὰ πνεῦμα ἢ τόνον· γίνεται δὲ οὐ μόνον κατὰ διάστασιν συλλαβῶν, ἀλλὰ καὶ καθ' ὑπέρθεσιν λέξεως καὶ κατὰ ὁμωνυμίαν· κατὰ μὲν οὖν πνεῦμα, οἷον συνωμολόγησαν δύο πόλεις, ἐν δέκα ἔτεσι μὴ ἄρασθαι πόλεμον πρὸς ἀλλήλας· τοῦ δεκάτου διανυσθέντος ἔτους πόλεμον[15] αὐ-

12 Ven. 1. ὀλίγη., Mon. ὅλην. 13 τὸ Ven. 1. om. 14 de fals. leg. p. 436. 15 Ven. 1. πόλεμον. Mon. μόνον.

τῶν ἡ ἑτέρα κινεῖ, καὶ κρίνεται ἡ παραβεβηκυῖα τὰς σπονδάς· ἡ μὲν γὰρ ἀναγινώσκει δασέως, ἵνα σημαίνηται ἓν πρὸς τοῖς δέκα· ἡ δὲ ψιλῶς, ὥστε τὴν „ἐν" πρόθεσιν λαμβάνεσθαι· τοῦτο μέντοι τὸ παράδειγμα ἐν ταὐτῷ καὶ κατὰ τόνον ἐστὶ καὶ διάστασιν συλλαβῶν· ἔτι δὲ τοῦ μὲν ἰδίως κατὰ τόνον, καὶ ἰδίως κατὰ διάστασιν συλλαβῶν αὐτὸς παράδειγμα δέδωκε· τοῦ δὲ καθ' ὑπέρθεσιν λέξεων παράδειγμα τόδε· τελευτῶν τις τοῖς παισὶν ἐπέτρεψε, κατασκευάσαι Ἡρακλέα, χρυσοῦν ῥόπαλον ἔχοντα, καὶ ὁ μὲν τὸ χρυσοῦν τῷ ῥοπάλῳ παρενείρει, ἵν' ᾖ μόνον τὸ ῥόπαλον χρυσοῦν, ὁ δὲ χρυσοῦν Ἡρακλέα φησὶν, ὡς ὅλον εἶναι χρυσοῦν· καθ' ὁμωνυμίαν δὲ τό τε ῥηθὲν περὶ τῶν ἡγεμόνων, καὶ τὸ χρησθὲν ἐν τοῖς Μηδικοῖς ξύλινον τεῖχος τοῖς Ἀθηναίοις·[16] ἔνθα οἱ μὲν συνεβούλευον, ξύλοις καταλαβεῖν τὴν ἀκρόπολιν, Θεμιστοκλῆς δὲ ἐμβῆναι εἰς τὰς ναῦς προὔτρεπε. Τινὲς δὲ καὶ τὸ ἐν τῇ μεταλήψει ῥηθὲν, δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι, ἀμφιβολίαν ἐξ ὁμωνυμίας λαμβάνουσι· δίκας οἱ μὲν τὴν κρίσιν, οἱ δὲ τὴν τιμωρίαν λαμβάνοντες.

ϛ) Τὴν δὲ μετάληψιν· μετάληψις εἴρηται, ὅτι κατ' ἔνστασιν εἰσάγεται καὶ ἀντιπαράστασιν, καθάπερ ἡ μετάληψις τὸ κεφάλαιον· πρῶτον μὲν[17] γὰρ παραγραφή ἐστι διωθουμένη τὸν ἀγῶνα ἐνστατικῶς, εἶτα δεχομένη πάλιν ἀντιπαραστατικῶς ἀγωνίζεται· φασὶ δέ τινες, ὡς ἔδει τῶν ἄλλων αὐτὴν προτάττεσθαι στάσεων, ὡς παραγραφομένην τὸν ἀγῶνα· σπουδάζουσι δὲ πάντες ἄνθρωποι αὐτὸ τοῦτο οὐδὲ εἰσελθεῖν· ἀλλὰ πρὸς τοῦτο ἀσφαλῶς ὡρίσατο, εἰ δεῖ τούτων τι εἰσενεχθῆναι φήσας· ἀδύνατον δὲ ἦν, τούτων τι παραγράφεσθαι, μὴ μαθόντας ὅλως, τίνα ταῦτά ἐστιν· ἐν μὲν οὖν τῇ μεθόδῳ μετὰ πάσας αὐτὴν τάττει, ἐν δὲ τῇ διαιρέσει μέσην· οὐδὲν γὰρ ἐκώλυεν, ἤδη τὰς στάσεις ἐπισταμένων ἡμῶν.

---

16 Herod. VII, 141. 17 μὲν ex Ven. 1. recepi.

ζ) *Δύο δὲ αὐτῆς εἴδη·* καινόν τι ποιεῖ, ὅπερ ἐν οὐδεμιᾷ τῶν ἄλλων στάσεων, πρὸ τῆς τῶν κεφαλαίων διαιρέσεως διδάσκων περὶ εἰδῶν· ἀλλ᾿ ἐπειδὴ τὰ εἴδη τῆς μεταλήψεως ἰδίοις ἕκαστον τέμνεται κεφαλαίοις, ὡς εἰσόμεθα, τούτου ἕνεκα καὶ τάξεως αὐτὰ τῆς μετὰ τῶν στάσεων ἠξίωσε· πάλιν δέ πού[18] φασι, καὶ εἰ ἰδίοις τέμνεται κεφαλαίοις ἑκάτερον, ἔδει καὶ ἑκάτερον στάσιν ἰδίαν εἶναι· ἀλλ᾿, ὡς εἴρηται, στάσιν τὴν αὐτὴν οὐχ ἡ[19] ταυτότης τῶν κεφαλαίων ποιεῖ, οὔτε μὴν ἡ διαφορότης διάφορον. Διαφορὰ δὲ ἀντιλήψεως καὶ μεταλήψεως[20], ὅτι ἐκεῖ μὲν τὸ πεπονθὸς πρόσωπον λαμπρὸν, οἷον ἡ πόλις, τὸ δὲ ἀδικῆσαν εὐτελὲς, οἷον ὁ ζωγράφος, ἐνταῦθα δὲ τοὐναντίον· ἔτι κατὰ Πορφύριον, ἐν μὲν τῇ ἀντιλήψει ὅλον τὸ πρᾶγμα συγκεχώρηται, ἐν δὲ τῇ μεταλήψει οὐχ ὅλον, ὡς ἐπὶ τοῦ παραδείγματος τῆς ἀγράφου· ἄλλοι δέ φασιν, ὅτι ἡ μὲν μετάληψις ἀπὸ νόμου τινὸς ἀεὶ λαμβάνεται, ἡ δὲ ἀντίληψις καὶ ἀπὸ ἔθους καὶ ἀπὸ φύσεως. Διαφορὰ δὲ μεταλήψεως καὶ παραγραφῆς, ὅτι ἡ μὲν μετάληψις ἀπὸ ῥητοῦ ἄρχεται, καὶ εὐθέως αὐτοῦ ἀφίσταται, ἡ δὲ παραγραφὴ περὶ αὐτὸ καταγίνεται· καὶ ὅτι ἡ μὲν παραγραφὴ πρόδηλον ἔχει τὴν ἑαυτῆς[21] φύσιν, μόνη γὰρ αὕτη τῶν στάσεων οὐδεμίαν περὶ τὴν εὕρεσιν ἔχει τὴν ζήτησιν· ὁ γὰρ λέγων τὸ πρόβλημα εὐθὺς προτίθησι[22] τὸ καὶ παραγραφὴ, καὶ δηλοῖ τὴν στάσιν ἅμα τῷ τὸ πρόβλημα προενέγκασθαι, ἡ δὲ μετάληψις οὐχ οὕτως, ὥσπερ οὐδὲ αἱ[23] ἄλλαι τῶν στάσεων.

η) *Ἀπαγωγὴ τῆς εὐθυδικίας·* εὐθυδικία ἐστὶ τὸ εὐθὺ τῆς δίκης ἰέναι, καὶ μὴ μόνον τὴν ἀπὸ τοῦ νό-

18 που Ven. 1. om. 19 Ven. 1. οὐχὶ ταυτότης. 20 Ven. 1. μεταστάσεως. 21 Mon. καὶ τὴν ἑαυτοῦ. Ven. 1. τὴν ἑαυτῆς. 22 Ven. 1. προτίθησι. Mon. προστιθησι. 23 αἱ ex Ven. 1. recepi.

μου προβάλλεσθαι ἄδειαν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν πραγμάτων ἀπολογίαν ποιεῖσθαι.

θ) Κατὰ ῥητόν· τοῦ μὲν φεύγοντος ἐνταῦθα προτεινομένου τὸ ῥητὸν, τοῦ δὲ κατηγόρου τὴν διάνοιαν· λέξει γὰρ ἔχειν μὲν οὕτω τὸν νόμον, οὐ μὴν ἐπὶ τοιούτοις· στοχαστικὸν δὲ λέγει οὐ κεφάλαιον, ἀλλὰ ζήτημα. Ἰστέον, ὡς τῆς παραγραφῆς ἡ μὲν τελεία ἐστὶν, ἡ δὲ ἀτελὴς, τελεία μὲν, ὅτε τοῦ πράγματός ἐστι παραγραφή· λέγοντος τοῦ φεύγοντος, ὅτι οὔτε σοὶ οὔτε ἄλλῳ δικάζομαι περὶ τούτου, ἀτελὲς δὲ, ὅτε προσώπου μόνου γίνεται παραγραφή· λέγει γάρ· „σοὶ μὲν οὐ δικάζομαι, ἑτέρῳ δὲ τῷ βουλομένῳ“.

ι) Τόπον ἢ χρόνον· τόπου καὶ χρόνου παράδειγμα τέθεικεν ὁ τεχνικός· διαιρεῖται δὲ ὁ χρόνος εἰς τὸ μὴ νῦν, εἰς τὸ μηκέτι, καὶ εἰς τὸ μήπω· τοῦ μὴ νῦν παράδειγμα· νόμος, ἐν ἱερομηνίᾳ μηδένα δικάζεσθαι, κατηγορεῖ τις ἐν ἱερομηνίᾳ τινὸς ὡς ἠσεβηκότος· ὁ δὲ κατὰ τὸ νῦν παραγράφεται τὴν κατηγορίαν, οὐ μὴν καὶ μετὰ ταῦτα αὐτὴν ἀποσείεται· τοῦ δὲ μηκέτι, δύο πλούσιοι πένητι ἦσαν ἐχθροὶ τὰ πολιτικά· ἐπὶ πρεσβείᾳ[24] ἐξελθόντος τοῦ πένητος, εὑρέθη ὁ υἱὸς αὐτοῦ νεκρὸς ἀσκύλευτος, καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις οἱ πλούσιοι· ἀπέφυγον ἀμφότεροι, καὶ ἐπανελθὼν ὁ πένης βούλεται κρίνειν αὐτούς· οἱ δὲ παραγράφονται αὐτόν· παντελῶς, κατὰ τὸν λέγοντα νόμον, δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι· τοῦ δὲ μήπω· νόμος τριάκοντα ὕστερον ἡμέραις μετὰ τὴν γραφὴν εἰσιέναι τὴν δίκην· δύο πένητες ἐγράψαντο πλούσιον, εὑρέθη ὁ ἕτερος αὐτῶν νεκρὸς ἀσκύλευτος, καὶ ὁ ἕτερος πρὸ τῶν τριάκοντα ἡμερῶν τὴν δίκην ἀξιοῖ ἀγωνίζεσθαι· τοῦτο γὰρ οὐ παντελῶς, ἀλλὰ κατὰ τὸ μήπω παρεῖναι τὸν καιρὸν τῆς προθεσμίας παραγράφεται· ἀναμένειν[25] γὰρ ἀξιώσει τὸν προσήκοντα χρόνον· καὶ ταῦτα

24 Ven. 1. πρεσβείαν. 25 Mon. ἀναμένει. Ven. 1. ἀναμένειν.

μὲν περὶ χρόνου· ἀπὸ δὲ τοῦ προσώπου, οἷον τὴν μητέρα τις μοιχευομένην εὑρὼν ἀνεῖλε· καὶ ἄλλο· πλούσιος τῷ δήμῳ δοὺς χιλίας δραχμὰς πένητα ἑαυτοῦ ἐχθρὸν κατάκριτον ὄντα ἀνεῖλε, καὶ κρίνεται φόνου, τὸ γὰρ πρόσωπον μεταλαμβάνει, ὅτι μή σοι ἐξῆν· ἀπὸ δὲ προσώπου καὶ πράγματος καὶ τόπου καὶ χρόνου, οἷον ἱέρεια μυοῦσα τύραννον ἀπέκτεινεν· ἀπὸ δὲ τόπου, οἷον τύραννόν τις καταφυγόντα εἰς τὸ ἱερὸν ἀνεῖλε, καὶ κρίνεται φόνου· ἀπὸ δὲ χρόνου, οἷον κυβερνήτης, ἰδὼν ὑπό τινος τῶν ἐπιβατῶν ἐν τῷ πλῷ μοιχευομένην τὴν ἑαυτοῦ γυναῖκα τέως μὲν ἐπέσχεν, ἐν δὲ τῷ λιμένι γενόμενος ἀνεῖλε τὸν μοιχόν· ἀπὸ δὴ τρόπου, οἷον καταλαβών τις ἐπὶ τῇ γυναικὶ μοιχὸν ἐνέπρησε τὸ δωμάτιον· ἀπὸ δὲ αἰτίας, οἷον κατέλαβέ τις ἐπὶ τῇ γυναικὶ μοιχόν· ὁ δὲ ληφθεὶς ἐπηγγείλατο δώσειν χιλίας δραχμάς, εἰ ἀφεθείη· πεισθέντος τοῦ ἀνδρὸς ἐπὶ τούτοις ἐχθρός τις ὢν τῷ μοιχῷ ἀνθυπέσχετο χιλίας δραχμάς, εἰ ἀνέλοι αὐτόν, ὁ δὲ ἐπείσθη καὶ ἀνεῖλε, καὶ ἀνελὼν κρίνεται ἐπὶ τῇ αἰτίᾳ[26], ὅτι τὰς χιλίας λαβὼν ἐφόνευσε, καὶ οὐκ ἐπὶ τῇ μοιχείᾳ ἀχθόμενος. Ἰστέον δέ, ὅτι κατὰ τέσσαρας μόνας τῶν στάσεων γίνεται ἡ παραγραφή, κατὰ στοχασμόν, ὅρον, ῥητὸν καὶ διάνοιαν καὶ ἀμφιβολίαν· στοχασμὸν μέν, ὡς ὁ κατὰ Τιμάρχου, ὅρον δέ, οἷον ἱέρειάν τις ἐγράψατο ἀσεβείας, ὡς προαγωγεύσασαν· ἡττᾶται τὴν δίκην ὁ κατήγορος· καὶ ὕστερον βούλεται αὐτὴν γράφεσθαι οὐκέτι ἀσεβείας, ἀλλὰ προαγωγείας· ἡ δὲ παραγράφεται κατὰ τὸν νόμον τὸν κελεύοντα, δὶς περὶ τῶν αὐτῶν μὴ κρίνεσθαι· ζητοῦμεν γὰρ ὁρικῶς, πότερον τὸ πάλαι ἀσεβείας γεγράφθαι, νῦν δὲ προαγωγείας, διαφορὰν ἔχει· καὶ οὐχ ἁρμόττει ὁ νόμος, ἢ ταὐτόν ἐστι καὶ ἁρμόττει· κατὰ[27] ῥητὸν καὶ διάνοιαν, ὅ φησιν Ἑρμογένης, δὶς περὶ τῶν αὐτῶν δίκας

26 Ven. 1. ἐπὶ τῇ αἰτίᾳ. Mon. ἐπὶ τῆς αἰτίας. 27 Ven. 1. κατά. Mon. καί.

μὴ εἶναι· ἐξετάζει γάρ, πότερον ὁ νόμος ἐπὶ τῶν ἐλαττόνων ἁμαρτημάτων λέγει μὴ εἶναι δὶς περὶ τῶν αὐτῶν δίκας, ἐπὶ τηλικούτων δὲ οὐκέτι, ἢ τὸ μὲν ῥητὸν δεῖ ψιλῶς ἐπὶ πάντων δέχεσθαι, αὐτὸ δὲ τὸ πρόβλημα τοῦτο δύναται κατὰ ἀμφιβολίαν εἶναι τὴν καθ᾿ ὁμωνυμίαν, ὥσπερ εἴρηται διὰ τὸ δίκας. Αἰτιώμεθα δήπουθεν, ὅτι θαυμαστὸν παρὰ τὰς ἄλλας στάσεις πέπονθεν ἡ μετάληψις, αἱ μὲν γὰρ ἐκ τοῦ φεύγοντος χαρακτηρίζονται, αὕτη δὲ μόνη ἐκ τοῦ κατηγόρου λαμβάνεται· ὁ δὲ Μινουκιανὸς καὶ ἐκ τοῦ φεύγοντός φησι μετάληψιν γίνεσθαι, οἷον νόμος παρ᾿ Ἀθηναίοις, τὸν φθείραντα κόρην ἐκτιννύναι χιλίας δραχμάς, παρὰ δὲ Λακεδαιμονίοις, ἀποθανεῖν. Λακεδαιμόνιός τις, Ἀθήνησι πρεσβεύων, φθείρει κόρην Ἀττικὴν, καὶ κατὰ τὸν νόμον ἐξέτισε τὰς χιλίας, μετὰ ταῦτα ἐπανελθὼν εἰς Λακεδαίμονα τῷ ἐκεῖ νόμῳ ὑπάγεται· ἀλλ᾿ ἐνταῦθα δύο ἐστὶ μεταληπτικά· τὸ μὲν τοῦ διώκοντος, καὶ οὐκ ἀλλαχοῦ χρὴ διδόναι τὴν δίκην, ἀλλ᾿ ἐνθάδε, Λακεδαιμόνιόν σε ὄντα· τὸ δὲ τοῦ φεύγοντος· ἀλλ᾿ οὐκ ἐβιασάμην ἐνθάδε, Ἀθήνησι δέ· ὄντων δὲ [28] δύο μεταληπτικῶν, τὸ πρωταγωνιστοῦν [29] ἐστι τοῦ διώκοντος· πότερόν ποτε Ἀθήνησι δεδωκότα τὴν δίκην χρὴ δοῦναι καὶ ἐν Σπάρτῃ, ἢ οὔ· τοῦτο δὲ ἐκ τοῦ κατηγόρου· πρὸς ὅπερ ὁ φεύγων· ἀλλ᾿ οὐκ ἐνταῦθα βεβίασμαι, ὥστε εὑρίσκεται καὶ τοῦτο τὸ ζήτημα ὑπὸ τὴν τοῦ κατηγόρου πίπτον φωνήν.

---

## Περὶ στοχασμοῦ.

Ὅτε καὶ πρόσωπα ἔχει· οὐ γὰρ ἀτελοῦς ἀλλὰ τελείου στοχασμοῦ ποιεῖται διαίρεσιν, ὡς συνεμφαινομένου τῷ τελείῳ κἀκείνου· διό φησι καὶ πρόσωπον καὶ πρᾶ-

---

28 Ven. 1. οὖν. 29 Ven. 1. προταγωνιστοῦν. Mon. πρωταγωνιστοῦ.

γμα, ἵνα μήτε τὰ προσωπικὰ ἐλλείπῃ κεφάλαια, ἅτινά εἰσι βούλησις, δύναμις, κοινὴ ποιότης, μήτε τὰ πραγματικά, ἅπερ ἐστὶν ἐλέγχων ἀπαίτησις, τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, μετάθεσις αἰτίας, πιθανὴ ἀπολογία, μήτε μὴν τὰ κοινά, ἅ εἰσι παραγραφικόν, μετάληψις, ἀντίληψις. Τὸν γὰρ κατὰ φύσιν διαιρεῖ στοχασμόν, ἐπεὶ τοῦ κατὰ τέχνην ἑτέρα διαίρεσις πρὸς τὴν ἐμπίπτουσαν ὕλην· ἡ γὰρ τέχνη διδάσκαλος πρὸς τὴν ὕλην, τί μὲν λεκτέον τί δὲ σιωπητέον, καὶ τί μὲν ἐμπίπτει τί δὲ οὐκ ἐμπίπτει. Ἔτι ἰστέον, ὅτι τῶν τοιούτων κεφαλαίων μόνη ἡ μετάληψίς ἐστιν ἰδία τοῦ κατηγόρου, τοῦ δὲ φεύγοντός ἐστι τὸ παραγραφικόν, ἡ τῶν ἐλέγχων ἀπαίτησις, ἡ ἀντίληψις, ἡ μετάθεσις τῆς αἰτίας, καὶ ἡ πιθανὴ ἀπολογία, κοινὰ δὲ ἀμφοῖν ἡ βούλησις, ἡ δύναμις, τὸ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, καὶ ἡ κοινὴ ποιότης.

β) Παραγραφικῷ ἔστιν ὅτε. Περιττῶς κεῖται τὸ ἔστιν ὅτε, Ἁρποκρατίων γάρ φησι, τὸ παραγραφικὸν πρωτεύειν τῶν ἄλλων, οὐδεὶς γὰρ ἐξὸν αὐτῷ μηδ᾽ εἰς ἀγῶνα καθίστασθαι τὴν ἀρχὴν ζητεῖ λόγους τοὺς ἐξαιροῦντας αὐτὸν τοῦ ἐγκλήματος· ἔλαβε δὲ τοῦτο ἐξ ἱστορίας, φασὶ γὰρ διασκεπτομένῳ Περικλεῖ,[1] ὅπως ἂν δοίη τῶν χρημάτων λόγον, ἐπιστάντα Ἀλκιβιάδην ἔτι νέον ὄντα εἰπεῖν, ὅτι ἐχρῆν, ὦ Περίκλεις, σκέψασθαι μᾶλλον περὶ τοῦ μὴ δοῦναι, ἢ περὶ τοῦ εἰς εὐθύνας ἑαυτὸν[2] καταστῆσαι. Δεύτερον δὲ κεφάλαιον ἡ τῶν ἐλέγχων ἀπαίτησις εἰκότως· τοῦ μὲν γὰρ παραγραφικοῦ ἀσθενέστερον, τῶν δὲ ἄλλων ἐστὶν ἰσχυρότερον, εἰ γὰρ καὶ προσήκατο τὸν ἀγῶνα, καὶ ἥττων κατὰ τοῦτό τοῦ παραγραφικοῦ γέγονεν, ὅμως οὔπω παντελῶς καθῆκεν ἑαυτὸν ὁ φεύγων εἰς τὴν περὶ τοῦ πράγματος ζήτησιν, ἀλλ᾽ ὥσπερ δικαστοῦ τινος τρόπον ἐπέχων ἐλέγχους ἀπαιτεῖ. Τρίτον καὶ τέταρτον ἡ βούλησις καὶ ἡ δύναμις· συστατικὰ γὰρ

1 Plut. Alc. c. 7. 2 Mon. σαυτόν. Ven. ἑαυτόν.

τοῦ προσώπου· δεῖ δὲ ταῦτα πρὸ τῶν συστατικῶν εἶναι τοῦ πράγματος, πρότερον γὰρ τὸ πρᾶττον τοῦ πραττομένου· ἡ δὲ βούλησις προτέτακται τῆς δυνάμεως εὐλόγως, ἀρχὴ γὰρ ἡμῖν πασῶν πράξεων ἡ βούλησις. Πέμπτον τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, καίτοι δέον ὂν πρὸ πάντων τάττεσθαι, ὥς φασί τινες, ἐπειδὴ δι᾽ αὐτῶν αἱ ἀποδείξεις προΐασι, φαμὲν οὖν, ὅτι τοῦ μὲν παραγραφικοῦ καὶ τῆς τῶν ἐλέγχων ἀπαιτήσεως ἔλαττόν ἐστι, τοῦτο μὲν γὰρ ἀποδεικτικὸν, ἐκείνων δὲ τὸ μὲν οὐδὲ προσίεται τὸν ἀγῶνα, ἡ δὲ εἰ καὶ προσήκατο, ἀλλ᾽ οὐ παντελῶς, ἀλλὰ μὴν καὶ μετὰ τὴν βούλησιν καὶ τὴν δύναμιν τέτακται· ὅτι τὰ μὲν τοῦ προσώπου ἐστὶ συστατικὰ, τὰ δὲ τοῦ πράγματος. Ἕκτον ἡ ἀντίληψις κατὰ τὸν διώκοντα τὴν τῶν κεφαλαίων τάξιν ποιουμένου τοῦ τεχνικοῦ· ὁ μὲν γὰρ διώκων μετὰ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους χρῆται τῷ ἀντιληπτικῷ, ἵνα μετὰ τὰς οἰκείας ἀποδείξεις ἐπενεγκὼν τὸ τοῦ φεύγοντος ἀντιληπτικὸν τυραννικὸν αὐτοῦ δείξῃ τὸ φρόνημα, ὁ δὲ φεύγων τοῦτο αὐτὸ, τὸ τυραννικὸς δοκεῖν, φυλαττόμενος μετὰ τὴν μετάθεσιν τῆς αἰτίας καὶ τὴν πιθανὴν ἀπολογίαν τάττει τὸ ἀντιληπτικόν· μετὰ δὲ τοῦτο ἡ μετάληψις, ἀεὶ γὰρ πρὸς τὸ ἀντιληπτικὸν φέρεται τὸ μεταληπτικὸν, δι᾽ ἀλλήλων γὰρ λύεται τὰ κεφάλαια. Ὄγδοον μετὰ τὴν μετάληψιν, ἕβδομον οὖσαν, ἡ μετάθεσις τῆς αἰτίας. Ἔνατον ἡ κοινὴ ποιότης· ἐχρήσατο δὲ τοῖς ὀνόμασι τῶν στάσεων ἀντὶ τῶν κεφαλαίων, εἰπὼν ἀντίληψιν καὶ μετάληψιν, ἡ μὲν γὰρ στάσις καλεῖται ἀντίληψις, ἀντιληπτικὸν δὲ τὸ κεφάλαιον.

γ) Τὸ παραγραφικὸν γίνεται. τὸ κεφάλαιον κοινὸν προσώπου καὶ πράγματος, ὁτὲ μὲν γάρ τις ἀπὸ τῆς προσωπικῆς ποιότητος παραγράφεται, ὡς οἱ δέκα νέοι ἕκαστος αὐτῶν ἰδίᾳ κρίνεσθαι ἀξιῶν, διὰ τὴν ἐμφαινομένην παρ᾽ ἑκάστῳ ποιότητα, ὁτὲ δὲ ἀπὸ τοῦ πρά-

γματος, ὡς ὁ ἄσωτος ἀξιῶν δεικνύναι πρότερον εἰ ἀνῄρηται ὁ πατήρ.

δ) Κατὰ τρόπους τέσσαρας· ὡς μὲν ἁπλῶς εἰπεῖν τὸ παραγραφικὸν ἐκ τῶν περιστατικῶν γίνεται, ἀλλ' εἰ καὶ τέσσαρας τρόπους ἀπαριθμεῖται, ἀλλ' οὖν τρεῖς εἰσι τῇ ἀληθείᾳ· τὸ μὲν γὰρ τοῦ ἀσώτου ἀπὸ τοῦ πράγματός ἐστι, ζητεῖται γάρ, εἰ ἀνῄρηται ὁ πατήρ, τὸ δὲ τοῦ τρισαριστέως καὶ τῶν δέκα νέων ἀπὸ τοῦ προσώπου, τὸ δὲ τοῦ δειλοῦ ἀπὸ τοῦ χρόνου· ὅταν οὖν μὴ ἔχωμεν ἐκ τούτων διαβαλεῖν τὴν κατηγορίαν, ἐκλείπει τὸ κεφάλαιον.

ε) Τοῦ δὲ ἀπὸ ῥητοῦ· τηνικαῦτα γάρ, φησίν, οὐκ ἔσται κεφάλαιον καὶ μέρος στοχασμοῦ, ἀλλὰ τελεία παραγραφή, ἣν μετάληψιν προσηγόρευσεν, ἐκείνη μὲν γὰρ ἐκβάλλει ὅλον τὸν ἀγῶνα, τοῦτο δὲ μέρος τι τῶν περὶ τὸ πρᾶγμα αἰτιᾶται, καὶ ἡ μὲν νόμον ἔχει, τὸ δὲ οὔ. Ἰστέον δέ, ὅτι τὰ τοιαῦτα κεφάλαια πασῶν τῶν στάσεων ἐπεξεργάζεται, ἐπιχειρήμασιν, ἐργασίαις, ἐνθυμήμασιν, ἐπενθυμήμασι, πλαστοῖς, περὶ ὧν ἐν τοῖς περὶ εὑρέσεων ῥηθήσεται, ἐνταῦθα δὲ περὶ μόνης τῆς τούτων διέξεισι φύσεως.

α) Ἡ τῶν ἐλέγχων ἀπαίτησις· ἡ τῶν ἐλέγχων ἀπαίτησις ἐκ τῶν ἀτέχνων γίνεται πίστεων, μαρτύρων, διαθηκῶν, ψηφισμάτων, ἐπιστολῶν, βασάνων· ἄτεχνοι δὲ λέγονται πίστεις, ἐπειδὴ ἡ ὕλη τοῦ προβλήματος ἔχει αὐτὰς καὶ τοῦ πράγματος, καὶ οὐκ ἔξωθεν γίνονται ἀπὸ τῆς τοῦ ῥήτορος τέχνης. Φασὶ δέ τινες, ὡς εἰ μὲν τοῦ σημείου ἐστὶ τὸ κεφάλαιον τοῦτο, εὔηθες, φανερὸν γὰρ εἶναι δεῖ τὸ σημεῖον, εἰ δὲ τοῦ ἐγκλήματος, καὶ τοῦτο ἄτοπον, οὐ γὰρ ἔσται ἀδήλου πράγματος ἔλεγχος, περιττὸν τοίνυν· φαμὲν οὖν, ὡς εἰ μὲν πᾶς μαρτυρῶν εὐθὺς καὶ πιστεύεσθαι ἠδύνατο, εἶχεν ἂν λόγον ἡ ἀπορία· ἐπειδὴ δὲ καὶ μαρτύρων ὄντων ἐπιζητεῖται, εἰ ἀληθὲς ἢ ψεῦ-

ψεῦδος τὸ ἐκ τῆς μαρτυρίας λεγόμενον, οὐδὲν ἄτοπον καὶ μαρτύρων ἐπιφερομένων ἔτι συνίστασθαι τὸ ζήτημα, καὶ ἄλλως φύσις ἐστὶ τοῖς φεύγουσιν, ἀπαιτεῖν μάρτυρας, ἐν οἷς ἴσασι μὴ ὑφεστῶτας· εἰ γὰρ ᾔδεσαν ὄντας, οὐκ ἂν ἀπῄτουν, δῆλον δὲ ὅτι περὶ μόνων τῶν ἀληθινῶν ζητημάτων διαλαμβάνει ὁ τεχνικὸς, ἐν γὰρ τοῖς πλασματικοῖς ἀδύνατον μάρτυρας παραχθῆναι.

β) Φύσει γὰρ ἐχθρόν· τοὺς μὲν οἰκείους δούλους οὕτω διαβαλοῦμεν, εἰ δὲ ἀλλότριοι καθ' ἡμῶν παράγοιντο, εἰ μὲν χωρὶς βασάνων, ἐροῦμεν, ὅτι ἡ χωρὶς βασάνων μαρτυρία οὐκ ἀληθὴς, πολλοὶ γὰρ ἑάλωσαν ψευδόμενοι, εἰ δὲ μετὰ βασάνων, ὅτι ἐλευθερία αὐτοῖς ἐπήγγελται, εἰ δὲ τῶν ἄλλων οἰκείων τινὲς ὦσιν, ὅτι πονηροὶ τὸν τρόπον καὶ ἀκόλαστοι, ἂν δὲ ἐλεύθεροι ὦσιν ἢ ξένοι ἢ πολῖται, εἰ μὲν πένητες, ὅτι ῥᾳδίως χρήμασι διεφθάρησαν, εἰ δὲ πλούσιοι, ἢ πονηροὶ καὶ διαβαλοῦμεν αὐτοὺς κατὰ τοῦτο, ἢ ἐπιεικεῖς καὶ ἐροῦμεν, ὡς ἢ διὰ φιλίαν τοῦ κατηγόρου ψεύδονται ἢ δι' οἶκτον, ἢ καὶ ὅτι θαῤῥοῦσι τῷ πλούτῳ, ὡς οὐδὲν δι' αὐτὸν πεισόμενοι.

γ) Ὡς ἐν τῷ κατὰ Κόνωνος· ὁ μὲν γὰρ, φησὶ, τοὺς ἑταίρους καὶ ἡλικιώτας μάρτυρας παρέχεται πρὸς χάριν μαρτυροῦντας, ἐγὼ δὲ ξένους οὐδὲν ἐμοὶ προσήκοντας, οὐδὲ δι' ἄλλο τι μαρτυροῦντας πλὴν ἀλήθειαν.

δ) Ὁ μὲν φεύγων χρήσεται· ὅτι οὐ τοῖς περιστατικοῖς δεῖ μόνον ἀπαιτεῖν, ἀλλὰ καὶ πηλικότητι, οἷον οὐ χρὴ τηλικούτου πράγματος ἀμάρτυρον ποιεῖσθαι τὴν κρίσιν, καὶ ἔτι συγκρίσει, ὅτι καὶ ἐπὶ πάντων ὁμοίων ἐγκλημάτων οὐδεὶς χωρὶς μαρτύρων ἐκρίθη, καὶ τοῖς πρός τι, ὅτι ἄτοπον ἐπὶ μὲν ὕβρεως καὶ κλοπῆς μηδένα ἐξ ὑποψίας κρίνεσθαι, ἐπὶ δὲ τηλικούτων δίχα μαρτύρων κατηγορεῖν. Διαφέρει δὲ ἡ σύγκρισις τῶν πρός τι, ὅτι ἡ μὲν ἀπὸ τῶν ἴσων λαμβάνεται, τὰ δὲ ἀπὸ τῶν

ἐλαττόνων· καὶ ἔθει· ἔθος γὰρ ἡμῖν τὰ τοιαῦτα ποιεῖν· καὶ νόμῳ· ὅτι καὶ οἱ νόμοι τὰς ἀποδείξεις ἐκ τῶν φανερῶν ποιεῖσθαι κελεύουσιν· καὶ δικαστηρίοις· τούτου γὰρ χάριν καὶ τὰ δικαστήρια συγκροτεῖται.

ε) *Ἡ βούλησις καὶ ἡ δύναμις*· συνῆπται τὰ δύο ταῦτα κεφάλαια, ἐπειδὴ μὴ δύναται θάτερον τούτων ἄνευ τοῦ ἑτέρου ἐξέτασιν ἐπιδέξασθαι, ἀλλὰ θέλει πάντως συνεῖναι ἀλλήλοις, ὁ γὰρ βουλόμενός τι ποιεῖν, μὴ δυνάμενος δὲ, οὐδὲν κατορθοῖ, καὶ αὖθις, ὁ δυνάμενος μὲν, μὴ βουλόμενος δὲ οὐκ ἐπιχειρεῖ· καὶ ὅτι ὅπερ ἂν εἰς ἀπόδειξιν ἐπὶ θατέρων τούτων ἐπιχείρημα παραλάβοις, καὶ ἐπὶ θατέρου ἁρμόζει.

ζ) *Φύσις ψυχῆς καὶ σώματος*· ψυχῆς μὲν, ὅταν εἴπωμεν, ὀξὺν εἶναι τὸν κατηγορούμενον ἢ δεινὸν, σώματος δὲ, ὅταν ἐῤῥωμένον καὶ τὰ τοιαῦτα.

η) *Ἐπιτηδεύματα*· οἷον εἰ τύχοι ἰατρὸς ὁ κατηγορούμενος ἐπὶ φαρμακείᾳ, ἐροῦμεν, ὅτι οὐκ ἀπίθανον τὸν τοιαύτην ἔχοντα τέχνην φάρμακον παρασχεῖν.

ς) *Οἷον νέος πλούσιος*· παρακολουθεῖ γὰρ τῷ μὲν πλούτῳ τὸ πλεονεκτικὸν, τὸ βίαιον, τὸ ἀκόρεστον, τῇ νεότητι δὲ τὸ θρασὺ, τὸ εὔτολμον, τὸ ὀξύῤῥοπον, ὁμοίως καὶ ἐπὶ πρεσβύτου· ἔτι γέρων ὢν καὶ προσδοκῶν ὀλίγῳ ὕστερον τεθνήξεσθαι καινοτέροις ἐπιχειρεῖν ἐθέλησε πράγμασιν, ὡς προληψομένης τῆς τελευτῆς τὴν τιμωρίαν.

θ) *Ὃ καὶ ἰσχυρότατον*· τὸ μὲν γὰρ γένος τύχης ἔργον ἐστὶν, οὐ γάρ τις ὁπόθεν βούλεται τίκτεται, καὶ ὁ πλοῦτος τύχης ἐστὶ δώρημα, καὶ ἡ ἀγωγὴ, εἰ τύχοι, χρηστὴ, οὐ τοῦ ἀχθέντος ἀλλὰ τοῦ ἀγαγόντος ἐστὶν ἐγκώμιον, καὶ τὸ ἐπιτήδευμα μέχρι τοῦ ἐπαίνου ἕστηκε μόνον, οἷον ὅτι χρηστὸν εἵλετο βίον; ἐν δὲ ταῖς πράξεσι τὸ τέλειον ἐπιγίνεται καὶ ἡ βεβαίωσις τοῦ ἐπιτηδεύματος. Αἱ δὲ πράξεις διχῶς κατασκευάζονται, ἔκ τε τῶν ὁμοίων

*καὶ ἀνομοίων· ὁμοίων μὲν, οἷον εἰ τὸν κλοπῆς κρινόμενον καὶ ἄλλοτε τούτῳ ἑαλωκότα ἀποδείξομεν, ἐκ δὲ τῶν ἀνομοίων κατὰ τὸ μεῖζον, ὅτι τὸν ἱερόσυλον οὐδὲν θαυμαστὸν ἰδιωτικὰ κλέψαι, καὶ κατὰ τὸ ἔλαττον, ὅτι τὸν κλέπτην καὶ ἐπὶ μικροῖς ἀδικήσαντα εἰκὸς καὶ ἐπὶ τὰ μείζω χωρῆσαι καὶ ἱεροσυλῆσαι ἀφ' ἑκατέρου μέρους· τουτέστι καὶ τοῦ φεύγοντος καὶ τοῦ διώκοντος. Ἴδια δὲ βουλήσεως μὲν ταῦτα προκαταρκτικὰ, τελικὰ, τὰ κατὰ σχέσιν· προκαταρκτικὰ μὲν, οἷον εἰκὸς βουληθῆναι αὐτὸν ἀνελεῖν, ἐχθρὸς γὰρ ἦν, τελικὰ δὲ, ἡνίκα τὸ κέρδος αὐτῷ ἐντεῦθεν ἀποβήσασθαι φάσκομεν, κατὰ σχέσιν δε, ὅτι φίλῳ χαρίσασθαι ἠβουλήθη ἢ ἐχθρὸν λυπῆσαι· τῆς δὲ δυνάμεως ἴδια τόπος, καιρὸς, ποιότης τοῦ πράξαντος καὶ παθόντος προσώπου, ὅταν ἀσθενέστερον μὲν τὸν παθόντα, τὸν δὲ πράξαντα ἰσχυρότερον ἀποφαίνωμεν. Ἰστέον δὲ, ὅτι ἐπὶ τὸ ἰσχυρότερον τούτων τελευτᾶν χρὴ τὴν ἀπ' αὐτῶν αὔξησιν. οἷον ἐὰν τῇ δυνάμει μᾶλλον ἰσχύωμεν, τὸ συμπέρασμα πρὸς τὴν δύναμιν ποιησόμεθα, καὶ ἐὰν τῇ βουλήσει, πρὸς τὴν βούλησιν, ὡς καὶ ὁ Δημοσθένης,[3] „ἀλλ' ὦ τᾶν οὐχὶ βουλήσεται."*

*α) Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους οὕτως ὠνόμασται, ἐπειδὴ ἀπὸ τῆς ἀρχῆς τοῦ ζητήματος μέχρι τέλους ταῦτά ἐστι τὰ ἐξεταζόμενα· καὶ ὅτι ἀπ' ἀρχῆς τῆς ἐν τῇ ὑποθέσει περιστάσεως ἄρχεται, μέχρι τῶν τελευταίων αὐτῆς φημι τῆς κρίσεως, ὥσπερ ἐπὶ τοῦ παραδείγματος τοῦ παρὰ τῷ Ἑρμογένει συγκατασκευαζομένου στοχασμοῦ· οὐ γὰρ μόνον τὴν ἀναίρεσιν παραλαμβάνομεν, ἀλλ' ἄνωθεν ἀρξάμενοι μέχρι τῶν τελευταίων κάτιμεν τὴν ὑποψίαν λέγοντες, τὰ δεσμὰ, τὴν λύσιν, τὸν δρασμὸν, τὴν ἐπ' ἐρημίας ἀναίρεσιν τοῦ ἀνδρός. Ἰστέον*

3 Ol. I. p. 16.

*δὲ, ὅτι τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους τὰ μέν ἐστιν ἐν λόγοις, ὡς ὁ νέος πλούσιος, ὁ τοῖς δεσμώταις θαῤῥεῖν παρακελευσάμενος, τὰ δὲ ἐν πράξεσιν, ὡς ὁ παριστάμενος ἐπ᾽ ἐρημίας τῷ νεοσφαγεῖ σώματι, τὰ δὲ ἐν πάθεσιν, ὡς ὁ πρὸς τὴν ἀκρόπολιν ἀπιδὼν καὶ δακρύσας. Διαφέρει δὲ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους τῆς διηγήσεως, ὅτι ἐκεῖ μὲν ψιλῶς ἐκτιθέμεθα, ἐνταῦθα δὲ μετὰ κατασκευῆς.*

*β) Γίνεται δὲ καὶ αὐξάνεται· καὶ εἰ ἐκ τῶν αὐτῶν γίνεται, τί διαφέρει ταῦτα τῆς τῶν ἐλέγχων ἀπαιτήσεως; καί φαμεν, ὅτι τριῶν ὄντων, ἐκθέσεως, ἀποδείξεως, αὐξήσεως, ἡ μὲν ἔκθεσις ἐν τῇ διηγήσει ἐστὶν, ἡ δὲ ἀπόδειξις ἐν τῇ τῶν ἐλέγχων ἀπαιτήσει, ἡ δὲ αὔξησις ἐν τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. Ἔτι διαφέρει, ὅτι τὰ μὲν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἢ μόνου τοῦ διώκοντός ἐστιν ἢ κοινὰ, οὐδέποτε δὲ μόνου τοῦ φεύγοντος, ἡ δὲ τῶν ἐλέγχων ἀπαίτησις ἀεὶ τοῦ φεύγοντος, καὶ ὅτι ἡ μὲν μέρος τῆς πάσης ὑποθέσεώς ἐστι, τὰ δὲ παντὸς ποιεῖται τοῦ πράγματος τὴν ἐξέτασιν, καὶ ὅτι ἐκείνης μὲν μὴ εὑρισκομένης ἔτι συνίσταται ἡ ζήτησις, τῶν δὲ ἐλλειπόντων οὐ συνίσταται, καὶ ὅτι ἡ μὲν εἰς αὐτὸ τὸ ἔγκλημα φέρεται, αἰτοῦ γὰρ ἀπαιτεῖ τοὺς μάρτυρας, τὰ δὲ τῶν ἀποδεικτικῶν σημείων τοῦ ἐγκλήματός ἐστιν.*

*γ) Ἔστι δὲ τάδε· ὡς ὁ Δημοσθένης· τίς ὢν Αἰσχίνης ἠδίκησε τὴν πόλιν; ὅτι πρεσβευτὴς, τί πράξας; ὅτι τὰ πράγματα προδοὺς, ποῦ; ἐν Μακεδονίᾳ γενόμενος, πῶς; ἀπαγγείλας τὰ ψεύδη. πότε; ὅτε Φίλιππος ἐπὶ Φωκέας ἐστράτευσε· διὰ τί; ἵνα δωροδοκήσῃ· οὐ μόνον ἀπὸ τούτων γίνεται τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἀφ᾽ ὧν δηλαδὴ ἔπραξέ τις, ἀλλὰ καὶ ἀπὸ τῶν παρειμένων, ἀφ᾽ ὧν οὐκ ἔπραξε.*

*δ) Τὰ ἑξῆς ἔσται κεφάλαια, οἷον ἀντίληψις,*

μετάθεσις αἰτίας, πιθανὴ ἀπολογία, πλὴν τῆς μεταλήψεως.

ε) Εἰ ἐγχωροίη πᾶσιν· ἐνίοτε γὰρ ἐκλείπει τινὰ τῶν κεφαλαίων, ὥσπερ ἡ ἀντίληψις, ὥσπερ εἰρήσεται· ἔστι δ' ὅτε καὶ ἡ πιθανὴ ἀπολογία, ἀνθ' ἧς τὸ μὴ ἀντιστρέφον νόημα ἐπεισάγεται.

ς) Μόνου δὲ τοῦ φεύγοντος· ὁ μὲν Ἑρμογένης καὶ οἱ πρὸ αὐτοῦ οὕτως, ἐναντιοῦνται δέ τινες λέγοντες εἶναι καὶ μόνου τοῦ φεύγοντος τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, οἷον πατήρ τις τρεῖς ἔχων παῖδας καὶ τοὺς δύο ἀποβαλὼν ἀπάγξασθαι ἔμελλεν, ὁ ὑποληφθεὶς υἱὸς καταλαβὼν ἔλυσεν ἀπὸ τοῦ βρόχου, ἱεροσυλία γέγονε κατὰ τὴν πόλιν· ὁ πατὴρ ὡμολόγησε τὴν ἱεροσυλίαν αὐτὸς τολμῆσαι, καὶ τοῦ πατρὸς ἀξιοῦντος τεθνάναι ὁ παῖς ἀντιλέγει· ἐνταῦθα γὰρ φεύγει τρόπον τινὰ ὁ παῖς, καὶ προβάλλει τόν τε τῶν ἀδελφῶν θάνατον καὶ τὴν λύσιν τοῦ βρόχου· ὁ μέντοι πατὴρ οὐδενὶ τοιούτῳ χρήσεται, εἰ γάρ τι φήσει, δείκνυσιν ἑαυτὸν οὐκ ἔνοχον ὄντα τῇ ἱεροσυλίᾳ, καὶ ἐν μὲν τοῖς κατὰ ἀξίωσιν ὡς ἐπὶ τούτου ἴσως τοῦτο συμβήσεται, ἐν δὲ τοῖς κατὰ φυγὴν καὶ δίωξιν ἀδύνατον.

ζ) Ἡ ἀντίληψις οὐκ ἀεί. Ὅτε μὲν γὰρ ἀφ' ὧν ἄλλοι πεπράχασι κρινόμεθα, οὐδέποτε ἐμπίπτει τὸ ἀντιληπτικόν· ὅτε δὲ ἀφ' ὧν αὐτοὶ ἐπράξαμεν, ἀεὶ ἐμπεσεῖται, πλὴν εἰ μισούμενον εἴη τὸ πρᾶγμα, ἢ προσφερὲς τῷ ἐπιφερομένῳ ἐγκλήματι· μισούμενον μέν, οἷον νέος πλούσιος ἐν δημοκρατίᾳ πολιτευόμενος ἐξ ἀστυγείτονος πόλεως ἠγάγετο τυράννου θυγατέρα καὶ κρίνεται τυραννίδος ἐπιθέσεως. Ἐνταῦθα γὰρ οὐκ ἔχει χώραν τὸ ἀντιληπτικόν, ὅτι ἐξῆν μοι ἣν ἐβουλόμην γαμεῖν, ἐπειδὴ μισεῖται τὸ τοῦ τυράννου πρόσωπον παρὰ τοῖς δικασταῖς· προσφερὲς τῷ ἐπιφερομένῳ ἐγκλήματι, οἷον· τῆς Περικλέως ἐμπρησθείσης οἰκίας εὑρέθησαν χίλιαι πανο-

πλίαι, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως, ἐνταῦθα γὰρ τῷ μὲν ἀντιληπτικῷ οὐ χρήσεται, διὰ τὸ προσεχὲς εἶναι τῷ ἐγκλήματι τὸ πεπραγμένον, χρήσεται δ' ἀντὶ τούτου τῷ κατὰ ἀντιστροφὴν σχήματι, οἷον οὐκ εἴ τις ὅπλων εὐπορεῖ, οὗτος πάντως τυραννήσει· ἀεὶ δὲ τὸ ἀντιληπτικὸν βούλεται τὸ σημεῖον τοῦ ἐγκλήματος ἀνεύθυνον δεικνύναι, ἀεὶ γὰρ πρὸς τὸ σημεῖον, οὐ πρὸς τὸ ἔγκλημα φέρεται, καθ' ὃ καὶ διαφορὰν ἔχει πρὸς τὴν στάσιν τῆς ἀντιλήψεως, ἐκείνη γὰρ αὐτὸ τὸ ἐπιφερόμενον ἔγκλημα ἀνεύθυνον ἀποδείκνυσι· κατασκευάζεται δὲ καὶ τοῦτο, ἐξ ὧν καὶ ἡ ἀντίληψις, ἀπὸ νόμου, ἢ ἔθους, ἢ φύσεως, ἢ τέχνης· ἐὰν δὲ μηδὲν τούτων ἐμπίπτῃ, βιαστικώτερόν πως τῇ ἐξ ἀντιφάσεως τοῦ ἐναντίου μεθόδῳ χρηστέον, οἷον δεῖξον, ὅπως οὐκ ἔξεστι τόδε τι ποιεῖν, τίς ἐκώλυσε νόμος, ποῖος ἀπηγόρευσε νομοθέτης; Ὠνόμασται δὲ ἡ ἀντίληψις ἀπὸ μεταφορᾶς τῶν ὑπὸ ῥεύματος παραφερομένων, ξύλου δὲ ἢ λίθου ἀντιλαμβανομένων, καὶ διὰ τούτου τὴν σωτηρίαν ποριζομένων. καὶ ἔστιν ἀεὶ τοῦ φεύγοντος· τοῦ γὰρ κατηγόρου χρωμένου τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, κἀκεῖθεν πειρωμένου ὑπεύθυνον δεικνύναι τὸν φεύγοντα, τῇ ἀντιλήψει ὁ φεύγων χρῆται.

η) Ἡ μετάληψις· Ὠνόμασται καὶ αὕτη ἀπὸ τοῦ τὸν κατήγορον συγχωροῦντα κατά τι τῇ παρὰ τοῦ φεύγοντος παραβαλλομένῃ ἐξουσίᾳ μεταλαμβάνειν ἕν τι τῶν περιστατικῶν μορίων.

θ) Ὁποτερῳοῦν· περὶ τῶν ὡρισμένων, φασίν, ἀορίστως εἶπεν, ὥρισται γάρ, τίνος ἡ ἀντίληψις, τίνος δὲ ἡ μετάληψις, φαμὲν οὖν ὅτι οὐχ ὡς γενομένης ποτὲ τῆς μεταλήψεως τοῦ φεύγοντος τοῦτο εἶπεν, ἀλλὰ βουλόμενος δεῖξαι τὴν τῶν κεφαλαίων ἐναντιότητα, ἢ λείπει τῷ προτέρῳ, ἵν' ᾖ, „ὁποτέρῳ προτέρῳ τούτων χρήσεται ὁ ἕτερος, αὐτίκα τὸν ἕτερον τῷ λοιπῷ χρῆσθαι.“ τὸ δὲ ἀντιλήψει ἢ μεταλήψει οὐ ταῖς στάσεσιν αὐταῖς,

ἀλλὰ τοῖς κεφαλαίοις, τῷ ἀντιληπτικῷ τε καὶ μεταληπτικῷ.

ε) Κατὰ τὴν ἔνστασιν· τῶν γὰρ ἀποδείξεων αἱ μέν εἰσι πιστωτικαὶ, αἱ δὲ ἀντιῤῥητικαὶ, ὧν αἱ ἀντιῤῥητικαὶ ἢ κατὰ μάχην γίνονται ἢ κατὰ μέθοδον· κατὰ μάχην μὲν, ὅταν εὐθὺς ἐξ ἀναιρέσεως τοῦ ὅλου ποιώμεθα τὴν κατασκευήν· κατὰ μέθοδον δὲ, ὅταν οὐχ οὕτως, ἀλλ' ἑτέρως πως μεταχειριζώμεθα. Μιμεῖται οὖν τὸ μὲν κατὰ τὴν μάχην ἡ ἔνστασις, τὸ δὲ κατὰ τὴν μέθοδον ἡ ἀντιπαράστασις.

ια) Οὐ ῥάδιον εἰπεῖν· οὐ γὰρ ἡ τέχνη τὴν τῶν πραγμάτων ὕλην ποιεῖ, ἀλλ' ὡς ἂν ἔχῃ φύσεως τὰ πράγματα, οὕτω καὶ ἡ τέχνη μεθοδεύειν καὶ ἀκολουθεῖν ἀναγκάζεται, κυβερνήτου δίκην πρὸς τὸ πνεῦμα τὴν ναῦν ἰθύνοντος.

ιβ) Δεῖ δὲ ὁρᾷν· ὅταν γὰρ βιαία ἡ ἔνστασις καὶ τραχεῖα εὐθὺς φαίνηται τῷ δικαστῇ, τότε προτακτέον τὴν ἀντιπαράστασιν πιθανωτέραν οὖσαν καὶ μᾶλλον εὐπαράδεκτον· τὸ γὰρ πιθανὸν τοῦ βιαίου προτιμῶσιν οἱ ῥήτορες, ὡς ἔμπαλιν τὸ βίαιον ἡ διαλεκτική· τὸ γὰρ λέγειν, „τῷ ἀφαρῶντι εἰς τὴν ἀκρόπολιν οὐκ ἔξεστι δακρύειν," ἀναιδές πως εἶναι δοκεῖ, παρὰ φύσιν γάρ· τῇ οὖν ἀντιπαραστάσει πρῶτον αὐτὸ μεθοδεύσομεν, ὅτι οὐκ ἐπὶ τυραννίδι σοι δέδωκεν τὴν ἐξουσίαν τῶν δακρύων ἡ φύσις οὐδὲ ἐπ' ὀλέθρῳ τῶν πολιτῶν· εἶτα τῇ ἐνστάσει, καίτοι οὐδὲ δακρύειν μάτην ἐξῆν σκαιότητος γὰρ σαυτῷ προσετρίβου δόξαν. Ὅταν μὲν οὖν τοῖς πλείοσι τὸ πρᾶγμα δοκῇ φαῦλον, τῇ ἐνστάσει πρῶτον χρηστέον, ὅταν δὲ τῶν μέσων, τῇ ἀντιπαραστάσει.

α) Ἡ μετάθεσις τῆς αἰτίας· μετάθεσις καλεῖται, ἐπειδὴ τὰ ἐπιφερόμενα ὑπὸ τοῦ κατηγόρου ἐφ' ἕτερον ἄγειν ἀνεύθυνον ἢ ἐπαίνου ἄξιον πειρώμεθα, οἷον, οὐχ ὅτι ἐφόνευσα, παριστάμην, ἀλλ' ὅτι ἠλέησα καὶ τα-

φῇ δοῦναι τὸν κείμενον ἠβουλήθην· ἡ δ' αὐτὴ καὶ χρῶμα καλεῖται, διὰ τὸ χρωννύναι τὸν λόγον, καὶ οἷον εὐπρόσωπον ποιεῖν ὥσπερ αἱ κομμώτριαι· ἢ ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς σώμασι χρωμάτων, ὥσπερ ἐκεῖνα δι' ὅλων διήκει τῶν ὑποκειμένων· διὰ μὲν τῆς χιόνος ἡ λευκότης, διὰ δὲ τῆς πίσσης ἡ μελανία, διὸ εἰ καὶ οἰκείαν χώραν ἔχει τὸ κεφάλαιον τοῦτο, ἔνθα καὶ ἀκριβῶς ἐξετάζεται, ἀλλ' οὖν καὶ ἐν παντὶ τῷ λόγῳ κατὰ βραχύ τε καὶ μερικῶς ἐγκατέσπαρται, ὥσπερ καὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, πρὸς ἅπερ τὸ χρῶμα τοῦτο φέρεται· διαφέρει δὲ πρὸς τὴν ἀντίληψιν, ὅτι ἐκείνη μὲν τὰ πεπραγμένα ἐξεῖναι λέγει, οἷον ἐξῆν μοι παρεστάναι, καὶ ἐξῆν διατρίβειν ἐπ' ἐρημίας, ἡ δὲ μετάθεσις οὐκ ἐπὶ τῶν πεπραγμένων, ἀλλὰ τῶν ὑπονοουμένων γίνεται, ὃν γὰρ τρόπον τὸ εἰ ἐφόνευσεν ὑπονοεῖται, οὕτω καὶ εἰ ἐπὶ τῷ θάψαι παρίστατο. Ἐπεὶ δὲ καὶ ἡ μετάθεσις τῆς αἰτίας καὶ ἡ βούλησις τὴν γνώμην ἐξετάζουσι τοῦ φεύγοντος, σκοπητέον, τίνι διαφέρουσι· διαφέρουσιν οὖν, πρῶτον μὲν, ὅτι ἡ βούλησις κοινή ἐστιν, ἡ δὲ μετάθεσις μόνη τοῦ φεύγοντος· δεύτερον, ὅτι ἡ μὲν βούλησις καὶ τοῦ προτέρου βίου ποιεῖται ἐξέτασιν, καὶ καθολικωτέραν τινὰ τῆς γνώμης βάσανον ἔχει, ἡ δὲ μετάθεσις τοῦ παρόντος ἀντέχεται μόνου· τρίτον, ὅτι ἡ μὲν βούλησις πρὸς τὸ ἔγκλημα φέρεται, οἷον, οὐκ ἂν ἠβουλήθην φονεῦσαι, ἡ δὲ μετάθεσις πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι οὐ τοῦδε χάριν παριστάμην· τέταρτον, ὅτι ἡ μὲν βούλησις καὶ κατὰ διαπόρησιν γίνεται, οἷον, διὰ τί γὰρ ἂν ἐφόνευσα, δι' ἔχθραν, ἀλλ' οὐκ ἐχθρὸς ἦν καὶ τὰ τοιαῦτα· ἡ δὲ μετάθεσις ἀποφαντικῶς, ὅτι τοῦ θάψαι χάριν παριστάμην καὶ δι' ἔλεον καὶ οἶκτον.

β) Εἰδέναι δὲ δεῖ· οἷον ἐπὶ τοῦ βοήσαντος „θαρσεῖτε, ὦ δεσμῶται,“ κατὰ ῥητὸν καὶ διάνοιαν ὀφείλοντος ἐξετάζεσθαι, ὅμως ἐστὶ καὶ τὸ συγγνωμονικὸν ἐμ-

πίπτον, ὅτι ἐλεήσας αὐτοὺς παραμυθήσασθαι ἠβουλήθην, ἔτι δὲ καὶ θετικῶς ἐρεῖ χρῆναι τοὺς ἐν κακοῖς ἐλεεῖν. Καὶ εἰ πάντα, φασί τινες, ἐν πᾶσιν εὑρίσκεται, πῶς διακρινοῦμεν τὸ ἴδιον; φαμὲν οὖν, ὅτι τῷ προσεχεστέρῳ καὶ μᾶλλον οἰκειοτέρῳ πλεονάσομεν, τὰ δὲ ἄλλα οὐ προηγουμένως, κατὰ δεύτερον δὲ παραληψόμεθα λόγον. Διαφέρει δὲ τὸ ἐνταῦθα κατὰ ῥητὸν καὶ διάνοιαν τῆς στάσεως, ὅτι ἐκεῖ μὲν περὶ τὸ ἔγγραφόν ἐστι τὸ ζήτημα, ἐνταῦθα δὲ περὶ τὴν φωνὴν τοῦ φεύγοντος. Ἐπεὶ δὲ τὰ μὲν ἄλλα κεφάλαια τιθεὶς ὁ τεχνικὸς τὴν λύσιν τούτων ἐπέφερεν, ἐπὶ δὲ τῆς μεταθέσεως οὐκ ἐποίησε τοῦτο, ἰστέον, ὅτι καὶ ἡ μετάθεσις τῆς αἰτίας λύεται τῇ ἀπαιτήσει τοῦ ἀκολούθου καὶ ἀναιρέσει μετὰ τὴν ἀπαίτησιν ἐπιφερομένῃ, οἷον ἐπὶ τοῦ τρέφοντος τοὺς ἀποκηρύκτους· ἡ μετάθεσις τῆς αἰτίας, ὅτι ὑπὲρ τῆς πόλεως τοῦτο ἔδρων, ἵνα μὴ τῶν ἀναγκαίων στερούμενοι κακουργῶσιν, εἶτα ἡ λύσις κατὰ τὴν ἀπαίτησιν τοῦ ἀκολούθου, καὶ μὴν εἰ ὑπὲρ τῆς πόλεως τοῦτο ἔπραττες, ἐχρῆν καὶ ἐν ἄλλοις ποτὲ πράγμασι τὴν ἴσην φιλοτιμίαν ἐνδεδεῖχθαί σε, καὶ σίτου ἢ χρημάτων ἀπορούσῃ τῇ πόλει ἐπαρκεῖν, εἶτα κατὰ ἀναίρεσιν, καὶ μὴν οὔτε ποτὲ τοιοῦτον ἕτερον ἐπεδείξω, οὔτε ἀπορουμένῃ τῇ πόλει τι συνεισήνεγκας, οὐκ ἄρα ὑπὲρ τῆς πόλεως τοῦτο ἐποίεις.

α) Ἡ πιθανὴ ἀπολογία· πιθανὴ ἀπολογία λέγεται καίτοι καὶ τῶν ἄλλων κεφαλαίων πιθανῶν ὄντων, διότι τοσαύτης μετέχει πειθοῦς, ὡς τοῖς αὐτοῖς κεχρῆσθαι τεκμηρίοις τὸν φεύγοντα τοῦ μὴ πεποιηκέναι ὅπερ ἐγκαλεῖται, ἢ μὴ μέλλειν ποιήσειν, οἷςπερ ὁ κατήγορος κέχρηται τοὐναντίον ἀποδεικνύς. Διαφέρει δὲ τῆς μεταθέσεως, κἀκείνης καὶ ταύτης πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους φερομένων, ὅτι ἡ μὲν μετάθεσις τὸ παρὰ τοῦ κατηγόρου ἐπιφερόμενον μετατίθησιν ἐπὶ τὸ ἀνεύθυνον,

ἡ δὲ πιθανὴ ἀπολογία τὸ ἐναντίον, τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους κατασκευάζει. Ἔστι δὲ τοῦτο τὸ κεφάλαιον ἰσχυρότατον τῷ φεύγοντι, τὰ μὲν γὰρ ἄλλα ἔξωθεν ἦν τοῦ προβλήματος, οἷον τὸ παραγραφικὸν, ἡ τῶν ἐλέγχων ἀπαίτησις, ἡ ἀντίληψις, ἡ μετάθεσις τῆς αἰτίας, τοῦτο δὲ ἐκ τῆς τοῦ κατηγόρου φωνῆς τὸ βέβαιον ἐπιδέχεται, λέγει γὰρ ὅτι εἰ τοῦτο πρὸς κατασκευὴν λαμβάνεις τοῦ φόνου, τὸ παρεστάναι, αὐτὸ τοῦτο τῆς ὑποψίας με ἐλευθεροῖ· εἰ γὰρ ἀνεῖλον, οὐκ ἂν παριστάμην, καὶ ἔοικεν ὁδῷ τινι βαδίζειν ταῖς ἀπολογίαις· τὸ μὲν γὰρ πρῶτον ἀντιλήψει κέχρηται, ὅπερ δοκεῖ προπετέστερον εἶναι καὶ μηδὲν ἔχειν πρὸς ἀπολογίαν λαμπρόν· δεύτερον δὲ τὴν μετάθεσιν τῆς αἰτίας ἰσχυρὰν ἤδη δοκοῦσαν εἶναι· τρίτον, ὅπερ ἐστὶν ἰσχυρότατον, τὴν πιθανὴν ἀπολογίαν ἐπάγει, διὸ καὶ τῷ κατηγόρῳ πολλὴν παρέχει τὴν ἀπορίαν, καὶ σχεδὸν ἄλυτος εἶναι δοκεῖ, καὶ ὁ λύειν ταύτην βουλόμενος ἢ ἐπὶ τὸ θεῖον ἀνατρέχει, λέγων ὅτι ἐχρῆν δοῦναι τιμωρίαν, καὶ διὰ τοῦτο παρίστασο, τοῦ θείου τοῦτο παρασκευάσαντος, ἢ ἐπὶ ἄγνοιαν, ὅτι οὐ συνῆκας, τί δεῖ ποιῆσαι μετὰ τὸν φόνον, καὶ διὰ τοῦτο παρίστασο, ἢ ὅτι οὐκ ᾤου παρά τινος ἀφθῆναι, ἢ ἐπὶ μέθην, ὡς ἐπὶ τοῦ βοήσαντος, „θαῤῥεῖτε ὦ δεσμῶται,“ μεθύων γὰρ ἐξέφηνας τὰ ἐν τῇ ψυχῇ βουλεύματα, ὥσπερ καὶ ὁ Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας τῷ κατὰ ἄγνοιαν τρόπῳ κρίνει τὸν Αἰσχίνην, δῶρα λαβόντα ἐπὶ φθορᾷ τῆς πόλεως, λέγων,[4] „οὔτε τὴν ἀῤῥωστίαν, ἐφ᾽ ᾗ τότε ἐξωμόσατο, λογισάμενος“ καὶ μετ᾽ ὀλίγα, „ἀλλ᾽ οὕτως ἔκφρων ἦν,[5] καὶ ὅλος πρὸς τῷ λήμματι καὶ τῷ δωροδοκήματι“ καὶ ἑξῆς· ἔφαμεν δὲ ἰσχυρότατον εἶναι τὸ κεφάλαιον, ἐπειδὴ μέγιστος οὗτος ἔλεγχος, ὅταν ἐξ αὐτῶν τῶν παρὰ τοῦ

---

4 p. 380. 5 Ven. ἐχρῆν. Dem. l. l. ἔκφρων ἦν.

ἐναντίου λόγων τὰ οἰκεῖά τις ἔχῃ κατασκευάζειν. Κατασκευάσει τοίνυν ὁ φεύγων τὸ κεφάλαιον διὰ τῶνδε τῶν ἐπιχειρημάτων, πρῶτον μὲν ἐκ τοῦ μηδὲν ὠφελῆσθαι ἐντεῦθεν, ὡς ὁ εἰς τὴν ἀκρόπολιν ἀπιδὼν καὶ δακρύσας· δεύτερον ἐκ τοῦ βλάπτεσθαι, εἰ γὰρ ἠβουλόμην τυραννῆσαι οὐκ ἂν ἐδάκρυον, ἵνα μὴ φωραθεὶς ζημιωθῶ· τρίτον ἐξ ἀντεισαγωγῆς, ἑτέρας ἀνευθύνου, ὃ καὶ μάλιστα ἐναργέστερον, οἷον ὅτι τόδε ἂν μᾶλλον ἔπραττον, εἴγε τούτου ἐπεθύμουν, δι' οὗ συνέβαινεν ἄμφω τό τε καθορθοῦν, καὶ τὸ κινῆσαι μηδ' ἡντιναοῦν ὑπόνοιαν.

β) Ὅταν ἑπόμενα ᾖ· ἐπὶ γὰρ τοῦ ἀφορῶντος εἰς τὴν ἀκρόπολιν καὶ δακρύοντος οὐχ ἕπεται, οὐ γὰρ ἁρμόζει τῇ τυραννίδι τὰ δάκρυα· τοὐναντίον γε μὴν ἐλεεινοῦ τὸ δακρύειν καὶ ταπεινοῦ τὸ φρόνημα, ἐπεὶ δὲ τὸ μάλιστα πιθανὸν ἐν τούτῳ τῷ κεφαλαίῳ ἔχομεν, δοκοῦμεν δὲ ἀπίθανον ἔχειν τὸν λόγον τούτου ἐλλείποντος, δεῖ δὲ τῷ ῥήτορι πάντα οὐ μέλειν τοῦ πιθανοῦ, μέθοδόν τινα διαλεκτικὴν ὁ τεχνικὸς ἡμῖν δίδωσι, δι' ἧς δυνάμεθα ἐν τοῖς τοιούτοις ἀναπληροῦν τὰ τῆς πιθανῆς ἀπολογίας, ὥστε μὴ ἐλλείπειν τρόπον τινὰ τὸ κεφάλαιον. Ὀνομάζει δὲ τοῦτον τὸν τρόπον Ἀριστοτέλης παρὰ τὸ ἑπόμενον, ὅταν τῇ προτάσει καὶ τῇ κατασκευῇ οὐχ ἑπομένην δῶμεν τὴν ἀναστροφὴν, ἀλλὰ σεσοφισμένην, οἷον ὁ ἀλεκτρυὼν δίπουν, καὶ ἄνθρωπος δίπουν, ὁ ἄνθρωπος ἄρα ἀλεκτρυών· τὸ μὲν γὰρ εἶναι δίπουν τὸν ἄνθρωπον καὶ τὸν ἀλεκτρυόνα ἀληθὲς, τὸ δὲ τὸν ἄνθρωπον εἶναι ἀλεκτρυόνα σεσόφισται· ἦν δὲ ὁ συλλογισμὸς ἐκείνως ἀληθὴς, ὁ ἄνθρωπος ἄρα καὶ ὁ ἀλεκτρυὼν δίποδα. Οὕτω καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου παραλογίζεται τὸν Αἰσχίνην· φησὶ γὰρ οὕτως, [6] „οὐκοῦν ὅτι τούτου μέλλοντος λέγειν ἀπήλασεν αὐτὸν ἡ βουλὴ καὶ προσέταξεν ἑτέρῳ [7] λέγειν, τότε καὶ προδότην

6 p. 272. 7 Cod. ἑτέρως, correxi ex Dem.

εἶναι καὶ κακόνουν ἡμῖν ἀπεφήνατο·" τοὺς μὲν γὰρ προδότας ἐκβάλλεσθαι ὁμολογεῖται,[8] τὸ δὲ τοὺς ἐκβαλλομένους εἶναι πάντας προδότας οὐκ ἀληθές· ὁ μὲν οὖν κατήγορος τούτῳ χρήσεται τῷ σοφίσματι, παραλογιζόμενος ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ὁ δὲ φεύγων ἐπὶ τῆς πιθανῆς ἀπολογίας ἀναστρέψας τὸ σόφισμα ἐλέγξει τὸ ψεῦδος.

γ) Καὶ ὁρικῶς ἐξετάσει· ἐν τούτῳ γὰρ ὁ κατήγορος πολλὴν ἔχει τὴν ἰσχὺν τῶν σημείων, οὐ μόνον εἶναι σημεῖον τὸ καλλωπίζεσθαι τοῦ πορνεύεσθαι λέγει, ἀλλὰ καὶ αὐτὸ καθ' αὑτὸ ὁριεῖται πορνεύειν εἶναι τὸ καλλωπίζεσθαι, τὸ δὲ „βιαίως" προσέθηκεν, ὅτι οὐκ ἀληθὴς ἡ παρασκευὴ ἀλλὰ βίαιος, ἐκ περιουσίας καὶ ὑπερβολῆς λαμβανομένη.

α) Ἡ κοινὴ ποιότης· τοῦ πολιτικοῦ λόγου εἰς τέσσαρα μέρη διαιρουμένου, προοίμια, διηγήσεις, ἀγῶνας καὶ ἐπιλόγους, τὰ μὲν προῤῥηθέντα κεφάλαια τῶν ἀγώνων ἐστὶν, ἡ δὲ κοινὴ ποιότης οὗτοί εἰσιν οἱ ἐπίλογοι, τὸ τελευταῖον τοῦ λόγου μέρος. Ποιότητα μὲν οὖν αὐτὴν ἐκάλεσεν ἴσως διὰ τὴν αὔξησιν, κοινὴν δὲ διὰ τὸ κοινὸν τόπον περιέχειν, ὃς οὐκ ἐπὶ προσώπου φέρεται ὡρισμένου, ἀλλὰ κοινῶς κατὰ πάντων τῶν τοῦ αὐτοῦ μετεχόντων ἐγκλήματος, ἢ διὰ τὸ κοινὸν ἀμφοτέρων τῶν μερῶν εἶναι τὸ κεφάλαιον. Λαμβάνεται δὲ ἐνταῦθα ὁ κοινὸς τόπος, ἐπειδήπερ αὔξησιν βούλονται ποιεῖν οἱ ἐπίλογοι, τὰ δὲ αὐξητικὰ ἐκ τῶν καθόλου λαμβάνεται, ὁ δὲ κοινὸς τόπος καθόλου. Ζητεῖται οὖν, τίνι διαφέρει ὁ κοινὸς τόπος τῆς ποιότητος, εἴγε καὶ ἄμφω καθόλου φέρονται, καί φαμεν, ὅτι ὁ ἐπὶ τῶν καθόλου ἀεὶ ἕστηκεν, ἡ δὲ ἀπὸ τῶν καθόλου ἐπὶ τὸ μερικὸν φέρεται. Παραλαμβάνοντες γὰρ ἐν τῇ κοινῇ ποιότητι τὰ καθο-

8 Ven. ὁμολογεῖτε.

λικώτερα οὐχ ἁπλῶς μέχρι τούτων ἱστάμεθα, ἀλλὰ τοῖς ἑκάστοτε ὑποκειμένοις ἡμῖν προσώποις ἐφαρμόζομεν, ὡς τελευτᾷν ἀεὶ τὸ καθολικὸν πρὸς τὸ μερικώτερον.

β) Καὶ αἱ δευτερολογίαι· περὶ δευτερολογίας εἴρηται ἐν τῷ κοινῷ τόπῳ, ὅτι τετραχῶς γίνεται· περὶ τοῦ τετάρτου οὖν εἴδους ἐνταῦθά φησι, τῆς καὶ διττολογίας λεγομένης.

γ) Ὑπὸ μὲν τῶν κατηγόρων. Ἰστέον, ὡς οἱ ἐπίλογοι διχῆ διαιροῦνται, εἴς τε τὸ πραγματικὸν, ὅπερ ἀνακεφαλαίωσιν ἔχει καὶ ἀνάμνησιν τῶν ἐν τοῖς ἀγῶσιν εἰρημένων, καὶ εἰς τὸ παθητικὸν, ὅπερ ἐλέου θήραν παρὰ τοῦ φεύγοντος καὶ ἐλέου ἐκβολὴν παρὰ τοῦ διώκοντος ἔχει. Τὸ μὲν οὖν παθητικὸν τῷ δικανικῷ εἴδει μόνῳ προσήκει, τὸ δὲ πραγματικὸν πᾶσι τοῖς εἴδεσι τῆς ῥητορικῆς, καὶ δὴ καὶ ἐν ἐπιστολαῖς, εἰ μακρότεραι εἶεν· καὶ αὖθις τὸ πραγματικὸν κοινὸν τοῦ τε διώκοντος καὶ τοῦ φεύγοντος, τὸ δὲ παθητικὸν οὐ κοινὸν κατά γε τὴν ἐργασίαν, οὐδὲ τὸν αὐτὸν τρόπον ὑφ᾽ ἑκατέρου παραλαμβάνεται, ἀλλ᾽ ὁ μὲν κατήγορος αὐξητικῶς ἐπαίρων πρὸς ὀργὴν τοὺς δικαστὰς, ὁ δὲ φεύγων κατὰ μείωσίν τινα καὶ ἄφεσιν τὰ πάθη λαμβάνει· καταφέρων πρὸς οἶκτον τοὺς δικαστὰς, ἐλεεινῷ τε χρῆται τῷ σχήματι καὶ τῇ φωνῇ· οὐ γὰρ μιᾷ μόνῃ τῇ διὰ τῶν ὤτων αἰσθήσει, ἀλλ᾽ ἤδη καὶ τῇ θέᾳ τὰς τῶν δικαστῶν διανοίας ἐπισπώμενος, οὐ γὰρ οὕτως ἡμᾶς ἐκπλήττει τὰ λεγόμενα, ὅσον ἐπ᾽ αὐτῶν τῶν σχημάτων φαινόμεθα. ὡς Ὑπερίδης [1] γυμνὴν τὴν Φρύνην τὰ στήθη εἰσήγαγε καὶ οἱ δικασταὶ οἰκτειρήσαντες ἀπεψηφίσαντο. Ἰστέον δὲ, ὅτι ἐν προσώποις ἀξίωμα ἔχουσιν, οἷον Περικλεῖ προδοσίας κρινομένῳ οὐκ εἰσάγεται ἐλέου εἰσβολὴ, ἵνα τε μὴ καταφρονηθῇ καὶ ἵνα μὴ ἀληθὴς ἡ κατηγορία δόξῃ, ἀλλὰ

1 Athen. XIII. p. 590.

κατὰ παράλειψιν τὸ τοιοῦτο μεθοδεύσομεν, οἷον, εἰώθασι μὲν ταῦτα ποιεῖν ἅπαντες, παίδων ἀναμιμνήσκειν ὑμᾶς ὀρφανίαν, γυναικὸς χηρείαν, ἐγὼ δὲ οὐκ ἂν εἰς ταῦτα καταφύγοιμι, αἰδεσθήσομαι γὰρ ἐμαυτόν· τοῦτο δὲ Πλάτων ποιεῖν ἐδίδαξεν ἐν τῇ ἀπολογίᾳ Σωκράτους· καὶ τοῦτο δὲ ἰστέον, ὅτι τὴν ἀνακεφαλαίωσιν διὰ τῶν ἐπικαίρων χρὴ ποιεῖν, τουτέστι τῶν ἰσχυρῶν ἡμῖν, ἀλλ' οὐ πάντων ἁπλῶς τῶν προῤῥηθέντων. Σχηματίσομεν δὲ τὴν ἀνακεφαλαίωσιν πῇ μὲν τῷ κατ' ἐπαγγελίαν σχήματι, ὡς ὁ Δημοσθένης·[2] συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημένα, ποτὲ δὲ τῷ κατ' ἐρώτησιν, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου,[3] „εἶτα με ἐρωτᾷς, ἀντὶ ποίας ἀρετῆς ἀξιῶ στεφανοῦσθαι;" ἢ τῷ κατὰ σύγκρισιν, ὡς ἐν τῷ περὶ παραπρεσβείας, πρὸς γὰρ τὴν Ἐπικράτους καὶ Λέοντος πρεσβείαν ἀντεξετάζων τὴν Αἰσχίνου, καὶ ἀποδεικνὺς τὸν πρεσβευτὴν ἐκεῖνον ἐλάττονά τε ἠδικηκότα καὶ μεγίστην δόντα τιμωρίαν οὕτω τὴν Αἰσχίνου πρεσβείαν εὐκαίρως εἰσφέρει, καὶ ἀνακεφαλαιοῖνται πάντα ὅσα τὴν πόλιν ἠδίκησε· τὰ δέ γε παθητικὰ πανταχοῦ συμπλέκεσθαι δεῖ. Ἔτι καὶ τοῦτο ἰστέον, ὡς ἂν μὴ ἐκ πάντων τῶν ἐν τοῖς ἀγῶσι ῥηθέντων ἰσχύωμεν, ἀλλ' ἑνὸς μόνου, τούτῳ συνεχῶς πλεονάσωμεν, ὡς ὁ Δημοσθένης ἐν μὲν τῷ κατὰ Ἀριστοκράτους, ἐπειδὴ τῷ νόμῳ ἴσχυεν, ἐξ αὐτοῦ μάλιστα τὴν ἀνακεφαλαίωσιν ἐποιήσατο· ἐν δὲ τῷ περὶ τοῦ στεφάνου, τοῦ μὲν νομίμου ἐπίτηδες ἐξελάθετο, σαθρότερον γὰρ ἦν αὐτῷ, τῷ δὲ δικαίῳ διὰ παντὸς τοῦ λόγου ἐχρήσατο, συνεχῶς ὑπομιμνήσκων τοὺς δικαστάς, τούτῳ γὰρ ἔῤῥωτο, μάλιστα γὰρ ἐπιστήμονος ἔργον τοῦτο τοῖς ἰσχυροτέροις ἐμμεῖναι· ἐν μὲν γὰρ τοῖς ἀγῶσιν ἀνάγκη, κἀκεῖνα, οἷς οὐ λίαν ἰσχυριζόμεθα, εἰς τὸν λόγον παραλαμβάνειν, ἵνα μή τι τούτων παροραθέν, εἶτα εἰς διάνοιαν τῶν δικαζόντων ἀνελθὸν ὕποπτον τὸν

2 de fals. leg. p. 396. 3 p. 325.

λόγον ἐργάσηται, καὶ διὰ τοῦτο ἧττον ἰσχυρόν, ἐν δὲ τοῖς ἐπιλόγοις, ἐπεὶ διὰ βραχέων ἀνάγκη γίνεσθαι, οὐ δεῖ καὶ τῶν ἀσθενεστέρων μεμνῆσθαι.

δ) Κοινὰ δὲ ἀμφοῖν· ὁ μὲν γὰρ κατήγορος εἰς τὴν τοῦ ἐλέου ἐκβολὴν χρήσεται τούτοις, τῷ μὲν νομίμῳ ὡς ἐν τῷ κατὰ Μειδίου, [4] „ὅταν δ' οὗτος κλαύσῃ τε καὶ τοὺς παῖδας παραγάγῃ, ἐμὲ νομίζετε τὸν νόμον ἔχοντα παρεστάναι τῷ βήματι," τῷ δὲ δικαίῳ, ὅταν μὴ ἄξιον εἶναι λέγῃ τὸν οὕτω πονηρὸν φιλανθρωπίας, τῷ δὲ συμφέροντι, ὅταν μὴ συμφέρουσαν τῇ πόλει τὴν τιμωρίαν τοῦ φεύγοντος ἀποδείξωμεν· τῷ δὲ ἐνδόξῳ, „καί τινα ἀγαθὴν δόξαν τῇ πόλει περιποιήσεται τιμωρηθείς," καὶ τὰ λοιπὰ ὡσαύτως, ὁ δὲ φεύγων καὶ αὐτὸς χρήσεται τούτοις, οἷον δίκαιον τοὺς ἀτυχοῦντας οἰκτείρειν, ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους· [5] „ὁ νόμος γὰρ „φησὶ", φιλάνθρωπος ὢν, οὐκ ἐπέθετο τοῖς ἀτυχήμασι τῶν πολιτῶν, ἀλλα καθ' ὅσον οἷόν τε, τὰς συμφορὰς αὐτοῖς ἐπικουφίζει." καὶ τῷ δικαίῳ μὲν οὕτως, καὶ ὅτι δίκαιον τοῖς ἁμαρτήσασι συγγινώσκειν· τῷ δὲ πρέποντι, ὅτι δεινὸν, εἰ δόξαν ἀπανθρωπίας ἀπενεγκοίμεθα, βουλόμενοι ἐπὶ φιλανθρωπίας θαυμάζεσθαι, καὶ τοῖς ἄλλοις ὡσαύτως.

ε) Ὅλως τε οἱ ἐπίλογοι· περὶ διαιρέσεως τῶν κεφαλαίων εἰπεῖν προὔθετο, ἅπερ εἰσὶν οἱ ἀγῶνες· ἐπεὶ δὲ καὶ περὶ ἐπιλόγων εἰπεῖν τούτῳ ἐδέησεν, εἶδε δὲ καὶ τὰ προοίμια ἐκ τῶν αὐτῶν τοῖς ἐπιλόγοις ὁρμώμενα, καὶ περὶ αὐτῶν μετρίως διαλαμβάνει. Λαμβάνεται δὲ ταῦτα τριχῶς ἢ ἐκ διαβολῆς τοῦ ἐναντίου, ἢ ἐκ συστάσεως τοῦ οἰκείου προσώπου, ἢ ἐκ προσοχῆς τοῦ δικαστοῦ, ὅταν τὸ πρᾶγμα αὔξαντες προσεχέστερον ποιῶμεν αὐτόν.

---

**4 p. 575. 5 contr. Aristocr. p. 643.**

ς) *Λαμβάνονται μέν*· οὐ τοῦτό φησιν, ὅτι ἐὰν τὸ προοίμιον τοῦ αὐτοῦ λόγου ἀπὸ διαβολῆς τοῦ ἐναντίου γένηται, ἀνάγκη καὶ τὸν ἐπίλογον ἐκ ταύτης γίνεσθαι· ἀλλ' ὅτι καὶ τὰ προοίμια καὶ οἱ ἐπίλογοι ἐκ τῶν αὐτῶν γίνονται, πίπτουσι δὲ ὡς ἂν τύχωσιν, ὡς τοῦ αὐτοῦ λόγου πολλάκις τὸ μὲν προοίμιον ἐκ διαβολῆς εἶναι τοῦ ἐναντίου, τὸν δὲ ἐπίλογον ἐκ συστάσεως τοῦ οἰκείου, ἢ ἀντιστρόφως, ἢ καὶ ἀμφότερα ἐξ ἀμφοτέρων.

ζ) *Διαφέρει δὲ ἀλλήλων*· τὴν κοινωνίαν εἰπὼν καὶ τὰς διαφορὰς λέγει· διενηνόχασι δὲ πρῶτον μὲν τῇ τάξει, εἶτα οἷς ὁ Ἑρμογένης φησίν· ἐν μὲν γὰρ τοῖς προοιμίοις στρογγύλῃ καὶ συνεστραμμένῃ χρώμεθα τῇ φράσει· εὐθὺς γὰρ ὁ ἀκροατὴς παρελθὼν εἰς τὸ δικαστήριον παρεσκεύασται προθύμως καὶ ἀκριβῶς ἀκροᾶσθαι· ἐν δὲ τοῖς ἐπιλόγοις ὑφειμένῃ καὶ πρὸς τὸ λελυμένον ὁρώσῃ μᾶλλον· καὶ κομματικωτέροις κώλοις, ἤδη γὰρ κεκμηκότος τοῦ ἀκροατοῦ ἐκ τῶν ἀγώνων δεῖ τοῦτον ἀναπαύειν τῇ λελυμένῃ φράσει.

α) *Εἰσὶ δέ τινες*· τοῦτό φησιν, ὅτι τῶν στοχασμῶν οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ διπλοῖ, καὶ τῶν ἁπλῶν, ὡσαύτως δὲ καὶ τῶν διπλῶν καθ' ὑποδιαίρεσιν οἱ μέν εἰσι τέλειοι, οἱ δὲ ἀτέλειοι.

β) *Ἀτελὴς ἐκ μόνων*· τουτέστιν ᾧ τὸ πρόσωπον ἐλλείπει· ἀποροῦσι δέ τινες, πῶς δυνατὸν κρίσιν γίνεσθαι προσώπου ἐκλείποντος, καί φαμεν, ὅτι πάντη ἐκλείπειν ἀδύνατον, τούτου γὰρ μὴ ὄντος κατὰ τίνος ἡ ψῆφος ἐξενεχθήσεται; ἀλλ' ἐπειδὴ τὰ τοῦ προσώπου κεφάλαια ἐκλείπει, ὅταν ἀόριστον πρόσωπον ᾖ, διὰ τοῦτο ἀτελὴς ὁ στοχασμὸς λέγεται. Οὐ μὴν δὲ καὶ ἀτελὴς ἐκ πράγματος κατὰ τὸν Μινουκιανὸν γίνεται, τῷ γὰρ πράγματι τὸ μὲν τεκμήριον, τὸ δὲ κρινόμενον· τὸ μὲν οὖν κρινόμενον ἔγκλημα οὐδέποτε ἐκλείπει, τὸ δὲ

τεκ-

τεκμήριον ἔστιν ὅτε· διὸ καὶ ἀτελὴς στοχασμὸς ἐκ πράγματος γίνεται.

γ) Πρῶτον οὖν· συλλογίζεται ἐνταῦθα οὕτως· ἐν παντὶ στοχασμῷ δεῖ πάντως εἶναι σημεῖά τινα, εἰ δὲ σημεῖα, δῆλον ὅτι καὶ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, εἰ δὲ ταῦτα καὶ μετάθεσις αἰτίας καὶ πιθανὴ ἀπολογία. Πραγματικὰ δὲ ταῦτα κεφάλαια· οὐχ οἷόν τε δὲ πραγματικὰ εἶναι κεφάλαια μὴ κρινομένου τοῦ πράγματος. Φασὶ δέ τινες, ὅτι εἰ διπλοῦς ἀτελὴς ἐκ μόνων προσώπων εὑρίσκεται, τί τὸ κωλῦον, καὶ ἁπλοῦν εὑρεθῆναι τοιοῦτον; λέγομεν οὖν, ὅτι ἐπὶ τῶν διπλῶν ἡ περίστασίς ποιεῖ τὸ ἐλλείπειν, τὸ ἐξισάζειν δηλονότι τὰ πράγματα, ἐν δὲ τοῖς ἁπλοῖς διὰ τὸ μὴ πεφυκέναι τὴν ἰσότητα ταύτην γίνεσθαι· τὸ γὰρ ἴσως ἑτέρῳ τινὶ βούλεται ἴσον εἶναι, ἀλλ᾽ οὐχ ἑαυτῷ, διὰ τοῦτο οὐδὲ ἀτελὲς γίνεται· φύσει μὲν γὰρ ὕπεστι καὶ ἐν τοῖς διπλοῖς τὰ ἐγκλήματα, τῇ δὲ χρήσει οὐδαμῶς· ὃ γὰρ ἂν εἴπῃ κατὰ θάτερον ὁ ἕτερος, τοῦτο καὶ καθ᾽ ἑαυτοῦ ἔσται. Ἔτι φασὶν, ὅτι ἐάν τις ἀμείψῃ τὸ πρόσωπον καὶ ἀντὶ τοῦ ἀσώτου σώφρονα θῇ, τὸ πρᾶγμα οὐ κρίνεται, ὥστε ἀτελῆς ἐστιν ἐκ μόνου προσώπου. Φαμὲν οὖν, ὅτι οὐδὲν θαυμαστόν· καὶ γὰρ καὶ ἐπὶ τοῦ πράγματος ἂν τὸ αὐτὸ ποιήσωμεν, καὶ ἀντὶ τοῦ ἀφανὴς γέγονεν εἰς ἐμπορίαν πολλῶν εἰδότων ἀπεδήμησε θῶμεν, ἀσύστατον ἔσται τὸ πρόβλημα, γελοία οὖν ἡ ἐκείνων ἀπορία. Ἔτι φασὶν, ὅτι πρᾶγμά ἐστι τὸ πραχθὲν, τὸ δὲ μὴ πεπραγμένον οὐδὲ πρᾶγμα ἂν λέγοιτο· ὁ δὲ ἄσωτος οὐδὲν πεπραχὼς κρίνεται, πῶς οὖν μηδενὸς πραχθέντος πράγματος ἂν ὑποκείμενον εἴη; φαμὲν οὖν, ὅτι τὴν τρίτην ἔχει τάξιν ἐνταῦθα τῶν πραγμάτων, προτέρα μὲν γάρ ἐστιν, ἀφ᾽ ὧν αὐτός τις ποιήσας κρίνεται, δευτέρα δὲ, ἀφ᾽ ὧν ἕτεροι, καὶ ἄντικρυς εἰς ἡμᾶς ἀναφέρεται, τρίτη δὲ ἀφ᾽ ὧν ἕτεροι καὶ οὐκ ἄντικρυς εἰς ἡμᾶς ἀναφέρεται· φανερὸν δὲ, ὅτι μεγίστην μὲν

ἰσχὺν ἔχει τὰ πρότερα, ἐλάττω δὲ τὰ δεύτερα, ἐλαχίστην δὲ τὰ τρίτα· τὸ δὲ „τοῖς γε ἐπεσκεμμένοις“ περὶ τοῦ προῤῥηθέντος αὐτῷ φησιν, ἔνθα ἔλεγε, „θαυμάζω δὲ εἰ μὴ κρινομένου“ καὶ ἑξῆς.

δ) Διπλοῦς τέλειος· παρὰ τὰ τοιαῦτα εἴδη τῶν στοχασμῶν εὕρηνται καὶ ἕτερα, οἷον τὸ μονομερὲς, ὅταν δύο μὲν ἔχῃ τοὺς φεύγοντας, ἕνα δὲ τὸν κατήγορον, οἷον Αἰσχίνης καὶ Δημοσθένης ἥκοντες ἀπὸ τῆς περὶ τὸν Φίλιππον πρεσβείας εὕρηνται, ὁ μὲν χρυσίον κατορύττων, ὁ δὲ λόγον παραπρεσβείας γεγραφὼς, καὶ κρίνει αὐτοὺς Ὑπερίδης προδοσίας· ἕτερον, ὅταν ἓν πρόσωπον ἐπὶ δύο πράγμασι κρίνηται, ὁμοίοις ἢ διαφόροις· διαφόροις μὲν, ὡς τοῦτο· ἀνὴρ καὶ γυνὴ τὴν αὐτὴν νόσον ἐνόσουν, δέδωκέ τις ἰατρὸς ἀμφοτέροις τὸ αὐτὸ φάρμακον, τοῦ ἀνδρὸς τελευτήσαντος τὴν γυναῖκα ἔγημε, καὶ κρίνεται μοιχείας καὶ φόνου. Ὁμοίως δὲ, οἷον πένητος δολοφονηθέντος ἐκήρυξεν ὁ δῆμος τῷ μηνύσοντι τὸν φόνον χιλίας δώσειν, ἀντεκήρυξεν ὁ πλούσιος δώσειν δισχιλίας, εἰσῆλθέ τις αὐτὸν μηνύσων, ὁ δὲ αὐτὸν εἰς τὴν ὑστεραίαν ἀνεβάλετο, εὕρηται καὶ αὐτὸς δολοφονηθεὶς, καὶ κρίνεται ὁ πλούσιος ἐπ᾽ ἀμφοτέροις. Ἕτερον τὸ κατ᾽ ἀμφισβήτησιν, ὅπερ οὐκ ἔχει γεγονός τι ὑπὸ τῶν προσώπων, ἀλλ᾽ ἔξωθέν τι συμβεβηκὸς, οἷον ἀτελὴς παῖς ἀπεδήμησε· φήμη ἐγένετο, ὡς ἐτελεύτησε, καὶ ἀμφισβητοῦσι περὶ τοῦ κλήρου οἵ τε ἐπίτροποι καὶ οἱ κληρονόμοι· ἐνταῦθα σημεῖον οὐδὲν προφέρεται παρ᾽ αὐτῶν, ἀλλὰ τὴν φήμην διϊσχυρίζονται. Ἕτερον καὶ αὐτὸ κατ᾽ ἀμφισβήτησιν ἀπὸ δύο προσώπων διαφόρων καὶ δύο πραγμάτων, οἷον τύραννος ἐνόσει, ὑποπτεύσας τὸν ἴδιον ἰατρὸν μετεκαλέσατο ξένον· ἀνελθὼν δέδωκε φάρμακον ὡς ἀλεξιφάρμακον, κατελθὼν ἔφη τεθνήξεσθαι, τέθνηκε καὶ ἀμφισβητοῦσι περὶ τῆς δωρεᾶς. Εἰσὶ δὲ καὶ ἕτεροι συμπεπλεγμένοι καλούμενοι στοχασμοὶ διὰ τὸ ἑτέραις στάσεσι συμ-

πεπλέχθαι· ὧν πρῶτος οὗτος· μειράκιον ἔφη ἐντὸς τριάκοντα ἡμερῶν εὐπορήσειν ἢ πορνεύσειν, μεταξὺ τῶν ἡμερῶν τούτων κατέλιπεν αὐτὸν κληρονόμον τις, καὶ οὐκ ἐπόρνευσε, καὶ κρίνεται πορνείας· ὁ μὲν γὰρ κατήγορος ἐρεῖ, ὅτι ἐκήρυξας, καὶ ἐκ τούτου ἐπόρνευσας, ὁ δὲ φεύγων τῷ ὅρῳ ἀπολογήσεται, ὅτι οὐ τὸ κηρύξαι πορνεῦσαί ἐστι. Δεύτερος ὁ συγγνωμονικὸς, οἷον ὡραίου μειρακίου μητέρα λησταὶ ἔλαβον, καὶ ἀπελθόντος τοῦ μειρακίου ἐπὶ τῷ λυτρώσασθαι ἀφῆκαν τὴν μητέρα οἱ λησταὶ ἄνευ λύτρων, καὶ κρίνεται ἑταιρείας· τοῦ γὰρ κατηγόρου λέγοντος, διατί ἄνευ λύτρων ἀφῆκαν, ὁ φεύγων ἐρεῖ, ὅτι ἐλεήσαντες τὴν ἡλικίαν καὶ τὸ φιλόστοργον τῆς μητρὸς, καὶ εὐθὺς εἰς συγγνώμην πεσεῖται. Τρίτος ὁ δημοκόπιος, οἷον πρεσβευτὴς εἰσῆλθεν εἰς τὸν δῆμον μελανειμονῶν, καὶ ἐρωτηθεὶς ὑπὸ τοῦ δήμου, δι' ἣν αἰτίαν οὕτως ἔχει, ἔδειξέ τινα ὡς τὴν γυναῖκα αὐτοῦ μοιχεύσαντα, κατέλευσεν ὁ δῆμος τὸν δειχθέντα, καὶ μετὰ ταῦτα εὕρηται τῇ γυναικὶ συνοικῶν καὶ κρίνεται δημοκοπίων. Τέταρτος, ὁ ἐξ ἀπάτης δικαστῶν, οἷον ἐγράψατό τις τὴν γυναῖκα μοιχείας καὶ εἷλε, τελευταῖον ἔφη πρὸς τὴν γυναῖκα, ὡς οὐχ εἷλον, καὶ κρίνεται ἐξ ἀπάτης δικαστῶν· διαφέρει δὲ τοῦ δημοκοπίου, ὅτι ὧδε μετὰ λόγου καὶ κρίσεως, ἡ ἀπάτη γὰρ τῶν δικαστῶν, ἐκεῖ δὲ ἀπὸ κρίσεως μόνης, ἢ ἀποφάσεως ἑνὸς λόγου.

ε) Ἐνταῦθα ἡ μὲν τῶν· φύσει μὲν γὰρ ἔχει τὸ κεφάλαιον, ἐκλείπει δὲ διὰ τὸ ἐξισάζειν, ὥστε ἐν οἷς οὐκ ἰσάζει εὑρίσκεται· οἷον ἰατρῷ καὶ ἰδιώτῃ συνδιῃτᾶτό τις· τέθνηκεν ἐπὶ σημείοις φαρμάκων καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις τὸν φόνον, ὅ τε ἰδιώτης καὶ ὁ ἰατρός· ἐνταῦθα γὰρ ὁ μὲν ἰδιώτης ἀπαιτήσει τοὺς ἐλέγχους, τίς αὐτῷ δέδωκε τὸ φάρμακον, πόθεν ὠνήσατο, πῶς κατεσκεύασεν· ὁ δὲ ἰατρὸς οὐχ ἕξει ταῦτα ζητεῖν, τὸ γὰρ φάρμακα κατασκευάζειν παρὰ τῆς τέχνης ἔχει.

ς) Τὸ γὰρ διελεῖν· Τοῦτο μὲν διὰ τὸ ὕπτιον, ὡς αὐτός φησι, τοῦτο δὲ καὶ ὅτι δύο ἐδόκουν ἂν εἶναι λόγοι ἐφ' ἑνὶ ζητήματι, καὶ ὅτι διὰ μακροῦ ἐπελάθοντο ἂν τῶν πρότερον ῥηθέντων οἱ δικασταὶ, ὥσπερ εἰς ὕπνον κατενεχθέντες, ἐκεῖνος δὲ ἐσφιγμένος καὶ συγκεκροτημένος ὁ λόγος γίνεται τῷ παράλληλα πάντα κεῖσθαι καὶ σαφῆ ποιεῖν τὴν κατηγορίαν τῷ δικαστῇ· δεῖ δὲ τὰ κατηγορικὰ πρότερον λέγειν, εἶθ' οὕτως ἐπάγειν τοὺς ὑπὲρ ἡμῶν λόγους, κεφάλαιον κεφαλαίῳ ἀντιτιθέντας· τῇ τε γὰρ φύσει πᾶσα κατηγορία τῆς ἀπολογίας προηγεῖσθαι βούλεται· καὶ τοὺς δικαστὰς μᾶλλον προσέχοντας ἕξομεν, εἰ μὲν γὰρ εὐθὺς ἐπὶ τὴν ἀπολογίαν χωρήσομεν, δεδοικέναι δόξομεν καὶ τὰ κατηγορημένα βούλεσθαι λόγων ἀπάταις περικαλύπτειν· εἰ δὲ πρὸς τὴν ἐκείνων κατηγορίαν τραπέντες τὴν ὑπὲρ ἡμῶν ἀπολογίαν ἐν δευτέρῳ τάττοιμεν, ὥσπερ καταφρονοῦντες τῶν ἐπιφερομένων κατηγορημάτων θαῤῥεῖν τοῖς δικασταῖς δόξομεν. Ἰστέον δὲ, ὅτι καὶ πιθανώτερα δόξουσιν εἶναι τὰ λεγόμενα, ἐὰν ἀπὸ τῶν καθόλου ἐπιχειρῶμεν, εἶτα πρὸς τὸ μερικὸν εὐθὺς τὸν λόγον μετάγωμεν, ὡς Ἰσοκράτης ἐν τῷ ἀμαρτύρῳ πεποίηκεν· „οἶμαι δὴ πάντας εἰδέναι, ὅτι συκοφαντεῖν ἐπιχειροῦσι μάλιστα οἱ λέγειν μὲν δεινοὶ, βραχέα δὲ κεκτημένοι τοὺς ἀδυνάτους μὲν εἰπεῖν, ἱκανοὺς δὲ χρήματα τελεῖν. Νικίας τοίνυν Εὐθύνου πλείω μὲν ἔχει, ἧττω δὲ δύναται λέγειν. ὥστε οὐκ ἔστι, διότι ἂν ἐπήρθη ἐπ' Εὐθύνουν[1] ἐλθεῖν". Μεγάλην δὲ ἰσχὺν ἔχει τοῦτο, συναρπᾶσαι καὶ πεῖσαι τοὺς δικαστάς· συντιθέμενοι γὰρ τῷ καθόλου ἐξ ἀνάγκης καὶ τῷ μερικῷ πείθονται. Χρὴ δὲ μὴ τελείως ἐνδιατρίβειν τοῖς καθόλου, φιλοσόφων γὰρ τοῦτο, ἀλλ' εὐθὺς ἐπὶ τὸ προκείμενον μερικὸν ἰέναι.

α) Ἔστι παρὰ ταῦτα· ζητητέον, τί διαφέρουσιν οἱ

1 Ven. ἐπεύθυνον, correxi ex Isocr. πρὸς Εὐθύνουν p. 478. ed. Bekk.

συνεζευγμένοι τῶν διπλῶν, εἴπερ καὶ ἐν τοῖς συνεζευγμένοις καὶ ἐν τοῖς διπλοῖς διπλῆ γίνεται ἡ ζήτησις· φαμὲν οὖν, ὅτι τὸν μὲν διπλοῦν ἔνεστι διαλῦσαι εἰς δύο ἁπλοῦς καὶ ποιῆσαι δύο ζητήματα, δυνάμεθα γὰρ ἰδίᾳ καὶ τὸν Δημοσθένην ὡς προδότην κρῖναι, ἐπειδὴ χρυσίον κατώρυττε, καὶ αὖ πάλιν τὸν Αἰσχίνην, ἐπειδὴ λόγον περὶ παραπρεσβείας εὕρηται γεγραφώς· τὸν μέντοι συνεζευγμένον διαλύοντες, οἷον τὸν συγκατασκευαζόμενον, οὐ ποιοῦμεν ἁπλᾶ ἐξ αὐτοῦ προβλήματα, ἀλλὰ τὴν ὑπόθεσιν ἅπασαν διαφθείρομεν.

β) Καὶ ὁ μὲν ἐμπίπτων· ἐμπίπτοντος παράδειγμά ἐστι καὶ τοῦτο. πλούσιος καὶ πένης ἦσαν ἐχθροὶ τὰ πολιτικὰ, εὑρέθη ὁ πένης ἡμιθνὴς, καὶ σαφὲς μὲν περὶ τοῦ πεφονευκότος οὐδὲν ἔσχεν εἰπεῖν, μόνον δὲ τοῦτο, ὅτι σημεῖα πυρὸς ἐπὶ τῆς ὄψεως φέρει· συνέβη τῆς αὐτῆς νυκτὸς ἐμπρησθῆναι τὴν τοῦ πλουσίου οἰκίαν, εἶτα φανέντων ἐπὶ τῆς ὄψεως αὐτοῦ σημείων πυρὸς κρίνεται φόνου· ἔνθα μετὰ τὴν μετάθεσιν τῆς αἰτίας, ὅτι νῦν μοι τῆς οἰκίας ἐμπρησθείσης τουτὶ προσεγένετο, εὐθὺς ἕτερον ἐμπίπτει ζήτημα, πότερον τὰ σημεῖα τοῦ πυρὸς ἐκ τῆς δᾳδὸς ἢ τοῦ ἐμπρησμοῦ γέγονεν αὐτῷ· φαίη γὰρ ἂν ὁ κατήγορος, ἑκόντα αὐτὸν τὴν οἰκίαν ἐμπεπρηκέναι, ταύτην ἑαυτῷ τῶν ἐλέγχων ἀποφυγὴν μνηστευόμενον· εἶτα κατὰ τὴν τοῦ τεχνικοῦ διδασκαλίαν αὐτὸ κατασκευάσομεν. Ἴδιον δὲ τοῦ ἐμπίπτοντος τὸ ἀνεύθυνον καθεστάναι τὸ ἐμπίπτον ζήτημα, ἐν δὲ τοῖς ἄλλοις τῶν συνεζευγμένων ἑκάτερον τῶν ζητημάτων ὑπεύθυνόν ἐστιν, ἐν γὰρ τῷ ἐμπίπτοντι ἀνεύθυνόν ἐστι καθ' αὐτὸ ἥ τε τοῦ μοιχοῦ ἀναίρεσις, καὶ ὁ τῆς οἰκίας ἐμπρησμός.

γ) Διελεῖν τελείως· οὐ τελείως, ἀλλὰ μόνῃ τῇ ἐλέγχων ἀπαιτήσει, καὶ τῇ βουλήσει, καὶ τῇ δυνάμει, οὐ μὴν καὶ τοῖς ἐφεξῆς· οὐ γάρ ἐστιν ἐνταῦθα φανερόν τι σημεῖον, δι' οὗ ἂν ἐλεγχθῇ ἡ μοιχεία, ὡς καὶ μετάθε-

σιν αἰτίας καὶ πιθανὴν ἀπολογίαν ἔχειν· ταῦτα γὰρ πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους φέρεται, τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς μοιχείας ἐκλέλοιπεν. Ἰστέον δὲ καί, ὅτι ἐν τούτῳ τῷ εἴδει ὁ κατηγορῶν ἐν τῷ πρώτῳ ζητήματι ἐν τῷ δευτέρῳ κατηγορουμένου λαμβάνει πρόσωπον, διὸ καὶ αὐτὸς ἀπαιτήσει τοὺς ἐλέγχους. Προκατασκευαζόμενος δέ· οὗτος κοινωνεῖ τῷ ἐμπίπτοντι, καθόσον ἐπ' ἀμφοτέρων δύναται καὶ ἐλλείπειν ἡ ἀπὸ τοῦ προσώπου ζήτησις· ἐπὶ δὲ τοῦ προκατασκευαζομένου ἀνάγκη πᾶσα καὶ τὸ πρόσωπον καὶ τὸ πρᾶγμα ἐπιδέχεσθαι κρίσιν· διαφέρει δέ, ὅτι ἐν μὲν τῷ ἐμπίπτοντι τὸ δεύτερον ζήτημα ὕστερον ἐν τῇ μεταθέσει τῆς αἰτίας τοῦ προτέρου ἐμπίπτει, ἐπὶ δὲ τοῦ προκατασκευαζομένου τοὐναντίον· τοῦ γὰρ προηγουμένου ζητήματος τὸ δευτεραγωνιστοῦν προτερεύει τῇ τάξει καὶ πρότερον ἐξετάζεται· προηγούμενον μὲν γὰρ τὸ συνειδέναι τὸν πατέρα τοῖς παισί, πάρεργον δὲ τὸ τοὺς παῖδας εἶναι προδότας· διὰ τὸ πρότερον οὖν τοῦτο ἐξετάζεσθαι, προκατασκευαζόμενος λέγεται.

ε) Ὡς ὄν, ἢ οὐκ ὄν· ὂν μέν, ὡς ἀπὸ τοῦ κατηγόρου, οὐκ ὂν δέ, ὡς ἀπὸ τοῦ φεύγοντος· καλῶς δὲ καὶ τὸ „ὡς προδιδόντα." εἰ γὰρ δοίημεν, ὅτι προδόται, μονομερὲς ἔσται, ἐμβάλλει δὲ ἑαυτὸν ὁ φεύγων πρότερον εἰς τὴν ὑπὲρ ἑτέρων ἀπολογίαν πάντως, εἰ γὰρ ἐκείνην ψευδῆ ἀποδείξει, καὶ τὸ καθ' ἑαυτοῦ πάντως διαλύεται ἔγκλημα· ἐπεὶ γὰρ ὁ κατήγορος ἀμφότερα τὰ ἐγκλήματα ἀποδεῖξαι σπουδάζει, καὶ πρότερον ὅτι προδόται οἱ παῖδες, εἶθ' ὅτι καὶ ὁ πατὴρ σύνοιδεν, εἰ γὰρ μὴ ἐκεῖνο ἐλέγξει, οὐδὲ τοῦτο συνίσταται, εἰκότως καὶ ὁ φεύγων τῷ προτέρῳ πρότερον μάχεται· μὴ δυνηθεὶς δὲ ἐκεῖνο ψευδὲς ἀποδεῖξαι, τὴν ὑπὲρ αὐτοῦ λοιπὸν ποιεῖται ἀπολογίαν. Ἰστέον δέ, ὡς εἰ τὸ πρότερον ψευδὲς ἀποδείξας νικήσει, οὐδὲν ὑπὲρ ἑαυτοῦ πάντως εἰπεῖν αὐτῷ

δεήσει, καὶ τηνικαῦτα οὐκ ἔσται προκατασκευαζόμενος ἀλλ' ἁπλοῦς.

α) Ὅταν τὰ σημεῖα· πληθυντικῶς εἶπε σημεῖα, ἐπειδὴ πολλάκις ἀντιστρέφεται τὸ ἔγκλημα τῷ σημείῳ, καὶ πῆ μὲν τὸ ἔγκλημα τῷ σημείῳ φέρεται προκατασκευὴν, πῆ δὲ τὸ σημεῖον τοῦ ἐγκλήματος, οἷον πλούσιος καὶ πένης ἐχθροὶ τὰ πολιτικά· ὤμοσεν ἐν συμποσίῳ τυραννήσειν ὁ πλούσιος, ἀντώμοσεν ὁ πένης τυραννοκτονήσειν· εὑρέθη μετὰ ταῦτα ὁ πένης νεκρὸς ἀσκύλευτος, καὶ κρίνεται ὁ πλούσιος τυραννίδος ἐπιθέσεως· ἐνταῦθα τὸ μὲν ἔγκλημα, ὅτι τυραννήσει, τὸ δὲ τούτου σημεῖον, ὅτι τὸν πένητα διεχρήσατο, καὶ ἀντιστρέφεται ταῦτα κατ' ἀλλήλων· οἷον τυραννήσω, τῷ δῆλον; ἐφόνευσας γὰρ τὸν τυραννοκτονήσειν μέλλοντα, καὶ αὖθις, ἐφόνευσας τὸν πένητα· τῷ δῆλον; τυραννήσεις· γίνεται δὲ διάλληλος ἡ δεῖξις. Ἐπεὶ δέ φασί τινες, ὅτι οὐδέποτε δῆλον δήλῳ κατασκευάζεται, οὐδὲ ἀδήλῳ ἄδηλον, ἀλλὰ δήλῳ τὸ ἄδηλον, κἀνταῦθα εἰ μὲν καὶ ἀμφότερα δῆλα, τό τε τῆς μοιχείας καὶ τοῦ φόνου, πῶς δι' ἀλλήλων κατασκευάζεται; εἰ δὲ πάλιν καὶ ἄμφω ἄδηλα, γελοῖον τὸ τῆς ἀποδείξεως· πῶς γὰρ ὑποστήσεται τὸ ζήτημα δήλου τοῦ σημείου ὀφείλοντος εἶναι, ὡς ὁ τοῦ στοχασμοῦ φησιν ὅρος· καὶ ἔτι ἀνευθύνου· ἐνταῦθα γάρ τοι ὑπεύθυνον καὶ ὁ φόνος καὶ ἡ μοιχεία. Εὑρίσκεται μέν τοι κἀνταῦθα φανερὰ σημεῖα ἢ ὑπόνοια τοῦ ἀνδρὸς ἐπὶ τῇ μοιχείᾳ, τὸ λυθῆναι παρὰ τῆς γυναικὸς τὸν οἰκέτην· τὸ ἐν ἐκείνῳ τῷ καιρῷ τεθνάναι τὸν δεσπότην· ὥσπερ γὰρ ἐν τῇ παρὰ τοῖς φιλοσόφοις διαλλήλῳ δείξει ἀσαφεῖ οὔσῃ, ἄν τι προστεθῇ σαφὲς, διαλύεται ἡ ἄγνοια, οἷον εἴ τις ἀγνοοῦντι μὲν, ἔνθα Δίων ἢ Θέων κατοικεῖ, ἐπισταμένῳ δὲ, ὅπου Πλάτων, λέγει, Δίωνα οἰκεῖν ἔνθα Θέων, καὶ Θέωνα ἔνθα Δίων, εἰ μὲν μέχρι τούτου μόνου σταίη, διάλληλός ἐστιν ἡ δεῖξις· εἰ δὲ προσθείη τὸ

τὸν Δίωνα ἢ Θέωνα οἰκεῖν, ἔνθα Πλάτων, σαφὴς τοῦ λόγου ἀπόδειξις γίνεται, οὕτω καὶ ἐπὶ τῶν συγκατασκευαζομένων, εἰ μὲν ὁ φόνος καὶ ἡ μοιχεία ἀλλήλων ἦν μόνα σημεῖα, ἀσύστατον ἂν ἦν τὸ πρόβλημα, νυνὶ δὲ καὶ ἑτέρα τούτων ἐστὶ φανερὰ σημεῖα τὰ προῤῥηθέντα. Ἰστέον δὲ, ὅτι ἐν τοῖς οὕτως ἀμφισβητουμένοις οὐ χρὴ ἀπὸ τῶν ἀδήλων σημείων ἄρχεσθαι τῆς κατασκευῆς, κἂν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους οὕτως ἀπαιτῇ, οὐ γὰρ εὐπαράδεκτον τοῦτο τῷ δικαστῇ, ἀλλ' ἀπὸ τῶν ὁμολογουμένων ἐπὶ τὰ ἀσαφῆ ἔρχεσθαι δεῖ, ὥσπερ Πλάτων ἐποίησεν ἐν τῷ περὶ ψυχῆς· [2] ζητήσεως γὰρ οὔσης, εἰ τὰ ἐν Ἅιδου βελτίω, λαμβάνει ἐκ τῶν κύκνων ἐπιχείρημα· καὶ εἰ μὲν τῇ τάξει τῆς ἀναλύσεως εἵπετο, τοῦτον ἂν προήνεγκε τὸν τρόπον, ὅτι οἱ κύκνοι μέλλοντες τελευτᾷν ᾄδουσιν ὑφ' ἡδονῆς διαφερόντως ἢ πρότερον· τὴν δὲ ἡδονὴν αὐτοῖς ποιεῖ τὸ προειδέναι τὴν ἐκεῖ διατριβὴν, ἴσασι δὲ, ὅτι μαντικοὶ, τὴν δὲ μαντικὴν ἔχουσιν, ὅτι ἱεροὶ Ἀπόλλωνος, ὁ δὲ Ἀπόλλων μαντικὸς, καὶ οὕτως ἂν ἀπὸ τοῦ ἀμφισβητουμένου, ὅπερ ἐστὶ βελτίονα εἶναι τὴν ἐν Ἅιδου διατριβὴν, ἐπὶ τὸ ὁμολογούμενον ἦλθεν, ὅτι μαντικὸς ὁ Ἀπόλλων, νυνὶ δὲ τοὐναντίον ἐποίησεν, ἐκ τοῦ ὁμολογουμένου ἀρξάμενος, φησὶ γὰρ, „ἀλλ' οὔ τι μοι ταῦτα φαίνεται λυπούμενα ᾄδειν, οὔτε οἱ κύκνοι, ἀλλ' ἅτε, οἶμαι, τοῦ Ἀπόλλωνος ὄντες, μαντικοί τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ, ᾄδουσί τε καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ πρόσθεν. Ὁμοίως καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου ἐποίησεν, αἰτίας γὰρ ἐπιφερομένης αὐτῷ, ὡς εἴη γεγονὼς τῆς εἰρήνης αἴτιος, οὐκ ἀπήντησεν ἄντικρυς, ὡς οὐκ αὐτὸς ἀλλ' ἡ πόλις αἰτία τῆς εἰρήνης· ἔλεγε γὰρ ἂν οὕτως, ὅτι τῆς εἰρήνης ἡ πόλις αἰτία, ταύτην δὲ ἐποιήσατο, ἐπειδὴ ἐμνησικάκει τοῖς Ἕλλησι· πόθεν δὲ ἐμνησικάκει; ὅτι οὐδὲ

2 Phaed. p. 85.

σώμασιν οὐδὲ χρήμασιν αὐτῇ συνελαμβάνοντο. Καὶ τοῦτο πόθεν; ἐπειδὴ πρὸς ἀλλήλους ἐστασίαζον· τί δὲ τὸ τῆς στάσεως αἴτιον; ταράττων ὁ Φίλιππος· πόθεν δὲ ἡ ταραχή; ἐκ τοῦ Φωκικοῦ πολέμου· τοῦτο δὲ οὕτως εἰ ἐποίησεν, εὐθὺς ἂν προσέκρουσε τοῖς δικασταῖς· νυνὶ δὲ ἀπὸ τοῦ ὁμολογουμένου Φωκικοῦ πολέμου ἀρξάμενος προῆλθε κατὰ μέρος καὶ ἐπ' αὐτὴν μετάστασιν, ὅτι ἡ πόλις αἰτία τῆς εἰρήνης· φησὶ γοῦν,[3] τοῦ γὰρ Φωκικοῦ καταστάντος πολέμου καὶ ἑξῆς.

β) Τό τε γὰρ ὑπὸ τοῦ οἰκέτου· οὐ καλῶς εἴρηκεν ἐνταῦθα δι' ἀλλήλων εὐθὺς δείκνυσθαι τὰ ἀφανῆ, τόν τε φόνον καὶ τὴν μοιχείαν· ἄλογος γὰρ ἡ τοιαύτη δεῖξις· ἀλλ' ἐπεὶ δεῖ ἐν παντὶ στοχασμῷ ἀπό τινος φανεροῦ σημείου τὸν τοῦ ἀφανοῦς καὶ κρινομένου ἔλεγχον γίνεσθαι, φανερὰ δὲ σημεῖά ἐστιν ἐνταῦθα, ἥ τε ὑποψία τῆς μοιχείας, ἀλλ' οὐχ ἡ μοιχεία, καὶ τὸ λελῦσθαι τὸν οἰκέτην, διὰ μὲν τούτων κατασκευάζεται τὸ τὸν δεσπότην ὑπ' ἐκείνου ἀνῃρῆσθαι,[4] διὰ δὲ τοῦ ἀνῃρῆσθαι οὐκέτι ἡ ὑποψία τῆς μοιχείας· τίς γὰρ χρεία τῆς τοῦ φανεροῦ κατασκευῆς, ἀλλ' ἡ μοιχεία αὐτή, ὥστε οὐκ ἔστι κυρίως ἡ δεῖξις διάλληλος, ἀλλὰ τεσσάρων ὄντων τούτων, δύο μὲν φανερῶν, τῆς ὑποψίας καὶ τοῦ λελῦσθαι, δύο δὲ ἀφανῶν, τοῦ φόνου καὶ τῆς μοιχείας, διὰ μὲν τῶν φανερῶν θάτερον τῶν ἀφανῶν κατασκευάζεται, διὰ δ' ἐκείνου, ὡς ἤδη φανεροῦ γεγονότος, τὸ λοιπὸν ἀφανές· τὸ γὰρ ἀφανὲς οὐχ ὡς ἀφανὲς μεῖναι κατασκευάζεται, ἀλλ' ὡς φανερὸν γενέσθαι. Διαφορὰ δὲ προκατασκευαζομένου καὶ συγκατασκευαζομένου, ὅτι ἐν ἐκείνῳ μὲν κεχώρισται ἀλλήλων τὰ ζητήματα, καὶ ἑκάτερα ἰδίᾳ κατασκευάζεται, ἐνταῦθα δέ, εἰ καὶ ὅτι μάλιστα καὶ τοῦτο δυνατόν, ἀλλ' οὖν συμπέπλεκται καὶ δι' ἀλλήλων κατασκευάζεται.

---

3 p. 230. 4 Cod. διῃρῆσθαι.

γ) Ὁ ἀπὸ γνώμης· ἀπὸ γνώμης καλεῖται, ὅτι οὐχ ἡ πρᾶξις κἀνταῦθα ζητεῖται, ὡς κἀν τοῖς ἄλλοις, ἢ τὸ πρόσωπον, δῆλα γάρ, ἀλλ' ἡ γνώμη μόνη· ἐν μὲν γὰρ τοῖς ἄλλοις στοχασμοῖς ἡ γνώμη, τουτέστιν ἡ βούλησις, πρὸς πίστιν ἑτέρου παραλαμβάνεται, ἐνταῦθα δὲ πάντα τὰ ἄλλα πρὸς ἀπόδειξιν τῆς γνώμης, καὶ δῆλον μὲν ἐνταῦθα σημεῖον ὁ φόνος, ἔγκλημα δὲ ἄδηλον καὶ ζητούμενον εἰ ἐμάνη. Ἰστέον, ὡς ἐν μὲν τοῖς ἄλλοις στοχασμοῖς διὰ τὰ ἀφανὲς κρίνεται ὁ κρινόμενος, ὡς ἐὰν ἐπ' ἐκείνῳ ἁλῷ, δι' αὐτὸ δίκην δώσων, ἐνταῦθα δὲ διὰ τὸ φανερὸν, οὐ γὰρ ἂν ἁλῷ ἐπιπλάστως μανεῖσα, διὰ τὴν πλάσιν τῆς μανίας δώσει τὴν δίκην, ἀλλὰ διὰ τὸν φόνον· εἰ δέ τις βαθύτερον ἐξετάζει τὸ πρόβλημα, φανερὸν μὲν κἀνταῦθα σημεῖον, ὡς κἀν τοῖς ἄλλοις στοχασμοῖς τὸ τὸν μὲν υἱὸν τρῶσαι, τὸν δὲ πρόγονον νεκρὸν ποιῆσαι· ἀφανὲς δὲ τὸ, εἰ ἐφόνευσεν, εἰ μὲν γὰρ ἐμάνη, οὐκ ἐφόνευσεν, εἰ δὲ οὐκ ἐμάνη, ἐφόνευσεν, ὥστε κἀνταῦθα τὸ εἰ ἐφόνευσε ζητεῖται, ἀλλ' οὐχ ἁπλῶς τὸ εἰ ἐμάνη ἢ οὔ, ὥστε οὐ περὶ τὸ νεκρὸν ποιῆσαι τὸν πρόγονον κρίνεται, ἀλλ' εἰ ἐφόνευσε· τὸ γὰρ φονεύειν τῶν ἑκουσίως ποιούντων ἐστίν. Οὐ συνέταξε δὲ τοῦτον οὔτε τοῖς διπλοῖς, ἁπλοῦς γάρ, οὔτε τοῖς ἁπλοῖς, ἐπειδήπερ ἐν μὲν ἐκείνοις, ὡς ἔφαμεν, ἡ γνώμη πιστωτικὴ τοῦ ζητουμένου, ἐν δὲ τούτῳ τὰ ἄλλα τῆς γνώμης.

δ) Τάχα δ' ἄν· δείκνυσι διὰ τούτου, ὅτι καὶ περὶ τῶν ἄλλων εἰδῶν οὐ προηγουμένως διέλαβεν, ἀλλὰ διὰ τὴν τῶν κεφαλαίων διαίρεσιν, διάφορον ἐν αὐτοῖς εὑρισκομένην. Εὑρίσκεται μέντοι καὶ ἕτερον εἶδος στοχασμοῦ, τὸ κατ' ἀξίωσιν· πᾶς γὰρ στοχασμὸς, μᾶλλον δὲ ἅπας ἀγὼν δικανικὸς ἢ κατὰ φυγὴν καὶ δίωξιν γίνεται, ὡς πάντα τὰ προκείμενα εἴδη, ἢ κατὰ αἴτησιν καὶ ἀξίωσιν· τούτου δὲ εἴδη δύο, τό τε παράδοξον καὶ τὸ κατὰ αμ-

φισβήτησιν· παράδοξον μέν, οἷον μάγος ἐπηγγείλατο τύραννον ἀναιρήσειν τεττάρων ἐντὸς ἡμερῶν· μεταξὺ κεραύνῳ βληθεὶς ὁ τύραννος ἐτελεύτησε, καὶ ἀξιοῖ λαβεῖν ὁ μάγος τὴν δωρεάν. Καθὰ μὲν γὰρ οὐσιωδῶς ζητοῦμεν, πρᾶγμα ἄδηλον ἀπό τινος φανεροῦ σημείου στοχασμός ἐστι, καθὸ δὲ ἡ τάξις ἀντέστραπται, παράδοξος, ἐν παντὶ γὰρ στοχασμῷ τοῦ διώκοντος τὴν κατάθεσιν ἔχοντος καὶ πρώτου λέγοντος, τοῦ δὲ φεύγοντός τὴν ἄρνησιν, ἐνταῦθα τοὐναντίον γίνεται· ὁ μὲν γὰρ διώκων ἐρεῖ, ὡς οὐκ ἐφόνευσας, ὁ δὲ φεύγων τοῦ πεφονευκέναι ἀνθέξεται, καὶ ἡγήσεται ἡ ἄρνησις τῆς καταφάσεως. Τὸ δὲ κατὰ ἀμφισβήτησιν, οἷον· τύραννος τὸν ἑαυτοῦ ἰατρὸν ὑποπτεύσας ἐπὶ δηλητηρίῳ τὸν τῆς πόλεως μετεπέμψατο, ἀνελθόντος ἐκείνου ὁ τύραννος ἐτελεύτησεν, ἀμφισβητοῦσι περὶ τῆς δωρεᾶς.

## Περὶ ὅρου.

α) Ὁ ὅρος. Ὅρος καλεῖται πενταχῶς· τὸ τέλος, οἷον ὅρος τοῦ σώματος ἡ ἐπιφάνεια· τὸ χωρίζον ἀπ' ἀλλήλων τὰ χωρία, ὡς ὅταν λέγωμέν τινας περὶ γῆς ὅρων μάχεσθαι. Ὅρος ὁ τὴν ἑκάστου οὐσίαν περιλαμβάνων λόγος, οἷον ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητόν, ὅρος καὶ εἰς ἃ διαλύεται ἡ πρότασις, ὅρος καὶ ἡ παρὰ τοῖς ῥήτορσι στάσις, περὶ ἧς νῦν διέξιμεν. Διαφορὰ δὲ τοῦ τε ῥητορικοῦ ὅρου καὶ τοῦ παρὰ τοῖς φιλοσόφοις, τοῦ τὴν τοῦ πράγματος οὐσίαν περιλαμβάνοντος, ὅτι ὁ μὲν περὶ ὀνομάτων καταγίνεται, τὸ πρᾶγμα ὁμολογούμενον ἔχων, ὁ δὲ παρὰ τοῖς φιλοσόφοις οὐχ οὕτως, οὐ γὰρ ἐπειδὰν τὸν ἄνθρωπον ὁρίζηται, τὴν φωνὴν αὐτὴν ὁρίζεται, ἀλλὰ τὸ δηλούμενον ὑπ' αὐτῆς εἶδος· δεύτερον τὸ τὴν ἀρετὴν τοῦ διαλεκτικοῦ ἐν μοίρᾳ κακίας ἔχειν τὸν ῥητορικόν· τοῦ γὰρ διαλεκτικοῦ ἀρετὴ τὸ μήτε πλεονάζειν μήτε ἐλλείπειν, ὅπερ εἰ συμβαίη τῷ ῥητορικῷ, τῶν

ἀσυστάτων αὐτὸν ποιεῖ· εἰ γὰρ μηδὲν ἐλλείπει πρὸς τὸ εἶναι τόδε τι ἀσέβειαν ἢ ὕβριν, ὁμολογούμενον γίνεται καὶ οὐκέτι ὅρος ἐστί. Τρίτον, ὅτι ὁ μὲν ῥητορικὸς καὶ τὰ παρειμένα καὶ τὰ πεπραγμένα παραλαμβάνει, ὁ δὲ διαλεκτικὸς μόνα τὰ γινόμενά τε καὶ ὄντα. Τέταρτον τὸ τὸν μὲν διαλεκτικὸν ἀντιστρέφειν πρὸς τὸ ὁριστὸν, τὸν δὲ ῥητορικὸν ἀεὶ τὴν ἀναστροφὴν διαφεύγειν· οὐ γὰρ ἔνεστιν ἀναστρέψαντα φάναι οὐδέτερον, οὔθ' ὅτι, εἴ τι κλοπὴ, τοῦτο ἐξ ἱεροῦ χρημάτων ἐστὶν ἰδιωτικῶν ὑφαίρεσις· πολλῷ [1] γὰρ μᾶλλον κλοπή ἐστι τὸ ἐξ οἰκίας ἰδιωτικῆς ὑφελέσθαι χρήματα, οὔθ' ὅτι πᾶσα ἱεροσυλία τὸ ἐξ ἱεροῦ συλῆσαι χρήματα ἱερά. Ἔστι δὲ τὸ τέλος τοῦ παρὰ τοῖς ῥήτορσιν ὅρου γένεσις καὶ ἀρχὴ τοῦ διαλεκτικοῦ· ἐπειδὰν γὰρ προέλθῃ ζητῶν ὁ ῥητορικὸς, καὶ ἀποδεικνὺς διὰ πάντων, τότε παραλαβὼν τὸ ἀποδεδειγμένον ὁ διαλεκτικὸς ὁριεῖται, δηλῶν ἡμῖν ἐκ ψιλῆς ἀποφάσεως τὴν φύσιν αὐτοῦ, ὥστε ὁ μὲν διαλεκτικὸς ὅρος ἐστὶν ὁ τὸ τί ἦν εἶναι δηλῶν, ὁ δὲ ῥητορικὸς ὅ τι δεῖ τὸ πραχθὲν ὀνομάσαι ζητῶν. Ἰστέον δὲ, ὅτι ἐν παντὶ πράγματι πρῶτον τὸ εἰ ἔστι ζητοῦμεν, ὅπερ ὁ στοχασμὸς περιέχει· δεύτερον δὲ τὸ τί ἐστιν, οὗ τὴν ζήτησιν ὁ ὅρος περιέχει· διὰ τοῦτο δὲ καὶ μετὰ τὸν στοχασμὸν τέτακται, τρίτον δὲ τὸ, ὁποῖόν τί ἐστιν, ὅπερ αἱ λοιπαὶ πᾶσαι περιέχουσι στάσεις.

β) Προβολῇ. Προβολὴ [2] ὠνόμασται ἀπὸ μεταφορᾶς τῆς Ἀθήνησι δίκης οὕτω καλουμένης, [3] ὡς ὁ Δημοσθένης· „καὶ προὐβαλόμην ἀδικεῖν τουτονὶ περὶ τὴν ἑορτὴν", τουτέστι τῇ προβολῇ κατ' αὐτοῦ ἐχρησάμην·

---

1 Par. πολλή. 2 Idem in Vol. VII. c. XVII. δ. 3 Vol. VII. addit: κατὰ τῶν ἐν ταῖς ἑορταῖς ἀδικούντων, ὡς καὶ Δημ. Paullo post: Mon. 8. προὐβαλόμην. ut Dem. in Mid. init. Par. 2977. 2926. προὐβαλλόμην.

ὥσπερ καὶ ἡ ἔνδειξις καὶ ἡ φάσις [4] καὶ ἡ εἰσαγγελία καὶ ἡ ἐξούλης ὀνόματα δικῶν [5] ὑπῆρχον παρ᾽ αὐτοῖς. Εἴρηται δὲ προβολὴ διὰ τὸ [6] πρότασιν ἔχειν τοῦ πράγματος καὶ ὥσπερ προτείνειν τοῖς δικασταῖς, περὶ οὗ αὐτοὺς δεῖ κρῖναι, [7] ἢ ἀπὸ τοῦ προβεβλῆσθαι τῶν ἄλλων κεφαλαίων.

γ) Ὅρῳ. Ὁμώνυμον τῇ στάσει κεφάλαιον· εὐθὺς μετὰ τὴν προβολὴν ὁ ὅρος, ἐπειδὴ λύσις ἐστὶν οὗτος αὐτῆς. Ἀνθορισμῷ· οὐδὲν ἕτερόν ἐστιν ὁ ἀνθορισμὸς ἢ καὶ αὐτὸς ὁ ὅρος· ἀμφότεροι γὰρ ὁρίζονται τὸ πεπραγμένον, καὶ ὁ φεύγων καὶ ὁ διώκων. Γνώμη νομοθέτου· οἷον ὅτι καὶ ὁ νόμος καὶ ἡ γνώμη τοῦτο βούλεται. Πηλικότητι· τὰ μὲν ἄλλα τῶν ἐν τῷ ὅρῳ καφαλαίων ἀποδεικτικά ἐστι, τὸ δὲ πρός τι καὶ ἡ πηλικότης αὐξητικά· προτάττεται δὲ ἡ πηλικότης τοῦ πρός τι, ὅτι ἡ μὲν ἁπλοῦν τί ἐστιν, οἷον τόδε τι γέγονε, τὸ δὲ πρός τι συγκριτικῶς αὐξάνει. Προηγεῖται δὲ τὰ ἁπλᾶ τῶν συγκριτικῶν. Μιᾷ τῶν ἀντιθετικῶν. Ῥητέον οὖν, ὅτι μετὰ τὴν ἀπόδειξιν τοῦ πράγματος φανέντος λοιπὸν τελείου διὰ τῶν ὁρικῶν κεφαλαίων, τότε χώραν ἔχει μία τῶν ἀντιθετικῶν· πότε δὲ ἐμπίπτει, δῆλον ἐντεῦθεν· αἱ ὁρικαὶ στάσεις ἢ εἰς πρᾶγμα ἔχουσι τὴν ἀναφορὰν, ἢ εἰς πρόσωπον, ἢ εἰς ἐνέργειαν· εἰς πρᾶγμα μὲν, ὡς ὁ κενοτάφιον διορύξας καὶ κρινόμενος τυμβωρυχίας. εἰς πρόσωπον δὲ, ὡς ὁ τὸν εὐνοῦχον ἀνελὼν ὡς μοιχὸν καὶ κρινόμενος φόνου· εἰς ἐνέργειαν δὲ, ὡς ὁ ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα κλέψας καὶ κρινόμενος ἱεροσυλίας· τού-

---

4 καὶ ἡ φάσις T. VII. om. 5 T. VII. ὄνομα διώκων ὑπηρχε παρ᾽ αὐτοῖς· προβολὴ δέ ἐστι τῶν εἰρημένων ἐν τῇ καταστάσει σύντιμος ἀπόφασις. 6 Mon. 8. τὸ τήν. 7 Mon. 8. κρίνεσθαι. Pro sqq. ἢ ἀπὸ — κεφαλαίων T. VII. habet: καὶ ἔστιν ἡ προβολὴ κυρίως τὸ συνέχον.

των οὖν οὕτως ἐχόντων, ὅταν εἰς πρόσωπον ἀναφέρηται ὁ ὅρος, ἐμπίπτουσιν αἱ ἀντιθετικαὶ, ἐν δὲ τοῖς ἄλλοις οὐδαμῶς.

δ) Ἡ προβολή ἐστιν, ἀντὶ τοῦ ἡ προβολὴ ἔχει αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, τουτέστι διήγησιν τῶν γεγενημένων, οὐ κατασκευαστικῶς ἀλλ' αὐξητικῶς, καὶ ὅπερ ἐν στοχασμῷ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, τοῦτο ἐν ὅρῳ ἡ προβολή. Διαφέρει δὲ, ὅτι ἐκεῖ μὲν σημεῖα ταῦτα τοῦ ἐγκλήματος ἦν ἀνεύθυνα, ἐνταῦθα δὲ ὡς ὑπεύθυνα ὑπὸ τοῦ κατηγόρου προβάλλεται· κατασκευάζομεν δὲ τὴν προβολὴν ἐκ τῶν περιστατικῶν, οἷον τίς ὢν ἐτυπτήθη καὶ ὑπὸ τίνος; ὅτι χορηγὸς καὶ ὑπὸ ἰδιώτου· ποῦ; ἐν θεάτρῳ. πότε; ἐν ἱερομηνίᾳ, καὶ τὰ τοιαῦτα· δεῖ μέντοι μετρίως τοῦτο ποιεῖν· τὴν γὰρ τελείαν αὔξησιν τῇ τε πηλικότητι καὶ τῷ πρός τι φυλάξομεν. Δεῖ δὲ τὴν προβολὴν εὐθὺς ἐπισυνάπτειν τῇ διηγήσει, τὰ γὰρ ψιλῶς ἡμῖν ἀφηγημένα διὰ τῆς προβολῆς ἀνακεφαλαιουμένους αὔξειν προσήκει, ὥστε ἡ διήγησις προςλαμβάνουσα πῇ μὲν τὸ ἀποδεικτικὸν, πῇ δὲ τὸ αὐξητικὸν ἀποτελεῖ τὰ ἀπ' ἀρχῆς ἄχρι τελους καὶ τὴν προβολήν. Γίνεται δὲ ἡ προβολὴ ἐκ τῶν πεπραγμένων, ἀεὶ οὖσα τοῦ κατηγόρου, καὶ γὰρ καὶ ἐν τοῖς κατὰ ἀξίωσιν ὅροις ὁ τὴν δωρεὰν αἰτῶν κατηγόρου τάξιν ἐπέχει. Ἔστι δὲ τῶν ἐν τῷ παραδείγματι τοῦ ἱεροσύλου πραγμάτων τὰ μὲν ἱεροσύλου ἴδια, τὰ δὲ κλέπτου, τὰ δὲ ἀμφοτέρων· ἱεροσύλου μὲν ἴδια ἀναθημάτων ἅψασθαι, εἰς τοὺς θεοὺς ἐνυβρίσαι, κλέπτου δὲ τὸ χρήμασιν ἰδιωτικοῖς ἐπελθεῖν, ἀνθρώπους ἀδικῆσαι· κοινὸν δὲ ἀμφοτέρων τὸ βουλεύσασθαι, τὸ προσελθεῖν, τὸ ὑφελέσθαι, τὸ πειρᾶσθαι λαθεῖν. Ταῦτα τοίνυν τὰ κοινὰ ὁ κατήγορος προβαλλόμενος κατασκευάζει τὴν ἱεροσυλίαν λέγων· ἐβουλεύσω, εἰσῆλθες εἰς τὸ ἱερὸν, ὑφείλου, ἱερόσυλος ἄρα εἶ· ὁ δὲ φεύγων χωρίζει τὸ πρᾶγμα καὶ ἐκ τῶν ἰδίων τῷ ἱεροσύλῳ κατασκευάζει μὴ εἶναι ἱερόσυλος,

λέγων, οὐχ ἡψάμην τῶν ἀναθημάτων, οὐκ ἐνύβρισα τοῖς ἱεροῖς· τῇ δὲ τοιαύτῃ μεθόδῳ καὶ ἐπὶ παντὸς ὅρου χρηστέον. Δυνάμεθα δὲ καὶ ἀντιφατικῶς οὕτως εἰπεῖν, εἰ ὁ χρήματα ἱερὰ ὑφελόμενος ἱερόσυλος, ὁ ἰδιωτικὰ κλέψας οὐχ ἱερόσυλος· καὶ πάλιν ἐκ τοῦ ἐναντίου· εἰ ὁ χρήματα ἱερὰ ἐξ ἰδιωτικῆς κλέψας οἰκίας ἱερόσυλος, οὐκοῦν ὁ ἐξ ἱεροῦ ἰδιωτικὰ κομισάμενος οὐχ ἱερόσυλος. Ἰστέον δὲ, ὅτι ἐν μὲν τῷ στοχασμῷ κατὰ τὸ [8] μέσον τῶν κεφαλαίων τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τίθεται, ἐν δὲ τῷ ὅρῳ κατ' ἀρχάς· ὁ μὲν γὰρ στοχασμὸς ἀφανὴς ὤν, ἀδυνάτους ἔχει τὰς κατηγορίας, ὁ δὲ ὅρος καὶ αἱ λοιπαὶ στάσεις φανεραὶ οὖσαι δυνατὰς ταύτας ἔχουσιν.

ε) Ὁ ὅρος· ἐν τοῖς ἀτελέσι τῶν πραγμάτων ὁ διώκων καὶ ὁ φεύγων τοὺς λόγους μερίζονται, καὶ ὁ μὲν ἔχει τὰ παρειμένα ὁ φεύγων, ὁ δὲ ἐκ τῶν πεπραγμένων τὴν κατηγορίαν ποιεῖται· ἑκάτερος μέντοι τὸν οἰκεῖον ὅρον ἐκ τῶν περιστατικῶν παρέχεται. Πρὸς τὴν ἰδίαν βούλησιν μετὰ τοὺς λόγους· καὶ τούτῳ γὰρ διαφέρει ὁ διαλεκτικὸς ὅρος τοῦ τῶν ῥητόρων, ὅτι ὁ μὲν ἐξ ἀληθείας ὥρμηται καὶ τῶν πραγμάτων, ὁ δὲ τῶν ῥητόρων ἐκ [9] βουλήσεώς τε καὶ τοῦ συμφέροντος. Ἀπορήσειε δ' ἄν τις, εἰ μὴ καὶ ἐν τῇ προβολῇ ὁ κατήγορος ὁρίζεται τὸ ἔγκλημα· καί φαμεν, ὅτι ἐν μὲν τῇ προβολῇ μερικῇ προάγει τὸν ὅρον λέγων· εἴπερ εἰσῆλθες εἰς τὸ ἱερὸν, καὶ τὰ τυχόντα χρήματα ἐκεῖθεν ὑφείλου, ἱερόσυλος εἶ· ἐν δὲ τῷ ἀνθορισμῷ καθόλου τὸν ὅρον προφέρει λέγων· πᾶς ὁ εἰς ἱερὸν εἰσελθὼν κἀκεῖθέν τι ὑφελόμενος ἱερόσυλος.

ϛ) Ὁ συλλογισμός. Ὁ συλλογισμὸς ἴσον μὲν ἀποφανεῖ τόδε τῷδε, ὅταν τὰ παρειμένα μὴ λίαν διεστηκότα ᾖ· τὸ γὰρ ἐπανατείνασθαι συνεχῶς κατά τινος τὰς χεῖρας ἴσον ἐροῦμεν τῇ διὰ τῶν πληγῶν ὕβρει· εἰ δὲ

8 Par. τῶν. 9 ἐκ Cod. om.

σφόδρα διΐσταται, οὐκέτι χώραν ἔχει ἡ συναγωγή, ὡς ἐπὶ τοῦ παραδείγματος τοῦ κατὰ σύλληψιν ὅρου. Ἐνταῦθα γὰρ ὁρίζεται μὲν ὁ κατήγορος, τί ἴδιον τοῦ δημοσίᾳ τὴν πόλιν ἀδικοῦντος· ὁρίζεται δὲ καὶ ὁ φεύγων, ὅτι ναῦς προδιδόναι, ὁπλίτας· ἀλλ' ἐν τῷ συλλογισμῷ ὁ κατήγορος οὐ δύναται συνάγων εἰπεῖν, ὅτι ἴσον ἐστὶ τὸ βιάσασθαι τὴν τοῦ στρατηγοῦ θυγατέρα τῷ λιμένας καὶ τείχη προδοῦναι· δοκεῖ γάρ πως ἀναίσχυντον εἶναι. Μεθοδεύσει οὖν καὶ ἐρεῖ, ὡς οὐδὲν διαφέρει τοιῶςδε ἢ τοιῶςδε τὴν πόλιν ἀδικεῖν, καὶ τοῦτο γὰρ δημόσιόν ἐστιν ἀδίκημα, τὸ [10] γὰρ εἰς τὸν στρατηγὸν εἰς τὴν πόλιν ἀναφέρεται· ἀγωνιεῖται οὖν ὁ συλλογισμὸς, μηδὲν διαφέρειν ἀλλήλων τά τε πεπραγμένα καὶ τὰ παρειμένα· διαφέρει δὲ ὁ συλλογισμὸς τοῦ ἀνθορισμοῦ, καίτοιγε ἀμφοτέρων τῷ ὅρῳ ἐναντιουμένων, ὅτι ὁ μὲν ἀνθορισμὸς κατὰ [11] ἔνστασιν εἰσάγεται, ὁ δὲ συλλογισμὸς κατὰ ἀντιπαράστασιν· καὶ ὅτι ὁ μὲν ἀνθορισμὸς ἐκ τοῦ ὀνόματος τὴν πρὸς τὸν ὅρον μάχην ἐνδείκνυται, ὁ δὲ συλλογισμὸς δέχεται μὲν τὰ λεγόμενα, κατ' ἄλλο δέ τι ἐναντιοῦται αὐτῷ. Τὸν αὐτὸν τρόπον ζητεῖται, πῶς μάχεται ὁ συλλογισμὸς τῷ ὅρῳ, εἴγε εἰς ταὐτὸν συνάγει ἄμφω· καί φαμεν, ὅτι κατὰ μὲν τὴν ἐργασίαν συνάγει τε καὶ συμπλέκει τοῖς πεπραγμένοις τὰ παρειμένα, δεχόμενος τὰ ὑπὸ τοῦ ἐναντίου λεγόμενα, οὐχ ἵνα ψιλῶς αὐτῷ συνδράμῃ, ἀλλ' ἵνα βεβαιώσῃ τὸ ἔγκλημα· κατὰ δὲ τὸν σκοπὸν τῶν κεφαλαίων καὶ τὸ ἐξ αὐτῶν ἀποτελούμενον ἡ μάχη γίνεται. Διαφέρει δὲ τὸ κεφάλαιον ὁ συλλογισμὸς τῆς ὁμωνύμου στάσεως, ὅτι ὁ μὲν ἀτελὲς τελείῳ εἰς ταὐτὸν ἄγει, ἡ δὲ στάσις τέλειον τελείῳ· τὸ γὰρ ἐκ πόρνου γενέσθαι οὐ μέρος νόμου· ἀλλ' αὐτὸ τέλειόν τε καὶ ἴσον τῷ ὑπὸ τοῦ νόμου διηγορευμένῳ· τὸν ἐκ πόρνης δηλονότι μὴ λέγειν· οὐ γὰρ ὁ νόμος ἁπλῶς εἶπε

10 Par. τόν. 11 Cod. μετά, scr. κατά.

εἶπε πορνείαν, ἀλλὰ τὸν ἐκ πόρνης γενόμενον· τὸ οὖν ἐκ πόρνου φῦναι ἕτερόν τι καθ᾽ αὑτὸ τέλειον καὶ ἴσον ἐκείνῳ. Καὶ ἔνθα ἄν· οὐκ ἀορίστως τοῦτο τέθεικεν, ὡς δυναμένου ποτὲ τοῦ κατηγόρου τῷ ὅρῳ χρήσασθαι, ἀλλὰ σημᾶναι βουλόμενος, ὅτι καὶ ἐν ταῖς ἄλλαις στάσεσιν, ἐν αἷς ὅρος κεφάλαιον εὑρίσκεται, τῷ συλλογισμῷ λύεται.

ζ) Ἡ γνώμη τοῦ νομοθέτου. Ἐπειδὴ[12] πάρεισιν ἰδίοις χρώμενοι λογισμοῖς ὅ τε κατηγορῶν καὶ ὁ ἀπολογούμενος, ὥσπερ μαρτυρίαν οἷς ἑκάτερος λέγει τὴν ἐκ τοῦ νόμου πίστιν ἐπάγουσιν. Εἰ μὲν οὖν ἔχομεν νόμον συνηγοροῦντα τῷ πράγματι, θέντες τὸ ῥητὸν τὴν διάνοιαν ἐξετάσομεν, βοηθοῦσαν ἡμῖν ἀποδεικνύντες· εἰ δὲ μή, ἐπὶ τὰς καλουμένας εὐλόγους αἰτίας καταφευξόμεθα, ὡς καὶ τῶν νόμων ἀποδεχομένων τὸ πρᾶγμα, καὶ τῆς τοῦ νομοθέτου διανοίας οὐ πόῤῥω τῶν πεπραγμένων ἡμῖν βλεπούσης· ὡς ὁ Δημοσθένης[13]· „τίς νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστὸς," καὶ ἑξῆς· ἔτι δὲ καὶ ἐπὶ τὴν καθόλου τῶν νομοθετῶν γνώμην χωρήσομεν, καὶ ὁ μὲν διώκων ἐρεῖ, ὅτι καθάπαξ οἱ νομοθέται τοὺς φαύλους δίκας διδόναι βούλονται, τὴν γὰρ πονηρὰν γνώμην κολάζουσιν· ὁ δὲ φεύγων ἐκ τοῦ ἐναντίου, ὅτι ἴσασι διαφορὰν ἐγκλημάτων οἱ νομοθέται, καὶ τὰς πράξεις μᾶλλον ἀλλ᾽ οὐ τὰ βουλεύματα κρίνουσιν· ὅπου μὲν οὖν νομικὴ ζήτησις ἐμπίπτει, καὶ περὶ τὸ ῥητὸν ἡ πᾶσά ἐστιν ἀμφιβολία, διανοίᾳ λύεται πάντως· εἰ δὲ τὸ μὲν ῥητὸν οὐκ ἀμφισβητεῖται, τὸ δὲ γενόμενον πρᾶγμα ζητεῖται, ἢ τοιοῦτόν ἐστιν, οἷον ὁ νόμος φησὶ, τότε γνώμη νομοθέτου παραλαμβάνεται, οἷον τί βουλόμενος ὁ νομοθέτης τὸν νόμον ἔταξε. λαμβάνεται δὲ ἡ τοῦ νομοθέτου διάνοια εἰς κατασκευὴν ἢ τοῦ ἴσου ἢ τοῦ ἀνίσου· ὁ μὲν γὰρ διώκων

12 Passim haec consentiunt cum Vol. VII. c. XVII. ιθ.
13 Pro cor. p. 264.

ἐρεῖ, ὅτι ὡς περὶ ἴσων καὶ τῶν αὐτῶν διενοήθη ὁ νομοθέτης, ὁ δὲ τοὐναντίον, ὅτι οὐχ ὡς περὶ ἴσων, ἀλλὰ πολὺ διεστηκότων. Ἔφασαν[14] δέ τινες, δεῖν τὸ κεφάλαιον τοῦτο μετὰ τὴν πηλικότητα καὶ τὸ πρός τι τετάχθαι· ἡ γὰρ τοῦ νομοθέτου γνώμη, φασὶν, ὥσπερ ἐπισφράγισμα καὶ βεβαίωσις τῶν εἰρημένων πάντων ἐστί· φαμὲν οὖν, ὅτι τῶν κεφαλαίων τὰ μέν ἐστι πιστωτικά τε καὶ ἀποδεικτικὰ, ὧν καὶ ἡ γνώμη τοῦ νομοθέτου, τὰ δὲ αὐξητικὰ, ὡς ἡ πηλικότης καὶ τὸ πρός τι· τὰ τοίνυν αὐξητικὰ καιρὸν ἔχει μετὰ τὴν ἀπόδειξιν· ἐπεί τοι πρὶν ὅλως ἀποδεῖξαι αὔξειν ἐθέλειν ὑπόκουφον, πλὴν εἰ μὴ κατά τινα καιρὸν γένοιτο τοῦτο, ὡς ἐν τῷ περὶ μεθόδου δεινότητος εἰσόμεθα· γνώμην δὲ νομοθέτου καλεῖ πᾶν τὸ ἐν ῥητῷ εὑρισκόμενον ἀπὸ τοῦ κυριωτέρου, τουτέστιν οὐ μόνον ἐν νόμῳ, ἀλλὰ καὶ ἐν ψηφίσματι, ἐν διαθήκῃ καὶ ἐπιστολῇ· τοῦτο δὴ οὖν τὸ ῥητὸν εἰ μὲν πρὸς ἡμῶν ἐστι, μετὰ τὴν ἀνάγνωσιν αὐτοῦ οὐκ εὐθὺς ἀφιστάμεθα, ἀλλὰ κατὰ λέξιν αὐτὸ διερευνώμεθα καὶ ἐξετάζομεν, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους[15]· „ἠκούσατε μὲν τοῦ νόμου, σκέψασθε δὲ“ καὶ ἑξῆς· εἰ δὲ πρὸς τῶν ἐναντίων, τὴν μὲν κατὰ μέρος ἐξέτασιν παραιτησόμεθα, καθολικῶς δὲ ὅλην τὴν γνώμην τοῦ νομοθέτου πρὸς τὸ ἡμῖν συμφέρον στοχαστικῶς ἐξηγησόμεθα, ὡς ἐν τῷ περὶ στεφάνου Δημοσθένης τὴν Φιλίππου ἐπιστολὴν ἐξηγήσατο.

η) Ἡ πηλικότης. Μετὰ τὰ ἀποδεικτικὰ τὰ αὐξητικὰ τίθησι· ζητεῖται δὲ[16], τί δήποτε καὶ τῆς πηλικότητος καὶ τοῦ πρός τι αὐξητικῶν ὄντων οὐχ ἑνὶ ταῦτα περιέλαβεν ὀνόματι· καί φαμεν, ὡς ἐπεὶ δύο τινά ἐστιν ἐν τῷ ὅρῳ, τὸ μὲν πεπραγμένον, οἷον τὸ καθῃρῆσθαι τὴν τυραννίδα, τὸ δὲ ζητούμενον, οἷον εἰ τοῦτο τυραννοκτονία, ἀνάγκη καὶ τὴν αὔξησιν αὐτὴν διχῇ τέμνεσθαι·

14 Cfr. Vol. VII. c. XVII. κ. 15 p. 629. 16 Cfr. Vol. VII. c. XVII. κβ. et κγ.

πῆ μὲν, αὐτὸ ἐφ' ἑαυτοῦ τὸ πεπραγμένον αὐξανόντων ἡμῶν, πῆ δὲ, τῇ πρὸς τὸ παραλελειμμένον συγκρίσει· οὐκοῦν ἡ μὲν πηλικότης τὴν ἁπλῆν τοῦ πεπραγμένου αὔξησιν ἔχει, τὸ δὲ πρός τι κατὰ σύγκρισιν· αὔξει οὖν ἡ πηλικότης τὸ γεγονὸς, δεινοῦντος τοῦ κατηγόρου καὶ μέγα ποιοῦντος τὸ ἔγκλημα ἢ τὸ εὐεργέτημα, ἐκ δὲ τῶν ἐναντίων, τοῦ φεύγοντος μειοῦντος· ἐξ ὧν δὲ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους αὐξήσομεν, ἐκ τῶν αὐτῶν καὶ τὴν πηλικότητα ἐργασόμεθα· ἔστι δὲ ταῦτα τὰ περιστατικά. Προτέτακται δὲ ἡ πηλικότης τοῦ πρός τι, ἐπειδὴ πρότερον δεῖ τὴν ἑκάστου φύσιν καταμαθεῖν, καὶ οὕτω τὴν πρὸς ἕτερον ποιεῖσθαι παράθεσιν· οὗ γὰρ τὴν φύσιν οὐκ ἐπιστάμεθα, πῶς ἂν τοῦτο πρὸς ἕτερον παραβάλοιμεν; οὐ μόνον δὲ ἐκ τῶν περιστατικῶν αὔξεται ἡ πηλικότης, ἀλλὰ καὶ κατὰ τὸ ποσὸν καὶ ποιὸν, ὅτι πολλὰ ἐντεῦθεν ἡ πόλις ὠφέληται ἢ βέβλαπται, ἢ ὅτι τὸ δημόσιον τὸ πραχθὲν, καὶ κοινῇ τὴν πόλιν ὠφελοῦν ἢ βλάπτον, ἢ ἰδιωτικόν τε καὶ ἀφ' ἑνὸς ἀνθρώπου ἱστάμενον.

θ) Τὸ δ' αὖ πρός τι· Τέσσαρές εἰσι τῆς συγκρίσεως τρόποι, πρὸς τὸ μεῖζον, πρὸς τὸ ἔλαττον, πρὸς τὸ ἴσον, πρὸς τὸ ἐναντίον, ὧν ἡ πρὸς τὸ ἐναντίον κατὰ μόνην ποιότητα γίνεται, τῶν ἄλλων καὶ κατὰ ποιότητα καὶ ποσότητα γινομένων· καὶ ὁ μὲν διώκων ἢ πρὸς τὸ μεῖζον ἢ τὸ ἴσον ποιεῖται τὴν σύγκρισιν· ὁ δὲ φεύγων ἢ πρὸς τὸ ἔλαττον, ἢ πρὸς τὸ ἐναντίον· ἐπεὶ δὲ ἐπί τινων ἀπίθανός ἐστιν ἡ τοῦ πρός τι κατὰ τὸ μεῖζον ἐξέτασις, οὐ γὰρ οἷόν τε λέγειν, ὅτι τὸ ἰδιωτικὰ ὑφελέσθαι χρήματα μεῖζόν ἐστι τοῦ τῶν ἀναθημάτων αὐτῶν ἅψασθαι, δεῖ ἀπὸ τοῦ ἴσου ποιεῖσθαι τὴν σύγκρισιν, ἴσον εἶναι τοῦτο ἐκείνῳ λέγοντας· οὕτω γὰρ πιθανὸς καὶ ἀβίαστος ὁ λόγος δόξει· πολλάκις δὲ, εἰ μὴ πάνυ βίαιον εἴη, μετὰ τὴν πρὸς τὸ ἴσον σύγκρισιν καὶ πρὸς τὸ μεῖζον βιασό-

μεθα προάγειν τὸ πεπραγμένον, ἐκπαράδεκτον ἐκ τοῦ ἴσου καὶ τὸ μεῖζον ἔχοντες.

ι) Ἡ δὲ ἀντίθεσις.[17] Εἴρηται μὲν καὶ ἐν τῇ τῆς ἐκθέσεως τῶν κεφαλαίων τοῦ ὅρου ἐξηγήσει, πότε ἐμπίπτει ἡ ἀντίθεσις, καὶ πότε οὔ, νυνὶ δὲ καὶ ἑτέρως φαμὲν, ὅτι τῶν ὅρων τῶν μὲν κατὰ σύγκρισιν ὄντων, τῶν δὲ κατὰ αἴτησιν, ἐν μὲν τοῖς κατὰ κρίσιν ἐμπίπτει· ἴδιον γὰρ ἀντιθέσεως τὸ τῷ ἀδικήματι φανερᾶς ἀντιτιθέναι αἰτίαν εὔλογον· ἐν δὲ τοῖς κατὰ αἴτησιν οὐδαμῶς, ἐπειδὴ εὐεργέτημα καὶ οὐκ ἀδίκημα τὸ γενόμενον· καὶ ἄλλως· τῶν ὅρων οἱ μὲν ἐξ εὐθείας ἔχουσι τὴν ζήτησιν, ὡς ἐπὶ τοῦ ἱεροσύλου· αὐτόθεν γὰρ ζητεῖται, εἰ ἱερόσυλος, οἱ δὲ οὐκ ἐξ εὐθείας, ἀλλ' ἐφ' ἕτερον ἔχουσι τὴν ζήτησιν, δι' ὧν τὸ κρινόμενον καταλαμβάνεται, ὡς ἐπὶ τοῦ εὐνούχου· τὸ μὲν γὰρ κρινόμενον ὁ φόνος ἐστί· ζητεῖται δὲ, εἰ μοιχὸς ὁ εὐνοῦχος· ἐπὶ τούτων οὖν ἐμπίπτει ἡ ἀντίθεσις, ἐφ' ὧν καὶ τὰ τῆς τάξεως ἀντέστραπται· ὁ γὰρ φεύγων ἐν τοῖς τοιούτοις κατήγορος γίνεται, καὶ φεύγων ὁ διώκων, ὅθεν ὁ μὲν φεύγων προβάλλεται τὰ πεπραγμένα, εἰσῆλθεν εἰς τὴν οἰκίαν, συγκατεκλίνετο τῇ γυναικί· ταῦτα δὲ μοιχεία· ὁ δὲ διώκων ὑπὲρ τοῦ εὐνούχου ἀπολογούμενος τὰ παρειμένα προβαλεῖται, ὅτι πῶς ἂν εὐνοῦχος μοιχεύσειεν ὁ μὴ χρῆσθαι δυνάμενος, μηδὲ τὸ γένος ἀμφίβολον τῇ συνουσίᾳ ποιῶν. Ἔτι ὁ ὅρος ἢ περὶ ὀνομάτων μόνον πᾶσαν συνίστησι τὴν ζήτησιν, ἢ ἄρχεται ἐξ ὀνόματος· ἀναχωρεῖ δὲ πρὸς ἕτερον ζήτημα, ἢ καὶ αὐτὸ ὁρικὸν ἢ μιᾶς τῶν ἀντιθετικῶν, ἢ τῆς ἀντιλήψεως. Τοῦ μὲν οὖν περὶ ὀνόματος μόνον παράδειγμα ὅ τε φιλόσοφος, ὁ τὸν τύραννον πείσας καταθέσθαι τὴν τυραννίδα, καὶ ὁ τὰ ἰδιωτικὰ χρήματα ἐξ ἱεροῦ ὑφελόμενος. Τοῦ δὲ πρὸς ἕτερον ὄνομα ἀναχωροῦντος παράδειγμα τόδε· ἀπὸ κενοταφίου

---

17 Cfr. Vol. VII. c. XVII. κθ.

τις φιάλην ἀφείλετο καὶ κρίνεται ὡς τυμβωρύχος· ἀναχωρεῖ γὰρ ἐφ' ἕτερον ὄνομα, εἰ τὸ κενοτάφιον ἁπλῶς τάφος ἐστίν· ὅταν δὲ εἰς πρᾶγμα ἡ ἀναχώρησις γίνηται, τότε καὶ αἱ ἀντιθετικαὶ χώραν ἔχουσι· τὸ μὲν ἀντέγκλημα, ὁμοίως δὲ καὶ ἡ ἀντίληψις, ὡς ἐπὶ τοῦ εὐνούχου· ἡ δὲ ἀντίστασις, ὡς ἐπὶ τούτου· δυσὶ στρατηγοῖς ἐπετράπη τὰ τοῦ πολέμου· τῷ μὲν φυλάττειν τὰ τείχη, τῷ δὲ μάχεσθαι τοῖς πολεμίοις· ὁ τεταγμένος ἐπὶ τῆς μάχης γενομένης ἥττης ἐπὶ τὸ τεῖχος κατέφυγεν, ὁ δὲ οὐ μόνον αὐτῷ τὰς πύλας οὐκ ἀνέῳξεν, ἀλλὰ καὶ εἶπεν, ἀπελθὼν μάχου· ἐμβαλόντος οὖν αὖθις ἐκείνου τοῖς πολεμίοις νίκη γέγονε· καὶ ἀμφισβητοῦσιν ἑκάτεροι τοῦ γέρως. Ἡ μὲν οὖν πρώτη ζήτησις ὁρικὴ, τί τὸ νικᾶν τοὺς πολεμίους, πότερον τὸ προτρέπειν καὶ ἀναγκάζειν ἐπὶ τὸν πόλεμον, ἢ αὐτοχειρίᾳ διαμάχεσθαι· ἡ δὲ δευτέρα κατὰ ἀντίστασιν λέγοντος τοῦ στρατηγοῦ, ὡς τὴν φυγὴν ἐξεπίτηδες εἱλόμην, ἵνα τῶν πολεμίων ὡς ἐπὶ νίκῃ ἀφράκτων γινομένων ἐπικρατέστερος γένωμαι, καὶ ἔστιν ἀντιστατικὸν, διὰ τοῦ δοκοῦντος ἀτόπου μεῖζον εἰσφέροντος εὐεργέτημα τοῦ στρατηγοῦ· ἴσως δὲ καὶ συγγνώμη ἐμπεσεῖται ἐν τούτῳ· ἡ δὲ μετάστασις ὡς ἐπὶ τούτου· Δημοσθένης παρὰ Φιλίππῳ λέγων πρεσβείαν ἐξέπεσε καὶ κρίνεται ὑπὸ Αἰσχίνου δειλίας· πρῶτα μὲν γὰρ ἐρεῖ, ὡς οὐ τοῦτο δειλία, οὐ γὰρ ὅπλων ἀποβολὴ γέγονεν, οὐ μάχης φυγὴ, εἶτα μεταστατικῶς, ὡς εἰ καὶ δειλία τοῦτο, τὴν αἰτίαν ὁ Φίλιππος ἐχέτω οὐχ ἡδέως ἀκροώμενος, ἢ ὁ Φιλοκράτης παρεστὼς καὶ τῶν λεγομένων καταγελῶν. Τούτῳ ἕπεται· ζητοῦσι πῶς ἀντιλήψεως μὴ ἐμπεσούσης οἷόν τε μετάληψιν ἐμπεσεῖν, ἀεὶ γὰρ ταῦτα ἀλλήλοις ἀκολουθεῖ· φαμὲν οὖν, ὡς ἡ ἀντιθετικὴ τόπον ἔχει ἀντιλήψεως, πλὴν καὶ μετὰ τὴν μετάληψιν, ἵνα ἡ τάξις σώζηται, ἐπάγουσι καὶ τὴν ἀντίληψιν.

ια) Ἡ ποιότης δέ· τοῦ ὅρου ἐκ πεπραγμένου καὶ λείποντος ὄντος διὰ μὲν τῶν πρώτων κεφαλαίων τῶν

*ἀγωνιστικῶν συνάγομεν εἰς ταὐτὸν τὰ παρειμένα τοῖς πεπραγμένοις· διὰ δὲ τῶν ἑξῆς αὔξομεν ἢ μειοῦμεν αὐτά· λειπούσης δὲ εἰς ἔλεγχον τῆς τοῦ κρινομένου ποιότητος, εἰκότως πρὸς ἀναπλήρωσιν τῆς ὅλης ἀποδείξεως παραλαμβάνεται ἡ ποιότης αὕτη, φυλαττομένης τῆς κοινῆς ποιότητος τοῖς ἐπιλόγοις, καὶ ἔστιν αὕτη ὁδὸς πρὸς ἐκείνην, ἡ δὲ ποιότης ἢ κοινὴ κατὰ πάντων ἐστὶν, ἢ ἰδία τινὸς ὑποκειμένου προσώπου, καὶ ἡ μὲν κοινὴ αὐξητική τέ ἐστι καὶ ἐν ἐπιλόγῳ τετάξεται περιέχουσα τὸν κοινὸν τόπον· ἡ δὲ ἰδία τοῦ ἐν τῇ ὑποθέσει κρινομένου προσώπου κεφάλαιόν ἐστιν ἴδιον τοῦ ὅρου. Διαιρεῖται δὲ ἡ ποιότης τριχῆ, κατά τε τὸ παρεληλυθὸς καὶ ἐνεστὼς καὶ μέλλον, κατὰ μὲν τὸ παρεληλυθὸς, τίς ἦν τὸν πρότερον βίον, κατὰ δὲ τὸ ἐνεστὼς τὴν ἐπὶ τῆς ὑποκειμένης πράξεως ἐξεταζόντων ἡμῶν ποιότητα, κατὰ δὲ τὸ μέλλον, οἷον τίς ἔσται φυγὼν καὶ τὸ παρὸν διακρουσάμενος· τὴν δὲ κατὰ τὸ μέλλον ἐξέτασιν διχῆ διαιροῦμεν, κατὰ τὴν ἀποτελουμένην ἐκ τῆς τοιᾶσδε κρίσεως βλάβην ἢ ὠφέλειαν, πῇ μὲν κοινὸν καὶ εἰς ἅπαντας ἧκον δεικνύντες τὸ ἔγκλημα, διά τε τὰ ἄλλα, καὶ ὅτι πολλοὶ τοῦτο μιμήσονται, πῇ δὲ ἐπ' αὐτοῦ μόνον τοῦ κρινομένου. Ἡ γνώμη· καλεῖ γνώμην τὴν τοῦ πεπραγμένου αἰτίαν, τίνος ἕνεκα τόδε ἔπραξεν· οἷον ἀλλ' εἴπερ μὴ ἱεροσυλεῖν ἐβούλου, τίνος ἕνεκεν οὐ πρὸς ἰδιώτου παρελθὼν οἰκίαν ἐλῄστευες· ὁ δὲ φεύγων κινήσει χρῶμα συγγνωμονικὸν, ὡς λαθεῖν ἤλπιζον μᾶλλον. Ἡ μέντοι κοινὴ ποιότης· ἡ κοινὴ ποιότης ποτὲ μὲν προηγήσεται τῆς ἰδικῆς ποιότητος, ποτὲ δὲ ἀδιάφορον ἕξει τόπον, καὶ ἢ καθ' αὑτὴν ἐξετάζεται, ἢ συμπεπλεγμένως.*

### *Περὶ τῶν εἰδῶν τοῦ ὅρου.*

*α) Ὥσπερ δὲ τῶν ὅρων*[1] *οἱ μέν εἰσι κατ' αἰ-*

1 Ex Vol. VII. c. XVIII. β.

τησιν, οἱ δὲ κατὰ κρίσιν· καὶ ἔτι τῶν κατ᾽ αἴτησιν οἱ μὲν [2] ἁπλοῖ, οἱ δὲ κατ᾽ ἀμφισβήτησιν· καὶ τῶν κατὰ κρίσιν ὁμοίως τὸ μέν τι ἁπλοῦν, τὸ δὲ διπλοῦν· τὰ μὲν οὖν ἄλλα ἐφ᾽ ἑαυτῶν ἀδιαίρετα μένει, τὸ δὲ κατὰ φύσιν [3] διπλοῦν ὑποδιαιρεῖται τετραχῆ εἰς τὸν ἀντονομάζοντα, εἰς τὸν κατὰ σύλληψιν, εἰς τὸν ἐμπίπτοντα, καὶ εἰς τοὺς δύο καλουμένους ὅρους.[4] Τοῦ μὲν οὖν κατ᾽ αἴτησιν ἁπλοῦ παράδειγμα ὁ φιλόσοφος ὁ τὸν [5] τύραννον πείσας καταθέσθαι τὴν τυραννίδα καὶ τὴν δωρεὰν αἰτῶν· τὸ δὲ κατ᾽ ἀμφισβήτησιν τόδε· ῥήτωρ εἶπε κατὰ τυράννου λόγον· ἀκούσας δορυφόρος ἀνεῖλε τὸν τύραννον, καὶ περὶ τῆς δωρεᾶς ἀμφισβητοῦσιν ἑκάτεροι· τοῦ δὲ κατὰ κρίσιν ἁπλοῦ, ὁ τὸν εὐνοῦχον ἀνελὼν ὡς [6] ἐπὶ μοιχείᾳ· τὰ δὲ τῶν διπλῶν Ἑρμογένης ἐκτίθησιν· ὁ μέντοι κατ᾽ ἀμφισβήτησιν ὁ αὐτός ἐστι τῷ κατὰ πρόσωπα διπλῷ, διαφέρει δὲ ὁ κατὰ αἴτησιν ὅρος τῆς κατὰ αἴτησιν πραγματικῆς τῷ τὸν μὲν ὅρον περὶ τῆς ἰδιότητος ζητεῖν, τὴν δὲ πραγματικὴν περὶ τῆς ποιότητος· καὶ ὅτι ἐν μὲν τῷ ὅρῳ περὶ τοῦ δοῦναι ἢ μὴ ἡ ζήτησις γίνεται, ἐν δὲ τῇ πραγματικῇ τὸ μὲν ὅλως ὀφείλειν δοῦναί τινα δωρεὰν ὡμολόγηται· περὶ δὲ τοῦ ποίαν τινὰ ἡ ζήτησις γίνεται, οἷον εἴ τις ἀνελὼν τύραννον ἀξιοῖ τὴν οὐσίαν αὐτοῦ λαβεῖν, καὶ ὅτι ἐν μὲν τῷ ὅρῳ ἀτελὲς τὸ πεπραγμένον, ἐν δὲ τῇ πραγματικῇ τέλειον. Καὶ πρῶτός γέ ἐστι· πρῶτος οὐ κατὰ φυσικήν τινα τάξιν, ἀλλ᾽ ὡς ἔτυχεν αὐτοῖς Ἑρμογένης παρέλαβεν. Τοῦτον ὁμοίως.

---

2 Mon. 8. Par. 2977. μέν εἰσιν. 3 Par. 2926. κρίσιν Par. 2977. Mon. 8. φύσιν. 4 Mon. 8. et Par. 2977. add.: κείσθω δὲ καὶ τὸ διάγραμμα τοῦ σαφοῦς ἕνεκα· ῥητέον δὲ τοῦ ὅρου τὰ εἴδη ἐπὶ παραδείγματος ἅπαντα· ἔστι τοίνυν ἁπλοῦ κατ᾽ αἴτησιν ὅρου παραδ. 5 ὁ τὸν τύραννον — ἀκούσας δορυφόρος Mon. 8. om. 6 ὡς Mon. 8. Par. 2977. om. Post μοιχείᾳ addunt: καὶ κρινόμενος φόνου.

Ὅπερ ἐπὶ τοῦ στοχασμοῦ κἀνταῦθά φησιν, διπλᾶ δεῖν παραλαμβάνειν τὰ κεφάλαια· τὰ μὲν κατασκευαστικὰ τῶν ἡμετέρων, τὰ δὲ τῶν ἐναντίων ἀνατρεπτικά· διπλοῖς δὲ χρησόμεθα μόνοις τοῖς ἀγωνιστικοῖς· τῷ γὰρ πρός τι ἢ τῇ πηλικότητι πῶς ἂν διπλοῖς χρησαίμεθα· ὁ μὲν γὰρ διώκων αὔξειν ἐθελήσει μόνον τὸ ἔγκλημα, ὁ δὲ φεύγων μειοῦν, οὐ γὰρ δήπου καὶ αὔξειν τὰ τοῦ ἐναντίου· ζητεῖται δὲ, πῶς ἂν ὁ συλλογισμὸς διπλοῦς παραληφθείη· τὴν γὰρ τῶν διπλῶν χρείαν αὐτὸς ἀφ' ἑαυτοῦ μόνος ἀναπληροῖ, εἴγε τῶν ὑπὸ τοῦ διώκοντος καὶ τοῦ φεύγοντος προτεινομένων περιληπτικός ἐστι· φαμὲν οὖν, ὅτι ὁ μὲν διώκων αὐτῷ χρῆται τὰ κοινὰ περισκοπῶν ἑκατέρῳ ἐγκλήματι, κἀντεῦθεν ἄμφω συνάγων, ὁ δὲ φεύγων ἐκ τοῦ ἐναντίου χωρίζων διὰ τῆς ἑκατέρου ἰδιότητος. Πάνυ δὲ οὗτος· τῷ τε διπλοῦς εἶναι, καὶ δύο περιέχειν ἐγκλήματα, καὶ ὅτι κἂν τούτῳ ἀντονομάζει ὁ κρινόμενος, καὶ ὅτι ἕν ἐστι τὸ πεπραγμένον, καὶ ἓν τὸ κρινόμενον πρόσωπον, δύο δὲ τὰ ζητούμενα ὀνόματα. Τοῦτο οὖν· τὸ συλληπτικὸν δηλαδὴ κεφάλαιον, ὅπερ κεφάλαιον οὐκ ὂν κεφάλαιον ἁπλῶς ὀνομάζει.

β) Τρίτος ὁ κατὰ πρόσωπα· τὸν κατὰ ἀμφισβήτησιν λέγει διπλοῦν· ἐν μὲν γὰρ τοῖς κατὰ κρίσιν διπλοῖς δύο μέν ἐστι πράγματα κρινόμενα, ἓν δὲ τὸ πρόσωπον, ἐν δὲ τῷ κατὰ αἴτησιν διπλῷ, τουτέστι τῷ κατὰ ἀμφισβήτησιν, ἓν μὲν τὸ πρᾶγμα, δύο δὲ τὰ ἀμφισβητοῦντα πρόσωπα· οὗτος δὲ ὑποδιαιρεῖται τὸν τρόπον τοῦτον· ἢ γὰρ ἀφ' ὧν πέπραχεν αὐτὰ τὰ ἀμφισβητοῦντα πρόσωπα γίνεται ἡ ἀμφισβήτησις, ὡς ὁ ῥηθεὶς ῥήτωρ καὶ ὁ δορυφόρος καὶ ἀφ' ὧν ἕτεροι μὲν πεπράχασιν, εἰς δὲ τοὺς ἀμφισβητοῦντας καθήκει τὸ πεπραγμένον, ὡς οἱ περὶ ἱερωσύνης ἀμφισβητοῦντες, ἐνταῦθα δὲ, εἰ καὶ δοκεῖ μηδέν τι πεπρᾶχθαι, ἀλλὰ τῷ μὲν πέπρακται τὸ ἐν ἱερωσύνῃ τὸν πατέρα αὐτὸν γεννῆσαι· λείπει δὲ τὸ

ἰδιώτην ἀποθανεῖν, τῷ δὲ ἐκ τοῦ ἐναντίου πέπρακται μὲν τὸ τέλος, λείπει δὲ ἡ ἀρχή. Ὑπὸ δυοῖν ἢ πεπραγμένον· οἷον ὁ μὲν ἦλθεν ὡς ἀποκτενῶν τὸν τύραννον, ὁ δὲ φεύγοντι περιπεσὼν ἀπέκτεινε, καὶ ἀμφισβητοῦσι περὶ τοῦ γέρως. Ἰστέον δὲ, ὡς ἐν τῇ ὁρικῇ στάσει, μιᾶς οὔσης ἀεὶ τῆς προβολῆς τοῦ κατηγόρου, ἐν τούτῳ τῷ εἴδει διπλῆ γίνεται· κέχρηται γὰρ ταύτῃ καὶ ὁ κατήγορος καὶ ὁ φεύγων, ἑκάτερος τὸ συνοῖσον αὐτῷ προβαλλόμενος, καὶ τοῖς ἄλλοις ὡσαύτως· τῇ δὲ πηλικότητι καὶ τῷ πρός τι διπλοῖς ἑκάτερος αὐτῶν χρήσεται, αὔξων μὲν τὰ οἰκεῖα, μειῶν δὲ τὰ τοῦ ἐναντίου. Τί γὰρ τὸ ἐξειπεῖν. Ἡ προβολὴ τοῦ πρώτου ὅρου· δεινὰ ἔπραξας ἐξειπὼν τὰ μυστήρια· ὁ ὅρος· οὐκ ἐξεῖπον, οὐ γὰρ ἐφθεγξάμην· ὁ ἀνθορισμὸς, καὶ μὴν κατένευσας· ὁ συλλογισμὸς ἴσον ἐρεῖ τὸ κατανεῦσαι τῷ εἰπεῖν. Μετὰ δὲ τὸ πρός τι καὶ τὰ πρὸ αὐτοῦ λοιπὰ κεφάλαια τὸ δεύτερον ἐμπίπτει ζήτημα ἐξ ἀντιθέσεως, ἀλλ' οὐκ ἀμύητος οὗτος· καὶ λοιπὸν ἀνατρέχει εἰς τὸν ὅρον τοῦ δευτέρου ζητήματος φάσκων· ἐκεῖνος ἐμυήθη, ὁ εἰς θεῶν ἱερὰ φοιτήσας, ὁ παρὰ δᾳδούχου μαθὼν καὶ τὰ λοιπὰ ὡσαύτως· ἐν τούτῳ δὲ τῷ δευτέρῳ συμβαίνει, τὰ μὲν τοῦ διώκοντος κεφάλαια τοῦ φεύγοντος γίνεσθαι, τὰ δὲ τοῦ φεύγοντος τοῦ διώκοντος.

γ) Πέμπτον εἶδος· ἐν μὲν τῷ κατὰ [7] σύλληψιν θάτερον τῶν ὀνομάτων οὐκ ἐπιδέχεται ζήτησιν· ὡμολόγηται γὰρ, ἐνταῦθα δὲ ἀμφότερα ἐξετάζεται, τίς τε ὁ καθαρὸς, καὶ τίς ὁ ἐκ καθαροῦ· καὶ ἔτι ἐν μὲν τῷ ἀντονομάζοντι περὶ δύο ὀνομάτων γίνεται ἡ ζήτησις, ἀλλ' ἀντονομαζόντων· ἐν δὲ τοῖς δύο ὅροις τὰ δύο προηγουμένως ζητοῦμεν ὀνόματα· καὶ τοῦ κατηγόρου τὰ δύο ἐγκλήματα ἐπιφέροντος καὶ τοῦ φεύγοντος περὶ ἀμφοῖν

7 Cfr. Vol. VII. ιδ.

ἀντιλέγοντος. Ζητητέον δὲ, πῶς ἐπὶ μὲν τῶν ἄλλων διπλῶν πανταχοῦ συμπλέκεσθαι κελεύει τὰ ζητήματα καὶ κεφάλαιον ἀντιτιθέναι κεφαλαίῳ, ἵν᾽ ὁ λόγος σφριγῶν εἴη· ἐνταῦθα δὲ διαστέλλει τὰ ζητήματα· φαμὲν οὖν, ὡς ἐπὶ μὲν τῶν ἄλλων φυσικῶς ἄμφω συνεπέπλεκτο τὰ ζητήματα, ἔνθεν καὶ τὰς ἀποδείξεις κατὰ συμπλοκὴν προάγειν ἀναγκαῖον ἐδόκει· ἐνταῦθα δὲ κεχωρισμένων φύσει τῶν ζητημάτων, καὶ οὐδὲ εἰς τὴν ἀλλήλων συντελούντων κατασκευήν· ἀφ᾽ οὗ καὶ δύο ὅροι καλοῦνται, ἵνα μὴ ἀσάφειαν πολλὴν καὶ σύγχυσιν ποιῶμεν τὰ κεχωρισμένα μιγνύειν βουλόμενοι, ἰδίᾳ κατασκευάζομεν ἑκάτερον· εἰ δέ τί ἐστι τοῦ δευτέρου ζητήματος ἐν τῷ προτέρῳ δεόμενόν τινος κατασκευῆς, τῷ κατ᾽ ἐπαγγελίαν χρησόμεθα σχήματι· τέως μὲν αὐτὸ διακρουόμενοι, μικρὸν δὲ ὕστερον περὶ αὐτοῦ λέξειν ἐπαγγελλόμενοι.

## Περὶ ἀντιλήψεως.

α) Ἡ δὲ ἀντίληψις· τὴν τέχνην ἡ ταυτότης ἐλέγχει· τὸ γὰρ μὴ διαμένον ἐπὶ τῶν αὐτῶν, ἀλλὰ νῦν μὲν οὕτως, νῦν δὲ ἑτέρως γινόμενον ἄτεχνον· τρία οὖν ταῦτα καθ᾽ ἑκάστην διαίρεσιν τῷ τεχνογράφῳ παρατετήρηται· ἡ τῶν κεφαλαίων ἀπαρίθμησις, ἡ περὶ ἑκάστου τεχνολογία, καὶ τρίτον, ἡ τῶν εἰδῶν ἐπίσκεψις, ὅπερ ὡς κἂν τοῖς ἄλλοις κἀνταῦθα ποιεῖ. Τρίτην δὲ τὴν πραγματικὴν ἔταξεν Ἑρμογένης, τῶν στάσεων τὴν τάξιν ἀπαριθμούμενος· νῦν δὲ τὴν ἀντίληψιν τῆς πραγματικῆς προέταξεν· ἐκεῖ μὲν γὰρ ἐκ τῆς διαιρέσεως τῶν κεφαλαίων ἡ πραγματικὴ ἀνέκυπτεν, ἐνταῦθα δὲ, ἐπειδὴ τῶν κεφαλαίων ἡ διαίρεσις γίνεται, πολλὴ δὲ ἡ κοινωνία τοῦ ὅρου πρὸς τὴν ἀντίληψιν ἐν τοῖς κεφαλαίοις, μετὰ τὸν ὅρον εὐθὺς ταύτην ἐπήγαγεν.

β) Ἡ προβολή. Ζητητέον,[1] τί δήποτε ἐν τῷ

1 Cfr. Vol. VII. c. XIX. δ.

στοχασμῷ τὰ μὲν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἅπερ ἐστὶν ἡ προβολὴ, πέμπτην ἔλαχε τάξιν ἐν τοῖς κεφαλαίοις, ἡ δὲ προβολὴ πάντων προηγεῖται τῶν κεφαλαίων· φαμὲν οὖν, ὅτι ἐν μὲν τῷ στοχασμῷ ἕτερον μὲν τὸ πεπραγμένον, ἕτερον δὲ τὸ κρινόμενον καὶ τὰ πεπραγμένα ἀνεύθυνα, ὥστε τὰ ἐγκλήματα κεχωρίσθαι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. Ἀνάγκη οὖν μετὰ τὴν διήγησιν προτείνειν τὸ τοῦ ἐγκλήματος ὄνομα, οἷον ὅτι παραπρεσβείας αὐτὸν κρίνω ἢ ἀσεβείας· ὅπως ἃ ἐν τοῖς πεπραγμένοις καὶ τῇ διαιρέσει διεξερχόμεθα, εἰδεῖεν οἱ δικασταὶ, ὅ τί ποτέ ἐστι τὸ ἐπαγόμενον ἔγκλημα· ἐν δὲ ταῖς λοιπαῖς στάσεσιν αὐτῶν τῶν πεπραγμένων εὐθυνομένων, ὅταν τὴν διήγησιν διεξελθόντες τὸ ἔγκλημα φράζειν δεηθῶμεν, πάλιν ἀνάγκη τὰ πεπραγμένα λέγειν, εἴγε συμπλέκεται τῷ ἐγκλήματι καὶ αὐτά ἐστι τὰ εὐθυνόμενα· ταῦτά δ' ἐστὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἃ προβολὴν ὀνομάζομεν· ἔστι δὲ ἡ προβολή οὐ διήγησις, ἀλλὰ φάσις ψιλή· εἰ δὲ μή, δύο ἔσονται διηγήσεις, ὅπερ ἄτοπον. Τὸ δὲ μόριον τοῦ δικαίου· ὥσπερ ἡ ἀντίληψις ἢ ἀπὸ νόμου ἢ φύσεως ἢ τέχνης ἤ τινος τῶν τοιούτων ἔχει τὴν ἰσχὺν, οὕτω καὶ τὸ μόριον τοῦ δικαίου ἐξ ἑνὸς τούτων λαμβάνεται, ὥσπερ ἐν παραγραφικοῦ μοίρᾳ· ἐπεὶ [2] γὰρ ἡ ἀντίληψις ἐξουσίαν μὲν προβάλλεται, καὶ τυραννικωτέρα πως εἶναι δοκεῖ· τὸ δὲ ἰσχυρὸν τοῦ παντὸς λόγου ἐνταῦθα ἔστηκε, διὰ τοῦτο τὸ μόριον τοῦ δικαίου παρείληπται, ἵνα καὶ τὸ ἰσχυρὸν ἐν ἀρχῇ προβαλλώμεθα, καὶ τῷ εἶναι ἁπλούστερον αὐτῷ καὶ ἀκατάσκευον τὴν ἐκ τῆς ἀντιλήψεως ἀποφεύγωμεν βλάβην. Φύσιν δὲ ἀντιλήψεως τὸ κεφάλαιον ἔχον οὐκ ἐκλήθη ἀντίληψις, ἐπεὶ διαβολῆς ἕνεκα προτείνεται, οὐ πᾶσαν τὴν ἐξουσίαν προβαλλόμενον. Διαφέρει δὲ τοῦ παραγραφικοῦ,

2 Vol. VII. ς.

ὅτι ἐκεῖνο μὲν διαβολῆς μόνης ἕνεκα παραλαμβάνεται, τοῦτο δὲ τὸ μέγιστόν ἐστι τοῦ παντὸς ἀγῶνος, καὶ ὅτι ἐκεῖνο μὲν ἀπό τινος λαμβάνεται τῶν περιστατικῶν, τοῦτο δὲ, ἀφ' ὧν καὶ ἡ ἀντίληψις· τὸ δὲ εἰ μὴ δεῖ ἐπὶ τούτοις κρίνεσθαι ἀμφιβόλως μὲν προενήνεκται· ἔστι δὲ ἡ ζήτησις ὡς ἀπὸ τῶν δικαστῶν, εἰ δεῖ ἐπὶ τούτοις κρίνεσθαι· οὐ γὰρ ὁ φεύγων ἀμφιβόλως αὐτὸ προκομίσει, ἀλλ' ὡς ὁμολογουμένως, οὐ δεῖ κρίνεσθαι λέγων.

Τὸ πρόσωπον· τοῦτο οἱ νεώτεροι σαφέστερον ὀνομάζουσιν ὁρικὸν παραγραφικὸν ἐκ προσώπου· ὁρικὸν μὲν, ὅτι ὁρίζομεν· οὐδεὶς ζωγράφος δημόσια ἀδικεῖ· παραγραφικὸν δὲ, ὅτι καθάπερ τὸ μόριον τοῦ δικαίου καὶ τοῦτο διαβολὴν ἔχει τοῦ ἀγῶνος· τὸ δὲ ἐκ προσώπου σαφές· τὴν γὰρ διαβολὴν ἐκ τοῦ προσώπου ποιούμεθα, ζωγράφον φάσκοντες· τὸ δὲ κεφάλαιον τοῦτο ἐμπίπτει, ὅταν ἀσθενὲς καὶ ἰδιωτικὸν ᾖ τὸ πρόσωπον, ὡς ὁ ζωγράφος· ἐπὶ δὲ τῶν ἐνδόξων προσώπων καὶ ἐν ἀρχαῖς ἐξεταζομένων οὐκ ἐμπίπτει, οἷον πόλιν συνεχῶς ἀφισταμένην στρατηγὸς κατέσκαψεν· ἀπέστησαν οἱ σύμμαχοι, καὶ κρίνεται δημοσίων ἀδικημάτων; οὐ γὰρ ἕξει πως ἐκ τοῦ προσώπου παραγραφικῷ χρήσασθαι ὁ στρατηγός. τῷ μέντοι ἀπὸ πράγματος παραγραφικῷ, τουτέστι τῷ μορίῳ τοῦ δικαίου, χρήσεται.

γ) Ὁ ὅρος. Ὥσπερ τὸ μόριον [3] τοῦ δικαίου, οὕτω καὶ τὸν ὅρον ὁρικὸν παραγραφικὸν ἐκ πράγματός τινες ἐκάλεσαν· τὸ μὲν γὰρ μόριον τοῦ δικαίου πρὸς τὴν προβολὴν φερόμενον φησὶν, ὅτι οὐκ ἐπὶ ζωγραφίας δεῖ κρίνειν· τὸ δὲ ἐκ τοῦ προσώπου παραγραφικὸν, ὅτι οὐ δημοσίων ἀδικημάτων ζωγράφον δεῖ κρίνειν· τὸ δὲ ὁρικὸν, ὅτι εἰ δὲ καὶ κρίνεται ζωγράφος δημοσίων, ἀλλὰ τοῦτο οὐκ ἔστι δημόσιον, καὶ συμπλέκεται ἀλλήλοις τὰ

3 Vol. VII. ις.

τρία ταῦτα τοῦ φεύγοντος ὄντα· τὸ δὲ κεφάλαιον τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον ἐμπίπτει· ὅ τι γὰρ ἂν ᾖ τὸ ἀδίκημα, ἔνεστι τὸ μεῖζον ἐπινοεῖν καὶ ἐπαναβαίνοντας λέγειν, ὡς εἰ τόδε ἐπεποιήκειν, τότε ἂν ἀσεβείας ἐκρινόμην ἢ προδοσίας· ἐνίοτε δὲ καὶ ἐλλείπει, ὅταν συγγενὲς ᾖ καὶ λίαν πρόσφορον τὸ πρᾶγμα τῷ ἐπιφερομένῳ ἐγκλήματι, ὡς ἐπὶ τοῦ τὴν πόλιν κατασκάψαντος στρατηγοῦ· οὐ γὰρ δύναιτ' ἂν λέγειν, ὡς οὐκ εἴη δημόσιον ἀδίκημα ἡ τῶν συμμάχων ἀπόστασις· χρὴ δὲ εἰδέναι, ὡς ἐπειδὰν ἐμπέσῃ, μὴ ἐκ τοῦ ἐλάττονος, ἀλλὰ τοῦ μείζονος πειρᾶσθαι ἀνατρέπειν το ἔγκλημα· οἷον Ἀλκιβιάδης κωμάζων ἐπὶ τοὺς τριακοσίους ἐβόησεν, „ὦ γενναῖοι," καὶ κρίνει αὐτὸν Κλέων ὕβρεως· εἰ γὰρ διὰ τοῦ ἐλάττονος διαλύειν πειρῷτο τὸ ἔγκλημα λέγων, τηνικαῦτά με δεῖ κρίνεσθαι ὕβρεως, ἡνίκα λοιδορήσαιμί τινα, ἢ διαβάλοιμι, λάθοι ἂν αὐτὸς ἑαυτὸν καταδικάζων ἐπὶ τῷ μείζονι· μεῖζον γὰρ δήπου τὸ ἐν κώμῳ προπηλακίζειν τοῦ κοῦφα διαβάλλειν καὶ λοιδορεῖσθαι· ἀπὸ τοῦ μείζονος οὖν χρὴ λέγειν, ὅτι ὕβρεως κρίνειν δεῖ τὸν πληγὰς προστριψάμενον, τὸν χιτῶνα διαῤῥήξαντα καὶ τὰ τοιαῦτα.

δ) Ἕπεται οὖν. Παρῆκε τὸν ἀνθορισμόν,[4] ἐπειδὴ τὰ κεφάλαια πρὸς ἀπόδειξιν σπεύδει· τὰ δὲ συμπεράσματα τὰς ἀποδείξεις ἔχει· εἰ οὖν ὁ συλλογισμὸς συμπέρασμά ἐστι τοῦ ἀνθορισμοῦ, εἰκότως κυριώτερός ἐστι πρὸς τὴν χρῆσιν· καὶ μία δὲ φύσις ἀνθορισμοῦ καὶ συλλογισμοῦ· κοινὴ γὰρ ἀμφοῖν ἡ πρὸς τὸν ὅρον μάχη, εἰ καὶ διάφορος τῇ χρήσει τῶν ἐπιχειρημάτων· ἐν μέντοι τῇ ὁρικῇ στάσει καὶ τὸν ἀνθορισμὸν παρέλαβε, προηγούμενα γὰρ ἦν ἐκεῖ τάδε τὰ κεφάλαια, διὸ καὶ ἐξοδικώτερον τὴν τούτων ἐξέτασιν ἐποιήσατο. Καὶ ἐπι-

---

4 Vol. VII. ιη.

χειρήσει· ἐπιχειρήσει δι᾽ ἐπιχειρημάτων καὶ ἐργασιῶν καὶ τῶν ἄλλων τῶν εἰς ἀπόδειξιν συντεινόντων. Γνώμη νομοθέτου·[5] αὕτη ἐμπίπτει, ὅταν ἀπὸ νόμου λαμβάνηται ἡ ἀντίληψις· ἂν δὲ ἐξ ἔθους ἡ ἀντίληψις ᾖ, ἀντὶ τῆς τοῦ νομοθέτου γνώμης τὴν πολιτείαν, ἐν ᾗ τὸ ἔθος, ἐξεταστέον· ἂν δ᾽ ἀπὸ φύσεως, τὴν φύσιν αὐτὴν καὶ τὰς ἐντεῦθεν ἀνάγκας, ὡς μηδέποτε ἀργὸν ἡμῖν τὸν τοῦδε τοῦ κεφαλαίου γενέσθαι τόπον. Ἐμπίπτει δὲ ἡ γνώμη τοῦ νομοθέτου, ὡς ἐν τούτῳ· γεωργὸς φιλοσοφοῦντα τὸν υἱὸν ἀποκηρύττει, εὑρίσκεται γὰρ νόμος ὁ λέγων, ἐξεῖναι τοῖς πατράσιν ἀποκηρύττειν τοὺς παῖδας. Ἡ πηλικότης· ἰστέον, ὡς ἐν οἷς μὲν μὴ συμβέβηκέ τι κακὸν, οὐκέτι τοῦ κατηγόρου αὔξοντος τὸ ἔγκλημα διὰ τῆς πηλικότητος καὶ τοῦ πρός τι, οὐ σπουδάσει καὶ ὁ φεύγων μειοῦν αὐτό. Ὅπου γε οὐδὲ κρίνεσθαι ἐπὶ τούτῳ ὅθεν ἀνέχεται, ὡς ὁ Ἀλκιβιάδης γράψας ἐν ἐκπώμασι τὰ περὶ Σικελίαν· οὐ γὰρ ἐρεῖ, ὅτι ἔλαττον τοῦτο τοῦ προδοῦναι φρούριον· ἐν οἷς δὲ συμβέβηκέ τι, ἐν τούτοις καὶ ἡ μείωσις χώραν ἔχει. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πρός τι, ἐν οἷς μὴ συμβέβηκέ τι ἄτοπον, ὡς ἐπὶ τοῦ γεωργοῦ φιλοσοφοῦντα τὸν υἱὸν ἀποκηρύττοντος, ἄτοπον εἰ ὁ διώκων παραβάλλοι τὸν φεύγοντα τῷ μεθύοντι καὶ κυβεύοντι, καὶ τὰ πατρῷα καταφαγόντι. Ἰστέον δὲ, ὅτι τοῦ παντὸς ἀγῶνος διῃρημένου κατά γε τὸ πρόσωπον καὶ τὸ πρᾶγμα, καὶ τοῦ μὲν προσώπου ἐν τῷ προσώπῳ καθεστῶτος, τοῦ δὲ πράγματος ἐν τῷ ὅρῳ, εἰκότως πρὸς ἐκεῖνα καὶ ὁ συλλογισμὸς καὶ ἡ πηλικότης καὶ τὸ πρός τι φέρεται, πῇ μὲν κατὰ τὸ πρόσωπον, πῇ δὲ κατὰ τὸ πρᾶγμα. Κατὰ μὲν οὖν τὸ πρόσωπον ὁ μὲν συλλογισμὸς, ὅτι οὐδὲν διαφέρει, ἄν τε ζωγράφος ἄν τε στρατηγὸς ἀδικῇ· ἡ δὲ πηλικό-

5 Vol. VII. κβ. κς.

της, ὅτι ὑφ᾽ ἑνὸς ἰδιώτου ἡ πόλις πᾶσα εἰς κίνδυνον ἐμβέβληται· τὸ δὲ πρός τι, ὅτι καὶ αἴσχιον ὑπὸ ζωγράφου ταῦτα παθεῖν ἢ στρατηγοῦ· νῦν δὲ πρὸς τῷ κακῶς παθεῖν καὶ αἰσχύνην ὠφλήκαμεν· κατὰ δὲ τὸ πρᾶγμα ὁ μὲν συλλογισμὸς, ὅτι ἴσον ἐστὶν ἀδίκημα, τεῖχος καθελεῖν, καὶ διὰ πινάκων γραφῆς τοὺς ἐμπόρους ἐλαύνειν· ἡ δὲ πηλικότης, ὅτι τῶν ἀναγκαίων σπανίζοντες λιμῷ τάχα ἂν πάντες διαφθαρείημεν, τὸ δὲ πρός τι, ὅτι μεῖζον τοῦτο τοῦ προδοῦναι τριήρεις ἢ τείχη, τὰ μὲν γὰρ ἴσως ἀνακτηθεῖεν, τοῦτο δὲ αὐτὰ διαφθείρει τὰ σώματα. Τὰ ἀπ᾽ ἀρχῆς· ἐπὶ γὰρ τοῖς αὐξητικοῖς παραλαβεῖν αὖθις τὰ πεπραγμένα δεῖ, ἵν᾽ ἔχοιεν ἐφ᾽ ὅτῳ αἱ αὐξήσεις ἐρείδοιντο. Πρὸς ἃ ἡ ἀντίληψις. ἰστέον, ὅτι τετραχῶς λαμβάνεται ἡ ἀντίληψις, κατὰ νόμον, ὡς ὁ τὸν τρισαριστέα μοιχὸν ἀποκτείνας, τὸν γὰρ γάμον φησὶ τὴν ἐξουσίαν δεδωκέναι· κατὰ ἔθος, ὡς μετὰ τὰ ἐν Χαιρωνείᾳ Φίλιππος ἀπέστειλε πρὸς Ἀθηναίους αἵρεσιν διδοὺς, ἢ τοὺς δισχιλίους λαβεῖν αἰχμαλώτους, ἢ τοὺς χιλίους νεκροὺς ἀνελέσθαι πρὸς ταφήν· ἔπεισε Δημοσθένης ἑλέσθαι τοὺς νεκροὺς, ἀπέκτεινε Φίλιππος τοὺς ζῶντας, καὶ κρίνεται Δημοσθένης δημοσίων ἀδικημάτων ὑπὸ Αἰσχίνου· τὸ γὰρ παρ᾽ Ἀθηναίοις ἔθος προβαλεῖται ὁ Δημοσθένης, τὸ τοὺς βουλομένους παριέναι καὶ συμβουλεύειν τὰ δοκοῦντα· τρίτον τὸ κατὰ τέχνην, ὡς ὁ ζωγράφος· τὴν γὰρ ἐκ τῆς τέχνης ἄδειαν προβαλεῖται· τέταρτον κατὰ φύσιν, ὡς Αἰσχίνης μετὰ τὰ ἐν Χαιρωνείᾳ ἕπεται Δημοσθένει δακρύων, καὶ κρίνεται ὑπ᾽ αὐτοῦ ὕβρεως, φύσις γὰρ ἀνθρώπῳ, φησὶ, τῶν δακρύων τὴν ἐξουσίαν χορηγεῖ· χρὴ δὲ τὴν ἀντίληψιν μὴ γυμνῶς καὶ ἀναφανδὸν οὕτως εἰσφέρειν τυραννικῶς τῆς ἐξουσίας ἀντιλαμβανομένους, ἀλλὰ πλαγίως μετά τινος προσχήματος, καὶ οἱονεὶ θεραπείας καὶ προκαταστάσεως· ἢ τὸν νόμον ἐγκωμιάζοντας πρότερον ὡς φι-

λόνθρωπον, ἢ τὴν πολιτείαν, ἥςπερ τὸ ἔθος, ἢ τὴν τέχνην ἢ τὰς τῆς φύσεως ἀνάγκας προθεωροῦντα, καὶ οὕτω τὴν ἀντίληψιν ἐπιφέροντα. Εἰ ἐγχωροίη· δοκεῖ γὰρ ἀναίσχυντον τὸ ἄντικρυς λέγειν, ὅτι οὐκ ἔξεστι φανερᾶς οὔσης τῆς ἐξουσίας, καὶ μάλιστα ἐπὶ τῆς ἀπὸ τοῦ νόμου καὶ τῆς φύσεως ἐξουσίας· ἐν δὲ τῇ ἀπὸ τοῦ ἔθους καὶ τέχνης δυνατόν· ἔνστασις οὖν ἐμπίπτει ἐπὶ τούτου· νέος πλούσιος ὑποπτευθεὶς τυραννήσειν τὴν ἑαυτοῦ πᾶσαν οὐσίαν κατεπόντωσε· κρίνεται βλάβης εἰς τὸ δημόσιον.[6]

### Περὶ τῶν εἰδῶν τῆς ἀντιλήψεως.

Ἐν τοίνυν ταῖς τοιαύταις· ἐν γὰρ ταύταις ταῖς συμβεβηκός τι ἐχούσαις, ὡς φασί τινες, ἐλλείπει τὸ ὁρικὸν παραγραφικὸν ἐκ τοῦ πράγματος, οὐ γὰρ ἔνεστι λέγειν, ὡς ἡ ἀπόστασις τῶν συμμάχων οὐκ ἔστι δημόσιον ἀδίκημα. Ὕπεστιν οὖν τὸ παραγραφικὸν, οἷον ἐφ' οἷς ἕτεροι πεποιήκασιν οὐ δεῖ με κρίνεσθαι. Ἰστέον δὲ, ὅτι τοῦ παραγραφικοῦ τούτου εὐκαιρότατός ἐστι τόπος μετὰ τὴν πηλικότητα καὶ τὸ πρός τι, ἀκμάζοντος ἤδη τοῦ κατηγόρου ἐν ταῖς αὐξήσεσι· τὴν δὲ δύναμιν τοῦ κεφαλαίου μάλιστα Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος παρέστησεν, ἀντιληπτικοῦ τινος ἐμπεσόντος αὐτῷ, ἐπειδήπερ Αἰσχίνης ᾐτιᾶτο ἐκ τῶν συμβεβηκότων τὴν Δημοσθένους συμβουλίαν, ὡς πολλῶν αἰτίαν τῇ πόλει συμφορῶν γενομένην, ἅπερ ἐκεῖθεν λαβὼν ὁ Ἑρμογένης τῇ τεχνολογίᾳ ἀντέθηκε· καὶ μὴν καὶ Θουκυδίδης ἐν τῇ Περικλέους δημηγορίᾳ μετὰ πολλοῦ ἀξιώματος παρέλαβεν αὐτὸ, καὶ γὰρ ἐκεῖ ἀντιληπτικὸν ἦν τὸ ὅλον, αἰτίαν ἔχοντος Περικλέους, ὡς πεπεικότος τὸν δῆμον πολεμεῖν οὐκ ἐν συμφέροντι. συνέβη γὰρ ἐντεῦθεν δῃωθῆναι

6 Quae sequitur sectio, inter Aldina scholia p. 626. exstat.

θῆναι τὴν γῆν· φησὶ γοῦν[1] „ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε“ καὶ ἑξῆς· ἰστέον δὲ, ὅτι ἁπλῶς μὲν λέγει, ἔνθα ἓν πρᾶγμα ζητούμενόν ἐστι καὶ ἓν πρόσωπον τὸ κρινόμενον· διπλῶς δὲ, ἔνθα δύο πράγματα ἔχομεν καὶ δύο τὰς ἀντιλήψεις. Δυνάμενον καὶ πρὸ τῶν ἄλλων· κατὰ φύσιν μὲν δεῖ προτετάχθαι τῶν ἄλλων κεφαλαίων, ἀναγκαίως γὰρ ὁ κρινόμενος πρὸ τῆς ἀπολογίας διαβάλλει τὴν κατηγορίαν· δυνατὸν δὲ καὶ ἐν τῷ μέσῳ καὶ ἐν τῷ τέλει τεθῆναι. Καὶ ὅλως ὃν ἂν τρόπον λυσιτελῇ· τὸ δὲ ἐπὶ τίσι με κρίνεις διλήμματόν ἐστι, διπλοῦ ἀνθ' ἁπλοῦ τοῦ παραγραφικοῦ γινομένου. Ἔτι ἐν ταῖς τοιαύταις· χώραν φησὶν ἔχειν τὸ κεφάλαιον πρὸ τοῦ ἀντιθετικοῦ, τουτέστι χρώματος· προθεραπείᾳ γὰρ δεῖ πρότερον τὸν ἀκροατὴν ὑπαγαγέσθαι, οἷον, ὅτι ἠγνόουν, καὶ οὐδεὶς ἀνθρώπων οἶδε τὸ μέλλον, καὶ τότε ἐπαγαγεῖν χρῶμα, ὃ οὐδὲν ἕτερόν ἐστιν ἢ αἰτία τοῦ πραχθέντος· καὶ ἄλλως· ἐπειδήπερ ἡ ἀντίληψις πρὸς τὸ πεπραγμένον φέρεται· ὁμοίως δὲ καὶ ἡ ἀντίθεσις χρῶμά ἐστι τοῦ πεπραγμένου, οἷον ἔξεστί μοι πρᾶξαι, ὃ ἂν βούλωμαι· ἀλλὰ καὶ ὑπὲρ τῶν ἐμπόρων τοῦτο πεποίηκα, ἐδοκοῦμεν ἂν περὶ τοῦ πεπραγμένου μόνου ἀπολογεῖσθαι δύνασθαι, περὶ δὲ τοῦ ἀποβεβηκότος, τουτέστι τὸ μὴ καταίρειν τοὺς ἐμπόρους, οὐδέν· εἰκότως οὖν μεταξὺ τοῦ ἀντιληπτικοῦ καὶ τοῦ ἀντιθετικοῦ τίθησι τὸ συγγνωμονικὸν, ὅπερ ἀπολογίαν ἔχει τοῦ ἀποβεβηκότος· οὐ μόνη δὲ αὕτη χώρα τοῦ συγγνωμονικοῦ, ἀλλὰ τεθείη ἂν καὶ ἀλλαχοῦ κατ' οἰκονομίαν τινὰ, καὶ ἔνθα ἂν δέον εἶναι δόξῃ τῷ ῥήτορι· φασὶ δὲ, πῶς τοῦ συγγνωμονικοῦ τῇ ἀντιθετικῇ περιεχομένου πάλιν ἰδίᾳ φησὶ πρὸ τοῦ ἀντιθετικοῦ τὸ συγγνωμονικὸν πίπτειν; καί φαμεν, ὡς ἕτερον μὲν τὸ ἐν τῇ ἀντιθέσει συγγνωμονι-

---

1 Thuc. II. 64. cfr. Vol. IV. p. 635. Vol. VII. c. XX. β. fine.

κὸν, ἕτερον δὲ τὸ ἰδίᾳ ταττόμενον· ἡ μὲν γὰρ ἀντίθεσις πρὸς τὸ πεπραγμένον φέρεται· τὸ δὲ συγγνωμονικὸν, ὡς εἴρηται, ὑπὲρ τοῦ ἀποβεβηκότος ἐστί· καὶ ὅτι ἡ μὲν ἀντίθεσις ἀεὶ ἐμπίπτει τῇ ἀντιλήψει, τὸ δὲ συγγνωμονικὸν οὐκ ἐμπίπτει, εἰ μὴ ὅταν περί τινος ἀποβεβηκότος ἡ κρίσις ᾖ. Ἔτι φασὶν, ὅτι ἀντιστατικοῦ [2] ἐμπίπτοντος τοῦ ἀντιθετικοῦ οὐ δύναται ἐμπίπτειν τὸ συγγνωμονικὸν, τὸ μὲν γὰρ ἑκούσιον, τὸ δὲ ἀκούσιον ἀποφαίνει τὸ πεπραγμένον· ἀλλά φαμεν, ὅτι δυνατὸν καὶ ἀμφότερα ἐμπίπτειν, οὐ γὰρ ἐπὶ τοῦ αὐτοῦ φέρονται, ἀλλὰ τὸ μὲν ἀντιστατικὸν πρὸς τὸ πεπραγμένον, τὸ δὲ συγγνωμονικὸν, ὡς εἴρηται, πρὸς τὸ ἀποβεβηκός· οὐδὲν οὖν ἄτοπον γινώσκειν καὶ ἑκούσιον εἶναι λέγειν τὸ πεπραγμένον, ἀγνοεῖν δὲ καὶ ἀκούσιον εἶναι τὸ ἀποβεβηκός. Ἰστέον δὲ, ὅτι συγγνωμονικοῦ τοῦ ἀντιθετικοῦ ἐμπίπτοντος οὐκ ἐμπίπτει τὸ συγγνωμονικόν· ἡ γὰρ συγγνώμη ἢ ἐξ ἀγνοίας γίνεται, ἢ ἐκ βιαίου πάθους· εἰ μὲν οὖν ἄγνοιαν προβαλεῖται, περιττὸν τὸ ἕτερον συγγνωμονικόν· ὁ γὰρ τὰ παρόντα φάσκων ἀγνοεῖν πολλῷ μᾶλλον ἔμφασιν δίδωσιν, ὅτι τὸ μέλλον ἠγνόησεν· εἰ δὲ ἔκ τινος πάθους βιασθῆναι λέγει, οἷον ἔρωτος ἢ θυμοῦ, πολλῷ μᾶλλον οὐ δυνήσεται χρήσασθαι τῷ συγγνωμονικῷ· λέγων γὰρ ὅτι ἠγνόησα τὸ μέλλον, ἔμφασιν δίδωσιν, ὡς εἰ ἄρα ᾔδει τὸ μέλλον, οὐκ ἂν ἐποίει· ἀλλὰ τοῦτο λέγειν ἀδύνατον· εἰ γὰρ ἀνάγκη ἐστὶν ἡ βιασαμένη ποιεῖν, δῆλον ὅτι πάντως ἐποίει, καὶ οὐκ ἦν ἐν αὐτῷ ποιῆσαι καὶ μή. Ἔτι φασὶν, ὅτι βλάπτειν δοκεῖ τὸν κεχρημένον αὐτῷ τὸ συγγνωμονικὸν, ὡς ἐξ ἀπορίας δικαιολογιῶν ἐπ᾽ αὐτὸ καταφεύγοντα, ὅπερ οὐκ ἐπιστήμονος ἀλλ᾽ εὐήθους τεκμήριον. Παραμυθησόμεθα οὖν τὸ τοιοῦτον, ἐπὶ τὸ καθόλου τὸν λόγον ἀνάγοντες, ὅτι

---

2 Cod. ἀντιστρατικοῦ.

τὴν ἀνθρωπείαν ὑπερβαίνει φύσιν ἡ γνῶσις τῶν μελλόντων, καὶ ὅτι θείας φύσεως τὸ προειδέναι τὸ μέλλον· ἢ καὶ ὡς Αἰσχίνης οὐ προφανῶς λέγων, ὅτι ἠγνόησα, ἑτέροις εὐσχήμοις ὀνόμασι τοῦτο δηλοῖ, φησὶ γὰρ, ὅτι ἃ ἤκουσα, ταῦτα ἀπήγγειλα, ἅπερ ἀκήκοα, ταῦτα εἶπον: μεταχειριεῖται δέ· καὶ γὰρ[3] ὁ Δημοσθένης μετὰ πολλοῦ ἀξιώματος αὐτὸ παρέθετο ἐν τῷ[4] περὶ στεφάνου· οὐ γὰρ ἠγνοηκέναι τὸ μέλλον ὡμολόγησεν, οὔτε εἰς συγγνώμην κατέφυγε, ταπεινὸν γὰρ, ἀλλὰ τὸ δαιμόνιον ᾐτιάσατο.[6] Κρατῆσαι, φησὶ, συνέβη Φίλιππον[7] τῇ μάχῃ, ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοὶ, καὶ μετὰ πολλὰ τὸ ἀντιθετικόν· ὅτι τῇ πόλει συνέφερε μετὰ Θηβαίων ἄρασθαι τὸν ἀγῶνα, καὶ ἐν Βοιωτίᾳ πόῤῥω τῆς πόλεως γίνεσθαι[8] τὴν μάχην ἢ ἐν τῇ Ἀττικῇ.

## Περὶ τῶν διπλῶν ἀντιλήψεων.

Τῶν δ' αὖ διπλῶν· φασί τινες, ὡς εἰ διπλῆν καλοῦμεν ἀντίληψιν τὴν δύο ἔχουσαν ἀντιλήψεις, ἀνάγκη καὶ τὴν τρεῖς ἔχουσαν τριπλῆν καλεῖσθαι, καὶ ἐφεξῆς· φαμὲν οὖν, ὅτι τὸ παρὰ τὸ ἁπλοῦν πᾶν κοινῷ ὀνόματι διπλοῦν λέγεται, κἂν ὁσαπλοῦν ᾖ, ὥσπερ φαμὲν δίπλωσιν τὸ ἱμάτιον, καίτοι πολλῶν πτυχῶν γινομένων ἐν τῇ τούτου διπλώσει. Ἔστι δὲ ἄλλα· εὑρίσκεται γὰρ ἕτερος τρόπος, τὸ κρίνεσθαί τινα ἐφ' οἷς μὴ πεποίηκεν, οἷον ζωγράφος μηδέποτε γράφων θεοὺς κρίνεται ἀσεβείας· ὡσαύτως καὶ ζωγράφος τις, πάντα τὰ ἐν Μαραθῶνι γράψας, τὸν Πᾶνα οὐκ ἐποίησε συμμαχοῦντα τοῖς Ἀθηναίοις, καὶ κρίνεται ἀσεβείας.

3 Eadem habet Vol. VII. in schol. minoribus. 4 ἐν τῷ περὶ στεφ. Vol. VII. om. 5 Vol. VII. οὔτε. 6 Par. 2977. ᾐτήσατο. — pro cor. p. 292. 7 Par. 2977. Φιλίππῳ. id. τῷ ante θεῷ om. 8 Par. 2977. γενέσθαι.

## Περὶ τῶν ἀντιθετικῶν.

α) *Αἱ ἀντιθετικαί·* προσηκόντως ὁ τεχνογράφος αἰσθόμενος τῆς τῶν κεφαλαίων κοινωνίας συνῆψε τῇ ἀντιλήψει τὰς ἀντιθετικάς, τέως τὸν περὶ τῆς πραγματικῆς λόγον ἀναβαλλόμενος. Πρεπόντως δὲ ἁπάσας συνήγαγε τὰς ἀντιθετικάς, καὶ κοινῇ τὸν περὶ αὐτῶν λόγον ἀπέδωκεν· ἑνὸς γὰρ ὄντος τοῦ παραλλάττοντος κεφαλαίου, καθ᾽ ἑκάστην τῶν τεσσάρων τούτων στάσεων τοῦ ἑκάστης τῆς στάσεως ἰδίου καὶ ὁμωνύμου, περίεργον ἦν περὶ ἑκάστης τὰ αὐτὰ ἐκτιθέναι κεφάλαια· οὕτω δὲ καὶ ἡ ἀντινομία, καὶ ἡ κατὰ ῥητὸν καὶ διάνοιαν στάσις μίαν λαμβάνουσι διαίρεσιν, ἑνὶ κεφαλαίῳ διοριζόμεναι. Ἰστέον δέ, ὡς ἀπὸ τοῦ πάντῃ ἀτελοῦς ὁ τεχνικὸς ἀρξάμενος ἐπὶ τὰ τελεώτερα κατὰ μέρος προβαίνει· ὁ μὲν γὰρ στοχασμὸς πάντῃ ἀτελής, ὁ δὲ ὅρος ἐξ ἡμισείας ἀτελής· ἡ δὲ ἀντίληψις τελεία μέν, περὶ δὲ τῆς ποιότητος ἔχει τὴν ζήτησιν, πότερον ἀδίκημα τὸ πραχθὲν ἢ οὔ· ἐν δὲ τῇ ἀντιθέσει ὡμολόγηται καὶ αὐτὴ ἡ ποιότης· ἀντιτίθεται δέ τι ἔξωθεν, καὶ ἄλλως· αἱ μὲν προῤῥηθεῖσαι στάσεις κατὰ μάχην καὶ ἔνστασιν τὴν ὅλην ἔχουσιν ἀμφισβήτησιν, αὐτῇ γὰρ ἐνίσταται ὁ φεύγων τῇ τοῦ κατηγόρου φωνῇ, ἡ δὲ ἀντίθεσις κατὰ ἀντιπαράστασιν γίνεται· ὁ γὰρ φεύγων δέχεται μὲν τὸ ἐπιφερόμενον ὑπὸ τοῦ διώκοντος, ἔξωθεν δέ τι ἀντιπαρίστησιν αὐτῷ. Πρώτην δὲ τὴν ἀντίστασιν παρέλαβεν εἰκότως· καὶ γὰρ ταύτῃ μόνῃ τῶν ἀντιθετικῶν ἀγαθόν τι ἀποβέβηκε· διὸ καὶ μείζων ἡ παῤῥησία· κατὰ τοῦτο δὴ καὶ προτέτακται· τῶν δὲ λοιπῶν τριῶν μίαν ἐχουσῶν φύσιν, τὸ ἐφ᾽ ἕτερον μεθιστᾷν τὴν αἰτίαν, πρότερόν ἐστι τὸ ἀντέγκλημα, διὰ τὸ εἰς αὐτὸν τὸν πεπονθότα μεταφέρειν τὴν αἰτίαν, καὶ οὐκ εἴς τι τῶν ἔξωθεν· πάλιν δὲ ἡ μετάστασις προτέτακται τῆς συγγνώμης, διὰ τὸ τὴν μὲν εἰς ὑπεύθυνον ἀναπέμπειν τὴν αἰτίαν, τὴν δὲ εἰς ἀνεύθυνον καὶ κρίσιν

οὐχ ὑφιστάμενον· καὶ ἔτι πασῶν προηγεῖται ἡ ἀντίστασις, εἴγε τὸ ἐφ' ἑαυτὴν ἄγειν τὴν ὅλην αἰτίαν πολὺ κυριώτερον, ἢ εἴς τι ἔξωθεν.

β) Ἡ προβολή· διαφέρει αὕτη τῶν ἄλλων προβολῶν, καθὸ μηδὲ ὅλως ἐστὶν αὐξητικὴ ἐκείνων εἰ καὶ πεφεισμένως ἀλλ' οὖν αὐξητικῶν οὐσῶν· ἡ δὲ αὔξησις ἐνταῦθα ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους. Τῷ ὁρικῷ· τὸ ὁρικὸν ἐμπίπτει, ὅταν ἀτελοῦς ὄντος τοῦ πεπραγμένου τὴν ἰδιότητα ζητῶμεν, ἢ τελείου ὄντος τῷ ἀνευθύνῳ ἰσχυριζώμεθα· ἔνθα δὲ τέλειον καὶ ὑπεύθυνον, ἂν μὲν ἰδιωτικὸν ᾖ τὸ πεπραγμένον, οὐκ ἐμπίπτει, καὶ ἐπὶ τούτων οὐ πάντων, ἀλλ' ὅταν οὐ σφόδρα λυμαίνηται τῇ πόλει τὸ ἀδίκημα· ἐπὶ γὰρ τοῦ ῥήτορος τοῦ ἐπιτάφιον εἰπόντος τῶν πολεμίων καὶ ἀφεθέντος ἐμπίπτει. ἰστέον δὲ, ὅτι ἐκλεῖπον ἀπὸ τοῦ φεύγοντος ἐκλείπει, εἰσάγεται δὲ ἀπὸ τοῦ κατηγόρου· οἷον τοῖς μὲν ἄλλοις, ὅσοι δήποτε ἠδίκησαν, ἔξεστιν εἰπεῖν, ὡς οὐ μόνον δημόσιον ἀδίκημα τὸ γεγονός· τοῦτο δὲ ὡμολόγηται, ὅτι δημόσιον· Καθάπερ καὶ ἐν τῇ ἀντιλήψει· δύο ὁρικὰ ἐν τῇ ἀντιλήψει παρελάβομεν· ἕτερον μὲν ἀπὸ τοῦ πράγματος, ἕτερον δὲ ἀπὸ τοῦ προσώπου· ἐνταῦθα τοίνυν τὸ ὁρικὸν τὸ ἀπὸ τοῦ πράγματος λέγει· τὸ γὰρ ἀπὸ προσώπου ἐν ἀντιθέσει οὐδέποτε χώραν ἔχει· εἰπὼν δὲ καθάπερ ἐν ἀντιλήψει, ἀντιδιαστέλλει αὐτὸ πρὸς τὴν ἐν ὅρῳ χρῆσιν· ἐκεῖ γὰρ περὶ ἰδιότητος οὔσης τῆς ζητήσεως συνεκτικώτατον τὸ κεφάλαιόν ἐστιν· ἐν δὲ τῇ ἀντιλήψει ἅτε τελείου ὄντος τοῦ πεπραγμένου παραγραφικοῦ χώραν ἔχει.

γ) Καὶ μετὰ τὴν αὔξησιν· τουτέστι μετὰ τὴν πηλικότητα καὶ τὸ πρός τι· εἰ δὲ μὴ ἐμπίπτει τὸ ὁρικὸν, εὐθὺς μετὰ τὴν προβολὴν συνάψομεν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἐν μὲν τῇ προβολῇ ὥσπερ προτάσεις τιθέντες, ἐνταῦθα δὲ τὰς κατασκευὰς συνάπτοντες οὐ διηγηματικὰς, ἀλλ' εἰς ἕκαστον ἐπιχειροῦντες· ὅταν δὲ λέγῃ, τὰ

ἀπ' ἀρχῆς ἄχρι τέλους ταὐτὰ εἶναι τῇ προβολῇ, σαφὲς ὅτι κατὰ τὴν ὕλην ἀλλ' οὐ τὴν μεταχείρισιν τῶν κεφαλαίων οἶδε τὴν ταυτότητα· μία μὲν γὰρ αὐτῶν ἡ ὕλη, τὰ περιστατικά· διάφορος δὲ ἡ χρῆσις· τὰ μὲν γὰρ ἀποδεικτικῶς, ἡ δὲ προβολὴ αὐξητικῶς πρόεισιν. Πρὸς ἃ τῇ διανοίᾳ· τοῦτο γὰρ ἡμῖν καθολικὸν ἔστω παράγγελμα, ὡς τῶν πραγμάτων τά τε ὑφ' ἡμῶν κακῶς πεπρᾶχθαι δοκοῦντα διὰ τῆς γνώμης χρὴ συνιστᾷν, τά τε ἔνδοξα τῶν ἐναντίων τῇ γνώμῃ διαβάλλειν· διάνοιαν δὲ ἐνταῦθα λέγει τοῦ φεύγοντος· παραληπτέον δὲ ταύτην κατὰ τρόπους ὀκτώ· παράδειγμα δὲ ὁ στρατηγὸς ὁ τὸν λιμένα χώσας καὶ νενικηκὼς τὴν ναυμαχίαν, τῶν στρατιωτῶν οὐ δυναμένων καταφεύγειν εἰς αὐτόν· πρῶτον μὲν διηγηματικῶς, ὅτι βουλευομένῳ [1] μοι, τίνα τρόπον ἂν κρατήσαιμι τῶν πολεμίων, τοῦτο μόνον ἀξιόχρεων ἐφάνη πρὸς τὴν νίκην στρατήγημα· δεύτερον ἐκ τῆς διανοίας τῶν δικαστῶν, ὅτι καὶ ὑμᾶς ἄξιον ἐνθυμηθῆναι τὰ τηνικαῦτα περιεστῶτα, ὡς οὐκ ἐνῆν ἄλλως νικᾷν· τρίτον ἐκ τοῦ ἀνελεῖν τὰς ὑποψίας, ὅτι οὐ καταπροδοῦναι βουλόμενος τὰ κοινά· τέταρτον ἐκ τοῦ πιστώσασθαι τὴν οἰκείαν διάνοιαν ἐκ τῆς κατὰ τὸ πρόσωπον ποιότητος, ὅτι ἀναγκαίως εἶχέ μοι τὸ κοινῇ συμφέρον ἑλέσθαι στρατηγῷ ὄντι· πέμπτον ἀπὸ τῆς κρίσεως τῶν δικαζόντων, ὅτι καὶ ὑμεῖς οὐκ ἄλλην γνώμην περὶ ἐμοῦ ἔχοντες, ἀλλ' εὔνουν με τῇ πόλει ἐπιστάμενοι στρατηγὸν ἐχειροτονήσατε· ἕκτον ἀπὸ παραδειγμάτων, ὅτι καὶ τὸν ἔμπροσθεν χρόνον εὔνους ὢν ὑμῖν χρήματα εἰσέφερον καὶ προεκινδύνευον τῆς πόλεως· ἕβδομον ἐκ τοῦ ἐναντίου κατὰ πιθανὴν ἀπολογίαν, ὅτι καὶ μὴν εἰ προδιδόναι τὰ κοινὰ ἐβουλόμην, οὐκ ἂν οὕτως ἐποίουν· ὄγδοον κατὰ τὸ ἀναγκαῖον, ὅτι οὐδ' ἐνῆν ἄλλως βοηθῆσαι τοῖς πράγμασιν.

---

1 Cod. βουλομένῳ (ευ superscript).

δ) Καὶ τόπον ἐρεῖ· τῷ καθόλου ἐπιχειρήματι βεβαιώσει τὸ ἔγκλημα· ἀνῄρηται γὰρ τὸ φορτικὸν τῆς καταδρομῆς τῷ μὴ κατὰ τοῦ ἑαυτοῦ παιδὸς, ἀλλὰ κατὰ παντὸς πόρνου τὸν ἀριστέα διαλέγεσθαι. Ἐν πάσῃ γὰρ ἀντιθέσει δεύτερον τὸ ἀντιστατικὸν ἐν τῷ ἀντεγκλήματι τέθεικεν· οὐ γὰρ προφανές ἐστι τὸ εὐεργέτημα ἐνταῦθα, καθάπερ ἐν τῇ ἀντιστάσει· ἐκ πρώτης οὖν εἰσάγων αὐτὸ ἀσθενέστερος εἰς ἀπολογίαν ἐτύγχανεν. Ἐρεῖ δέ τι καὶ ἀντιστατικόν· φησὶν ὁ Μητροφάνης, ἐπισυμπλέκεσθαι μὲν ἀλλήλαις τὰς ἀντιθετικὰς, ὡς ὁ τεχνικός φησιν, ἐπὶ μέντοι ἀντιστάσεως ἀντεγκληματικὸν οὐχ εὑρίσκεσθαι· ἢ γὰρ περὶ ἄψυχον γέγονε τὸ ἀδίκημα, ὡς ἐπὶ τοῦ τὸν λιμένα χώσαντος, ἢ περὶ ἄλογον ζῶον, οἷον ἵππος ἐξέφερεν εἰς τοὺς πολεμίους ἀναβάτην· τῶν συστρατιωτῶν τις βαλὼν ἀπέκτεινε τὸν ἵππον καὶ κρίνεται ὑπὸ τοῦ δεσπότου βλάβης· πῇ δὲ οὔτε εἰς ἄψυχον, οὔτε εἰς ἄλογον, ἀλλὰ κατὰ περίστασιν μὴ προσιέμενον τὸ ἀντεγκληματικόν· οἷον τύραννος ᾔτησεν ἐκ πόλεως ἀστυγείτονος μειράκιον ὡραῖον, πόλεμον ἀπειλῶν εἰ μὴ λάβοι· προσήκατο τὸν πόλεμον ἡ πόλις· πολιορκοῦντος τοῦ τυράννου τὴν πόλιν ὁ πατὴρ ἀποκτείνας τὸ μειράκιον ἀπὸ τῶν τειχῶν ἔῤῥιψεν· ἀνέζευξαν οἱ πολέμιοι καὶ κρίνεται ὁ πατὴρ φόνου· ἐν τούτοις γὰρ οὔτε τῷ λιμένι οὔτε τῷ ἵππῳ ἀντεγκαλέσει τις ὡς ἀξίοις, τῷ μὲν χωσθῆναι, τῷ δὲ ἀποκτανθῆναι· τὸ μὲν γὰρ ἄψυχον, τὸ δ' ἄλογον· οὔτε τῷ μειρακίῳ, οὐδὲν γὰρ ἠδίκησε καλὸν ὄν. Ὅλως τε πᾶσαι· οὐ γὰρ μόνον σύνδυο ἀλλήλαις ἐπιπλέκονται, ἀλλ' ἔσθ' ὅτε καὶ πλείους· οἷον νόμος νύκτωρ μὴ ἀνοίγεσθαι τὰς πύλας· αἰχμαλώτους νυκτὸς ἀποδράντας ἐκ τῶν πολεμίων καὶ καταφυγόντας ἐπὶ τὸ τεῖχος ὁ στρατηγὸς οὐκ εἰσδέχεται· εἶτα τῶν πολεμίων ἐπικαταλαβόντων καὶ διαχρησαμένων αὐτοὺς κρίνεται δημοσίων ἀδικημάτων· τρία γὰρ ἐνταυθοῖ ἐμ-

πέπτωκε· τὸ μεταστατικὸν μεταφέρον τὴν αἰτίαν ἐπὶ τὸν νόμον· τὸ ἀντιστατικὸν, ὅτι ἐπεισέδραμον ἂν οἱ πολέμιοι· τὸ συγγνωμονικὸν, ὅτι τὸ συμβησόμενον ἠγνόουν. Ἐντεῦθεν[2] ἀπορεῖται, τίνος ἂν εἴη στάσεως τὸ ζήτημα, τοσούτων ἐμπεπτωκότων, ὥστε καὶ τὸν Ἁρποκρατίωνα ὑπ᾽ ἀπορίας τεσσαρεςκαιδεκάτην στάσιν τοῦτ᾽ εἶναι λέγειν· τῷ δ᾽ οὐκ ἐχρῆν παραλύειν δηλονότι τὸν ὑπὸ τῶν παλαιῶν παραδοθέντα τῶν στάσεων ἀριθμὸν, ἀλλ᾽ ἐν τοῖς τοιούτοις ἀναιροῦντας δεῖ τῶν ἐμπεπτωκότων ἀντιθετικῶν ἕκαστον, ὅπερ ἂν εὕρωμεν ἐκ τοῦ ἀναιρεῖσθαι λυποῦν τὴν ἀπολογίαν, τοῦτό τε νομίζειν ἰσχυρότερον, καὶ τὴν στάσιν ἀπὸ τούτου λαμβάνειν, τὰ δ᾽ ἄλλα κεφαλαίων πληροῦν τόπον, οἷον ἐπὶ τοῦ μὴ ἀνοίξαντος τὰς πύλας τοῖς ἀποδρᾶσιν. Ἂν τὸ συγγνωμονικὸν ἀνέλωμεν, ἰσχυρὰ μένει τὰ τῆς ἀπολογίας, ἂν δὲ καὶ τὸ ἀντιστατικὸν, ἰσχυρὰ πάλιν μένει· ἂν δὲ τὸ μεταστατικὸν, τὸ πᾶν ἔφθαρται, μὴ γὰρ μεταφέροντες τὴν αἰτίαν ἐπὶ τὸν νόμον εὐθὺς ὁρῶμεν ὅλην τὴν ἀπολογίαν χωλεύουσαν, ὥστε μεταστάσεώς ἐστι· καὶ ἄλλως· κατὰ τὸν ἐν τῇ διανοίᾳ τοῦ φεύγοντος ὄγδοον τρόπον τὸν ἀπὸ τοῦ ἀναγκαίου, οἷον ὅτι οὐδὲ ἄλλως ἐνῆν γενέσθαι· δοκεῖ οὖν ὥσπερ τις ἐρώτησις ἐκ τῶν δικαστικῶν φέρεσθαι· καὶ πῶς ἄλλως οὐκ ἐνῆν; εἶτα ἐκ τῆς ἀντιθέσεως ἡ ἀπάντησις, καὶ ὅπερ ἂν μᾶλλον ἁρμόσῃ πρὸς τὴν ἐρώτησιν, πρῶτον εὐθὺς ἐκδραμὸν, ἀπ᾽ ἐκείνου χαρακτηριοῦμεν τὴν στάσιν· προεκδραμεῖται δὲ πάντως τὸ ἰσχυρότερον. Ζητοῦσι δέ τινες, τίνι διαφέρουσιν αἱ ἀντιθετικαὶ στάσεις τῶν ὁμωνύμων αὐτῶν κεφαλαίων· διαφέρει τοίνυν τὸ μὲν ἀντιστατικὸν τῆς ἀντιστάσεως, ὅτι οὐ μόνον ταῖς ἀντιστατικαῖς ἁπάσαις συμπλέκεται, ἀλλὰ καὶ στοχασμῷ καὶ ἀντιλήψει· στοχασμῷ μὲν, οἷον νέος πλούσιος πολέμου

2 Vol. VII. κη.

καταλαβόντος τὴν πόλιν χιλίους ὁπλίσας τῶν ἑαυτοῦ ἐπεξῆλθε τοῖς πολεμίοις, καὶ νικήσας κρίνεται τυραννίδος ἐπιθέσεως· ἀντιλήψεως δὲ, ὡς ἐπὶ τοῦ ζωγράφου τοῦ τὰ ναυάγια γράψαντος· ἐροῦσι γὰρ καὶ ἀμφότεροι ἀντιστατικόν· ἔτι διαφέρει, ὅτι ἐν μὲν τῇ ἀντιστάσει ὡμολόγηται καὶ τὸ ἀδίκημα καὶ τὸ εὐεργέτημα, οἷον τό τε τὸν λιμένα χῶσαι καὶ τὸ νικῆσαι· ἐν δὲ τῷ ἀντιστατικῷ θάτερον πάντως ἀμφισβητεῖται· τὸ μὲν γὰρ νενικηκέναι τοὺς πολεμίους τουτέστι τὸ εὐεργέτημα ὡμολόγηται, τὸ δὲ εἰ τυραννήσει τὸ ἀδίκημα ἀμφιβάλλεται· καὶ αὖ ἐκ τοῦ ἐναντίου· τὸ μὲν ἀδίκημα τὸ μὴ καταίρειν τοὺς ἐμπόρους δῆλον, τὸ δὲ εὐεργέτημα, εἰ ἐπ᾽ ὠφελείᾳ ἐγένετο, ἀμφισβητεῖται, ὥσπερ καὶ ἐπὶ τοῦ ἐν τῷ ἀντεγκλήματι ἀντιστατικοῦ, εἰ ἐπ᾽ ὠφελείᾳ τὸν πορνεύοντα παῖδα ἀνεῖλεν, ἀμφισβητεῖται· ὁ μέντοι φόνος ὁμολογούμενος· ἐπεὶ δὲ καὶ ἐν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ καὶ ἀδίκημα καὶ εὐεργέτημα εὕρηται, καὶ δοκεῖ πως ἡ αὐτὴ στάσις εἶναι τῇ ἀντιστάσει, ῥητέον καὶ τὴν τούτων διαφορὰν, ὅτι ἐν μὲν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ ἐκ νόμου τινὸς ὥρμηται τὸ ἀδίκημα, οὗ ἀναιρουμένου πᾶσα ἡ ζήτησις διαφθείρεται· ἐν δὲ τῇ ἀντιστάσει κατὰ φύσιν ἐστὶ τὸ ἀδίκημα, κἂν νόμος πρόσῃ, ὥστε καὶ ἀναιρουμένου τοῦ νόμου μένειν ἔτι τὴν ζήτησιν, τῇ φύσει γινωσκομένου τοῦ ἀδικήματος· οἷον νόμος, τῆς ἱερᾶς ὕλης μὴ ἅπτεσθαι· στρατηγὸς ἐπιθέντων [3] τῇ πόλει κατὰ θάλατταν πολεμίων τεμὼν τὴν ἱερὰν ὕλην ἐναυπηγήσατο, καὶ ναυμαχήσας ἐνίκησε, καὶ μετὰ τὴν νίκην κρίνεται ἀσεβείας. κἂν γὰρ ἀνέλῃς τὸν κωλύοντα νόμον, οὐδὲν λυμανεῖται τῷ ζητήματι· μένει γὰρ ἔτι ἀδίκημα φαινόμενον ἡ τῆς ἱερᾶς ὕλης τομή· τὸ δὲ ἀντέγκλημα διαφέρει τοῦ ἀντεγκληματικοῦ κεφαλαίου καὶ ἀντεγκληματικοῦ στοχασμοῦ,

---

3 Cod. ἐπιτιθέντων.

ὅτι τὸ μὲν ἀντέγκλημα ὁμολογούμενα ἑκάτερα τὰ ἐγκλήματα ἔχει, τό τε ὑπὸ τοῦ φεύγοντος καὶ τὸ ὑπὸ τοῦ διώκοντος· καὶ γὰρ ὅτι ἀνεῖλεν ὡμολόγηται, καὶ ὅτι πορνεύοντα· τὸ δὲ ἀντεγκληματικὸν κεφάλαιον οὐχ οὕτως· τὸ γὰρ ὑπὸ τοῦ φεύγοντος προβαλλόμενον ἔγκλημα πάντως ἔχειν τι ἐθέλει ἀμφισβητούμενον, οἷον ἐν τῷ περὶ[4] παραπρεσβείας ἐνέπεσεν ἀντεγκληματικὸν, ἀντεγκαλοῦντος Αἰσχίνου Φωκεῦσιν, ὡς αἴτιοι τῆς ἑαυτῶν ἀπωλείας τῷ μὴ[5] τὸν Πρόξενον δέξασθαι, καὶ ἔστιν αὐτὸ τοῦτο ἀμφιβαλλόμενον, πότερον τῷ μὴ δέξασθαι τὸν Πρόξενον ἀπώλοντο, ἢ διὰ τὴν Αἰσχίνου προδοσίαν· τοῦ δὲ ἀντεγκληματικοῦ στοχασμοῦ διαφέρει τὸ ἀντέγκλημα, ὅτι τὸ μὲν στάσις, τὸ δὲ εἶδος· ἔπειτα ἐν μὲν τῷ ἀντεγκλήματι διακρίνεται[6] ὁ διώκων καὶ ὁ φεύγων· ἐν δὲ τῷ στοχασμῷ ἀμφότεροι ὁμοίως καὶ διώκουσι καὶ φεύγουσι· τρίτον ἐν μὲν τῷ ἀντεγκλήματι αὐτὸς ὁ πεπονθὼς ἀντεγκαλεῖται, ἐν δὲ τῷ ἀντεγκληματικῷ στοχασμῷ ἕτερος μὲν ὁ πεπονθὼς, ἕτεροι δὲ οἱ ἀντεγκαλοῦντες ἀλλήλοις· οὐ λέγομεν δὲ καὶ ἀντιστατικὸν στοχασμὸν, ὥσπερ καὶ ἀντεγκληματικόν· ὅτι ἡ μὲν ἀντίστασις παντὶ στοχασμῷ ἐπισυμπλέκεσθαι δύναται, ἁπλῷ τε καὶ διπλῷ καὶ συνεζευγμένῳ, τὸ δὲ ἀντέγκλημα ἑνὶ μόνῳ τῷ διπλῷ, ὅθεν καὶ ἰδίως τῆς ὀνομασίας αὐτῷ μεταδέδωκεν· ἡ δὲ μετάστασις καὶ ἡ συγγνώμη φανερὰν τὴν αἰτίαν ἔχουσιν, ἐφ' ἣν τὸ ἀδίκημα μεταφέρουσι· τὸ δὲ μεταστατικόν τε καὶ συγγνωμονικὸν ἀμφιβαλλομένην· παραδείγματα δὲ τούτων ἐκ τοῦ παραπρεσβείας· μεταστατικοῦ μὲν, δι' ὧν Αἰσχίνης τὴν αἰτίαν τῆς τῶν Φωκέων ἀπωλείας μεθίστησιν ἐπὶ τὴν Λακεδαιμονίων ἀναχώρησιν· τοῦ δὲ συγγνωμονικοῦ, δι' ὧν ἠπατῆσθαί φησιν ὑπὸ τοῦ Φιλίππου· ἀμφιβάλλεται γὰρ καὶ ἀμφό-

4 Vol. VII. ἐν τῷ παραπρεσβείας· ἐνέπεσε γὰρ ἀ. — p 364.
5 Vol. VII. μὴ δέχεσθαι Πρόξενον. 6 Vol. VII. διακέκριται.

τερα· εὕρηται μὲν οὖν καὶ ἐν ἀντιστάσει ἀντεγκληματικὸν, ὡς ἐπὶ τοῦ τὸ τεῖχος διακόψαντος, ὅτι ὑμεῖς αἴτιοι, καὶ ἐν μὲν τῇ μεταστάσει ἀντιστατικὸν, ὡς ἐπὶ τοῦ Ἀρχιδάμου νοσούντων Ἀθηναίων ἀναζεύξαντος, ὅτι συνήνεγκεν ἡ ἀναχώρησις· καὶ δὴ καὶ πᾶσαι ἐν πάσαις. Ἑτέρα διάνοια, ὅταν μὲν ἡ τοῦ προσώπου ποιότης ἢ τοῦ πράγματος παρέχῃ τῆς διανοίας πιθανὴν ἐξέτασιν, τηνικαῦτα αὐτῇ χρησόμεθα· ὅταν δὲ ἀπίθανον, ἀντὶ ταύτης τῷ πηλίκῳ χρησόμεθα, οἷον οὐ μέγα ἦν τὸ κατεπεῖγον ἀνελεῖν τὸν παῖδα· κατασκευάζεται δὲ καὶ αὕτη ἀπὸ τῶν αὐτῶν τρόπων, ἀφ᾽ ὧν καὶ ἡ τοῦ φεύγοντος διάνοια.

ε) Ἡ μετάληψις·[7] ἡ μετάληψις πρὸς τὴν ἀντίθεσιν φέρεται, πᾶσα γὰρ ἀντίθεσις μεταλήψει λύεται· δύο δὲ οὐσῶν μεταλήψεων ἐν ταῖς ἀντιθετικαῖς, τῆς μὲν ἀπὸ τοῦ πράγματος, τῆς δὲ ἀπὸ τοῦ προσώπου, ἡ ἀπὸ τοῦ πράγματος διχῆ γίνεται, ἢ κατὰ αὐτὸ τὸ πρᾶγμα, ἢ κατὰ τὸν τρόπον τοῦ πράγματος· οἷον ὅτι οὐκ ἐχρῆν τόδε τι ὅλως πραχθῆναι, ἢ οὐχ οὕτως ἐχρῆν, καὶ τρόπους εἰσάξομεν ἑτέρους, δι᾽ ὧν ἐξῆν τὸ δέον πράττειν χωρὶς τοῦ δεινόν τι ἐργάσασθαι· οἷον παραινεῖν ἔδει, τύπτειν, ἀποκηρύττειν, ἀλλ᾽ οὐ φονεύειν· εἶτα ἐν ὑποδιαιρέσει τὴν αἰτίαν συστήσομεν, δεικνύντες, τί μὲν ἀγαθὸν ἀπέβαινεν, εἰ, ὡς ἡμεῖς φαμεν, ἐπράχθη, τί δὲ φαῦλον ἐκβέβηκε, δι᾽ ὧν ἔπραξεν ὁ φεύγων.

ς) Τὸ πρός τι· δεύτερον τὸ πρός τι παραλαμβάνεται· ἀνωτέρω μὲν πρὸς λύσιν τοῦ ὅρου, ἐνταῦθα δὲ κοινὸν ἀμφοτέρων· ὁ μὲν γὰρ τὴν βλάβην μείζονα δεικνύει τοῦ εὐεργετήματος, ὁ δὲ φεύγων τοὐναντίον ἐπὶ τῆς ἀντιστάσεως· ἐπὶ δὲ τοῦ ἀντεγκλήματος ὁ μὲν τὴν τιμωρίαν τοῦ ἀδικήματος, ὁ δὲ τὸ ἁμάρτημα ὑπερβαί-

---

7 Vol. VII. 18.

νειν φήσει· οὐκ ἐν πάσῃ δὲ ἀντιθετικῇ ἐμπίπτει τὸ πρός τι, ἀλλ' ἔνθα ἂν εὑρεθῇ ἀντιστατικόν.

ζ) Ὁ βίαιος ὅρος. Βίαιος ὅρος καλεῖται, ὅτι πάσης ἀντιθέσεως ὁμολογούμενον ὑπὸ τοῦ φεύγοντος τὸ ἀδίκημα ἐχούσης, καὶ πάλιν ὑπὸ τοῦ διώκοντος τὸ εὐεργέτημα, ἢ τὴν αἰτίαν, ἐφ' ἣν μεθίστησιν ὁ φεύγων, καὶ τοῦτο καθόλου πάσης ἀντιθέσεως ἔχειν βουλομένης ὁ βίαιος ὅρος ἀπαρνεῖται βιαστικώτερον παρὰ τὴν φύσιν τῆς ἀντιθέσεως, ὅτι οὐδὲ νίκη τὸ πεπραγμένον, καὶ ὅτι οὐδὲ χωσθῆναι τὸν λιμένα τοῦτό ἐστιν. Ἰστέον δὲ, ὡς ἔνθα ἂν ἀπίθανος φαίνηται τὸ λέγειν κατ' εἶδος, ἐπὶ τὸ γενικώτατον ἀναδραμούμεθα, οἷον οὐκ ἔστι νίκη τὸ βλάπτειν, ἢ οὐκ ἔστιν ἀδίκημα τὸ ὠφελεῖν· ταῦτα γὰρ καθολικώτερα ὄντα ἐπικρύπτει τὸ κατ' εἶδος ἀπίθανον, μεθ' ἃ καὶ τοῖς εἰδικοῖς χρησόμεθα, οἷον ἐπὶ τοῦ μὴ ἀνοίξαντος τὰς πύλας τοῖς ἀποδρᾶσιν· ἐπειδήπερ ἀπίθανον τὸ λέγειν, ὡς οὐδὲ φυλάξαι τὸν νόμον τοῦτό ἐστι, γενικῶς ἐροῦμεν, ὅτι οὐκ ἔστι φυλάττειν νόμους τὸ τὴν πόλιν συμφορῶν ἀναπιμπλάναι. Ἡ θέσις οὖν· ἡ θέσις οὖν ἀκολουθεῖ πρὸς τὴν μετάληψιν· ἐξεταστέον δὲ ταύτην τοῖς ἐμπίπτουσι τελικοῖς· ἔστι δὲ κοινὴ τοῦ τε διώκοντος καὶ τοῦ φεύγοντος· χρηστέον δὲ αὐτῇ γενικῶς ἀεί· τὸ γὰρ ἐπὶ τοῖς ἀδικήμασιν αὐτοῖς εἰδικῶς θέσιν περαίνειν εὔηθες, οὐ γάρ ἐστι λέγειν, ὡς δεῖ κατασκάπτειν τὰ τείχη, ἀλλ' ὅτι δεῖ τὸν στρατηγὸν πάνθ' ὃν ἂν ἐγχωρῇ τρόπον εὖ ποιεῖν τὴν πόλιν. Κοινὸν γὰρ τοῦτο· τὸ κατὰ σύγκρισιν δηλονότι τῶν ἡττόνων πρὸς τὰ μείζω τὴν θέσιν προφέρεσθαι, καὶ ὅλως τὸ πρός τι ἐπαναλαμβάνειν· ἐν μὲν ἀντιστάσει καθὰ πρόκειται, ἐν δὲ ἀντεγκλήματι, ὅτι οὐ μείζους τῶν ἁμαρτημάτων τὰς τιμωρίας λαμβάνειν δεῖ· ἐν δὲ μεταστάσει, ὅτι μείζων οὐκ ἂν γένοιτο ὠφέλεια τῆς τῶν νόμων φυλακῆς· καὶ ὅτι οὐδὲν ἂν δεινότερον εἴη τοῦ συμφορῶν ἀναπιμπλάναι τηλικούτων τὴν πόλιν· ἐν

δὲ συγγνώμῃ, ὅτι χρὴ τὸ κοινῇ συμφέρον πρὸ τοῦ ἰδίου τίθεσθαι. Ἡ ἑτέρα μετάληψις· ἐλέγομεν τὴν μετάληψιν διχῇ φέρεσθαι, πῇ μὲν πρὸς τὸ πρᾶγμα, καὶ εἴρηται ὅπως· πῇ δὲ πρὸς τὸ πρόσωπον, ὥσπερ ἐνταῦθα· τὸ πρόσωπον γὰρ μεταλαμβάνει ὁ κατήγορος, λέγων οὐ σὲ ταῦτα ποιεῖν ἐχρῆν, καὶ ἑξῆς. Ἡ ἀντίληψις· πῶς ὁμολογῶν ἔγκλημα εἶναι τὸ πεπραγμένον ἀντιλήψει δύναται χρῆσθαι, τυραννικὸν γὰρ δοκεῖ, ἀλλ' οὐκ αὐτῷ τῷ πεπραγμένῳ προσάγει τὴν ἐξουσίαν, ἀλλὰ τῷ ἑαυτοῦ προσώπῳ ἀξίωμα ἔχοντι, ὅτι ὁ στρατηγός. Ἐπειράσθησαν δέ τινες. Τὸ χωρίον ὅλον πρὸς Μινουκιανὸν ἀποτείνεται, ἐκεῖθεν γὰρ ταῦτα εἴδη ἐτεχνολόγει. κατὰ τὸ δημόσιον, ὡς ὁ τὸν λιμένα χώσας· κατὰ τὸ ἰδιωτικὸν, ὡς ὁ τὸν ἵππον βαλὼν, τὸν ἐκφέροντα ἐπὶ τοὺς πολεμίους τὸν ἀναβάτην· κατὰ τὸ μικτὸν, ὡς τὸ πρὸ ὀλίγου τεθὲν παράδειγμα τοῦ αἰτήσαντος τυράννου τὸ ὡραῖον μειράκιον ἐξ ἀστυγείτονος πόλεως· ἰδιωτικὸν μὲν γάρ ἐστι, καθ' ὃ φαίη ἂν ὁ πατὴρ αἰσχύνης ἀπηλλάχθαι τὸ μειράκιον· δημόσιον δὲ τῷ πολιορκίας ἠλευθερῶσθαι τὴν πόλιν· ἀνασκευάζει δὲ τὸν λόγον κατά τε τὸ ἀσύμφορον καὶ ἀδύνατον, ὡς περιττὸν τοῖς περὶ διαιρέσεως γράφουσι παραλαμβάνειν εἴδη μηδεμίαν ἔχοντα διαφορὰν περὶ τὴν τῶν κεφαλαίων διαίρεσιν· κατὰ δὲ τὸ ἀδύνατον, ὅτι τὸν μὴ πρότερον τὰς ὑποθέσεις καὶ τὰ κεφάλαια ἐπιστάμενον οὐχ οἷόν τε τὸ ἰδιωτικὸν καὶ δημόσιον γινώσκειν τί τέ ἐστι καὶ διὰ τίνων προσάγεται· τὸ δὲ αὐτὸ ἁμάρτημα· τούτου καὶ κατὰ τὴν ἀρχὴν τῆς πραγματείας ἐμνήσθη, πρὸς Μινουκιανὸν φερόμενος, ἔνθα ἔλεγεν· εἴδους γὰρ ἕνεκα προβλημάτων καὶ τρόπου καὶ ἑξῆς· καὶ γὰρ ἐν τῷ περὶ διαιρέσεως οἱ περὶ Μινουκιανὸν καὶ εἴδους καὶ τρόπου ἐμνήσθησαν, πάντα συγχέοντες· οὐ μόνον δὲ κατὰ τὸ περιττὸν καὶ ἀδύνατον ἔνεστιν ἀνατρέπειν τὰ τοιαῦτα εἴδη, ἀλλὰ καὶ ὅτι τὸ ἰδιωτικὸν καὶ

δημόσιον οὐκ ἀντιθέσεως μόνης, ἀλλὰ καὶ κοινὸν πάσης στάσεως. Ἐκεῖνα εἰδέναι· τὰ εἴδη καὶ τοὺς τρόπους, ἢ τὸ ἰδιωτικὸν καὶ δημόσιον. Καὶ ἴσως ταῦτα·[8] τί δήποτε τὸν ἐκείνων αὐτὸς δεχόμενος λόγον εἰσήνεγκεν ἕτερον; ὅτι ᾔσθετο καὶ τὸν ἐκείνων λόγον τῷ οἰκείῳ σκοπῷ συμφερόμενον· τὸ μὲν γὰρ εἴς τι τῶν ἔξωθεν μεθιστᾶν τὰ δίκαια τοῖς ἀνευθύνοις ἔοικε, τὸ δὲ εἰς ἴδιόν τι πάθος ψυχῆς, τοῖς ὑπευθύνοις. Διαφέρει δὲ οὐδέν· οὐ πρὸς τὴν φύσιν αὐτὴν ἀφορῶν, ἀλλ' ὅσον πρὸς τὴν τῶν κεφαλαίων ἥκει διαίρεσιν, εἶπεν αὐτὰς μὴ διενηνοχέναι· καὶ γὰρ ἐν μεταστάσει, φησὶν, ἐμπίπτει συγγνωμονικὸν, καὶ ἐν συγγνώμῃ μεταστατικόν. Τουτὶ δέ· καὶ γὰρ ἐνδόξου πολλάκις ὄντος τοῦ προσώπου αἰσχύνην φέρει τὸ συγγνωμονικῶς ἀπολογεῖσθαι· μεταστατικῶς οὖν ἐροῦμεν, ὅτι οὐκ ἐγὼ αἴτιος, ἀλλ' ἡ τύχη· ἀδόξου δὲ ὄντος καὶ μη δυναμένου μεταστατικῶς ἀπολογεῖσθαι ἀναγκαίως ἐπὶ τὴν συγγνώμην δεῖ καταφεύγειν· ἐπεὶ δὲ κομιδῇ ἀσθενὲς δοκεῖ τὸ φανερῶς ἠδικηκότα συγγνώμην αἰτεῖν, χρηστέον πρῶτον μὲν τῇ τοῦ μέλλοντος ἐπαγγελίᾳ, οἷον ἐγὼ τοίνυν διαφυγὼν αὖθις ὑμῖν χρήσιμος ἔσομαι τοῖς πολίταις. ἔπειτα ἐκ τῶν παραδειγμάτων τοῦτο πιστοῦσθαι, ὡς πολλοὶ πρῶτον δόξαντες ἀδικεῖν ἀγαθοὶ τὰ τελευταῖα πολῖται γεγόνασιν, οἷον Θεμιστοκλῆς, καὶ ὡς, εἰ τὸ πρῶτον ἁμαρτὼν ἀνῃρέθη, οὐκ ἂν ἡ Ἑλλὰς τῆς δι' ἐκείνου ἐλευθερίας ἀπώνατο· τρίτον ἐκ τῆς τῶν δικαστῶν φιλανθρωπίας, ὅτι εἰ μὴ ἐφιλανθρωπεύοντο, οὐδεὶς ἂν ὑπελείπετο. Ἕνεκά γε τοῦ μηδὲν ἁμαρτεῖν· εἶτα ἐκ παραδειγμάτων εἰ ἔχοιμεν ἐπιδεικνύναι συγγνώμην αὐτοὺς νείμαντας ἑτέροις.

---

8 Vol. VII: ν.

## Περὶ πραγματικῆς.

α) Ἡ πραγματική. Πραγματικὴ[1] ὠνόμασται, καθότι πάντων ἐστὶ περιεκτικὴ τῶν πραγμάτων, τὰ τελικὰ τῶν εἰδῶν τῆς ῥητορικῆς[2] λαβοῦσα κεφάλαια, τὸ δίκαιον,[3] τὸ συμφέρον, καὶ τὸ καλόν· ἀνάγκη[4] γὰρ, ὅτι ἂν εἴποι τις πρᾶγμα, ὑφ᾽ ἕν τι τούτων ἀνάγεσθαι· καὶ ἄλλως· ὅτι μετέχει τοῦ δικανικοῦ κατὰ τὸ δίκαιον, καὶ τοῦ πανηγυρικοῦ, ταῖς κατ᾽ ἀμφισβήτησιν στάσεσι τὸ πανηγυρικὸν ἐμπίπτει· ἀλλὰ καὶ τῆς ποιότητος τῶν πραγμάτων εἰς τὰ παρεληλυθότα καὶ μέλλοντα διαιρουμένης, αἱ μὲν ἄλλαι πᾶσαι στάσεις τὸ παρεληλυθὸς ἐξετάζουσιν, αὕτη δὲ μόνη τὸ μέλλον ἐπισκοπεῖ, ἔσθ᾽ ὅτε δὲ καὶ τῶν γεγονότων ἐφάπτεται, πρὸς κατασκευὴν τῶν μελλόντων· διὰ ταῦτα οὖν πάντα μεγίστην περὶ τὰ πράγματα ἰσχὺν ἔχουσα πραγματικὴ ἐξαιρέτως προσηγορεύθη. Ἰστέον δὲ, ὅτι τῶν στάσεων αἱ μέν εἰσι λογικαὶ, αἱ δὲ νομικαὶ, αἱ δὲ μικταί· λογικαὶ μὲν ἑπτά· νομικαὶ δὲ τέσσαρες, μικταὶ δὲ δύο, πραγματικὴ καὶ μετάληψις, αἳ καὶ εἰκότως ὡς μίγμα ἑκατέρων τῶν ἄκρων οὖσαι καὶ μεταξὺ ἐκείνων ἐτέθησαν. Ἔτι ἰστέον, ὡς ἐν μὲν τῇ μεθόδῳ τὴν πραγματικὴν προέταξε τῶν δικαιολογικῶν, ἐν πάσῃ γὰρ διαιρέσει τὰ ἁπλᾶ δεῖ τῶν πολυσχιδῶν προτιθέναι· ἐνταῦθα δὲ, οὐκέτι τοῦ διαιρετικοῦ κατεπείγοντος λόγου, τὴν κατὰ φύσιν αὐτῇ προσήκουσαν τάξιν ἀπένειμε.

β) Νομίμῳ· τελικὰ[5] κεφάλαια κυρίως μέν ἐστι τρία κατὰ τὰ τρία τῆς ῥητορικῆς εἴδη, ὧν τέλη ἐστὶ τοῦ μὲν δικανικοῦ τὸ δίκαιον, τοῦ δὲ συμβουλευτικοῦ τὸ συμφέρον, τοῦ δὲ πανηγυρικοῦ τὸ καλόν· τούτων δὲ[6] ἕκαστον ὑποδιαιρεῖται εἰς τάδε· τὸ μὲν δίκαιον εἴς τε τὸ

1 Ex Vol. VII. c. XXII. β. 2 τῆς ῥητορικῆς Vol. VII. om. 3 Vol. VII. addit: φημι. 4 Vol. VII. ἐπάναγκες. 5 Vol. VII. γ. 6 δὲ Vol. VII. om.

*νόμιμον καὶ τὸ δίκαιον καὶ τὸ ἔθος· τὸ δὲ συμφέρον εἴς τε τὸ χρήσιμον καὶ ἀναγκαῖον καὶ δυνατὸν καὶ ῥᾴδιον καὶ τὸ ἐκβησόμενον· τὸ δὲ καλὸν εἴς τε τὸ πρέπον καὶ ἔνδοξον, τὰ μὲν οὖν τοῦ δικανικοῦ τοῖ παρεληλυθότος εἰσὶ χρόνου, διὸ καὶ προτάττονται, οὐδὲ γὰρ οὐδὲ τούτων ἐκτός ἐστιν ἡ πραγματική, καὶ εἰ τὰ μάλιστα περὶ τὸ μέλλον ἔχει· τὰ δὲ λοιπὰ περὶ τὸ μέλλον ὁρᾶται· τοῦ δὲ δικαίου τὸ νόμιμον προτέτακται, ὡς ἄτεχνος πίστις· αἱ γὰρ ἄτεχνοι πίστεις [7] ἰσχυρότεραι τῶν ἐντέχνων· τὸ νόμιμον [8] οὖν ἄτεχνος πίστις, τὸ δὲ δίκαιον ἐξ ἐννοιῶν ἐστι καὶ ἐνδόξων πίστεων ἀντίῤῥησιν ἐχουσῶν· πρὸ δὲ τοῦ δυνατοῦ τὸ συμφέρον τέτακται· πρότερον γὰρ σκοποῦμεν εἰ συμφέρει, εἶθ᾽ οὕτως, εἰ δυνατὸν γενέσθαι· φύσει οὖν πρότερον τὸ συμφέρον, καὶ ἐμπεριείληφεν ἑαυτῷ τὸ δυνατὸν, οὐκ ἀνάπαλιν· οὐ γὰρ εἰ δυνατὸν ἱεροσυλῆσαι, ἤδη καὶ συμφέρον· εἰ δὲ καὶ ἄχρηστον τὸ συμφέρον ἀπόντος τοῦ δυνατοῦ, ἀλλὰ κἂν ἀπῇ τὸ δυνατὸν, ἀεὶ τὸ συμφέρον ἐξετάζεται· ὥσπερ δὲ ὑπὸ τὸ συμφέρον τὸ δυνατὸν, οὕτως ὑπὸ τὸ ἔνδοξον τὸ ἐκβησόμενον· ἡ γὰρ τοῦ συμφέροντος ἔννοια τὴν δόξαν ἔχει, καὶ προηγεῖται τὸ ἔνδοξον τοῦ ἐκβησομένου, ὡς δῆλον ἀπὸ τῶν ἐν Πύλῳ τριακοσίων, οἳ διὰ δόξαν τοῦ ἐκβησομένου κατεφρόνησαν· ἐξὸν γὰρ ἀλόγως σώζεσθαι, εἵλοντο μᾶλλον τὸν μετὰ δόξης ἐκβάντα θάνατον. Ἰστέον δὲ, ὡς Ἑρμογένης μὲν τὸ ἀναγκαῖον κεφάλαιον ἀγνοεῖ, Δημοσθένει δὲ καὶ ἄλλοις μεμελέτηται. Ἔστι δὲ ἡ μὲν ἔγγραφος· ἔγγραφος [9] ἡ ἀπὸ ῥητοῦ τὴν ζήτησιν ἔχουσα· δεῖ δὲ προσθεῖναι, καὶ περὶ ῥητόν· αἱ γὰρ τῶν νόμων εἰσφορὰν ἐξετάζονται, πότερον κατὰ νόμον καὶ δίκαιον ἢ οὔ· καὶ πότερον συμφέρον [10] καὶ ἔνδοξον ἢ τού-*

7 Cod. πίστις. 8 τὸ νόμ. οὖν ἄτ. πίστις ex T. VII. recepi: in Par. 2977. αἱ γὰρ ἄτεχ. — οὖν ἄτεχνος πίστις deest. 9 T. VII. ὁ. 10 Cod. οὐ συμφέρον: T. VII. οὐ om.

τοὐναντίον·[11] ἰστέον μέντοι, ὡς καὶ ἐν τῇ ἀγράφῳ[12] ἐμπίπτει ἔσθ᾽ ὅτε ῥητὸν, ὡς καὶ ἐπὶ τῆς ἀποκτεινάσης γυναικὸς τύραννον τὸν ἄνδρα, καὶ αἰτούσης εἰς τὴν δωρεὰν τὴν σωτηρίαν τῶν τέκνων, νόμου ὄντος τῷ τυράννῳ συναποθνήσκειν τὰ τέκνα· ἐνταῦθα γὰρ κεῖται μὲν τὸ[13] ῥητὸν, ἀλλ᾽ ἐπειδὴ οὐ περὶ αὐτοῦ ἡ ζήτησίς ἐστιν, εἰ[14] ἔννομον, εἰ δίκαιον, ἀλλὰ περὶ τὴν ποιότητα τῆς δωρεᾶς, πότερον,[15] ἣν αἰτεῖ δωρεὰν, δεῖ λαβεῖν αὐτὴν[16] ἢ ἑτέραν, ἡ ζήτησις ἄγραφός ἐστι πραγματική. Ἔστι[17] δὲ καὶ ἐν τῇ ἀγράφῳ τὸ ἔθος εὑρεῖν ἀντὶ νομίμου παραλαμβανόμενον. Ἐζήτηται[18] δὲ, διατί ἐπὶ μὲν τῶν ἄλλων στάσεων μετὰ τὰ κεφάλαια παραλαμβάνει τὰ εἴδη, ἐνταῦθα δὲ πρὸ τῶν κεφαλαίων· καί φαμεν, ὅτι ἐπὶ μὲν τῶν ἄλλων στάσεων τὰ εἴδη ὑφ᾽ ἓν καὶ τὸ αὐτὸ γένος ἀνάγεται, οἷον τοῦ στοχασμοῦ τὰ εἴδη πάντα ἐστὶ λογικὰ, καὶ πάλιν τοῦ ῥητοῦ καὶ τῆς διανοίας ἅπαντα νομικὰ, τὰ δὲ τῆς πραγματικῆς οὐχ οὕτως, ἀλλ᾽ ὑπὸ διάφορον ἀνάγεται[19] γένος, τὸ ἔγγραφον δηλαδὴ καὶ τὸ ἄγραφον, ὧν τὸ μὲν ὑπὸ τὰς νομικὰς πίπτει, τὸ δὲ ὑπὸ τὰς λογικάς· προτέραν οὖν τὴν περὶ αὐτῶν ἐπίσκεψιν ἐποιήσατο, ἅτε[20] πολὺ διεστηκότων καὶ κατ᾽ ἀρχὰς δεομένων διαστολῆς, ὅπως ἂν σαφῆ τὰ τῆς διαιρέσεως γένηται.[21] Ἰστέον δὲ, ὡς Ἑρμαγόρας ὁ νεώτερος καὶ Μη-

---

11 T. VII. addit: ἡ δὲ ἄγραφος ῥητῶν οὐ προσαπτομένη περὶ ψιλὰ μόνον ἔχει τὰ πράγματα τὴν ζήτησιν. 12 Par. 2977. ἐγγράφῳ. 13 τὸ T. VII. om. 14 T. VII. οἷον εἰ. 15 T. VII. οἷον πότερον. 16 αὐτὴν inserui ex T. VII. 17 T. VII. ἀλλὰ δὴ καὶ ἐν τῇ ἀγράφῳ [Planudae cod. ἐγγράφῳ] ἐστὶν εὑρεῖν τὸ ἔθος ἀντὶ νόμου παρ. 18 T. VII. η. 19 T. VII. ἀναφέρεται γένος· τὸ μὲν γὰρ ἔγγραφον αὐτῆς ὑπὸ τὰς νομικὰς πίπτει, τὸ δὲ ἀγρ. ὑπὸ τὰς λογικάς· εὐλόγως οὖν προτέραν. 20 T. VII. ἅτε δή· et post ἀρχὰς ponit εὐθύς. 21 T. VII. γένοιτο. ἐντεῦθεν δὲ ζητητέον, πότερον τὰ τῆς πραγματικῆς εἴδη,

τροφάνης ἰδίᾳ περὶ πραγματικῆς μονόβιβλον ἑκάτερος συντάξαντες ὡς γένη παραλαμβάνουσι τὸ ἔγγραφόν τε καὶ ἄγραφον· εἰς εἴδη γὰρ ἑτέραν τομὴν ἐποιήσαντο· ἀλλ' ὁ μὲν Ἑρμαγόρας οὐ μέχρι πολλῶν, ὁ δὲ Μητροφάνης ἄχρι πέντε καὶ εἴκοσι προῆλθεν εἰδῶν, περὶ ὧν ἤδη λεκτέον, ὡς καὶ τῶν Ἑρμαγόρου ἐν αὐτοῖς περιεχομένων. Διεῖλε τοίνυν τὴν μὲν ἔγγραφον εἰς εἴδη ἑπτὰ, τὴν δὲ ἄγραφον εἰς ὀκτωκαίδεκα· πρῶτα δὲ λεγέσθω τὰ τῆς ἐγγράφου, καὶ ἔστι ταῦτα, νόμου εἰσφορὰ ψιλὴ, νόμου εἰσφορὰ μετὰ περιστάσεως, νόμου μέρους ἀναίρεσις, νόμου μέρους προσθήκη, ψηφίσματος εἰσφορὰ ψιλὴ, ψηφίσματος εἰσφορὰ μετὰ προσκοπῆς [22] ἐγγράφου δίχα ἀναιρέσεως· ψηφίσματος εἰσφορὰ μετὰ προσκοπῆς ἐγγράφου καὶ ἀναιρέσεως. [23] Νόμου μὲν εἰσφορὰ φιλὴ, οἷον ὁ πρὸς Λεπτίνην· πολλῶν ἀτελείας ἐπειλημμένων εἰσφέρει Λεπτίνης νόμον, μηδένα εἶναι ἀτελῆ· νόμου εἰσφορὰ μετὰ περιστάσεως, οἷον [24] νόμος τὸν ὑβρίζοντα χιλίας ἐκτιννύναι· πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά· ὕβρισε τρὶς ὁ πλούσιος τὸν πένητα, καὶ τὰς τριςχιλίας [25] ἐξέτισε· μετὰ ταῦτα ὁ πένης νομοθετεῖ, μηκέτι περὶ χρήματα ὑπέχειν εὐθύνας τὸν ὑβρίζοντα· ἐνταῦθα [26] δὲ ἰστέ-

---

καθὸ γέγονεν, ὅλως εἴδη ἔμεινεν ἐφ' ἑαυτῶν, ἢ, καθὸ πρὸς γένος ἀνῆκται διάφορον, ἐγένετο καὶ αὐτὰ γενικά. Ἑρμαγόρᾳ μὲν οὖν τῶν νεωτέρων καὶ Μητροφάνει περὶ πραγματικῆς ἰδίᾳ μονόβ. ἑκατέρῳ συντέτακται, δι' ὧν ὡς γενικόν τι φαίνονται παραλαβόντες τὸ ἄγραφόν τε καὶ ἔγγρ. [Mon. 8. ὡς γενικόν τι — ὁ μὲν Ἑρμαγ. om.]. 22 Par. 2977. προκοπῆς. 23 T. VII. addit: λάβωμεν οὖν ἐπὶ παραδείγματος ἕκαστον. 24 Pro οἷον T. VII. ἧς ἐκεῖνο παράδειγμα. 25 Planud. τρισχιλίας. T. VII. χιλίας. 26 T. VII. ἴσως δὲ ἀπορήσει τις καὶ μάλα εἰκότως, ἀνθ' ὅτου καλεῖται τὸ τοιοῦτον μετὰ περιστάσεως, ὡς ἐνὸν εὑρέσθαι τι ῥητορικὸν ἄνευ περιστάσεως· δῆλον γὰρ ὡς τὸ ἀπερίστατον καθολ. — ῥητέον δὲ, ὡς ἰδιώνυμον μᾶλλον καὶ προσεχέστερον τοῦτο ἀπὸ τῆς περιστ. ὀνομάζεται.

ον, ὡς παντὸς ῥητορικοῦ προβλήματος μετὰ περιστάσεως εὑρισκομένου, τὸ γὰρ ἀπερίστατον καθολικὸν καὶ ἢ φιλόσοφον ἢ προγύμνασμα, ἰδίως τοῦτο μετὰ περιστάσεως ὀνομάζεται· καθὸ ἀφ' ὧν αὐτός τις ἔπαθεν εἰσφέρει τὸν νόμον· ἔστι δὲ ὅμοιον τῷδε καὶ τὸ παρὰ Δημοσθένους ἐν τῷ κατὰ Τιμοκράτους περὶ τοῦ Λοκροῦ τοῦ ἑτεροφθάλμου.[27] Νόμου μέρους ἀναίρεσις, οἷον τὸν ἁλισκόμενον ἐπὶ μοιχείᾳ νόμος ἐκέλευεν ἢ χρήματα διδόναι ἢ ἀναιρεῖσθαι· συνέβη πολλοὺς ἁλόντας μοιχοὺς μὴ ἀναιρεθῆναι καὶ νόμον εἰσφέρει τις κελεύοντα, πάντα μοιχὸν ἀναιρεῖσθαι· ἐνταῦθα γὰρ μέρος ἀναιρεῖται τοῦ[28] νόμου τὸ περὶ τῶν χρημάτων. Νόμου[29] μέρους προσθήκη· οἷον νόμος τὸν πόρνον μὴ λέγειν· πολλοὶ κατὰ τὸν νόμον κωλυθέντες δημηγορεῖν ἐθορύβουν ἐν ταῖς ἐκκλησίαις, καὶ προστίθησί τις τῷ νόμῳ, μηδὲ[30] ἐκκλησιάζειν αὐτούς.[31] Ψηφίσματος εἰσφορὰ ψιλή, ὡς ὁ[32] Κτησιφῶν περὶ τοῦ στεφανωθῆναι Δημοσθένην. Ψηφίσματος εἰσφορὰ μετὰ προσκοπῆς[33] ἐγγράφου δίχα ἀναιρέσεως, οἷον τρισὶν ἡμέραις περὶ πολέμου βουλεύεσθαι νόμος ἐκέλευεν· Ἐλάτειαν ἔχοντος Φιλίππου αὐθημερὸν γράφει Δημοσθένης ἐξιέναι· μετὰ προσκοπῆς δὲ ἐγγράφου δίχα ἀναιρέσεως εἶπεν, ὅτι[34] προσκόπτει μὲν καὶ ἐναντιοῦται πρὸς τὸ παρὸν ἐγγράφῳ νόμῳ· οὐκ

---

27 T. VII. λελεγμένον· νόμου δὲ μ. 28 τοῦ ex T. VII. recepi. 29 T. VII. νόμου δὲ μ. πρ. ὡς ἐπ' ἐκείνου τοῦ παραδείγματος· νόμος. 30 Par. 2977. μή. 2916. μὴ δέ. Mon. 8. μηδέν. Planud. μηδέ. 31 T. VII. ἔτι καὶ περὶ τῶν ψηφισμάτων διαληπτέον· ψηφίσματος μὲν εἰσφ. 32 T. VII. ἡ Κτησιφῶντος et mox Δημοσθένη. ψηφίσματος δὲ εἰσφ. 33 Par. 2977. constanter προκοπῆς. 34 T. VII. ὅτι οὐκ ἀναιρεῖ παντελῶς τὸν νόμον, ἀλλὰ προκόπτει αὐτῷ καὶ ἐναντιοῦται πρὸς τὸ παρόν. Τί δὲ λέγει προκοπῆς ἐγγράφου, τουτέστιν ἐναντιώσεως τῆς πρὸς ἔγγραφον γενομένης, νόμῳ γὰρ ἀντιτείνει. Ψηφίσματος δὲ εἰσφ.

ἀναιρεῖ δὲ αὐτὸν παντελῶς. Ψηφίσματος εἰσφορὰ μετὰ προσκοπῆς ἐγγράφου καὶ ἀναιρέσεως, οἷον μετὰ τὰ ἐν Μαραθῶνι γράφει τις παρὰ Λακεδαιμονίοις τὸν περὶ [35] τῆς πανσελήνου νόμον λυθῆναι· ἐνταῦθα γὰρ καὶ ἐναντιοῦται καὶ ἀναιρεῖται [36] παντελῶς τὸν νόμον. Τῆς μὲν οὖν ἐγγράφου πραγματικῆς τοσαῦτα [37] εἴδη· τῆς δὲ ἀγράφου, ὡς ἔφην, ὀκτωκαίδεκα ταῦτα, [38] κατὰ ποιοτήτων ἐπιβολὴν, κατὰ νόμον, κατὰ ψήφισμα, κατὰ κήρυγμα, κατὰ διαθήκην, κατὰ συνθήκην, κατὰ ποσότητα καὶ πηλικότητα, κατὰ αἴτησιν, κατὰ σύγκρισιν, κατὰ ἀμφισβήτησιν, κατὰ ἓν μόριον δικαίου, κατὰ δοκιμασίαν, κατὰ τίμησιν [39] καὶ ἀνθυποτίμησιν, κατὰ εἰσαγωγὴν, κατὰ προεισαγωγήν· περὶ [40] τῆς κατὰ πλῆθος ἐξετάσεως, κατὰ προσαγγελίαν, κατὰ ἐπικλήρου διαδικασίαν. Κατὰ [41] μὲν οὖν ποιοτήτων ἐπιβολὴν, οἷον οἰκέτης ἀπέστη ἐπ᾽ ἐλευθερίᾳ, καὶ μετεώρου τῆς δίκης οὔσης ἀποδόσθαι βούλεται τὴν ἑαυτοῦ οὐσίαν· ἐπὶ γὰρ τῇ ποιότητι, ἐφ᾽ ᾗ πρότερον ἡ κρίσις, πότερον ἐγένετο δοῦλος ἢ μὴ, προσετέθη καὶ ἡ περὶ τοῦ ἀποδόσθαι τὴν αἰτίαν ζήτησις· ἐπιβολὴν γὰρ ἔχει τὴν προσθήκην, κατὰ δὲ νόμον, [42] οἷον μονομαχεῖν τοὺς ἀριστέας [43] νόμος ἐκέλευε, καὶ τὸν νικῶντα λαμβάνειν τὸ

35 Mon. 8. παρὰ τῆς πανσελήνης. 36 T. VII. ἀναιρεῖ. 37 T. VII. τοσ. παρέσχετο εἴδη. 38 T. VII. ἐκκείσθω δὲ τοῖς ἐχομένοις καὶ ταῦτα. 39 Mon. 8. μίμησιν. Par. 2977. μίμησιν καὶ ἀνθυπομίμησιν. 40 Mon. 8. περὶ δέ. 41 T. VII. ὥσπερ οὖν ἐπὶ τῆς ἐγγράφου ἕκαστον ἐπὶ παραδείγματος ἡμῖν τεθεώρηται, οὕτω καὶ τῶν προκειμένων εἰδῶν δώσομεν ἕκαστον παράδειγμα· προσεκτέον δὲ τὸν νοῦν ἀκριβέστερον· πολλοὶ γὰρ δὴ τῶν ἱκανῶς ἧφθαι δοκούντων ῥητορικῆς ἀγνοήσαντες τὰ τοιαῦτα τῆς ῥητορικῆς εἴδη, σφόδρα περὶ τὰς στάσεις διήμαρτον· ἔστι τοίνυν τῆς κατὰ ποιοτήτων ἐπιβολῆς τοιόνδε παράδειγμα· οἰκέτης ἀπέστη ἐπ᾽. 42 T. VII. νόμον δέ. 43 T. VII. ἀριστεῖς.

γέρας· δύο τινὸς [44] ἠρίστευσαν παῖδες, καὶ συμβουλεύει φεύγειν [45] αὐτοῖς ὁ πατήρ· ἐνταῦθα [46] δὲ εἰ καὶ νόμος πρόκειται, ἀλλ᾽ οὐ περὶ αὐτὸν ἡ ζήτησις, ἀλλὰ περὶ τῆς φυγῆς· διὸ καὶ οὐ τῆς ἐγγράφου πραγματικῆς ἐστιν, ἀλλὰ τῆς ἀγράφου· κατὰ ψήφισμα, οἷον πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά· ὑπέσχετο ἀριστεύσειν [47] ὁ πλούσιος, εἰ μετὰ τὴν ἀριστείαν λάβοι [48] τὸν πένητα ἔκδοτον· ἐψηφίσθη αὐτῷ ἐκ τοῦ δήμου· ἀριστεύσας [49] ἐτελεύτησε, καὶ ἀξιοῦσιν οἱ τοῦ πλουσίου παῖδες λαβεῖν τὸν πένητα ἔκδοτον. [50] Κατὰ κήρυγμα, οἷον πλούσιος ἀφανοῦς αὐτῷ γενομένου τοῦ παιδὸς ὑπέσχετο δώσειν χιλίας δραχμὰς τῷ μηνύσαντι· [51] ἐμήνυσέ τις αὐτὸν τεθνεῶτα, καὶ ἀξιοῖ τὰς χιλίας δραχμὰς λαβεῖν. Κατὰ διαθήκην, οἷον τελευτῶν τις ἐπὶ γυναικὶ ἐγκύμονι διέθετο κληρονομεῖν τὸν τεχθησόμενον χιλίων δραχμῶν· τῆς δὲ τεκούσης δίδυμα τῶν τεχθέντων ἑκάτερον [52] ἀξιοῖ λαβεῖν χιλίας δραχμάς· ἔστιν οὖν ἡ ζήτησις, πότερον δεῖ χιλίας ἀμφοῖν δοῦναι, ἢ ἑκατέρῳ χιλίας. Κατὰ συνθήκην· [53] οἷον δύο συνέθεντο κοινὰ τὰ ἐκ [54] τοῦ πολέ-

---

44 T. VII. τινές. 45 T. VII. φυγήν. 46 T. VII. addit: καὶ μή τῳ θαυμαστὸν δόξῃ, τίνα τρόπον ἔσται τὸ τοιοῦτον ἐγγράφου πραγματικῆς κατὰ νόμον γε καθεστώσης· ἔφην γὰρ ἀνωτέρω, ὡς οὐ πάντως, ἔνθα ἔγγραφόν τι ὑπόκειται, ἐκεῖ καὶ πραγματικὴ ἔγγραφος, ἀλλ᾽ ὅταν καὶ περὶ τὸ ῥητὸν ἡ ζήτησις γίνηται, ὁρῶμεν δὲ ἐνταῦθα τὴν ζήτησιν οὖσαν οὐ περὶ τοῦ νόμου, εἰ κύριον αὐτὸν εἶναι δεῖ, ἢ ἄκυρον, ἀλλὰ περὶ τῆς φυγῆς πότερον μένειν προσήκει μᾶλλον ἢ φεύγειν· κατὰ δὲ ψήφισμα. 47 T. VII. ἀριστεύειν. 48 T. VII. λάβοι. Plan. λάβῃ. 49 T. VII. ἀριστεύσας. Plan. ἀριστεύων. 50 T. VII. πάλιν γὰρ ἐνταῦθα ἄρχεται μὲν ἐκ τοῦ ἐγγράφου ἡ ζήτησις· οὐκέτι δὲ περὶ αὐτὸ ἔστησε· τοῦ δὲ κατὰ τὸ κήρυγμα εἴδους ἐκεῖνο παράδειγμα· πλούσιος. 51 T. VII. μηνύσοντι· τεθνεῶτά τις αὐτὸν ἐμήνυσε. — Τοῦ δὲ κατὰ διαθ. παράδειγμα τόδε. 52 Par. 2977. ἑκάτερος. 53 T.

μου ποιήσεσθαι [55]· ὁ μὲν ἠρίστευσεν, ὁ δὲ τὴν τάξιν κατέλιπε· καὶ ὁ λειποτάκτης ἀξιοῖ τὰ τοῦ ἠριστευκότος λάφυρα γενέσθαι κοινά. Κατὰ ποσότητα καὶ [56] πηλικότητα· νόμος τὸν τυραννοκτόνον λαμβάνειν δωρεάν· Θρασύβουλος τοὺς τριάκοντα καθελὼν ἀξιοῖ τριάκοντα λαβεῖν δωρεάς· κατὰ γὰρ τὴν [57] ποσότητα τῶν ἀνῃρημένων καὶ τὸ μέγεθος τῆς πράξεως γίνεται τὰ τῆς ζητήσεως. Κατὰ [58] αἴτησιν· οἷον ἀξιοῖ μετὰ τὰ κατὰ Πύλον Κλέων Πύθιος καλεῖσθαι· κατὰ σύγκρισιν, [59] οἷον γέρας ἐκ παιδείας προὔκειτο· [60] ἔχων τις Ὀλυμπιονίκην παῖδα καὶ ἕτερον τρισαριστέα ἀξιοῖ [61] ἑκάτερον τὸ γέρας λαβεῖν. Κατὰ [62] ἀμφισβήτησιν, οἷόν τις ἵππον ἀμιλλητήριον ἀπημπόλει· λαβὼν αὐτὸν ὁ πρίασθαι βουλόμενος εἰς διάπειραν ἀγωνίζεται μετ᾽ ἐκείνου Ὀλύμπια, καὶ νενίκηκεν· εἶτα ἀμφισβητοῦσι περὶ [63] τοῦ γέρως ἑκάτερος. [64] Κατὰ ἓν μόριον τοῦ [65] δικαίου, οἷον νόμος τὸν ὑπερήμερον [66] δοῦλον γενέσθαι τοῦ νενικηκότος· ἔλαβέ τις ὑπερήμερον εἰς δουλείαν, ἐξέπλευσεν ἑτέρωσε [67] μετ᾽ ἐκείνου, ζάλης ἐν τῷ τόπῳ γενομένης ἔδει μέρος

VII. addit: δὲ πραγματικὴν, ὡς ἐπ᾽ ἐκείνου τοῦ προβλήματος. δύο. 54 ἐκ T. VII. om. 55 T. VII. ποιήσασθαι. 56 T. VII. δὲ καὶ πηλ. οἷον. 57 τὴν T. VII. om. 58 T. VII. τοῦ δὲ κατὰ αἴτ. εἴδους λάβωμεν παράδειγμα τὸ παρὰ τεχνικοῦ. ἀξιοῖ· 59 T. VII. δὲ. pro γέρας Plan. γάρ. 60 T. VII. πρόκειται. 61 T. VII. ἀξιοῦσιν ἑκάτερος. 62 T. VII. τὸ δὲ κατὰ ἀμφ. ἐπὶ τούτου θεωρητέον τοῦ παραδείγματος. ἵππον τις. 63 περὶ T. VII. om. 64 T. VII. addit: διαφέρει δὲ τὸ κατὰ ἀμφισβήτησιν τοῦ κατὰ σύγκρισιν, ὡς πᾶσιν ἔδοξε, τούτῳ, ὅτι ἐν μὲν τῷ κατὰ σύγκρισιν τὸ ὅλον συγκριτικῶς προφέρεται. ἐνταῦθα δὲ ψιλῶς τὸ ἑαυτοῦ ἑκάτερος κατασκευάζει. κατὰ δὲ ἓν μόριον δικαίου, ὡς ἐπὶ τοῦδε τοῦ προβλήματος. νόμος. 65 Cod. τὸ, scr. τοῦ. 66 Sch. min. in T. VII. ὑπερήμερός ἐστιν ὁ ἐν τῇ καταδίκῃ πρὸς τὸ ἐκτῖσαι ἡμέρας τινὰς λαβὼν καὶ μὴ διαλυσάμενος. 67 T. VII. ἑτέρωθεν.

ἀποβληθῆναι τοῦ φόρτου, καὶ ὁ δεσπότης τὸν ὑπερήμερον ἀποβαίνειν ἠνάγκασε· μετὰ ταῦτα σώζεται καὶ [68] τὸ σκάφος καὶ ὁ ὑπερήμερος, καὶ ὁ μὲν ἀξιοῖ ἐλεύθερος εἶναι, ὁ δὲ ὡς δούλου ἀντέχεται· καλεῖται δὲ [69] κατὰ ἓν μόριον δικαίου, ὅτι ἀμφότεροι περὶ ἓν ἑστήκασιν ἐπιχείρημα, ὁ μὲν τῇ ὑπερημερίᾳ ἐπανέχων, [70] ὁ δὲ τῷ ἀποβεβλῆσθαι τῆς [71] νεώς· κατὰ δοκιμασίαν, οἷον Ἀλκιβιάδης λαχὼν δᾳδουχεῖν δοκιμάζεται· κατὰ τίμησιν καὶ ἀνθυποτίμησιν, οἷον Μιλτιάδης μετὰ Πάρον ἐζημιώθη πεντήκοντα ταλάντων, ὁ δὲ θάνατον αἱρεῖται· ἔστι δὲ παραπλήσιον τούτῳ καὶ τὸ περὶ Θρασυβούλου ἱστορούμενον, ὃς μετὰ τὴν τῶν τριάκοντα κατάλυσιν ἔγραψε τῷ Λυσίᾳ ψήφισμα περὶ τοῦ δεῖν αὐτὸν γενέσθαι πολίτην, καὶ κατηγορηθεὶς ὡς ἀπροβούλευτον ψήφισμα περὶ τοῦ δεῖν αὐτὸν γενέσθαι πολίτην εἰσενεγκὼν, οὐ γὰρ ἦν πω καταστᾶσα ἡ [72] βουλὴ, κατεδικάσθη χρημάτων· ὁ δὲ οὐ μὰ Δία ἔφη, ἀλλὰ θανάτου· τί γὰρ τοιούτους ἔσωζον. Κατὰ [73] εἰσαγωγὴν, οἷον Δημοσθένης Αἰσχίνου κατηγόρησε φιλιππισμὸν, καὶ Αἰσχίνης Δημοσθένους μηδισμόν. παρελθὼν Ἀριστογείτων ἀξιοῖ ἀμφοτέρων κατηγορεῖν· ἔστιν οὖν ἡ ζήτησις περὶ τῆς εἰσαγωγῆς, πότερον δεῖ ἐκείνους δέχεσθαι ἀλλήλων κατηγοροῦντας ἢ Ἀριστογείτονα ἀμφοτέρων. Κατὰ προεισαγωγὴν, οἷον νόμος ἐδίδου τῷ μὲν παιδὶ κατὰ [74] τοῦ πατρὸς τὴν τῆς παρανοίας εἰσάγειν γραφὴν, τῇ δὲ γυναικὶ τὴν περὶ [75] τῆς κακώσεως· ἐγράφη τις κατὰ ταὐτὸν ὑπὸ μὲν τοῦ παιδὸς παρανοίας, ὑπὸ δὲ τῆς γυναικὸς κακώσεως, καὶ ἀμφισβητοῦσιν οἱ γραψάμενοι, τίνα δεῖ

---

68 καὶ ex T. VII. recepi. 69 T. VII. δὲ τὸ τοιοῦτον εἶδος. 70 T. VII. ὑπανέχων. 71 T. VII. ἀπὸ νεὼς, ἕτερον δὲ οὐδὲν ἕξουσι λέγειν. Κατὰ δοκ. δὲ, ὥσπερ ἐκεῖνο. Ἀλκ. — δοκιμάζεται, τοῦ δὲ κατὰ τ. κ. ἀνθυποτ. ἔστω παράδειγμα τόδε. 72 T. VII. τηνικαῦτα βουλή. 73 T. VII. κατὰ δὲ, et paullo post κατὰ δὲ προεισ. 74 Par. 2977. κατὰ τὴν τοῦ π. 75 Mon. 8. παρά.

προτέραν εἰσαχθῆναι γραφήν· ἐκ γὰρ τῆς προεισαγομένης ἡ δευτέρα ἐλύετο· εἰ μὲν γὰρ ἥλω κακώσεως φρονῶν, οὐκέτ' ἂν παρανοίας ἐκρίνετο·[76] εἰ δ' αὖ παρανοίας ἑάλω, ἡ τῆς κακώσεως πάλιν ἠφανίζετο κρίσις· οἷα δὴ οὐκ ὄντος[77] αὐτοῦ ἐν τῷ καθεστηκότι λογισμῷ. Κατὰ[78] πλῆθος ἐξετάσεως, οἷον νόμος τῶν πλειόνων τὴν ψῆφον κρατεῖν· κρινόμενός τις ὑπὸ ἑπτὰ δικαστῶν,[79] πρὸς μὲν τῶν τριῶν θανάτου[80] κατεδικάσθη, πρὸς δὲ τῶν δύο φεύγειν, ὑπὸ δὲ τῶν λοιπῶν δύο χρήματα ἐκτιννύναι· ἐνταῦθα γὰρ ὁ τῶν τεσσάρων μερισμὸς ἐποίησε τὴν ἀμφισβήτησιν, καὶ ζητοῦμεν, πότερον δεῖ περιεῖναι αὐτὸν κατὰ τοὺς τέσσαρας ἢ τεθνάναι κατὰ τὴν ψῆφον τῶν τριῶν· ὡς τούτων μὲν ταὐτὸν ἀποφηναμένων, τῶν δὲ τεσσάρων εἰς δύο διαστάντων.[81] Τὸ δὲ κατὰ προσαγγελίαν διαιρεῖται εἰς[82] τρία. ἢ γὰρ ἑαυτόν τις προσαγγέλλει, ἢ οἰκέτην ἴδιον, ἢ οἰκέτην ἀλλότριον, κατά τινα περίστασιν γενόμενον ἑαυτοῦ·[83] ἡ γὰρ προσαγγελία ἐπὶ τῶν κατ' ἐξουσίαν ἡμῖν γίνεσθαι[84] βούλεται· τοῦ μὲν οὖν ἑαυτὸν προσαγγέλλειν ἄφθονα εὑρεῖν ἐστι[85] παραδείγματα, οἷον Δημοσθένης μετὰ τὰ ἐν Χαιρωνείᾳ ἑαυτὸν προσαγγέλλει, καὶ[86] πολλὰ δὲ τῶν ἠθικῶν τοιαῦτα· ὁ φιλάργυρος ἐπὶ ταῖς πέντε θυγατράσιν ἑαυτὸν προσαγγέλλων, καὶ ὁ δύσκολος ὁ τὴν λάλον ἔχων γυναῖκα, καὶ ὁ κόλαξ προσαγγέλλων ἑαυτὸν[87] φιλοσοφήσαντος τοῦ νέου· κατὰ[88] δὲ οἰκέτου ἰδίου προσαγγελία, οἷον ἔχων τις παῖδας ἐπέστησεν αὐτοῖς τὸν οἰκέτην ἀκόλουθον· τεθνήκα-

---

76 Par. 2977. ἐγράφετο. 77 T. VII. ὄντος γε. 78 T. VII. τὸ δὲ περὶ τῆς κατὰ τὸ πλῆθος ἐξετάσεως τοιόνδε· νόμος. 79 T. VII. δικασταῖς. 80 T. VII. τελευτὴν κατεκρίθη. 81 T. VII. διαστ. εἰς δύο. 82 T. VII. τρισίν. 83 T. VII. ἑαυτῷ. 84 T. VII. βούλεται γίν. 85 T. VII. ἔνεστι. 86 T. VII. κατά. 87 προσ. ἑαυτὸν recepi ex T. VII. 88 T. VII. τῆς δὲ κατὰ οἰκ. ἰδ. προσαγγελίας παράδειγμα τοῦτο· ἔχων.

σιν οἱ παῖδες μαστιχθέντες ὑπ᾽ αὐτοῦ, καὶ προσαγγέλλει αὐτὸν ὁ δεσπότης.[89] ἀλλοτρίου δὲ οἰκέτου προσαγγελία, κατά τινα περίστασιν ἰδίου γενομένου, οἷον ἔχων τις οἰκέτην ἐράσθη ἑταίρας, ἐδωρήσατο τῇ ἑταίρᾳ τὸν οἰκέτην· ἡ δὲ ταῖς θύραις αὐτὸν ἐπέστησεν· ἐπελθόντα τὸν δεσπότην οὗτος οὐ μόνον οὐκ εἰςδέχεται, ἀλλὰ καὶ στὰς ἔνδοθεν[90] ἐνουθέτησε. καὶ σωφρονήσαντος ἐκείνου προσαγγέλλει τὸν οἰκέτην ἡ ἑταίρα, καὶ ὁ δεσπότης ὡς ἰδίου ἀντέχεται· ἡ δὲ ζήτησις ἐνταῦθα γίνεται κατὰ τὴν ποιότητα τοῦ δόντος, ὅτι ἐρῶν ἔδωκε, καὶ τῆς εἰληφυίας, ὅτι ἑταίρα, καὶ ἐπὶ πράξει ἔλαβεν οὐκ ἐπαινουμένῃ.[91] Κατὰ δὲ ἐπικλήρου διαδικασίαν, οἷον ἠράσθη τις ἀνεψιᾶς αὐτοῦ· προσελθὼν τῷ πατρὶ τῆς παιδὸς διελέχθη περὶ τοῦ γάμου· ὁ δὲ θᾶττον ἔφη τεθνήξεσθαι αὐτὴν ἢ ἐκείνῳ δοθήσεσθαι· μεταξὺ τελευτήσαντος τοῦ πατρὸς κατὰ τὸν νόμον τῶν ἐπικλήρων ἀξιοῖ λαβεῖν τὴν παῖδα, καὶ ἀντιλέγουσιν οἱ ἀγχιστεῖς· ταῦτα[92] μὲν τὰ εἴδη παραδίδωσι Μητροφάνης· ἕτεροι δὲ τούτοις προςτιθέασι τὸ κατὰ ψιλὴν εἰσήγησιν, τὸ κατὰ ἀποκήρυξιν, τὸ[93] κατὰ συμπλοκὴν τῶν ἄλλων στάσεων· τὸ[94] μὲν κατὰ ψιλὴν εἰσήγησιν, οἷον βουλεύεται Ἀλέξανδρος διαβῆναι[95] τὸν

89 T. VII. παρέχει δὲ ἡ τοῦ ἀκολούθου ποιότης ἐνταῦθα τὴν ζήτησιν· τοῦ δὲ προσαγγέλλειν ἀλλότριον οἰκέτην κατά τινα παράστασιν γενόμενον λάβε μοι τοιοῦτον παράδειγμα. ἔχων. 90 T. VII. ἔνδον. 91 T. VII. τοιαῦτα γὰρ τὰ περὶ τῶν διαφορῶν τῆς προσαγγελίας· τοῦ κατὰ ἐπικλήρου διαδικασίαν, ὅπερ ὄγδοον καὶ δέκατόν ἐστιν εἶδος, παράδειγμα τόδε. ἠράσθη τις. — l. 13. Codd. διειλέχθη. 92 T. VII. ὁ μὲν οὖν Μητροφάνης εἴδη πραγματικῆς ἃ δέδωκε ταῦτά ἐστιν· εἰσὶ δὲ οἳ καὶ προστιθέασι, καὶ αὖ πάλιν τῶν εἰρημένων τινὰ ἐκβάλλουσιν ἕτεροι· οἱ μὲν οὖν προστιθέντες ἐπεισφέρουσι τὸ κατὰ ψιλὴν εἰσήγησιν. 93 T. VII. τό τε. 94 T. VII. κατὰ μέν. 95 T. VII. τὸν Τίγρην, ἢ βουλεύεται Ξέρξης, εἰ δεῖ ἐφ᾽ Ἕλληνας στρατεύεσθαι. τοῦτο γάρ, φασίν, οὐδενὶ τῶν εἰρημένων εἰδῶν ἁρμόττει, ὥστε ὑπό τι ἐκείνων ἀνενεχθῆναι. ἐκεῖνα μὲν γὰρ πάντως ἔχει

Γάγγην· κατὰ ἀποκήρυξιν δὲ, οἷον ὑπεισῆλθέ τις τῷ πατρὶ ὡς ἀναιρήσων αὐτὸν, μετεβάλετο[96] τῆς γνώμης, καὶ ἀξιώσας τὸν πατέρα ἐνωμότως ὑποσχέσθαι, ὡς οὔτε[97] ἀποκηρύξει, οὔτε κατηγορήσει, ἔτυχε τῆς αἰτήσεως· μετὰ ταῦτα ὁ πατὴρ ἀποκηρύττει, καὶ ἀντιλέγει ὁ παῖς.[98] Ἰστέον δὲ, ὅτι πᾶσα μὲν ἀποκήρυξις κατὰ πραγματικὴν γίνεται· ἐπιδέχεται δὲ καὶ ἑτέρας ἐπιπλοκὴν στάσεως· καὶ ταῦτα μὲν τὰ ῥηθέντα εἴδη εἶεν ἂν πραγματικῆς· τὸ δὲ κατὰ συμπλοκὴν τῶν ἄλλων στάσεων οὐκ ἂν εἶδος εἴη· ἢ γὰρ ἂν ἡμῖν ἐπ᾽ ἄπορον ἐξενεχθείη ὁ λόγος· τινὲς δὲ τὰ παρὰ τοῦ Μητροφάνους ἔγγραφα εἰς ἓν συνάγουσι· τό τε γὰρ κατὰ νόμον καὶ ψήφισμα καὶ κήρυγμα καὶ συνθήκην καὶ διαθήκην ἑνὸς εἴδους φασὶν ὡς ἀπὸ ῥητοῦ τὴν ἀρχὴν εἰληφότα· οὐκ ἐμνήσθη δὲ τῶν ῥηθέντων εἰδῶν ὁ τεχνικὸς, ὅτι περὶ διαιρέσεως αὐτῷ τῶν κεφαλαίων ἡ πραγματεία· ταῦτα δὲ οὐδεμίαν διαφορὰν περὶ τὴν διαίρεσιν ἔχει. Τὸ τοίνυν νόμιμον· περὶ τῆς ἐγγράφου ἀναβάλλεται τέως· ἐν ταῖς νομικαῖς γάρ, φησὶ, τὴν ταύτης γνωσόμεθα δύναμιν· οὐ γὰρ ἐνεδέχετο ἡμᾶς ταύτην γνῶναι, πρὸ τοῦ τὰς νομικὰς στάσεις μαθεῖν. Ἰστέον δὲ, ὅτι Πορφύριος[99] καὶ ἕτερα κεφάλαια ἐν τῇ πραγματικῇ παρέλαβε, πηλικότητά τε καὶ πρός τι. Βραχεῖαν μέντοι ταῦτα δύναμιν ἐνταυθοῖ κέκτηται· ἐν τῇ ἀγράφῳ δὲ τὸ ἔθος τὴν τοῦ νομίμου τάξιν ἀναπληροῖ· τρία γὰρ

---

τινὰ περίστασιν, τοῦτο δὲ ψιλὴν εἰσήγησιν, καὶ ἀληθὴς ὁ λόγος καὶ παραδέχομαι. κατὰ ἀποκήρυξιν δὲ, οἷον ἐπεισῆλθέ τις. 96 T. VII. μετεβάλλετο. 97 T. VII. οὐδὲ — οὐδέ. 98 T. VII. addit: ὅτι μὲν γὰρ πραγματικὴν ἔχει στάσιν, καταφανές· ἐπεισφέρεται δὲ καὶ τὸ τοιοῦτον εἶδος οὐκ ἀμέσως· διὸ οὐδὲ πρὸς τοῦτο ἐνιστάμεθα· τινὲς μέντοι καὶ πᾶσαν ἀποκήρυξιν πραγματικῆς εἶναι μόνως ἠβουλήθησαν στάσεως οὐ καλῶς οἰηθέντες· γίνεται γὰρ καὶ καθ᾽ ἑτέραν, πλὴν ἐκ τῆς πραγματικῆς ἀεὶ λαμβάνουσα τὴν ἀρχήν· ὥστε πᾶσα μὲν ἀποκήρυξις. 99 T. VII. θ.

ἀεὶ ταῦτα τοῖς πράγμασιν ἐπιφαίνεται· ἢ γὰρ ἐγγράφως τι ἐπιτέτραπται καὶ καλεῖται νόμιμον,[1] ἢ κατὰ συνήθη ἐπικράτειαν,[2] καὶ λέγεται ἔθος, ὡς ἡ τῶν Λακεδαιμονίων ἤγετο πολιτεία· οὐδένα γὰρ αὐταῖς ἔγγραφον νόμον Λυκοῦργος κατέλειπεν, ἢ οὐ πάνυ μὲν καθέστηκε σύνηθες, ἄλλως δὲ[3] τῇ φύσει γνώριμον καὶ δίκαιον ὄνομα αὐτῷ·[4] περὶ ταῦτα οὖν οἱ τῶν ῥητόρων[5] γίνονται παραλογισμοί, ὅταν ὁ μὲν ἔθους,[6] ὁ δὲ νόμου ἀντέχηται· ὁ δὲ[7] ἀπορῶν ἔθους μεταπηδήσῃ ἐπὶ τὰ δίκαιον.[8] Κατασκευάζεται δὲ τὸ νόμιμον τέσσαρσι τρόποις, ἐκ τῆς πολιτείας, ὅτι ἐν δημοκρατίᾳ ὁ νόμος, τῇ πασῶν ἀρίστῃ πολιτειῶν, ἐκ

---

1 T. VII. addit: τὰ τοιοῦτον. 2 T. VII. νενόμισται, ὅπερ ὀνομάζομεν ἔθος, οὕτω γάρ τοί φασιν ἄγεσθαι τὴν Λακεδαιμονίων πολιτείαν — καταλιπεῖν τὸν Λυκοῦργον. 3 T. VII. τε. 4 T. VII. αὐτοῦ. 5 T. VII. πολλάκις γίν. 6 Mon. 8. ἔθος. Par. 2977. ἔθους ἢ νόμου. 7 T. VII. ἢ ἀπορῶν τις τοῦ ἔθους. 8 T. VII. addit: ἀκόλουθον δ᾽ ἂν εἴη καὶ περὶ ἑκάστου τῶν κεφαλαίων διαλαβεῖν. Ἐπάναγκες τὸ νόμιμον κεφάλαιον κατά τινα τῶν νομικῶν λαμβάνεσθαι στάσεων· ἐκεῖσε οὖν τὴν κατασκευὴν αὐτῶν μαθησόμεθα, γελοιότατον γὰρ ἂν εἴη καὶ πολλῆς αἴτιον συγχύσεως, εἰ μέλλοιμεν περὶ τῶν νομικῶν στάσεων λόγον ἐπεισφέρειν τῇ τῶν κεφαλαίων τεχνολογίᾳ· τὴν δὲ ἄλλην ἐργασίαν αὐτοῦ καὶ δὴ λεκτέον. κατασκευάζεται τοίνυν τέσσαρσι τρόποις, ἐκ τῆς πολιτείας, ἐκ τοῦ προσώπου, ἐκ τοῦ πράγματος, ἐκ τοῦ καιροῦ· ἐκ μὲν τῆς πολιτείας, οἷον ὅτι ἐν δημοκρατίᾳ ὁ νόμος κεῖται, ἐν τῇ πασῶν ἀρίστῃ πολιτείᾳ· ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· ἐκ δὲ προσώπου, ὅτι καὶ παρὰ Ἀθηναίοις, ὅτι οὐ μόνον ἐν δημοκρατίᾳ, ἀλλὰ καὶ παρὰ τοῖς σοφωτάτοις τῶν Ἑλλήνων· ἐκ τοῦ πράγματος δὲ, ὅτι καὶ περὶ τῶν μεγίστων διαγορεύει πραγμάτων, οἷον περὶ εἰρήνης καὶ πολέμου· ἐκ δὲ τοῦ καιροῦ νῦν μάλιστα χρηστέον αὐτῷ — — μάλιστα τὸ κεφάλαιον ἐκ δυοῖν τρόπων, ἔκ τε ἐγκωμίου τοῦ τεθεικότος, καὶ ἐκ τῆς τῶν χρωμένων ὠφελείας· οἷον ὅτι Σόλων ὁ θέμενος τὸν νόμον ἀνὴρ σοφίᾳ πάντας ἀνθρώπους παρενεγκὼν, καὶ ὅτι πλεῖστα τὴν πόλιν ὠφέλησέ τε καὶ ὠφελήσει ὁ νόμος· χρὴ δὲ καὶ κατ᾽ εἶδος ἐπεξιέναι· τῶν ὠφελιμωτάτων ἕκαστον. λύεται δὲ τὸ κεφάλαιον ταῖς νομικαῖς.

προσώπου, ὅτι καὶ παρ' Ἀθηναίοις, τοῖς σοφωτάτοις τῶν Ἑλλήνων· ἐκ πράγματος, ὅτι καὶ περὶ τῶν μεγίστων διαγορεύει, οἷον εἰρήνης ἢ πολέμου· ἐκ τοῦ καιροῦ, ὅτι νῦν αὐτῷ μάλιστα χρηστέον, ἡνίκα τυχὼν Φίλιππος Ἐλάτειαν κατέλαβε. Πλατύνεται δὲ ἐκ δυοῖν τρόπων, ἔκ τε ἐγκωμίου τοῦ τεθεικότος τὸν νόμον, οἷον ὅτι Σόλων ἐστὶ, καὶ ἐκ τῆς τῶν χρωμένων ὠφελείας, ὅτι πλεῖστα τὴν πόλιν ὠφέλησέ τε καὶ ὠφελήσει. Ἐν δὲ τῇ ἀγράφῳ τὸ ἔθος. Διαφέρει νόμος ἔθους, τῷ τὸ μὲν ἄγραφον εἶναι, τὸ δὲ ἔγγραφον· κατασκευάζεται [9] δὲ τὸ ἔθος ἢ ἐκ τῶν προγόνων, ὅτι καὶ οἱ πρόγονοι τοῦτο ἔπραττον, ἢ ἐξ ἡμῶν αὐτῶν, ὅτι τοιοῦτον ἐπράξαμέν ποτε, καὶ σύνηθες ἡμῖν· εἰ δὲ οἰκείων ἀποροῦμεν παραδειγμάτων, τοῖς ἐθνικοῖς χρησόμεθα, οἷον ὅτι καὶ Λακεδαιμόνιοι καὶ ἄλλοι τινὲς τοῦτον πολιτεύονται τὸν τρόπον· ἔτι κατασκευάζεται καὶ ἐξ ὧν τὸ νόμιμον κατασκευάζεσθαι ἔφαμεν· ἀνατρέπεται δὲ τοῖς ἐναντίοις ὧν κατασκευάζεται· οἷον ὅτι οὐκ ἀκολουθητέον τοῖς προγόνοις ἐν τούτῳ· διάφοροι γὰρ ἐκείνων καὶ ἡμῶν οἱ καιροί· ἢ ὅτι οὐ δεῖ μιμεῖσθαι τὰ Λακεδαιμονίων ἢ βαρβάρων ἔθη, ὡς Ἀριστείδης λέγων εἰς Περικλέα, „ὦ παῖ Ξανθίππου, μὴ τοὺς Γίγαντας μιμώμεθα, οἳ λέγονται τοξεύειν εἰς τὸν οὐρανὸν, μηδὲ τὸν Περσῶν βασιλέα“. Ἔτι ἐκ τοῦ εἰς ἀρχὴν ἀναφέρειν τὸν λόγον, οἷον σκοπῶ μὲν τοίνυν εἰς τὴν ἀρχὴν, εἰ καλῶς παρεισέδυ τὸ ἔθος· ἀλλὰ μὴ φαύλως· ἐπειδὴ γὰρ ταῖς πάντων γνώμαις ἐναντιοῦσθαι οὐκ ἰσχυρὸν, ἐπὶ τοὺς κατάρξαντας τοῦ ἔθους μεταφέρειν προσήκει τὴν μέμψιν, ἐνδόξους μὲν ὄντας κατὰ παράλειψιν, ἀδοξοτέρους δὲ ἄντικρυς μεμφομένους. Τὸ δίκαιον μιᾷ· [10] τὸ μὲν νόμιμον καὶ τὸ δίκαιον τοῦ πράγματός εἰσι, τὰ δὲ ἐφεξῆς τοῦ προσώπου· προηγεῖται δὲ ταῦτα, ὅτι ἐπὶ τῶν τῆς

9 Cfr. T. IV. p. 730. l. 1. 10 T. VII. ιδ.

ποιότητος στάσεων προτερεύει τὰ τοῦ πράγματος· ἐπὶ δὲ τῶν ἄλλων τὰ τοῦ προσώπου· τὸ δὲ δίκαιον τέτακται μετὰ τὸ νόμιμον, πρῶτον μὲν, ὅτι οὐκ εἴ τι δίκαιον, τοῦτο καὶ νόμιμον· εἴ τι δὲ νόμιμον, πάντως καὶ δίκαιον· ἔπειτα δὲ, ὅτι κατασκευαστικόν ἐστι τοῦ νομίμου· εἴ τι δὲ νόμιμον, πάντως καὶ δίκαιον· ἔπειτα δὲ, ὅτι κατασκευαστικόν ἐστι τοῦ νομίμου. Τῶν γὰρ εἰςφερομένων ὑπὸ τοῦ ῥήτορος τὰ μέν ἐστι κατὰ δόξαν, ὅταν εἰς τὸν νόμον ἤ τι τοιοῦτον ἐπερειδώμεθα, τὰ δὲ κατὰ διδασκαλίαν, ὅταν λογισμοὺς ἀποδιδῶμεν, περὶ ὧν ἂν λέγωμεν· διαιρεῖται δὲ, φησὶ, τὸ δίκαιον κατὰ μίαν τῶν δικαιολογικῶν, πάντως δὲ καὶ ἀνατρέπεται κατ' αὐτήν· οἷον συχνοὶ τῶν πολιτῶν φυγόντες πόλιν κατεσκευάσαντο, καὶ γράφει τις στρατεύεσθαι ἐπ' αὐτοὺς, ἐνταῦθα γὰρ κατὰ ἀντίληψιν τὸ δίκαιον ληφθήσεται ὑπὸ τοῦ ἀντιλέγοντος, ὡς οὐ δίκαιον ἐπ' ἐκείνους[10*] στρατεύεσθαι· ἔξεστι γὰρ τοῖς βουλομένοις, οὗ ἂν ἐθέλωσι πόλιν κατασκευάσαι· ἐπιχειρήσομεν δὲ ἐν τῷ δικαίῳ ἐκ τοῦ προσώπου, ὅτι φίλοις βοηθήσομεν· ἐκ τοῦ πράγματος, ὅτι δίκαιον τὰς ἀγαθὰς τῶν πράξεων διὰ τῶν ἴσων ἀμείβεσθαι· ἐκ τοῦ ἀποβεβηκότος, ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους·[11] „εἰ δὲ τοῦτο ἔσται, ἡ μόνη λοιπὴ τοῖς ἀτυχοῦσιν ἅπασι σωτηρία διαφθαρήσεται“· τὸ μέντοι ἀποβεβηκὸς τοῦτο, εἰ μὲν κατὰ τὸ δίκαιον ἢ ἄδικον λαμβάνεται, ὡς ἐνταῦθα, τοῦ δικαίου ἐστὶν, εἰ δὲ κατὰ τὸ ὠφέλιμον ἢ βλάπτον, τοῦ συμφέροντος. Ἰστέον δὲ, ὡς ἐπειδὰν τούτων τινός[12] ἀπορῶμεν, ἐπὶ τὴν ἀντίστασιν αὐτοῦ χωρήσομεν· οἷον εἰ μὴ ἔχοιμεν λέγειν, ὅτι φίλοις βοηθήσομεν, ἐροῦμεν ὅτι οὐκ ἐχθροῖς, καὶ πάλιν εἰ μὴ ἔστι λέγειν, ὅτι δίκαιον τοῦτο ποιεῖν, φήσομεν ὅτι οὐκ ἄδικον. Τὸ συμφέρον· ὑποβέβηκε τοῖς πρὸ αὐτοῦ κεφαλαίοις τὸ συμφέρον, ὅτι

10* Cod. ἐκείνοις. 11 p. 632. 12 Cod. τινές.

ὥσπερ κατά τινα μαντείαν τοῦ ῥήτορος πρόεισιν· τὸ δὲ τοιοῦτον οὐκ ἂν εἴη ἰσχυρόν. Λαμβάνεται δὲ τὸ κεφάλαιον ἐκ πάντων τῶν περὶ τὸν ἄνθρωπον, τουτέστιν ἀπὸ ψυχῆς, ὡς ὅταν εὐσεβεστέρους πρὸς τὸ δαιμόνιον τοὺς ἑλομένους τὴν πρᾶξιν ἔσεσθαι λέγωμεν· ἀπὸ σώματος, εἰ ὑγείαν προτείνομεν· ἀπὸ τῶν ἐκτὸς, εἰ περὶ πλούτου λέγομεν ἢ εὐκλείας. Ὅτι χρήσιμον· χρήσιμόν ἐστιν, ὃ παρὸν μὲν ὠφελεῖ, ἀπὸν δὲ οὐ διαφθείρει· ἀναγκαῖον δὲ, οὗ χωρὶς εἶναι ἀδύνατον· καὶ ἔτι τὸ μὲν χρήσιμον ἐκ τῶν λογισμῶν ἔχει τὴν κατασκευὴν, τὸ δὲ ἀναγκαῖον καὶ ἀπὸ τῆς ἀνάγκης τὴν πίστιν· καὶ ἔτι τὸ μὲν χρήσιμον ἐκ περιουσίας λυσιτελὲς καὶ προαιρετικὸν τυγχάνει, τὸ δὲ ἀναγκαῖον ἐξ ἀνάγκης αἱρούμεθα, καὶ ἀκούσιόν ἐστι· χώραν δὲ ἔχει μάλιστα ἡ τοῦ ἀναγκαίου ἐξέτασις ἐν ταῖς δυσχερείαις τῶν πραγμάτων, ὅταν ἐπὶ πόνους ἢ δαπάνας ἢ ἄλλο τι τῶν δυσχερῶν παρακαλῶμεν τοὺς ἀκούοντας· ἔνθα καὶ ἡ τοῦ ἐκβησομένου ἐξέτασις ἀναγκαία· ἰστέον δὲ, ὡς εἰ μὴ εὔπορον, παντελῆ φράζειν κακοῦ τινος ἀποβολὴν, χωρητέον ἐπὶ τὴν μείωσιν, καθάπερ ἐπὶ τὴν αὔξησιν, ἀντὶ τῆς τοῦ παντελοῦς τῶν ἀγαθῶν κτήσεως· εἰ δὲ καὶ ἄμφω φαῦλα φαίνεται, τά τε ὑφ᾽ ὑμῶν καὶ τὰ ὑπὸ τῶν ἐναντίων, ἢ ἄμφω ἀγαθὰ κατὰ σύγκρισιν τὸν λόγον προοίσομεν· ἐπὶ μὲν τῶν φαύλων, ὅτι ἐλάττω τὰ ἡμέτερα, ἐπὶ δὲ τῶν ἀγαθῶν, ὅτι μείζω. ἡ δὲ τοῦ κεφαλαίου τούτου ἐργασία γίνεται οὕτως[13], πρῶτον μὲν ἐκ τοῦ ἐναντίου, οἷον εἰ κακὸν τὸ μὴ ἔχειν συμμάχους, δῆλον ὅτι συμφέρον ἂν εἴη τὸ κτήσασθαι· δεύτερον ἐκ τῆς τῶν πολεμίων δόξης καὶ ἐλπίδος· τίνος ἡμῖν συμβάντος ἐκεῖνοι χαρήσονται, ὡς ὁ Δημοσθένης·[14] σκεψώμεθα δὲ τί ἂν εὔξαιτο Φίλιππος τούτῳ τῷ στρατοπέδῳ· καὶ ὁ ποιητής.[15]

---

13 T. IV. p. 744. l. 10. Sed Planudes ex T. VII., quo eadem continentur, sua hausit. 14 De Chers. p. 94. 15 Il. α. 255.

Ἡ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες·

Τρίτον ἀφ' ὧν πολλοὺς διὰ τὸ πρᾶγμα κινδύνους ὑπεμείναμεν, ἢ χρήματα ἀνηλώσαμεν, ὡς Ὅμηρος·

Κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιμεν
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
Ἐν Τροίῃ ἀπόλοντο.[16]

Τέταρτον ἀφ' ὧν οἱ πολέμιοι ὑπέμειναν, ὡς ὁ Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ στεφάνου·[17] ἑώρων δὲ τὸν Φίλιππον, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγὼν, ὑπὲρ δόξης τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὸ σκέλος πεπηρωμένον, τὴν κλεῖν κατεαγότα. Πέμπτον ἀπὸ τῆς τῶν πολλῶν κρίσεως, οἷον εἰ τύχοι περὶ ἐλευθερίας, εἰ πάντες διώκουσιν αὐτήν· ἕκτον ἀπὸ τῆς τῶν ἐνδόξων κρίσεως· ὡς παρ' Ὁμήρῳ.[18]

Ὧδε καὶ οἱ πρότεροι πόλιας καὶ τείχε' ἐπόρθουν.

Τὸ δ' αὖ δυνατόν· οὔτε[19] τὸ δυνατὸν χωρὶς τοῦ συμφέροντος, οὔτε τὸ συμφέρον χωρὶς τοῦ δυνατοῦ ἀνύειν τι πέφυκεν· εἰ γὰρ καὶ λυσιτελεῖ Μαρωνείταις ἢ Σιφνίοις ἄρχειν τῶν Ἑλλήνων, ἀλλ' ἀδύνατον ὂν οὐδέν ἐστι· καὶ εἰ δυνατὸν ἐκπιεῖν κώνειον, ἀλλ' ἐπεὶ οὐ συμφέρον, ἀνόητα καὶ τὰ τῆς δυνάμεως· ὥστε συμπέπλεκται ἀλλήλοις τὰ κεφάλαια, ὥσπερ ἡ βούλησις καὶ ἡ δύναμις· τὸ μὲν γὰρ συμφέρον μιμεῖται τὴν βούλησιν· πᾶσα γὰρ βούλησις ἐπὶ τὸ δοκοῦν εἶναι συμφέρον ὁρμᾷ· τὸ δὲ δυνατὸν τὴν δύναμιν· ὥσπερ οὖν ἐπ' ἐκείνων ἐπὶ τὸ ἰσχυρότερον ἀεὶ δεῖ τελευτᾷν, οὕτω κἂν τούτοις. Ἀπὸ τῶν παρακολουθούντων· τουτέστιν ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός· ὥσπερ ἐν Φιλιππικοῖς Δημοσθένης· ἀπὸ μὲν ψυχῆς, ὅτι ἀθυμεῖ Φίλιππος, καὶ ὅτι ἐπιορκεῖ καὶ ἀπιστεῖται· ἀπὸ δὲ σώματος, εἴπερ ἔλεγεν ὅτι ἀσθενεῖ καὶ πεπήρωται· ἀπὸ δὲ τῶν ἐκτὸς, οἷον πῶς ἔχει τὸ περὶ αὐτόν· ἐπὶ μὲν οὖν τῶν κοινῶν

---

Cod. γηθήσει. 16 Cod. ἀπώλοντο. Il. β. 160. 17 p. 247.
18 Il. δ. 308. 19 T. VII. ιθ.

τὰ ἐκτὸς μάλιστα τὴν χορηγίαν ἡμῖν παρέξεται· ἡνίκα δὲ ἐπὶ τύραννον ἢ δυνάστην ἕνα ὁ πόλεμος εἴη, χώραν ἔχει τὰ ἀπὸ ψυχῆς. Ἐργασίαν δὲ λαμβάνει τὸ κεφάλαιον τοῦτο ἐκ τῆς ἑκατέρων συγκρίσεως, τῶν τε ἡμῖν αὐτοῖς προσόντων καὶ τῶν τοῖς ἐναντίοις· οὐ γὰρ ἀποχρήσει[20] μόνον τὰ τῶν ἐναντίων διαβαλεῖν, ἀλλὰ χρὴ καὶ τὰ οἰκεῖα συστῆσαι· τοῦτο δὲ τὸ δεύτερον ὁ Δημοσθένης παρῆκεν, ὡς καὶ Ἑρμογένης φησὶν, ἐκ τῆς τῶν πραγμάτων ἀνάγκης· οὐ γὰρ εἶχε τηνικαῦτα δύναμιν τῶν Ἀθηναίων οὐδεμίαν εἰπεῖν. Ἐζητήκασι δέ τινες, πῶς ἀπὸ τῶν παρακολουθούντων τοῖς προσώποις ἔφη κατασκευάζεσθαι τὸ δυνατόν· τοῦτο γὰρ, φασὶ, τοῦ πρέποντός ἐστιν, ὅπερ ὑπὸ τὸ ἔνδοξον ἀνάγεται· ἐπ' ἐκείνου γαρ δεῖ, φασὶ, τὰ παρακολουθοῦντα τῷ προσώπῳ σκοπεῖν, γένος, πατρίδα, προγόνους, ἀρετὰς, ἐχρῆν δὲ αὐτοὺς εἰδέναι, ὡς τῶν ἀκολουθούντων τὰ μὲν ἐκ τῶν ἀνωτέρω λαμβάνεται, τὰ δὲ ἐκ τῶν ἐνεστώτων· τὰ μὲν οὖν παλαιότερα τὸ πρέπον ἐργάζεται, οἷον αἱ τῶν προγόνων πράξεις, τὰ τῶν προγόνων ἐγκώμια, τὰ δὲ ἐνεστῶτα ποιεῖ τὸ δυνατὸν, οἷον ἀπορία χρημάτων, στράτευμα, τριήρεων πλῆθος· ἰστέον δὲ, ὅτι οὐκ αεὶ τὸ δυνατὸν ἐνστάσει καὶ ἀντιπαραστάσει εἰςάξομεν,[21] ἀλλ' ἐὰν μὲν ῥάδιον ᾖ ἐπιτελεσθῆναι τὸ πρᾶγμα περὶ οὗ ἡ σκέψις· οἷον ἐπιμνησθέντες μόνον διὰ ταχέων ἐπιδραμούμεθα. Καὶ πρὸς τὴν κατασκευὴν οὕτω χωρήσομεν, ὅτι ἔδει μὲν, εἰ καὶ χαλεπὸν ἦν, μηδὲ τότε φυγεῖν, νῦν δὲ καὶ ῥάδιον δείκνυται, ἂν δὲ δυσχέρεια προσῇ, δι' ἐνστάσεως καὶ ἀντιπαραστάσεως ὁ λόγος μεθοδευθήσεται. Καὶ πεζέταιρος· πεζεταίρους[22] φασὶ τοὺς ἀπὸ ἱερατικῶν ἔργων ἑταίρους καὶ φίλους γεγονότας, οἱ δὲ τοὺς περὶ τὸ σῶμα

20 Cod. ἀποχρήσῃ. 21 T. VII. κα. 22 [Ex schol. minor. T. VII.

μα τοῦ Φιλίππου φρουρούς· ἦσαν δὲ οὗτοι καὶ πιστοὶ καὶ ἰσχυροὶ, ἀπὸ μεταφορᾶς τῶν πεζῶν, πέζαι δὲ [23] αἱ τῶν ἱματίων ὦαι, ἐπεὶ ἔξωθέν εἰσιν κατεσκευασμέναι περὶ τὰ ἱμάτια. [24] Εἶθ' ὅτι καὶ ῥᾴδιον· αὔξησις γὰρ τοῦ δυνατοῦ ἡ τοῦ ῥᾴστου ἀπόδειξις· τούτῳ δὲ ἀντέκειτο· ἔδει μὲν εἰπεῖν καὶ περὶ τῆς τῶν Ἀθηναίων δυνάμεως ἀντεξεταστικῶς· ἐπεὶ δὲ οἶδεν οὐκ ἀξιόλογον αὐτὴν τηνικαῦτα οὖσαν, ἠρκέσθη μόνῃ τῇ κατὰ Φιλίππου διαβολῇ. Τὸ ἔνδοξον ὁμοίως· τοῦ συμφέροντος τριχῇ λαμβανομένου, κατὰ ψυχὴν, κατὰ σῶμα, κατὰ τὸ ἐκτὸς, τὸ ἔνδοξον ὑπὸ τὸ τρίτον ἀνάγεται τοῦ συμφέροντος μέρος, τὸ ἀπὸ τῶν ἐκτός· ἐν γὰρ τούτῳ ἢ πλοῦτον ἢ εὔκλειαν ὑποτείνομεν· τυγχάνει μέντοι καὶ αὐτὸ ἰδίας ἐργασίας, ὥσπερ ὅλον ὁμοῦ τὸ συμφέρον· ὅπερ δὲ εἰρήμεν ἐπὶ τοῦ δικαίου, τοῦτο κἀνταῦθά φαμεν, ὡς ἡνίκα τινὸς τῶν κεφαλαίων ἀποροῦμεν, τὴν ἀντίφασιν αὐτοῦ παραληψόμεθα, οἷον εἰ μὴ ἔχομεν λέγειν ὅτι συμφέρον, ἐροῦμεν ὅτι μὴ βλάπτον· εἰ δὲ λάβοι τὴν ἀντίφασιν ὁ ἀντίδικος, διὰ τῆς θέσεως αὐτὸν ἐξελέγχομεν, οἷον οὐ δίκαιον λέγειν αὐτὸν τόδε τι μὴ βλαβερὸν, ἀλλ' ὡς συμφέρει δεικνύναι, περὶ δὲ τῆς τάξεως τῶν τοιούτων κεφαλαίων ὁ μὲν Εὐστάθιος εἰς τὰ ἰσχυρότερά φησι δεῖν καταλήγειν, ὁ δὲ Ἀθανάσιος τοὐναντίον ἀπὸ τῶν ἰσχυρότερων ἄρχεσθαι, ἡμεῖς δέ φαμεν, ὡς πολλαχοῦ τοῦ λόγου θήσομεν καὶ προτάττοντες ταῦτα καὶ ὑποτάττοντες. Τὸ δὲ ἐκβησόμενον· λαμβάνεται τὸ ἐκβησόμενον διὰ διλημμάτων· καθ' ὑπόθεσιν, ὅτι λυσιτελεῖ τὸ βοηθῆσαι, ἐάν τε κρατήσωμεν, ἐάν τε μή· διαφέρει δὲ τὸ ἐκβησόμενον τοῦτο [25] τῆς ἐν τῷ συμφέροντι ἐκβά-

23 T. VII. γὰρ λέγονται. 24 T. VII. add. ἐπειδὴ γὰρ οὐκ εἶχεν ἀποδεῖξαι Ἀθηναίων δύναμιν τότε, ἐκεῖνον γὰρ τὸν καιρὸν ἀσθενεῖς ἦσαν Ἀθηναῖοι, ἠρκέσθη τῇ διαβολῇ τῆς τοῦ Φιλίππου. inde scripsi l. 7. οἶδεν pro ὅτι codicis. 25 T. VII. κς.

σεως, ὅτι ἐκεῖ μὲν τὴν ἀπόδειξιν ποιούμεθα τοῦ πράγματος, καὶ τὰ προσεχῆ ἐξετάζομεν τέλη, οἷον ὅτι συμφέρει Ὀλυνθίοις βοηθῆσαι· εἶτα ἡ ἔκβασις· τοῦτο γὰρ ἡμῶν ποιησάντων ἐν Μακεδονίᾳ ἔσται ὁ πόλεμος, εἰ δὲ μὴ, ἐν τῇ Ἀττικῇ· ἐνταῦθα δὲ τοῦτο αὐτὸ ὁμολογούμενον λαμβάνοντες, καθ᾽ ὑπόθεσιν τὴν ἀπόβασιν αὐτοῦ ἐξετάζομεν, καὶ τῶν ἐκεῖ ἐξετασθέντων τελῶν τὰ τέλη διασκοποῦμεν, ὅτι ἐν Μακεδονίᾳ μὲν πολεμοῦντες πλεῖστα κερδανοῦμεν, ἐν δὲ τῇ Ἀττικῇ τοῦ πολέμου συστάντος, τάδε καὶ τάδε πεισόμεθα. Καλὸν δὲ καὶ τὸ διαλεκτικὸν προςθεῖναι θεώρημα, κοινὸν ἅπασι τοῖς κεφαλαίοις, ὅταν γάρ τι κατασκευάζειν βουλώμεθα, δεῖ προσόμοιον μὲν τῷ ἀποδεικνυμένῳ, ἔλαττον δέ τι εὑρόντας ἐκείνῳ κατασκευάζειν· ὅσα γὰρ ἂν εἴπῃς περὶ τοῦ ἐλάττονος, ταῦτα καὶ κατὰ τοῦ μείζονος ἐνεχθήσεται, καὶ τὸ ἔλαττον ἀναιρούμενον οὐκ ἀναιρεῖ καὶ τὸ μεῖζον, ὅσα γὰρ [26] ἂν εἴπῃς ἐπαινῶν τὸν Αἰνείαν, ἁρμόσει ταῦτα τῷ Ἕκτορι, οὐ μὴν ἐξελεγχομένου τοῦ Αἰνείου καὶ Ἕκτωρ συνεξελέγχεται· ἐὰν δὲ ἀνασκευάζωμεν, ἀπὸ τοῦ μείζονος ἐπιχειρήσομεν, ὡς τοῦ ἐλάττονος συναναιρουμένου τῷ μείζονι· ἐξελεγχομένου γὰρ τοῦ Ἕκτορος ὡς δειλοῦ, καὶ Αἰνείας πάντως συνεξελέγχεται.

## Περὶ μεταλήψεως.

Ἡ μετάληψις πάλιν· πάλιν [1] ὥσπερ ἡ πραγματική· ἐν μὲν οὖν τῇ μεθόδῳ τελευταίαν ἔταξε τὴν μετάληψιν, ἅτε μὴ ἐκ τῆς διαιρέσεως τῶν ἄλλων στάσεων γινομένην, ἀλλ᾽ ἰδίᾳ καὶ [2] καθ᾽ αὐτὴν συνεστῶσαν, ἢ ἅτε πασῶν τῶν ἄλλων στάσεων ἐμπιπτουσῶν εἰς αὐτήν. [3] οὐδέποτε γὰρ παραγραφὴ μόνη μελετᾶται, ἀλλὰ τὸ μὲν ἔγγραφον ζήτημα [4] κατὰ μίαν τῶν νομικῶν, τὸ

26 T. VII. κε. 1 πάλιν Mon. om. 2 καὶ Mon. om.
3 T. VII. c. XXIII. init. 4 T. VII. ζητεῖται.

δὲ ἄγραφον καθ' ἣν ἂν ἐμπέσῃ τῶν λογικῶν.[5] ἐνταῦθα δὲ μεταξὺ τῶν τε νομικῶν[6] καὶ λογικῶν, ἐπειδὴ[7] ἀμφοτέρων μετέχει· τῶν μὲν νομικῶν κατὰ τὴν παραγραφὴν, τῶν δὲ λογικῶν κατὰ τὴν εὐθυδικίαν· τέτακται[8] δὲ μετὰ τὴν πραγματικὴν, ὅτι ὥσπερ τῆς πραγματικῆς ἡ μὲν ἔγγραφός ἐστιν, ἡ δὲ ἄγραφος, οὕτω καὶ ταύτης, ἢ ὅτι πλείστη πρὸς τὰς νομικὰς τῆς παραγραφῆς ἡ συγγένεια· τὸ μὲν γὰρ τῆς πραγματικῆς ἔγγραφον καθ' ὁμοιότητα γίνεται τῶν νομικῶν, ἔχον καὶ ἴδια κεφάλαια τὰ παρὰ τὸ νόμιμον· τὸ δὲ τῆς μεταλήψεως τουτέστιν ἡ παραγραφὴ κατὰ νομικόν τε γίνεται ὡς ἐπὶ τὸ πλεῖστον, καὶ ἰδίοις οὐ χρῆται τὸ παράπαν κεφαλαίοις. Τελεία τί ἐστι· ζητοῦσι πολλοὶ,[9] πῶς τελείαν ἔφη τὴν παραγραφήν· ὁρῶμεν γὰρ, ὡς τῶν παραγραφῶν αἱ μὲν τέλειαι, ὅταν αὐτὸ τὸ πρᾶγμα καθάπαξ ἐκβάλλωσιν,[10] αἱ δὲ ἀτελεῖς, ὅταν τὸ μὲν πρᾶγμα συγχωρῶσιν, ἀπὸ δέ τινος τῶν περιστατικῶν τὸν ἀγῶνα παραγράφωνται. λύεται δὲ ἡ ἀπορία, ὡς ἐν συγκρίσει τῆς μεταλήψεως λαμβανομένου[11] τοῦ χωρίου· πρὸς γὰρ ἐκείνην ἀφορῶν τελείαν ἔφη τὴν παραγραφήν· ὅπως γὰρ ἂν ἀτελὴς ὑπάρχῃ παραγραφὴ, τελειοτέρα ἐστὶ μεταλήψεως· εἴγε ἡ μὲν τοῦ ἀγῶνος ἔχει ἐκβολὴν,[12] ἡ δὲ ἀγωνίζεται μεταλαμβάνουσά τι τῶν περιστατικῶν. Περὶ μίαν[13] εὑρίσκεται· ἰστέον, ὅτι κατὰ τὴν κοινὴν ἁπάντων παράδοσιν κατὰ τέσσαρας ἡ παραγραφὴ γίνεται στάσεις· κατὰ ῥητὸν καὶ διάνοιαν, καὶ ἀμφιβολίαν καὶ στοχασμὸν καὶ ὅρον· δοκεῖ δὲ παραλιπεῖν ὁ τεχνικὸς τὴν

---

5 T. VII. add.: πάσαις γὰρ ὥσπερ ἄν τι πάσχῃ ἡ μετάληψις ταῖς νομικαῖς καὶ λογικαῖς. 6 T. VII. λογικῶν καὶ τῶν νομικῶν. 7 Mon. ἐπεί. 8 T. VII. α. 9 T. VII. β. 10 Mon. ἐκβάλωσιν. 11 Par. λαμβανομένης. Mon. λαμβανομένου, ut T. VII. 12 T. VII. εἴτε τοῦ ὑποκειμένου, εἴτε καθάπαξ τοῦ πράγματος. 13 Mon. μίαν. Par. μιᾶς. — cfr. T. VII. δ.

κατὰ στοχασμὸν, δοκεῖ γὰρ μὴ ἂν γενέσθαι παραγραφὴν κατὰ στοχασμόν. πᾶσα γὰρ παραγραφὴ καὶ περὶ ῥητὸν καὶ κατὰ περίστασιν ἔχει τὴν ἀμφισβήτησιν· ὅπου δὲ περὶ ἀμφοῖν ἡ ζήτησις, νομικὴ γίνεται ἡ στάσις· ἐν δὲ στοχασμῷ οὐ περὶ τὸ [14] ῥητὸν τὸ ζήτημα· ὡμολόγηται γὰρ τὸ ἀποτυμπανίζεσθαι τὸν φονέα· ἀλλὰ περὶ τὴν περίστασιν τὸ εὑρεθῆναί τινα ἐπ' ἐρημίας, νεοσφαγεῖ παριστάμενον σώματι· οἱ μέντοι τεχνικοὶ, ἐπειδὴ κατενόησαν παραγραφήν τινα, αὐτὴν μὲν ἐφ' [15] ἑαυτῆς ἀπηρτισμένην καὶ ὑποκείμενον ἔχουσαν, στοχαστικῆς δέ τινος ἔξωθεν ὑποθέσεως κατασκευασθείσης, χώραν καὶ αὐτὴν λαμβάνουσαν, ἵνα μὴ διεσπασμένη γίνηται ἡ ὑπόθεσις, τῆς μὲν παραγραφῆς ἰδίᾳ, τῆς δὲ στοχαστικῆς ζητήσεως ἔξωθεν λαμβανομένης ἄμφω συμπλέξαντες [16] ὠνόμασαν παραγραφὴν [17] κατὰ στοχασμὸν, ὡς [18] ἐπὶ τοῦ κατὰ Τιμάρχου· ἡ μὲν παραγραφὴ, ὅτι οὐκ εἰσαγώγιμος ἡ δίκη, οὐ γὰρ ἐφεῖται λέγειν τοῖς ἡταιρηκόσιν· ἡ δὲ στοχαστικὴ ζήτησις, εἰ Τίμαρχος ἡταίρηκε· μένει τοίνυν ἡ παραγραφὴ, ὥσπερ ψιλή τις πρότασις φαινομένη ἄπορος λόγου, καὶ οὐκ ἔχουσα καθ' ὅτου ἂν [19] ἐνεχθῇ, εἴπερ μὴ ἀποδειχθείη πρότερον τὸ στοχαστικὸν ζήτημα· ἐπεὶ οὖν ἀποδεικνυμένου τούτου φέρεται εὐθὺς ἡ παραγραφὴ κατὰ τοῦ ὑποκειμένου, διὰ τοῦτο συμπλέκειν ᾠήθησαν δεῖν ἀμφότερα. Ζητητέον κἀκεῖνο, ὡς τριῶν τοὐλάχιστον ἐν ἑκάστῃ παραγραφῇ στάσεων ὑποκειμένων, πῶς [20] αὐτὸς ἔφη τὸ πρότερον ζήτημα ὡς ἐπὶ δυοῖν· ἀλλὰ δῆλον, ὅτι ἡ [21] παραγραφή τε καὶ ἡ [22] στάσις καθ' ἣν γίνεται, ὡς ἓν λαμ-

14 Mon. τὸ om. 15 Mon. ἀφ'. 16 T. VII. συνέπλεξαν ὀνομάσαντες. 17 Par. 2977. τὴν παραγ. 18 T. VII. ἔστω δὲ ἡμῖν ἐπὶ παραδείγματος ὁ κατὰ Τιμάρχου· ἡ μὲν οὖν. 19 ἂν T. VII. om. 20 πῶς T. VII. om. 21 ἡ Mon. 8. om. 22 T. VII. ἡ καθ' ἣν γίνεται στάσις, ὡς ἓν ζήτ. λαμβ.

βάνονται ζήτημα, αὐτὴ γὰρ καθ' ἑαυτὴν ἀσύστατος ἡ παραγραφή·[23] Ἔστι δὲ ὅτε ὁρικῶς· οἷον[24] νόμος τὸν ἡταιρηκότα μὴ πολιτεύεσθαι. Τίμαρχος ἡταιρηκὼς καὶ διδάσκων γράμματα κωλύεται· ζητεῖται γὰρ ἐνταῦθα, εἰ ταὐτὸν τῷ[25] πολιτεύεσθαι τὸ γράμματα διδάσκειν. Ἰστέον δὲ, ὅτι εἰ καὶ κατὰ ὅρον καὶ στοχασμὸν πολλάκις τὸ πρότερον ζήτημα γίνεται, ἀλλ' οὖν ἀπὸ νόμου πάντως τὴν ἀρχὴν λαμβάνει· ἀπὸ ῥητοῦ γὰρ πᾶσα γραφὴ, διὸ καὶ νομικῇ ὑποπίπτει στάσει· καθὸ δὲ πλατυνομένη, τυχὸν ἐν τῇ κατὰ ῥητὸν καὶ διάνοιαν τῆς ἐξετάσεως στάσει ὁρικῶς[26] ἢ στοχαστικῶς ἐργάζεται, λέγεται κατὰ ὅρον ἢ στοχασμὸν ἐξετάζεσθαι· τουτέστι τοῦ ῥητοῦ καὶ τῆς διανοίας ὁρικῶς πλατυνομένου ἢ στοχαστικῶς, οἷον ἐγράψατο Τίμαρχος Αἰσχίνην παραπρεσβείας· ὁ δὲ ἑταίρησιν ἐγκαλῶν αὐτῷ παραγράφεται τὴν δίκην· ἐνταῦθα γὰρ ἕτερος μὲν ἀγὼν ὁ τῆς παραπρεσβείας, ἕτερος δὲ τῆς ἑταιρήσεως, στάσεως ὢν διὰ τὸ ἀμάρτυρον στοχαστικῆς κατὰ παραγραφήν· μετὰ δὲ τὸ ἡττηθῆναι διὰ τῆς παραγραφῆς Τίμαρχον, ὁ τῆς παραγραφικῆς ἀγὼν εἰσάγεται, στοχαστικῆς ὢν καί αὐτὸς στάσεως· καὶ πάλιν δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι· γραψάμενος δημοσίων ἀδικημάτων Δημοσθένης Μειδίαν[27] καὶ ἑλὼν, κρίνει αὐτὸν καὶ ὕβρεως· ἐν τούτῳ γὰρ χρωμένου τοῦ παραγραφομένου τῷ ῥητῷ, ἐξετάσουσι τὴν διάνοιαν οἱ διώκοντες ὁριστικῶς·[28] εἰ τὸ δὶς νῦν καὶ[29] πρότερον· ἢ δύο φησὶ, καὶ εἰ ταὐτὸν ὕβρις καὶ δημόσιον· τῷ δὲ[30] ἀκριβῶς σκοποῦντι οὔτε κατὰ στοχασμὸν, οὔτε κατὰ ὅρον γίνεται ἡ παραγραφὴ, ὥσπερ

---

23 T. VII. addit: πρὸς ὃ βλέπων ὁ τεχνικὸς ἄγαν ὀρθῶς τῷ προτέρῳ ἐχρήσατο. 24 T. VII. ε. 25 Par. τό. 26 T. VII. ὁριστικῶς. 27 T. VII. Μειδίαν Δημ. 28 Par. 2977. ὁρικῶς εἰς τὸ δίς. 29 T. VII. τε καί. 30 T. VII. ἀκριβῶς δέ.

προείρηται·[31] διὸ οὐδὲ ὁ τεχνικὸς εἶπε πλατέως[32] περὶ αὐτοῦ. Τὸ δὲ μετὰ τὴν παραγραφήν· δύο ζητήματα[33] ἀεί ἐστι περὶ τὴν ἄγραφον μετάληψιν· τὸ μὲν κατ᾽ ἐκβολὴν τοῦ ἀγῶνος, τὸ δὲ κατ᾽ εὐθυδικίαν, ἐν ᾧ τοῦ πράγματος ἡ ζήτησις· πρῶτον οὖν καλεῖ τὸ τῆς ἐκβολῆς, ὃ δὴ καὶ κυρίως παραγραφή· αὐτὴ[34] δέ, φησὶ, κατὰ μίαν τῶν νομικῶν ἐξετασθήσεται. Ἐπειδὴ γὰρ ἐν αὐτῇ ἐστιν ἡ τῶν ἐμπιπτόντων ῥητῶν ἐξέτασις, ἀναγκαίως κατὰ μίαν τῶν νομικῶν διαιρεῖται· τὸ δὲ ἕτερον, ὃ καὶ ἐπαγόμενόν[35] ἐστιν, ἤτοι ἡ εὐθυδικία καθ᾽ ἑτέραν δή τινα τῶν λογικῶν· λογικαὶ δέ εἰσιν, ἐν αἷς περὶ πράγματος ἡ ζήτησις, καὶ πάντα τὰ περὶ ἀγράφων ἐξετάζεται. Ἐμπέπτωκε δὲ ἐνταῦθα· οὐκ ἀγωνιστικὸν[36] τοῦτο τὸ παραγραφικὸν, ἐπειδὴ ἀνόητον τὸ τοῖς ἀμφιβόλοις ῥητοῖς ὡς κυρίοις χρῆσθαι, ἀλλ᾽ ὀλίγως[37] πιθανόν·[38] ὡς παραγραφικὸν δὲ αὐτὸ εἶπεν, ἐπειδὴ χρόνῳ μόνον ἐκυρώθη ὁ νόμος, οὐ κρίσει δικαστῶν· εἰ γὰρ ἦν κρίσει κεκυρωμένος, παραγραφὴ ἂν ἐγίνετο[39] δι᾽ αὐτοῦ τελεία, καὶ οὐ παραγραφικόν.[40]

---

31 ὥσπερ προείρ. T. VII. om. 32 T. VII. πλατέως εἶπε. 33 T. VII. ς. 34 T. VII. αὕτη. 35 Par. 2926. Mon. 8. ἐπαγγελλόμενον. Par. 2977. ἐπαγόμενον. 36 Ex schol. min. T. VII. 37 Mon. 8. ὀλίγον. Par. 2977. ὀλίγον πως. 38 T. VII. add. χρήσεται μὲν τῷ προειρημένῳ παραγραφικῷ ὁ φεύγων ἐνταῦθα, οὐ μὴν ἐνδιατρίψει, οὐ γὰρ ἰσχὺν ἱκανὴν ἔχει. 39 T. VII. ἐγένετο sine ἄν. 40 T. VII. addit: ἔστι δὲ τοιοῦτον, οὐκ ἔχων, φησὶ, τὰ πέντε τάλαντα, οὐ δύνασαι λέγειν, ὁ γὰρ νόμος κωλύει σε ἐνδεῶς ἔχοντος τῶν [Mon. 8. τῶν om.] πέντε ταλάντων. Apud Planudam sequitur cap. περὶ τῆς ἀγράφου et περὶ ῥητοῦ καὶ διανοίας, quae integra leges T. IV. p. 795. et 813.

## Περὶ ἀντινομίας.

Ἡ ἀντινομία. Ἐν μὲν τῇ μεθόδῳ κατὰ τὸ ῥητὸν καὶ τὴν διάνοιαν τὸν συλλογισμὸν εὐθὺς ἔταξεν, ἐπειδὴ κοινωνοῦσι τῇ ποσότητι τοῦ ῥητοῦ, περὶ ἓν γὰρ ῥητὸν εἴλεῖται ἑκάτερον· ἐνταῦθα δὲ μετὰ τὸ ῥητὸν καὶ τὴν διάνοιαν τὴν ἀντινομίαν ἐπήνεγκεν, ἐπειδὴ μίαν σχεδὸν διαίρεσιν ἔχουσι, καίτοι τῆς ἀντινομίας περὶ πλείονα ῥητὰ καταγινομένης· τὰ αὐτὰ μὲν γὰρ ἀμφοτέραις ταῖς στάσεσι κεφάλαια, ἐν δὲ τῇ ἀντινομίᾳ διπλᾶ λαμβάνεται, ὅθεν καί φησιν αὐτὴν οἷον διπλοῦν ῥητὸν καὶ διάνοιαν εἶναι. Ἐνταῦθα δὲ ζητοῦσί τινες, ὡς ἐπειδὴ διπλοῦν ῥητὸν καὶ διάνοιά ἐστιν ἡ ἀντινομία, διατί μὴ διπλοῦν εἶδος ῥητοῦ καὶ διανοίας λέγεται, ἀλλ' ἰδιάζουσα στάσις. Τινὲς μὲν οὖν φασιν, ὡς ἐπειδήπερ ἴδιον κεφάλαιον ἔχει τὸ περιέχον καὶ περιεχόμενον, ὅπερ οὐκ ἔστι ῥητοῦ καὶ διανοίας, οὐκ ἄρα διπλοῦν ἔσται εἶδος ἡ ἀντινομία ῥητοῦ καὶ διανοίας, ἀλλὰ τοῦτό γε οὐκ ἰσχυρόν· ἐν γὰρ τῷ κατὰ σύλληψιν ὅρῳ τὸ συλληπτικὸν ἐμπέπτωκεν, ὅπερ οὐκ ἔστιν ἐν τοῖς ἄλλοις εἴδεσι τοῦ ὅρου· ἕτεροι δέ φασιν, ὅτι πάντα τὰ ὑπὸ τὴν αὐτὴν στάσιν τελοῦντα εἴδη τὸν αὐτῆς ἐπιδέχονται ὁρισμόν· ἐνταῦθα δὲ διάφορος ὁ ὁρισμὸς ἀντινομίας τε καὶ ῥητοῦ καὶ διανοίας· εἰ δὲ καὶ ἦν ἡ ἀντινομία διπλοῦν εἶδος ῥητοῦ καὶ διανοίας, ἔδει θάτερον μὲν τῶν ἀντιδίκων τοῖς δυσὶ κεχρῆσθαι ῥητοῖς, θάτερον δὲ ταῖς δυσὶ διανοίαις· τοῦτο γὰρ ῥητοῦ καὶ διανοίας ἴδιον, τὸ τὸν μὲν κεχρῆσθαι τῷ ῥητῷ, τὸν δὲ τῇ διανοίᾳ· ἐν δὲ τῇ ἀντινομίᾳ καὶ παραβαίνεται ῥητὸν καὶ κυροῦται ἕτερον, οὐκ ἄρα τῆς αὐτῆς φύσεως αἱ στάσεις. Ἰσάζειν δέ πως δοκεῖ. Καλῶς τὸ δοκεῖ. οὐ γὰρ παντάπασιν ἰσάζει, ὅθεν καὶ χαλεπὸν αὐτοῖς χρῆσθαί φησι· τὸ δὲ χαλεπὸν οὐκ ἀδύνατον. Ἴδιον δέ· πολλὴ ἡ τοῦ κεφαλαίου τοῦδε δύναμις, καὶ ἱκανωτάτη προσάγεσθαι τὸν ἀκροατήν·

ὁποτέρῳ γὰρ τῶν ἀντιδίκων ἀποδείξαντι, ὡς τοῦδε κρατήσαντος τοῦ νόμου οὐδὲ ὁ ἕτερος ἀναιρεῖται, δῆλον ὅτι πᾶς δικαστὴς προστεθήσεται. Τάχα δ' ἄν τις αὐτό· ὁ μὲν τεχνικὸς τὴν μέθοδον εἰπεῖν παρῃτήσατο· ἡμεῖς δέ φαμεν, ὅτι δύναται ταῖς ἐννοίαις μὴ ἐξισάζειν· καὶ γίνεται τὸ τοιοῦτον διχόθεν· ἀπό τε τῆς φύσεως τοῦ ῥητοῦ, οἷον ὅτι ὁ θατέρου νόμος σαφής· ὁ δὲ τοῦ ἑτέρου ἀσαφέστερος· καὶ ἀπὸ τῆς χρήσεως, εἰ ἔχομεν ἀποδεικνύναι παραδείγματα, ὡς πολλῶν καὶ ἄλλων οὕτω χρησαμένων τῷ νόμῳ, οὐκέτι δὲ παραπλησίως καὶ τῷ τοῦ ἀντιδίκου.

Ἡ μέντοι ἑτέρα διάνοια· ἡ γνώμη τοῦ νομοθέτου ἐν τῇ ἀντινομίᾳ, οὐχ ὥσπερ ἐν ῥητῷ καὶ διανοίᾳ πρὸς τὸ ἀόριστον φέρεται, ἀλλὰ πρὸς αὐτὸ τὸ ῥητὸν, ἤτοι τὴν αἰτίαν, διατί οὕτως ἔγραψεν. Πολλάκις δὲ διεμαρτυράμην· τὰ τοῦ φεύγοντος εἰπόντι ἀκόλουθον ἦν αὐτῷ καὶ τὴν ἑτέραν ἀποδοῦναι γνώμην, ἐπεὶ δὲ ἐνταῦθα οὐχ εὗρεν, ἢ ὅ τι ἂν εὑρίσκωσιν ἀμφότεροι εἶπεν. Καὶ καταδρομή. Καθόλου γὰρ πᾶν ἀντεγκληματικὸν διὰ τοῦ κοινοῦ τόπου προάγεται· τὸ δὲ ἀντιστατικὸν ἀσφαλῶς εἶπεν· οὐ γάρ ἐστιν ἐνταῦθα κυρίως ἀντίστασις, ἐπειδὴ αὐτοῦ ἐστι τοῦ πεποιηκότος μόνου ὠφέλεια, καὶ οἱ κοινῶς τῆς πόλεως, εἰ μήπου τις λέγοι ὡς ὑπὲρ τῆς πόλεώς ἐστιν· εὐπορήσει γὰρ ὁλκάδων ἡ πόλις, ἐξ ὧν οὐκ ἔσται τῶν ἀναγκαίων σπάνις. Ἡ μετάληψις. Τῆς ἀντιθέσεως διπλῆς γινομένης, διπλῆ καὶ ἡ μετάληψις ἐπακολουθεῖ. Ὅτι ὁ μὲν παλαιός· ἐκ πέντε τρόπων ἐνταῦθα ὁ Ἑρμογένης τὴν τῶν νόμων σύγκρισιν ἐποιήσατο, ἀπὸ χρόνου, ἀπὸ προσώπου, ἀπὸ ποσότητος, ἀπὸ πηλικότητος, καὶ ἐκ τοῦ ἀποβησομένου· ἕτεροι δὲ καὶ ἐξ ἄλλων δύο ἔφασαν, ἀπό τε αἰτίας, οἷον διατί ἑκάτερος τῶν νόμων ἐτέθη, καὶ ἀπὸ τοῦ πλήθους τῶν κεχρημένων, ὅτι τούτῳ

μὲν πλεῖστοι κέχρηνται, ἐκείνῳ δὲ ὀλίγοι·[1] ἕπεται δὲ τῇ μεταλήψει τὸ πρός τι, ἑκατέρου ἐξετάζοντος, πότερον τῶν νόμων δεῖ παραβαίνειν. Καὶ τὸ ἴδιον μᾶλλον· τί δήποτέ φησι μᾶλλον, ὡς ἂν καὶ τῶν ἄλλων ἰδίων ὄντων· καὶ μὴν ἐκεῖνα κοινὰ τῇ ἀντινομίᾳ πρὸς ῥητὸν καὶ διάνοιαν· φαμὲν δὲ, ὅτι καὶ τὰ κοινὰ ἔν τινι ὄντα ὥσπερ ἴδια αὐτοῦ γίνονται. Κἀνταῦθα μὲν χαλεπῶς. ἰστέον, ὅτι δυνάμεθα καὶ ἐπὶ τοῦ ἀποκηρύκτου τὸ περιέχον καὶ περιεχόμενον εὑρεῖν· εἰ γὰρ ἀναδράμοιμεν ἐπὶ τὴν πρώτην τοῦ νόμου διάνοιαν, ἐν οἷς φησιν, ὅτι τότε λέγει ὁ νόμος, εἴργεσθαι τῶν πατρῴων τὸν ἀποκήρυκτον, ὅταν ὡς κληρονομήσων τῆς οὐσίας ἀντέχηται, οὐχ ὅταν ὡς ἀλλότριος καὶ μηδὲν προσήκων, ἐντεῦθεν εἰς τὸ περιέχον καὶ περιεχόμενον ἕξομεν· οἷον εἰ μὲν λάβοιμι τὴν ναῦν, ἑκάτερος φυλαχθήσεται τῶν νόμων, καὶ ὁ κύριον ποιῶν τὸν ἐπιμείναντα, καὶ ὁ τῶν ἀποκηρύκτων· οὐ γὰρ ὡς κληρονομήσων κατὰ τοὺς περὶ τῶν παίδων νόμους πρόσειμι τῇ νηΐ, εἰ δέ με ἀποστεροίητε, ὁ περὶ τῶν ἐπιμεινάντων λυθήσεται.

## Περὶ συλλογισμοῦ.

Ὁ συλλογισμός· ὠνόμασται μὲν συλλογισμὸς ἀπὸ τοῦ κατὰ φιλοσοφίαν συλλογισμοῦ· ὥσπερ γὰρ ἐκεῖνος διὰ τῶν ἀληθῶν ἀποδείξεων κατασκευάζει τὸ ζητούμενον, οὕτω καὶ οὗτος διὰ τῶν πιθανῶν λόγων εἰς ταὐτὸ ἄγει τὸ ἄγραφον τῷ ἐγγράφῳ· περὶ δὲ τῆς τάξεως αὐτοῦ εἴρηται ἐν τῇ ἀντινομίᾳ. Προβολῇ πράγματος. Ἐνταῦθα ὁ κατήγορος οὐ προβολὴν ἕξει ῥητοῦ, ἀλλὰ προβολὴν πράγματος· προβαλεῖται γὰρ τὸ γεγονός· ἐνταῦθα μὲν γὰρ τὸ ῥητὸν λυτικὸν γίνεται τῆς προβολῆς· ἐπὶ δὲ τῶν ἄλλων στάσεων συναναλαμβάνεται αὐτῇ καὶ λύεται τῇ διαιρέσει τὸ ῥητόν. Ζητητέον, τί διαφέρει ἡ στάσις αὐτὴ τῆς ἀντιλήψεως· κἀκεῖ γὰρ νό-

1 Cod. ὀλίγῳ.

μον ὁ φεύγων προβάλλεται· καί φαμεν, ὅτι ἐν μὲν τῇ ἀντιλήψει νόμον προβάλλεται, ὃν ἄντικρυς φυλάττειν δοκεῖ· οἷον τὸν μοιχὸν ἀναιρεῖν προστέτακται ὑπὸ τοῦ νόμου· τρισαριστεία τις μοιχὸν ἀνελὼν κρίνεται· ἐν δὲ τῷ συλλογισμῷ ἄλλο τι πράττει παρὰ τὸ γεγραμμένον. Διαφέρει δὲ καὶ τῆς κατὰ ῥητὸν καὶ διάνοιαν, ὅτι ἐκεῖ μὲν ὁ κατήγορος τὸ ῥητὸν προΐσχεται, ἐνταῦθα δὲ ὁ φεύγων. Ὁ συλλογισμός· ἐν μὲν τῷ ὅρῳ καὶ τοῖς ἄλλοις προηγεῖτο τὸ κεφάλαιον ὁ ὅρος τοῦ συλλογισμοῦ. ἐνταῦθα δὲ ἐναλλαγὴ γέγονε τούτων, ὡς καὶ ὁ τεχνικός φησιν· αἴτιον δὲ τὸ διάφορον τῶν στάσεων εἶδος· ἡ μὲν γὰρ οὖσα λογικὴ εἰκότως τὰ λογικὰ ἔχει προτεταγμένα κεφάλαια, ἡ δὲ, οἷα νομικὴ τὸ νομικὸν προτάττει κεφάλαιον τὸν συλλογισμόν. Ἡ γνώμη τοῦ νομοθέτου· ἐπὶ τοῦ γεγονότος ἐκ πόρνου καὶ κωλυομένου δημηγορεῖν ὁ μὲν κατήγορος ἐρεῖ, ὅτι πᾶσαν πορνείαν ὁ νομοθέτης μεμισηκὼς διὰ τοῦτο τὸν ἐκ πόρνου κωλύει λέγειν· ὁ δὲ φεύγων, ὅτι οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸ μὴ ἔχειν αὐτὸν ὡρισμένον πατέρα μηδὲ ἀναγεγράφθαι, ὅτου πατρὸς εἴη. Τὸ δὲ ἀνευθύνως, τουτέστι χωρὶς εὐθύνης τῶν κωμῳδούντων. Ὁ βίαιος ὅρος· καὶ αὐτὸς κοινὸς τοῦ μὲν κατηγόρου λέγοντος, ὅτι τοῦτό ἐστι τὸ ὀνομαστὶ κωμῳδεῖν, τοῦ δὲ φεύγοντος, ὅτι τοῦτο οὐδὲ ὅλως ἐστὶ κωμῳδεῖν. Πλείονα δὲ εἴδη· καὶ μὴν εἰ εἴδη, πῶς τὴν αὐτὴν ἐπιδέχονται διαίρεσιν, αὐτὸς γὰρ πολλάκις ἔφη, ὅτι ἐκεῖνά εἰσιν εἴδη τὰ διαφέροντα κατὰ τὴν κεφαλαίων διαίρεσιν· μήποτε οὖν οὐκ εἰσιν εἴδη, ἀλλὰ τρόποι, ὡς καὶ ἀλλαχοῦ ἔφη, εἴδους μὲν γὰρ ἕνεκα καὶ τρόπου ταὐτὸν λαβὼν εἶδος καὶ τρόπον. Ἤτοι ἀπὸ τοῦ ἴσου. ἴσον γὰρ ὁ κατήγορος σπουδάζει δεῖξαι τὸ πεπραγμένον τῷ ἀπειρημένῳ ὑπὸ τοῦ νόμου· ἀπὸ δὲ τοῦ ἐναντίου, ἐπειδὴ ὁ φεύγων ἐρεῖ, ὅτι ὁ τὴν ἀριστείαν τιμήσας μισεῖ καὶ τιμωρεῖται τὸν λειποτάκτην· οὐχ ἁπλῶς

δέ, φησίν, ἐνταῦθα τῷ ἀντεγκλήματι χρήσεται, ἀλλὰ μετὰ τῶν κεφαλαίων τοῦ συλλογισμοῦ· εἰ μὴ γὰρ προέκειτο γέρας εἶναι τῷ ἀριστεῖ, τάχα ἂν ἦν ἀντέγκλημα ἢ καὶ ἀσύστατον. Ἰστέον δέ, ὅτι ἐν μὲν τῷ ἀπὸ τοῦ ἴσου καὶ τοῦ ἐναντίου ὁ φεύγων ἔχει τὸ ῥητόν, ἐν δὲ τῷ ἀπὸ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος ὁ κατήγορος, ἐν οἷς οὐκέτι προβολὴ ἔσται πράγματος ἁπλῶς, ἀλλὰ καὶ ῥητοῦ.*

---

## ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΟΥ ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ.[1]

Ald. Vol. II. 352

Περὶ εὑρέσεων ἐπιγέγραπται τὸ βιβλίον, καίτοι καὶ τῶν ἄλλων πραγματειῶν Ἑρμογένους εὑρέσεις τινὰς εἰσαγουσῶν. ἥ τε γὰρ ἐπιγραφουμένη περὶ στάσεων εὕρεσίν τινα καὶ διασκευὴν διδάσκει καὶ αὐτός φησιν, ὅτι τὸβιβλίον[2] ἐκεῖνο[3] ταὐτόν ἐστι σχεδὸν τῷ περὶ εὑρέσεως· καὶ δὴ κἀν τῷ[4] βιβλίῳ τῷ περὶ τῶν κεφαλαίων ἀρχόμενός φησιν· „περὶ μὲν τῆς τῶν κεφαλαίων εὑρέσεως κατὰ τὴν διαιρετικὴν ἐξεθέμην μέθοδον," ὥστε εὕρεσιν καὶ ἐν ταῖς στάσεσι διδάσκει, καὶ αἱ ἰδέαι δὲ τὸ βιβλίον εὑρέσεις τινὰς διδάσκουσιν. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἐν μὲν τοῖς ἄλλοις τάξιν καὶ μεταχείρισιν τῶν εὑρημένων ἐν τῇ φύσει διδάσκει, οὐχ εὕρεσιν δέ· ἐνταῦθα δὲ εὕρεσιν προηγουμένως προοιμίων καὶ πολλῶν παραδίδωσιν ἄλλων· καὶ ὅτι[5] ἐν μὲν τοῖς ἄλλοις κοινόν τι ἦν ὄνομα περὶ ὧν ἔμελλε διδάσκειν, ἐξ οὗ καὶ τὴν ἐπιγραφὴν εὐθέτως

---

* Sequitur caput περὶ ἀμφιβολίας, quod exstat in T. IV. p. 845.

1 Contuli Par. 2918. Specimen sumsi ex Taur. LXXVII. c. III. 20. 2 Taur. h. l. et in sqq. βυβλίον. 3 Ald. ἐκεῖνος. 4 Taur. et Par. καὶ ἐν τῷ τρίτῳ βιβλίῳ περὶ τῶν κεφ. — v. 19. Ald. Par. μεταχείρησιν, scr. μεταχείρισιν. cf. Schaef. Melet. p. 58. 5

ἦν λαμβάνειν [6] οἷον στάσεις, ἰδέαι περὶ στάσεων, περὶ ἰδεῶν· ἐν δὲ τῷ παρόντι βιβλίῳ ἐπειδὴ μηδὲν κοινὸν ὄνομα κεῖται γνώριμον τούτοις, περὶ ὧν διέξεισιν, ἔστι γὰρ προοίμιον, διήγησις καὶ τἄλλα, ὧν οὐδὲν κοινὸν ὄνομα, τούτων δὲ κοινόν τι τὴν εὕρεσιν παραδίδωσιν, εἰκότως ἀπ᾽ αὐτῆς τῆς εὑρέσεως τὴν ἐπιγραφὴν ἐποιήσατο. Ἐζήτησαν δέ τινες, τί κοινὸν κεφαλαίῳ καὶ εὑρέσει. φαμὲν οὖν, ὅτι κεφάλαιόν ἐστι μέρος λόγου ἐκ νοημάτων διαφόρων πρὸς ἕν τι τεινόντων τὸ κατασκευαζόμενον· [7] εὕρεσις δὲ νοημάτων διαφόρων εὐπορία· κοινωνοῦσι δὲ ἀλλήλοις, καθὸ πρὸς ἕνα σκοπὸν τὸ προκείμενον φέρονται. δεῖ γὰρ προσφυῶς τῇ ὑποθέσει ἑκάτερον ἐξετάζεσθαι· εἰ γὰρ ἄλλο μὲν εἴη τὸ ζητούμενον, οἷον στοχασμὸς, ἄλλο δὲ τὸ κατασκευαζόμενον, οἷον ἀντιλήψεως κεφάλαιον, ἢ ἑτέρας στάσεως, ἀσύστατον ἂν εἴη τὸ ζήτημα, ἢ ἀμαθὴς ὁ μελετῶν· διαφέρουσι δὲ ἀλλήλων, ὅτι τὸ μὲν κεφάλαιον ὡρισμένον ἐστὶ καὶ ἀεὶ φυλαττόμενον· οἷον ἐπὶ τῆς πραγματικῆς νόμιμον, δίκαιον, συμφέρον· ταῦτα γὰρ πάντα [8] ἐν ἑκάστῃ πραγματικῇ στάσει ἐμπεσεῖται, καὶ πᾶς μεταχειριζόμενος αὐτοῖς χρήσεται· ἡ δὲ εὕρεσις ἀόριστος καὶ πρὸς τὴν ἑκάστου φαντασίαν ἐγγινομένη· διὸ οὐ πάντες χρήσονται τῇ αὐτῇ, ἀλλ᾽ οἱ μὲν εὐπορώτερον, οἱ δὲ στενώτερον· εἶτα [9] τὰ μὲν κεφάλαια περιέχει τὰς εὑρέσεις· αἱ δὲ οὐ περιέχουσι ταῦτα, ἀλλὰ περιέχονται· ἔτι τὰ μὲν κεφάλαια ἀπὸ τῶν ἀγώνων ἀρχόμενα εἰς τοὺς ἀγῶνας καταλήγει, ἡ δὲ εὕρεσις καὶ τῇ παρεκβάσει καὶ τοῖς μέρεσι τοῦ λόγου κεκλήρωται. Προοίμιόν [10] ἐστι λόγος παρασκευάζων τὸν ἀκροατὴν εἰς ὑποδοχὴν τῆς ὑποθέσεως· κυρίως δὲ προοίμιον ἔλεγον οἱ παλαιοὶ τὰ παρὰ τῶν κιθαρῳδῶν ἐν ἀρχῇ λεγόμενα·

---

Taur. ἔτι. 6 Taur. ἐκλαμβάνειν. 7 Taur. κατασκευάζον. 8 πάντα. Taur. om. 9 Taur. ἔτι. 10 Cfr. T. VII. c. I. α.

οἴμη γὰρ ἡ ᾠδὴ, ἢ ἀπὸ [11] τῆς οἴμου, τουτέστι τῆς ὁδοῦ· τέλος δὲ τοῦ προοιμίου τὸ παρασχεῖν εὐήκοον πρὸς τὰ λοιπὰ τὸν ἀκροατήν· ἐπεὶ δὲ προσοχῆς ποιητικόν ἐστιν, ἀνάγκη πᾶσα πρὸ τῶν ἄλλων αὐτὸ τάττεσθαι· εἰ γὰρ καὶ ἐν μέσῳ τοῦ λόγου προοίμιά τινα δοκοῦσιν εὑρίσκεσθαι, ἀλλ' οὐκ εἰσὶ κυρίως προοίμια· ἀλλὰ πολλάκις ἐν τῷ μεταξὺ γινομένου θορύβου ἀνάγκη κατάστασιν ποιῆσαι οἱονεὶ προοιμιαζόμενον. Ἐν μέντοι τισὶ λόγοις καὶ δυσὶ καὶ τρισὶ προοιμίοις χρησόμεθα· δυσὶ μὲν ὡς ὁ Δημοσθένης ἐν τῷ τρίτῳ τῶν Ὀλυνθιακῶν, ὧν πρότερον [12] μὲν, „οὐχὶ ταὐτὰ [13] παρίσταταί μοι γινώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι“ καὶ ἑξῆς. δεύτερον δέ· „ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι.“ [14] τρισὶ δὲ ὡς ὁ αὐτὸς ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν. ὧν πρῶτον μὲν, „ἐπὶ πολλῶν ἄν τις ἰδεῖν, [15] ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι.“ δεύτερον δὲ, „τὸ μὲν οὖν, [16] ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι.“ τρίτον δέ· „τὸ μὲν [17] οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι,“ καὶ ἑξῆς. Ἰστέον δὲ, ὅτι παραιτησόμεθα τὸ προοίμιον, ὅταν ἢ εὐνοῶσιν οἱ δικάζοντες ἢ 353
ὀλίγον λάβωμεν ὕδωρ. Τότε γὰρ ῥητῶν ἀναγκαίων διήγησις ὠφελιμωτέρα, οὐ μὴν δὲ, ἀλλὰ καὶ ἐπὶ τοῦ ἐν Ἀρείῳ πάγῳ δικαστηρίου χρῆσις προοιμίων οὐκ ἦν. κῆρυξ γὰρ προσεφώνει τῷ εἰσιόντι „μὴ προοιμιάζου, μηδὲ ἐπίλεγε.“ ὡσαύτως ἐνώπιον βασιλέως οὐ δεῖ προοιμιάζεσθαι, ἀλλ' οὐδὲ βασιλεὺς ἀεὶ προοιμιάζεται, ἢ ἀρχιερεὺς, τὸ αἰδέσιμον καὶ ἀξιόπιστον ἐκ τοῦ βαθμοῦ κεκτημένοι καὶ μὴ γοητείας λόγων ἐπιδεόμενοι· οἱ γὰρ ἀκροαταὶ ὡς

11 Ἢ ἀπὸ τῆς οἴμου τουτέστι τῆς ὁδοῦ Taur. om. 12 Taur. πρῶτον. 13 Ol. III. init. 14 Ol. III. p. 29. 15 Ald. ἐπὶ πολλῶν μή. Taur. et Par. ἐπὶ πολλῶν ἄν τις ἰδεῖν. — Ol. II. init. 16 Ol. II. p. 18. paullo post init. 17 Ol. II. p. 19.

δεσπόταις αὐτοῖς ὑπείκουσι καὶ οὐδείς ἐστιν ὁ ἀντιτατ-τόμενος· ὅθεν καὶ βραχυλογίαις [18] οἱ τοιοῦτοι κέχρηνται· ὥσπερ καὶ παρὰ τοῖς ἀρχαίοις εἴρηται, „πᾶς δεσπότης δούλῳ μονοσύλλαβον·“ τὸ δὲ ἱκετεύειν μακρόν· ἔτι ἐὰν τὸ πρᾶγμα ἐπείγῃ, καὶ σπεύδωμεν ἐπὶ τὴν διήγησιν, οὐ προοιμιασόμεθα· ὁμοίως καὶ ἐὰν ᾖ περὶ [19] ἡμῶν τὸ πρᾶγμα· καὶ θαῤῥοῦντες εἰσερχώμεθα, προοιμίῳ οὐ χρησόμεθα.

Ἰστέον, ὅτι μέρη τοῦ πολιτικοῦ λόγου πέντε τινὲς παρέδοσαν, προοίμιον, διήγησιν, ἀντιθέσεις, λύσεις, τὰς λεγομένας πίστεις, ἐπίλογον· ἕτεροι δὲ εἰς [20] τέσσαρα ταῦτα συνεῖλον· τὰς γὰρ ἀντιθέσεις καὶ λύσεις ἑνὶ ὀνόματι τῶν ἀγώνων ἐκάλεσαν· τινὲς δὲ προστιθέασι καὶ ἕτερα τρία, ἔφοδον, παρέκβασιν, αὔξησιν· ταῦτα δὲ οὐκ ἔστιν ἕτερα παρὰ τὰ προειρημένα. ἔφοδός τε γάρ ἐστιν ἡ προθεραπεία, τουτέστι τὸ προοίμιον, αὔξησις δὲ ὁ ἐπίλογος· καὶ γὰρ ἕνεκα τοῦ θυμικὸν ποιῆσαι τὸν δικαστὴν ἢ ἱλαρὸν ἐπινενόηται ὁ ἐπίλογος. ἡ δὲ παρέκβασις ἢ ἐν τῇ διηγήσει ἐστὶν ἢ ἐν τοῖς ἀγῶσιν, ἢ ἐν τῷ ἐπιλόγῳ· εἰ δ' οὐδενὸς τούτων ἐστὶ, περιττόν ἐστι καὶ ἀχρεῖον· καὶ ἁμαρτάνει ὁ ῥήτωρ χρώμενος αὐτῇ· δεῖ δὲ τὸ προοίμιον συνεστραμμένον εἶναι, καὶ σπερματικῶς ἔχειν τὰ τῆς ὑποθέσεως· ἐν αὐτῷ γὰρ τὸ πρᾶγμα μανθάνομεν· τοῦ γὰρ ὅλου λόγου ζώῳ ἀτεχνῶς ἐοικότος, τὸ προοίμιον τῇ κεφαλῇ τούτου ἀναλογεῖ. Ἐπισκεπτέον δὲ, ὅτι ἐλλιπῶς [21] τὴν τῶν προοιμίων εὕρεσιν παραδίδωσιν ὁ Ἑρμογένης· πολλὰ γάρ ἐστιν ἀρχαῖα προοίμια· καὶ μυρία νέα συστῆναι δυνάμενα, ἐξ ὧν οὐδὲν εὑρεθήσεται εἰς οὐδένα τῶν ὑπ' αὐτοῦ παραδεδομένων τρόπων [22] ἀναγό-

---

18 Ald. βραχυλογίας. Taur. βραχυλογίαις οἱ τοιοῦτοι χρώμενοι. ad marg. κέχρηνται. 19 Par. ὑπέρ. 20 Par. εἰ. 21 Par. ἐλλειπῶς. 22 Ald. παραδεδομένον τρόπον. Par. παραδεδομένων τρόπων.

μενον· οἱ δὲ παλαιότεροι ἐλλιπῶς μὲν κἀκεῖνοι καὶ ἀδιευκρινήτως, ἀλλ᾽ οὖν πολὺ πλείους τρόπους παραδεδώκασιν· εἰς ὧν ἐνίους μᾶλλον ἀναφέρειν ἐστὶ τὰ προοίμια ἢ εἰς οὓς αὐτὸς ἐνόμισεν ἀναφέρεσθαι· τὸ γὰρ ἐκ βαρύτητος προοίμιον, καὶ τὸ ἐξ ἐπαίνου τῶν ἀκουόντων· καὶ τὸ ἐξ αἰτίας, καὶ τὸ ἐξ ἀπολογίας, οὐκ ἀπολιπούσης[23] μέμψεως, ἀλλ᾽ ἐπιείκειαν μόνον ἐνδεικνυμένης, καὶ πολλὰ ἄλλα παρῆκεν ὁ Ἑρμογένης, ὧν ἕκαστόν ἐστιν ἰδεῖν τῷ βίῳ μᾶλλον ἐπιπολάζοντα ἢ τὰ Ἑρμογένους καὶ τὰ τῶν ἀρχαίων προοίμια.[24] Τῷ μὲν οὖν ἐκ βαρύτητος τηνικαῦτα χρησόμεθα ἐπὶ τούτου. συνεχῶς τις νέος πλούσιος κρινόμενος τυραννίδος ἐπιθέσεως τὴν οὐσίαν αὐτοῦ κατεπόντωσεν ἐν θαλάσσῃ, καὶ κρίνεται. καὶ ἐπὶ τούτου· ῥήτορες ἐξεδόθησαν τῷ Φιλίππῳ, καὶ ἀφεθέντες οὐ πολιτεύονται καὶ κρίνονται· ἁρμόσει οὖν αὐτοῖς τὸ ἐκ βαρύτητος προοίμιον· οὐκ ἦν ὡς ἔοικε τῶν κακῶν ἀπαλλαγή· πρότερον μὲν γὰρ πολιτευόμενοι κινδύνοις περιεπέσομεν· νῦν δὲ[25] τὸ σιωπᾶν κρίνοντες δίκαιον εἰς δικαστήριον ἥκομεν· πρὸ τούτου τοίνυν βουλὰς βουλεύοντες νῦν παρ᾽ ἑτέρων ζητοῦμεν γνώμην, ὅ τι καὶ πράξομεν· ὁμοίως κἂν γνώμην τινὰ εἰσαγαγόντες ἀποτύχωμεν τοῦ πεῖσαι, εἶτα εἰσερχώμεθα[26] τοῦ προσθεῖναι βουλὴν δευτέραν, τῷ ἐσχηματισμένῳ ἐκ βαρύτητος χρησόμεθα· οἷον ἔγραψεν Αἰσχίνης τρισκαιδέκατον θεὸν νομίζειν Φίλιππον· ἀντειπόντος Δημοσθένους ἡττήθη· ὁ δὲ σχηματίζεται ἐν τῇ δευτέρᾳ αὐτοῦ βουλῇ καὶ ναοὺς αὐτῷ κατασκευασθῆναι· τὸ προοίμιον οὖν· εἰ καὶ περὶ τῶν προτέρων[27] οὐχ ἱκανῶς παρά τισιν ἔδοξα συνεωρακέναι τὸ βέλτιον, ὅμως οὐκ ἔδοξέ μοι καλῶς ἀθυμήσαντι σι-

---

23 Par. ἀπολυούσης. 24 προοίμια Ald. om., recepi ex Par. 25 δὲ Ald. om., recepi ex Par. 26 Ald. εἰσερχόμεθα. Par. εἰσερχώμεθα. 27 Ald. εἰ καίπερ πρότερον. Par. εἰ καὶ περὶ τῶν προτέρων.

*γῆσαι, ἵνα μὴ κακόνους δόξω τῇ πόλει· ἀλλὰ τὰ δοκοῦντά μοι νῦν συμφέροντα εἰσηγήσασθαι· τῷ δὲ ἐξ ἐπαίνου τῶν ἀκουόντων, ὅταν περὶ ἀκολουθούντων βουλευώμεθα·* 354 *οἷον Θεμιστοκλῆς πείσας ἐκλιπεῖν τὴν πόλιν βούλεύεται ἐμπρῆσαι τὸ ἄστυ. φήσει τοίνυν ὁρῶν ὑμᾶς πεπεισμένους, ἐφ' οἷς μικρῷ πρόσθεν εἰσηγησάμην, πρόθυμος τὰ νῦν γεγονὼς ἥκω τὰ τοῖς προτέροις ἑπόμενα συμβουλεύσων·* [28] *ὁμοίως· καὶ ὅταν περί τινος δυσχεροῦς βουλευώμεθα τῇ τε προβολῇ τοῦ συμφέροντος, καὶ τῷ πρὸς αὐτοὺς ἐπαίνῳ τοὺς δικαστὰς ἐπισπασόμεθα· λέξομεν γάρ, τὴν περὶ πάντα λυσιτελῆ σπουδὴν ὁρῶν ὑμᾶς ἔχοντας, ὦ ἄνδρες ἄριστοι, καὶ τὸ πρόθυμον τὸ περὶ τὰ πρακτέα· κἂν δυσχερῆ μέλλω λέγειν, ἀλλὰ διὰ τὴν ἐξ αὐτῶν γενησομένην τῇ πατρίδι ὠφέλειαν οὐκ ἄξιον ἔκρινα σιγῆσαι ὑφορώμενος τὴν ἐκ τῆς ἀγνωμοσύνης διαβολήν· ἔτι καὶ ἐὰν ἐπὶ ὁμογενῶν προβλημάτων τῷ ἡμετέρῳ προβλήματι καὶ ἄλλοτε παρέσχον αὐτοὺς εὐπειθεῖς οἱ ἀκροαταί· οἷον ἄξιον ὑμᾶς ἐπαινέσαι, ὦ ἄνδρες ἄριστοι, ἀνθ' ὧν τοῖς τὰ βέλτιστα συμβουλεύουσι πείθεσθε. ἐξ ὧν λαβὼν παῤῥησίαν καὶ αὐτὸς ἥκω περὶ τῶν ὁμοίων ὑμᾶς πείσειν οἰόμενος· ἐξ αἰτίας δέ ἐστι προοίμιον, ὡς τὸ Δημοσθενικόν· „εἰ μὲν περὶ καινοῦ τινος προὐτίθετο* [29] *λέγειν,“ καὶ ἑξῆς· τὸ δὲ κατ' ἐπιείκειαν ἀπολογίας, ὡς τὸ Αἰσχίνου κατὰ Τιμάρχου,* [30] *„οὐδένα πώποτε γραψάμενος.“ Εὑρίσκεται προοίμιον καὶ ἐκ διαβολῆς τοῦ ἀντιδίκου, ὅταν οὗτος νικήσας πάλιν εἰσιὼν ἀντιλέγῃ σοι, οἷον, τὸ μὲν αὐθάδη καὶ καταφρονητὴν γενέσθαι τοῦτον, ὦ δικασταί, οὐδὲν θαυμαστόν· τὸ γὰρ κρατεῖν ἐκ συνηθείας λαβὼν νομὴν εἴληφε τοῦ ἀντιλέγειν ἐν οἷς ἂν αὐτῷ δόξῃ· ἔνθα ὁ ἀντίδικος χρήσεται προοι-*

---

28 Ald. συμβουλεύων. Par. συμβουλεύσων. v. 13. Ald. πρακταία. 29 Par. προὔκειτο. — Phil. I. init. 30 Initio.

οιμίῳ τῷ [31] ἐξ ἐπαίνου τῶν ἀκροατῶν· εἰ λαμβάνεται προοίμιον καὶ ἀπὸ τοῦ εὐθίκτου καὶ εὐστόχου, ὅταν αὐτοῦ τοῦ πράγματος τῆς ὑποθέσεως ἐφαπτώμεθα, οἷον νέος πλούσιος ἀποβλέπει συνεχῶς εἰς τὴν ἀκρόπολιν καὶ δακρύει· ἐροῦμεν γάρ· δακρύει μὲν οὗτος, ὦ ἄνδρες ἄριστοι, καὶ ἀγανακτεῖ διὰ τὸ μηδέπω τῆς ἀκροπόλεως κρατεῖν, νῦν δὲ δικαίως οἶμαι δακρύσειν αὐτὸν δόντα τιμωρίαν, ἵνα μὴ τούτου περιόντος δακρύσωμεν [32] ἡμεῖς· ἔτι λαμβάνεται καὶ ἀπὸ γνώμης, ὡς ὁ Δημοσθένης· [33] „οὐδέν ἐστι χαλεπώτερον ἢ γείτονος φθονεροῦ τυχεῖν, οὗτος γὰρ ἐπιθυμήσας τοῦ χωρίου μου πράγματά μοι παρέχει". ἔτι λαμβάνεται καὶ ἀπὸ πάντων τῶν περιστατικῶν. ἀπὸ μὲν προσώπου, ὅταν στρατηγοῦ ἢ τριηράρχου πρόσωπον ἐπαινῶμεν ἢ διαβάλλωμεν· ἀπὸ δὲ τοῦ πράγματος, ὡς ὁ Δημοσθένης· πρῶτον μὲν τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, [34] καὶ ἑξῆς· ἀπὸ δὲ χρόνου, εἰ ἐν ἑορτῇ πέπρακταί τι· [35] φήσομεν γάρ, ὄντως μὲν οὐκ ἄξιον τῆς παρούσης ἑορτῆς τόδε τι πέπρακται· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. [36] Τί ἐστιν [37] εὕρεσις; ἐπίνοια νοημάτων προσηκόντων καὶ ἁρμοδίων τῷ ὑποκειμένῳ πράγματι.

31 τῷ Ald. om., recepi ex Par. 32 Ald. δακρύσω μέν. 33 In Callicl. init. 34 Pro cor. init. 35 In Mid. 36 Par. ὡσαύτως. 37 τί ἐστιν εὕρ. — — ὑποκειμένῳ πράγματι Par. non habet. Glossa est ad marginem codicis, quo Aldus usus est, adjecta.

# ΕΡΜΟΓΕΝΟΥΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ ΠΡΩΤΟΣ·

## ΠΕΡΙ ΤΩΝ ΕΞ ΥΠΟΛΗΨΕΩΣ ΠΡΟΟΙΜΙΩΝ.

**Ἡ πρώτη καὶ καλλίστη τῶν προοιμίων εὕρεσις, καὶ τὰ λοιπά.**

Ἐξήγησις εἰς τὰς εὑρέσεις τοῦ Ἑρμογένους.[1]

Ἡ πρώτη· πρώτην καὶ καλλίστην εὕρεσίν φησι τῶν προοιμίων τὴν ἐξ ὑπολήψεως, πραγματικωτάτην δέ φησι τὴν πολυϋλοτάτην.[2] ζητητέον δὲ πῶς φησιν εὕρεσιν εὑρέσεως τετυχηκέναι, ἢ διττὸν ἡ εὕρεσις τό τε εὑρημένον καὶ[3] ἡ εὑρίσκουσα μέθοδος· ἢ ἡ εὑρετικὴ λέξις καὶ τὸ ἔργον αὐτῆς. β'. Ἐν προβλήμασι γάρ· οὐ τὸ πανηγυρικὸν ἐκβαλεῖν βουλόμενος τοῦ περὶ προοιμίων ταῦτά φησι· παραλαμβάνει[4] δὲ καὶ τοῦτο, κρίσις γὰρ[5] ἂν εἴη
355 γενικῷ λόγῳ ἡ τοῦ ἀγαθοῦ καὶ κακοῦ ἐπίσκεψις, ἥτινι καὶ τὴν ἐν πανηγυρικῷ λόγῳ μέτιμεν μεταχείρισιν.[6] ἔστι δὲ καὶ ἀπὸ τῆς χρηστῆς τῶν ἀκροατῶν περὶ τὸ πρᾶγμα ὑπολήψεως ἢ φαύλης καὶ ἐγκωμίου καὶ ψόγου πορίσασθαι προοίμιον.

**Πρῶτον μὲν οὖν σκοπητέον τὸ πρᾶγμα ποταπόν ἐστι καὶ τὰ λοιπά.**

Πρῶτον[1] μὲν οὖν οἱ δικασταὶ ἤτοι εὐμενεῖς εἰσιν ἡμῖν ἢ δυσμενεῖς ἢ οὐδέτερον· κἂν μὲν εὐμενεῖς ὦσιν, ἢ παρήσομεν τὸ περὶ τῆς εὐνοίας, ἢ ἐπ'[2] ὀλίγον θήσο-

---

1 Ald. addit: ἀνωνύμου. 2 Ald. πολυϋλωτάτην. Taur. et Par. πολυϋλοτάτην. 3 καὶ Ald. om., est in Taur. et Par. 4 Ald. λαμβάνει. Taur. et Par. παραλαμβάνει. 5 γὰρ Ald. om., recepi ex Par. et Taur. 6 Ald. et Taur. μεταχείρησιν. Par. μεταχείρισιν. 1 T. VII. c. I. ϑ. 2 T. VII. πρός. Ald. ἐπολίγον.

μεν· ἐὰν δὲ πρὸς ὀλίγον δυσμενεῖς, πάλιν σκεψόμεθα, πότερον πρὸς ἡμᾶς ἰδίαν ἔχοντες ἔχθραν ἢ διὰ τὴν πρὸς τὸν ἀντίδικον φιλίαν. εἰ μὲν οὖν τῇ πρὸς ἐκεῖνον φιλίᾳ, ῥητέον, ὅτι οὐ δεῖ [3] τῇ πρὸς ἐκεῖνον εὐνοίᾳ κακῶς ἡμᾶς ποιεῖν. εἰ δὲ ἰδίαν πρὸς ἡμᾶς ἔχθραν ἔχοντες, ῥητέον, ὅτι ἐν ἄλλοις ὑπερθέσθαι τὴν ἔχθραν δίκαιον· εἰ δὲ μήτε ἐχθρωδῶς ἔχοιεν ἡμῖν μήτε φιλίως, τὰ μὲν προσόντα τοῖς ἀντιδίκοις ἐπίμωμα ποιεῖν πειρασόμεθα, τὰ [4] δὲ ἡμῖν ἐπαινεσόμεθα. καὶ τὰ μὲν ἐκείνων ἐλαττώματα μίσους εἶναι φήσομεν [5] ἄξια, τὰ δὲ ἡμέτερα ἐλέους τε [6] καὶ συγγνώμης· διαβαλοῦμεν [7] δὲ τὸ τοῦ ἐναντίου [8] πρόσωπον ἀπὸ τῆς ἡλικίας, ὅταν νέος ἢ γέρων ᾖ, ὅταν μηδὲν προπαθὼν, ὅταν αὐτὸς ὅμοια ἐπιτηδεύῃ [9] ταῖς αἰτίαις, ἐφ' αἷς διώκει, [10] ἢ τοὐναντίον φεύγει· διαβληθήσεται δὲ καὶ ἀπὸ τῶν γνωρίμων καὶ φίλων, εἰ [11] φαύλοις φαίνοιτο ὁμιλῶν· καὶ ἀφ' [12] ὧν πρότερον ἔπραξεν ὁμοίων ταῖς αἰτίαις, ἐφ' αἷς φεύγει καὶ ἀπὸ τῶν ἄλλων τῶν παρεπομένων τῷ προσώπῳ· ἀπολογούμενοι δὲ ἀπὸ τῶν ἐναντίων ταῖς προοιμιακαῖς ἐννοίαις μεταχειρισόμεθα. [13] καὶ [14] τὸ μὲν πρᾶγμα διαβαλοῦμεν μικρὸν εἶναι λέγοντες· καὶ ἐκ

---

3 T. VII. δίκαιον. 4 T. VII. καὶ τὰ ἡμῖν προσόντα. 5 Farn. φησίν. 6 τε Ven. om. 7 Ald. et Taur. διαβαλλοῦμεν. Par. et T. VII. διαβαλοῦμεν. 8 Par. ἀντιδίκου. in Taur. ἐναντίου deletum et ἀντιδίκου substitutum. 9 Farn. ἐπιτηδεύει. 10 Par. Taur. et T. VII. διώκει et φεύγει. Ald. διώκοι et φεύγοι. — Post φεύγει T. VII. pergit: οἷον ἐπὶ φόνου κρινόμενος, ὅτι θρασύς τις ἀεὶ [Med. ἀεὶ θρασύς τις] καὶ σκληρὸς καὶ τὸ ὅλον τοῦτο ἀπάνθρωπος ἐν τῷ πρὸ τοῦ χρόνῳ ἐφαίνετο, ἢ εἰ καὶ [Ven. καὶ om.] καλλωπίζοιτο, ἀσωτίας [Med. Par. 2977. ἀσωτείας] κρινόμενος, ἀπὸ τούτου τὴν διαβολὴν ἕξει. 11 T. VII. οἷον εἰ. 12 ἐξ ὧν αὐτὸς πρώην ἔπραξεν, εἴ τινα εἶεν ὅμοια ταῖς αἰτίαις ἐφ' αἷς [Par. 2977. Farn. ἐφ' οἷς, omissis ταῖς αἰτίαις]. 13 Ven. μεταχειριζόμεθα. 14 T. VII. τὸ δὲ πρᾶγμα.

τῆς τυχούσης αἰτίας, λοιδορίας[15] ἢ σκώμματος. καὶ ἐκ τῆς ἀδοξίας ἂν αἰσχρὸν[16] ᾖ· τὸν δὲ λόγον,[17] ὅτι εὐτελὴς καὶ ἀπαρασκεύαστος,[18] καὶ ἐκ τῶν ἐναντίων, ὅτι περιττὸς[19] καὶ ἐγκατάσκευος. λύσεις δὲ[20] καὶ τὰς διαβολὰς οὕτω· κοινῇ μὲν ἢ ἔλεον, ἢ ἀνάγκην, ἢ τὸ ἀκούσιον προβαλλόμενος ἢ φιλίαν, τὰς δὲ τῶν προσώπων οὕτως· ἰδίᾳ, ἢ ὅτι ὑπὲρ οἰκείων εἰσερχόμεθα[21] τὸν ἀγῶνα ἢ[22] φίλων. ἢ ὅτι νέοι ἐσμὲν καὶ διὰ τοῦτο ἀδικούμεθα, ἢ ἄλλα τινὰ τοιαῦτα.[23] Δεῖ δὲ σκοπεῖν[24] ἐν τοῖς προοιμίοις πρῶτον τὰς καθολικὰς ἐννοίας καὶ γενικάς, εἶτα[25]

---

15 Taur. λοιδωρίας. Ven. οἷον λοιδ. 16 T. VII. αἰσχρά. 17 T. VII. addit: διαβάλοις οὕτως. 18 Taur. ἀκατασκεύαστος. 19 Ven. ἀπέριττος, ὅτι ἐγκ. 20 T. VII. δὲ οὕτω τὰς διαβ. 21 Par. εἰσερχώμεθα. 22 T. VII. ἢ ὑπὲρ φ. [Ven. ἢ om.] Sqq. ἢ ὅτι — ἀδικούμεθα Ven. om. 23 T. VII. addit: πάλιν δέ, ὑπὲρ ὧν οἱ φίλοι πεποιήκασι, μάλιστα μέν, εἴ τινα ἔχοιμεν ἀπολογίαν, καὶ ὑπὲρ ἐκείνων λέξομεν, οὐ προφανῶς μέντοι, ὡς διὰ τὴν ἑαυτῶν δοκεῖν χρείαν, ἀλλ' ὡς Δημοσθένης ὑπὲρ Ἀριστάρχου τε καὶ Τιμάρχου πεποίηκεν· ὑπὲρ δὲ ἑαυτῶν οὕτως, ὅτι δεινὸν καὶ ἄτοπον, τῶν μὲν ἀγαθῶν αὐτοῖς κοινωνεῖν, ἐπὶ δὲ τοῖς φαύλοις κρίνεσθαι· τὰς δὲ τῶν λόγων διαβολάς, ἐὰν μέν, ὡς κατὰ εὐτελῶν ἐπενεχθῶσι, τὸ πεποιθέναι τῷ πράγματι ἀντιθετέον, ἐὰν δὲ ὡς δεινῶν καὶ ἐμπαρασκεύων, τὸ τοιούτων χρῄζειν τὸ πρᾶγμα λέγοντες λόγων. Sequitur in Med., quod in Par. 2977. et Farn. inter schol. min. est: *Τὰς περὶ τὸ πρόσωπον ὑπολήψεις ἑκάστου τῶν δικαζόντων. Χρὴ γινώσκειν,* (Farn. *ἰστέον*) *ὅτι ἀπὸ τῶν ἓξ περιστατικῶν γίνονται τὰ προοίμια, προσώπου, πράγματος, αἰτίας, τρόπου, τόπου, χρόνου* (Farn. *χρόνου, τόπου*) *τὸ ἕν τι εἰπών σοι τὰ ἄλλα νοεῖν κατέλιπε* (Farn. *νοεῖν τὰ ἄλλα*). *Γίνονται τὰ προοίμια ἀπὸ τῶν δικαζόντων, ἤγουν τῶν κριτῶν, τῶν κατηγορούντων, ἤγουν τῶν διωκόντων, τῶν ἀπολογουμένων, ἤγουν τῶν φευγόντων, τῶν ἐχόντων τὰς ὑποθέσεις, καὶ τῶν ἔξωθεν ἐμφαινομένων.* Seq. in schol. min. Par. Farn. ὅπως διετέθησαν· ἐχάρησαν ἢ ἐλυπήθησαν. 24 T. VII. ι. 25 Taur. εἶτα καί.

τὰς μερικωτέρας καὶ εἰδικάς·[26] καὶ ὅτι αἱ καθολικαὶ ἁρμόζουσι ταῖς μερικαῖς, ὡς ἐπὶ τῶν ὑπ᾽[27] ἀλλήλων γενῶν τε καὶ εἰδῶν. οὐ μὴν τὸ ἀνάπαλιν. β΄. Ποταπόν ἐστι·[28] διὰ τὸ τὰς στάσεις μὴ τὸ εἶναι τῶν πραγμάτων ἔσθ᾽ ὅτε ζητεῖν,[29] ἀλλὰ τὰς περιστάσεις. ὁ γὰρ ἐπὶ τοῦ τείχους[30] ἀνελθὼν ξένος[31] καὶ ἀριστεύσας πρᾶγμα μὲν[32] καλὸν εἴργασται, τοιοῦτον γὰρ ἡ ἀριστεία· ἡ μέντοι περίστασις τοῦ προσώπου παρανομίας ὑπόληψιν αὐτῷ παρέσχεν. γ΄. Ἐβοήθησάν ποτε· τοῦτο ψηφίσματος εἰσφορὰ πραγματική. δ΄. Ἢ χαλεπαίνειν·[33] ἢ χαλεπαίνειν μόνον ὡς ἐπὶ φόνου ἁπλῶς, οἰκτείρειν[34] δὲ μόνον ὡς συνέβη τὴν οἰκίαν[35] ἐμπρησθῆναι ὑπὸ τοῦ γείτονος· ἑκάτερα δὲ ὡς ἐπὶ τοῦ ἀποκτείναντος τὸν υἱὸν, καὶ θανούσης τῆς μητρός. έ. Οἷον ἐνώπιον· τοῦτο ἕτεροί τινες οὕτω γράφουσιν· ἀπέκτεινε τὸν ἑαυτοῦ υἱόν κατὰ τὸν τῶν ἀκρίτων[36] νόμον. ς΄. Αἱ δὲ ἀποδόσεις· διαφέρει[37] ἀξίωσις ἀποδόσεως, ὅτι ἡ μὲν ἀξίωσις δεῖται τοῦ βοηθήσοντος,[38] ἡ δὲ ἀπόδοσις τὸ προσῆκον κελεύει γίνεσθαι. ζ΄. Ἀπὸ δὲ τῶν εὑρέσεων·[39] εὑρέσεις τὰς[40] ὑπολήψεις τῶν προσώπων καὶ τῶν πραγμάτων λέ-

---

26 T. VII. et Taur. ἰδικάς. 27 Taur. ἐπ᾽ ἀλλήλων, ad marg. γρ. ὑπ᾽ ἀλλήλων. 28 T. VII. ια. ποταπόν ἐστιν, ἢ ποταπὸν ὑπείληπται· τὴν ποιότητα λέγει [Ven. ποταπὸν — λέγει om.] τῷ [Mon. 8. Ven. Farn. τὸ. Med. τῷ] δὲ ποταπόν ἐστι προςτίθησι τὸ. ποταπὸν ὑπείληπται, διὰ τὸ τὰς [Mon. 8. Farn. Med. τὰς om.] στάσεις κ. τ. λ. 29 T. VII. ποιεῖν. 30 T. VII. addit: φέρε εἰπεῖν. 31 Ald. ξένους. 32 μὲν T. VII. om. 33 T. VII. ιε. 34 T. VII. ἢ οἰκτ. μόνον, ὡς ἐπὶ ἐμπρησθέντος, ἢ ἄμφω, ὡς ἐπὶ τοῦ ἀποκτ. τὸν [Farn. Mon. 8. τὸν om.] υἱόν. 35 Taur. οἰκείαν. 36 Ald. ἀκροατῶν. 37 T. VII. ιε. ις. 38 Ald. βοηθήσαντος. Par. T. VII. βοηθήσοντος. 39 T. VII. εὑρέσεων τῶν ὑπολήψεων. quod irrepsit ex schol. min.: εὑρέσεων λέγει τῶν ὑπολήψεων, τῶν προσώπων καὶ τῶν πραγμάτων. 40 T. VII. γὰρ τάς. — Ven. haec usque ad πραγμ. λέγει non habet, inci-

γει· τοῦτο δὲ πάνυ ἀκριβῶς εἴρηκεν. εὑρεθείσης γὰρ τῆς τοῦ προοιμίου ποιότητος εὐθὺς ἀπὸ τῆς διαφορᾶς ἡ πρότασις γίνεται, [41] ἤτοι ἐξ ὑπολήψεως, [42] ἢ ἐξ ὑποδιαιρέσεως, ἢ καὶ [43] τῶν ἑξῆς. η′. Καὶ προοιμίου δριμύτης· εἰκότως, εἰ [44] γὰρ μὴ ἡ εἰσβολὴ ἰσχυρά ἐστι, τοῦτο γὰρ ἡ δριμύτης, ἤ τίς [45] ἐστι τὸ ἀναγκαῖον, ἀτονώτερα καὶ τὰ τῆς κατασκευῆς ἔσται, καὶ τὰ τῆς ἀποδόσεως καὶ τὰ [46] τῆς βάσεως, ἂν δὲ [47] ἡ πρότασις δυνάμεως πλήρης ἐξενεχθῇ [48] καὶ τὰ λοιπὰ, τὸ ἰσχυρὸν ἕξουσιν.

Ἑξῆς τρεπτέον ἐπὶ τοὺς κατηγόρους, καὶ τὰ λοιπά.

Ἠνέχθη [49] σκηπτός· ὁ Περικλῆς στρατηγὸς ἐγένετο Ἀθηναίων καὶ μεγάλα κατωρθωκὼς ἐπεκλήθη παρὰ
356 τοῦ δήμου τῶν Ἀθηναίων [50] Ὀλύμπιος. τὸ δὲ τοῦ σκηπτοῦ οὐ γέγονεν, ἀλλὰ πέπλασται. β′. Ὅπερ Εὐκτή-

---

piens: τοῦτο πάνυ. 41 Mon. 8. γράφεται. in Farn. γράφεται deletum et γίνεται supra scriptum, cfr. ep. crit. p. 11. 42 ἤτοι ἐξ ὑπολήψ. Ven. om. 43 Ald. ἢ καί. Par. 2918. ἢ om. Mox Ven. ἐφεξῆς. Sequitur in Med. et inter Sch. min. Farn. Ἐν τῷ ἐσχάτῳ κεφαλαίῳ τοῦ παρόντος πρώτου τόμου, ὃ ἐπιγέγραπται περὶ παντὸς προοιμίου, καὶ ἐκ πόσων μερῶν συνέστηκε, τεχνολογεῖ ὁ Ἑρμογένης, τί ἐστιν ἀπόδοσις, εἴτουν ἀξίωσις, καὶ περὶ προτάσεως καὶ κατασκευῆς καὶ βάσεως (Farn. κεφαλαίου) καὶ τῶν λοιπῶν. 44 Ald. ἢ γὰρ μὴ εἰσβ. Par. T. VII. εἰ γὰρ μὴ ἡ εἰσβ. 45 ἤ τίς ἐστι τὸ ἀναγκ. T. VII. om. 46 τὰ Par. om. 47 Ald. δή. Par. δέ. T. VII. εἰ δέ. 48 T. VII. ἐξενεχθήσεται, οὐκ ἔστιν οὐχ ὅπως καὶ ἡ ταύτης κατασκευὴ καὶ ἡ ἀπόδοσις ἢ ἀξίωσις, καὶ ἡ βάσις, ἤγουν ἡ αἰτία τῆς ἀποδόσεως, μὴ οὐχὶ τὸ δυνατὸν ἔχοιεν. Sch. min. habent praeterea: Δριμύτης· οἷον τὸ ἀναγκαῖον· τουτό ἐστι δριμύτης προοιμίου, τὸ εὐθὺς ἐν τῷ προοιμίῳ ἐμφανίζειν τὴν πᾶσαν ὑπόθεσιν, ὡς τό· τί δὲ οἱ Μακκαβαῖοι, τούτων γὰρ ἡ παροῦσα πανήγυρις. Idem habet Med. in marg.. sed ultima verba: τούτων γὰρ ἡ παρ. πανήγυρις om. 49 Ald. ἠνέχθησαν σκηπτοί. et v. 13. σκυπτοῦ. Taur. et Par. ἠνέχθη σκηπτός. 50 Taur. τῶν Ἀθηναίων om.

μων· ὁ Εὐκτήμων λόγον ἔγραψε κατὰ[51] Ἀνδροτίωνος ὡς ἀδικηθεὶς ὑπ' αὐτοῦ· ἔγραψε δὲ καὶ ὁ Δημοσθένης τὰ ὅμοια[52] πεπονθὼς κατὰ Ἀνδροτίωνος. γ΄. Πινάκιον· πινάκια[53] τὰ προγράμματα καὶ[54] προθέματα. ἀπέκειτο οὖν κατὰ Μεγαρέων ἐν Ἀθήναις πρόθεμα ἐν τῇ ἀγορᾷ τοῦ[55] μὴ συνεδριάζειν αὐτοὺς ἐν βουλαῖς,[56] καὶ τοῦ μὴ συνδυάζειν, καὶ τοῦ μὴ δημόσια πράττειν·[57] ἔστι

---

51 Taur. κατὰ τοῦ Ἀνδρ., sq. ὡς Taur. et Par. om. — Cfr. T. VII. κβ. 52 Taur. et Par. κατὰ Ἀνδρ. τὰ ὅμ. πεπονθώς. 53 Est in Med. et Par. 2977. 54 Par. Med. καὶ τὰ καλούμενα προθ. λέγονται. 55 Taur. τό. 56 ἐν βουλαῖς καὶ τοῦ μὴ συνδυάζειν Taur. om. 57 Par. Med. addunt: καὶ ἔγραψέ τις, φησὶν, ἀναιρεῖσθαι καὶ ἀκυροῦσθαι τὸ πρόγραμμα. Paullo post pergit Med. consentiens cum Farn.: Ἔτι εἰς τὸ κατὰ τῶν Μεγαρέων πινάκιον, οὗ ἡ κατ' ἀρχῆς ἱστορία ἐστὶ τοιαύτη. Εἵλκετο ὁ Περικλῆς παρὰ τοῖς Ἀθηναίοις λογοποιηθησόμενος ὑπὲρ νομισμάτων πολλῶν καὶ χρημάτων καταβληθέντων εἰς ἄγαλμα Παλλάδος, ὅπερ ὁ πλάστης Φειδίας ἠγαλμάτωσεν· ἀθυμῶν οὖν ἦν· ἰδὼν οὖν αὐτὸν ὁ Ἀλκιβιάδης, παῖς ὤν, ἤρετο τὴν αἰτίαν, καὶ μαθὼν εἶπε μὴ τὸ δοῦναι λόγον ὑπὲρ τῶν χρημάτων, ἀλλ' ὅπως ἂν μὴ δώσεις· συνεὶς οὖν ὁ Περικλῆς μάχην μεγάλην ἀνεῤῥίπισε, πρὸς ἣν οἱ Ἀθηναῖοι ἀσχολούμενοι τοῦ μὲν Περικλέους ἐπελάθοντο, ὅλοι δὲ τοῦ πολέμου ἐγένοντο· ὁ γάρ τοι Περικλῆς πρόφασιν εὗρεν, ὅτι οἱ Μεγαρεῖς τὴν γῆν τὴν ἱερὰν τὴν καὶ ὀργάδα καλουμένην καὶ καθιερωμένην τῇ Παλλάδι εἰργάσαντο σφετερισάμενοι, καὶ ὅτι ὑπεδέχοντο φεύγοντας δούλους τῶν Ἀθηναίων· τὸ δ' ἀληθέστερον, ὅτι τὴν Ἀσπασίαν, μαινάδα Μεγαρικὴν οὖσαν, καὶ γενομένην σύζυγον Περικλέους εὑρόντες ἔν τισιν ἀγροῖς Ἀθηναϊκοῖς Μεγαρεῖς σὺν ταῖς θεραπαινίσιν ἐξύβρισαν. Ψήφισμα τοίνυν ἐκτεθεικὼς κατὰ τῶν Μεγαρέων ἀνέθηκεν ἐν Ἀθηναίων ἀγορᾷ ἐν πίνακι τετραγώνῳ· εἶργε δὲ τὸ ψήφισμα ἐκεῖνο λιμένων καὶ ἀγορᾶς τῶν ἐν Ἀττίδι πάντων, καὶ προσλαλιὰ κατά τινας προσέκειτο τῷ ψηφίσματι, ὅτι καὶ ὁ Μεγαρέα κτείνας ἀζήμιος ἔσται τὸ παράπαν. Ἐκ ταύτης οὖν τῆς αἰτίας μάχης μεγάλης γεγονυίας ἀπέφευγε τὴν δίκην ὁ Περικλῆς. — Ἐν τῷ κατὰ Νεαίρας. Med. et Par. Πόρνη ἦν Ἀθηναία ἡ Νέαιρα· ἧς ἐν

δὲ τὸ πρόβλημα ἐνταῦθα πραγματικὴ[58] ψηφίσματος εἰσφορὰ μετὰ προσκοπῆς[59] ἐγγράφου καὶ ἀναιρέσεως. δ΄. Ἐμφαίνεται δὲ καὶ ἔξωθεν· καὶ γὰρ συμβουλεύοντες λέγομεν, ποιῶμεν τόδε ὡς ἂν μὴ τὰ τοῖς ἐχθροῖς δι᾽ εὐχῆς ὄντα ἐπισπασώμεθα· καὶ πάλιν ἵνα τοὺς φιλίως ἡμῖν διακειμένους εὐφραίνωμεν. ὡσαύτως καὶ ἐπαινοῦντές φαμεν, ὡς ὁ τοῦ προκειμένου ἔπαινος πολλοὺς ἐπὶ τὸν ὅμοιον ζῆλον παρακαλέσει, καὶ εὐφρανεῖ[60] μὲν τοὺς ἀγαθούς, λυπήσει δέ γε τοὺς πονηρούς.

## Περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων.

*Ἑξῆς λεκτέον περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων, καὶ τὰ λοιπά.*

Ἀπὸ τῶν ἑξῆς μαθημάτων· μαθήματά φησι τὰς μεθόδους καὶ τὰς[1] ὑποθέσεις, ἀφ᾽ ὧν αἱ προτάσεις εὑρίσκονται· οὐκ ἐν πᾶσι δέ, φησί, τοῖς προβλήμασι εὑρίσκεται τὰ ἐξ ὑποδιαιρέσεως προοίμια· οὐδὲ εἰ εὑρεθείη ἐν προβλήμασιν ὅλα διόλου εὑρίσκεται, ἀλλὰ μέρη αὐτῶν συναναμεμιγμένα τοῖς ἐξ ὑπολήψεως. ἐκείνων γὰρ ἡ ἀρετὴ καὶ ἰσχὺς ἐν πᾶσιν εὑρίσκεται. Τὸ δὲ εὔθηκτα[2] διὰ μὲν τοῦ η γραφόμενον[3] τὰ τμητικὰ δηλοῖ καὶ ἐνεργῆ καὶ δραστήρια, ἀπὸ μεταφορᾶς τοῦ τεθηγμένου ξίφους· διὰ δὲ τοῦ ῐ τὰ οἱονεὶ εὐαφῆ καὶ εὐμεταχείριστα καὶ πολ-

τοῖς χρόνοις καὶ ἄλλη τις ἦν ἑταίρα, Φρύνη προσαγορευομένη, ἐκ Θεσπιέων μὲν ὁρμωμένη, διαφέρουσα δὲ τῷ κάλλει, ἥτις Λαΐδι ἐπήκμασεν. Ἀναθεμένων οὖν τῶν Ἑλλήνων ἐν Δελφοῖς εἰκόνα τῆς Φρύνης (Med. Λαΐδος superscripto Φρύνης) καὶ ἐπιγραψάντων, Φρύνη Ἐπικλέους Θεσπική, Κράτης ὁ κύων, οἱ δὲ Διογένης ὁ Κυνικός, ἐπέγραψε· τρόπαιον τῆς τῶν Ἑλλήνων ἀκρασίας. Τῆς δὲ Φρύνης γραφὴν ἀπενεγκαμένης λαγνείας ὑπεραπολογήσατο Ὑπερίδης ὁ ῥήτωρ. 58 Taur. πρακτική. πραγματικὴ — ἀναιρέσεως habet etiam Par. 2977. duobus locis diversis. 59 Par. 2977. προκοπῆς. 60 Ald. εὐφραινεῖ. — v. 9. γε Taur. om.

1 τὰς Par. om. 2 Par. εὔθικται. 3 Ald. γραφὸ μέν.

λὴν τὴν ἐπιτυχίαν ἐμφαίνοντα καὶ εὔθετον τῷ λόγῳ τὴν ἐπαφὴν παρεχόμενα· τὸ [4] δὲ δριμέα ἀντὶ τοῦ ἰσχυρά. β΄. Ἀλλὰ τῶν ἀπ᾽ ἀρχῆς· ἐντυχὼν τῷ ἐννάτῳ τοῦ τρίτου τόμου τοῦ παρόντος βιβλίου εἴσῃ ὅ φησιν ὁ τεχνικός· διαφέρει [5] δὲ, ὅτι [6] ἐν μὲν τῷ ἐξ ὑποδιαιρέσεως προοιμίῳ εἰς δύο διαιρῶν τὸ ἔγκλημα, καὶ ἐν ἑκατέρῳ δίκαιον εἶναί φησι τὸν κατηγορούμενον δίκην δοῦναι. καὶ ἄμφω δὲ πέπρακται· ἡ δὲ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐξ ὑποδιαιρέσεως κατασκευὴ τὸ ἀθρόον διαιρεῖ εἰς ἐλάττονα, μὴ πραχθέντα δὲ, ἄξιον ἀποδεικνῦσα καὶ ἐν ἐκείνοις, εἴπερ εἶχον πραχθῆναι, δοῦναι τὸν κατηγορούμενον δίκας. γ΄. Δημάδης πρεσβεύσας· ὁ Δημάδης διεβάλλετο κακοῦ βίου, ὡς τὸν ἴδιον υἱὸν παρὰ τῷ Φιλίππῳ καταλιπὼν εὐπρεπῆ ὄντα φαύλης ἕνεκεν ὑπολήψεως· διαφέρει [7] δὲ τοῦτο τὸ προοίμιον τοῦ ἐξ ὑπολήψεως τῆς περὶ τὸν τὸ ἔγκλημα ἔχοντα προοιμίου, οἷον τὴν μὲν ἀσέλγειαν, [8] ὦ ἄνδρες δικασταί, καὶ τὴν ὕβριν· ὅτι ἐκεῖ μὲν οὐκ ἀξιοῖ περὶ τοῦ προτέρου βίου δοῦναι δίκας τὸν ἐγκαλούμενον, ἐνταῦθα δὲ καὶ περὶ ἐκείνου ἀξιοῖ· ὥρμηται μέντοι καὶ τοῦτο τὸ προοίμιον ἐξ ἐκείνου. δ΄. Τοῦ ἀθρόου· ἀθρόον [9] ἐνταῦθα τὸ λαμβανόμενον, οὐκ ἐπὶ χρόνου ἑνὸς, ἀλλ᾽ ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος, ἢ ἐπὶ παρῳχημένου καὶ μέλλοντος· οὐ γὰρ λεπτολογῶν τὸ ἀδίκημα κατὰ μέρος εἰσάγει, ὡς ἐπὶ τῆς κατασκευῆς τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. έ. Τεταριχευμένῳ· τάριχος λέγεται [10] πᾶν σῶμα τεθνεῶτος ζώου ἁλσὶ περιτριβὲν διὰ τὸ μὴ ὑπὸ σκωλήκων βιβρώσκεσθαι, καὶ ἄσηπτον διαμένειν. ἔθος οὖν παλαιὸν [11] ἦν τὰ σώματα τῶν ἀποβεβιωκότων [12] ταριχεύειν ἐπὶ διαρκείᾳ πόθῳ τῶν συγγενῶν. [13]

4 Par. τά. 5 Par. διαφέρει δὲ — — κατηγορούμενον δίκας om., manu seriori ad marg. adjecta sunt. 6 Ald. ὅτε. Par. ὅτι. 7 διαφέρει δὲ — προοίμιον ἐξ ἐκείνου Par. om. Adscripta sunt ad marg. 8 Dem. in Mid. init. 9 T. VII. γ. 10 T. VII. schol. min. 11 T. VII. παλαιοῖς. 12 T. VII.

## *Περὶ τῶν ἐκ περιουσίας προοιμίων.*

*Τὰ ἐκ περιουσίας καλούμενα προοίμια ἰδίαν εὕρεσιν ἔχει ἐν ταῖς κατηγορίαις καὶ ἐν ταῖς ἀπολογίαις· καὶ τὰ λοιπά.*

Ἐὰν γὰρ κατηγοροῦντες· ὁ μὲν φόνος ἰδιωτικὸν ἀδίκημα, ὁ δὲ ἀριστέως φόνος δημόσιον, κοινὸς γάρ ἐστιν εὐεργέτης ὁ ἀριστεύς· πάλιν δὲ μείζων τοῦ
357 δημοσίου ἀδικήματος ἡ πρὸς τὸ θεῖον ἀσέβεια, τὸ εἰπεῖν δηλαδὴ ἢ πρᾶξαί τι τεῖνον εἰς ὕβριν τοῦ κρείττονος· ὡς καὶ ἡ Φύη ἐποίησεν. β΄. Ἡ Φύη· Πεισίστρατος [1] διωχθεὶς παρὰ τῶν Ἀθηναίων εὗρε γυναῖκα μεγάλην, ἣν [2] καὶ ἀναβιβάσας εἰς ἵππον ἤγαγεν εἰς Ἀθήνας λέγων, ὡς ἡ Ἀθηνᾶ ἐστι καὶ κομίζει με αὖθις εἰς Ἀθήνας. γ΄. Ἠδυνάμην μὲν οὖν· οὐχ ἁπλῶς [3] οὕτως εἰσάξεις κατὰ τὸ προφανές, ἀλλ' ἤτοι τῷ κατ' ἐπιτίμησιν χρώμενος [4] σχήματι, ἢ τῷ κατὰ παράλειψιν· τῷ μὲν κατ' ἐπιτίμησιν, εἰ λέγοις [5] οὕτως· ὑμῖν μὲν οὖν δεινὸν καὶ παράνομον δοκεῖ [6] τὸ τὸν ἀνδροφόνον ἀφεῖναι· δεινότερον δὲ, [7] μᾶλλον δὲ οὐδ' ὅσον [8] ἐστὶν εἰπεῖν, [9] δοξάτω τὸν τύραννον τῆς [10] τυχούσης ἀξιῶσαι φειδοῦς· τῷ [11] δὲ κατὰ παράλειψιν, [12] ὡς εἴ τις λέγοι· [13] ἵνα τοι-

---

*ἀποβεβηκότων.* 13 T. VII. addit: *καὶ εὑρεθέντος τινὸς φθειρομένου γυναικείῳ σώματι τεταριχευμένῳ γράφει τις ἀναιρεθῆναι νόμῳ τὸ τοιοῦτον, ἵνα τὸ μήπω μὲν γεγονὸς νῦν δὲ τολμηθὲν ἀνοσιούργημα καὶ ἐν τῷ μέλλοντι μὴ πραχθῇ.* 1 T. VII. nihil habet, nisi nostram litt. β et γ. — *Πεισ. ὑπὸ τῶν Ἀθ. διωχθείς.* — Ad rem cfr. Herod. I. 60. 2 T. VII. *καὶ ἐκάθισεν αὐτὴν εἰς ἵππον καὶ ἤγαγεν αὐτὴν — ὅτι ἡ Ἀθήνη ἐστὶ καὶ φέρει με ε. Ἀ.* 3 T. VII. *οὕτως μὲν ἁπλῶς κατὰ τὸ προφανὲς οὐκ εἰσάξεις.* 4 *χρώμενος* ex T. VII. recepi, Ald. om. — Ven. *τὸ κ. ἐ. χρώμ. σχῆμα, ἢ τὸ κ. παράληψιν. τὸ κατ' ἐπιτ.* 5 Par. et T. VII. *λέγομεν.* 6 *δοκεῖ* T. VII. om. 7 *δὲ* T. VII. om. 8 Ven. *ἔστιν ὅσον.* 9 T. TII. addit *κακόν.* 10 T. VII. *κἂν ἡστινοσοῦν.* 11 Mon. 8. *τό.* 12 Ald. *παράληψιν* h. l. et v. 16. Par. et T. VII. *παράλειψιν.* 13 Mon. 8. *λέγει.*

νυν ταῦτα παρῶμεν, φόνους φημὶ κρυφίους, ἔσθ' ὅτε δὲ καὶ φανεροὺς, ἁρπαγάς τε καὶ γάμων ἐλευθέρων ἐπιβουλὰς, οἷς [14] ὥσπερ χθαμαλωτέραις βαθμίσι χρησάμενος πρὸς [15] αὐτὴν ἀνέβη τῶν [16] κακῶν τὴν ἀκρόπολιν.

## Περὶ τῶν ἀπὸ καιροῦ προοιμίων.

**Τὸ δὲ ἀπὸ καιροῦ καλούμενον προοίμιον, καὶ τὰ λοιπά.**

α. Τὸ δὲ ἀπὸ καιροῦ· τὸ [1] ἀπὸ καιροῦ καὶ ἀπὸ τῶν λοιπῶν περιστατικῶν λαμβάνεται, ἔχει δὲ ὑπερβολὴν δυνάμεως παρὰ [2] τὰ ἐξ ὑπολήψεως, ἐπειδὴ ἐκείνοις πολλάκις εὐνοίας, ἢ κέρδους, ἢ φθόνου ἐγγίνεται ὑποψία, τούτοις δὲ οὐδαμῶς· μεγίστης δὲ δυνάμεώς ἐστι τὸ λέγειν, ὅτι, ὅπερ ἀξιοῦ, ἤδη καὶ [3] γεγένηται, καὶ ὑμῖν αὐτοῖς ἀρέσκον τε ἐφάνη καὶ ἤδη γεγένηται· ἔοικε γὰρ [4] τὸ τοιοῦτον προοίμιον μὴ ἀξίωσις εἶναι, μηδὲ παράκλησις ἐπὶ τὸ προσδέξασθαι τὰ μέλλοντα ῥηθήσεσθαι, ἀλλὰ μόνον ἔπαινος καὶ ἀποδοχὴ τῶν πεπραγμένων, ὡς καὶ αὐτὸ ἔχει τὸ παράδειγμα· ἤδη γὰρ ἦσαν οἱ πολῖται δεξάμενοι τοὺς συμπολίτας ταῖς ἀληθείαις ὅτε αὐτοῖς προσεβοήθουν. β΄. Καλεῖται δέ· ἀγχίστροφον καλεῖται τὸ ἐκ τοῦ σύνεγγυς ἔχον τὴν ἀπόδειξιν, [5] ὡς ἂν εἰ λέγοιμεν, „οἱ ἀσεβεῖς,“ καὶ εὐθὺς ἐπάγοιμεν, „οἷς οὐδὲ ἡ γῆ τοὺς καρποὺς ἀνῆκε.“ [6] γ΄. Τὸ δὲ ἐπὶ τῶν ἐπιπεπλεγμένων· ἐπιπεπλεγμένα καλεῖται προβλήματα· [7] οἷον οἱ διπλοῖ στοχασμοὶ

---

14 Par. et T. VII. οἵσπερ. Ald. οἷς. 15 Par. et T. VII. εἰς. 16 T. VII. τὴν ἀκρόπολιν τῶν κακῶν. 1 Litt. α—γ abest a Mon. 8. continetur Par. 2977. in quo: τὸ ἀπὸ τοῦ κ. 2 Par. 2977. περί. 3 καὶ Taur. Per. 2918. et 2977. om. 4 Taur. δέ. 5 Par. 2977. ἀπολογίαν. 6 Par. 2977. add. ἐτυμολογεῖται δὲ ἡ λέξις ἐκ τοῦ ἄγχι ἐπιῤῥήματος καὶ στρέφω, οὐ γὰρ διὰ μακροῦ ποιεῖται τὴν ἀπόδοσιν τῆς προτάσεως, ἀλλ' εὐθύς. 7 Par. 2977. προοίμια.

*καὶ*[8] *διπλοῖ ὅροι· οἷον Αἰσχίνης καὶ Δημοσθένης παραπρεσβείας ἀλλήλοις ἀντεγκαλοῦσιν· καὶ ὁ μὲν Δημοσθένης ἐρεῖ*[9] *μὴ παραπρεσβεῦσαι, ὡς πλούσιος, ὡς εὔνους τῇ πόλει, ᾧ καὶ ἀγαθὴ παρὰ τοῖς πολίταις ὑπόληψις·*[10] *καὶ τοιοῦτον τὸ ἐξ ὑπολήψεως ἐπιπεπλεγμένον*[11] *πρόβλημα· οὗ καὶ εἶπεν οὐκ ἀναγκαῖον εἶναι τὸ μάθημα, ὡς ἤδη προδιδάξας τὰ ἐξ ὑπολήψεως· τῆς δὲ προκαταστάσεως παράδειγμα ἐροῦμεν, ὅταν περὶ μετοικιῶν γράφωμεν.*[12] *Ἄλλως τὸ αὐτό. ἐπιπεπλεγμένα καλεῖ προβλήματα τὰ ἀπὸ παρεληλυθότος καὶ ἐνεστῶτος χρόνου συντιθέμενα, ἃ καὶ δοκοῦσιν ἐοικέναι τοῖς ἀπὸ καιροῦ προοιμίοις· οὐκ εἰσὶ δὲ τὰ αὐτὰ τούτοις. ἐν μὲν γὰρ τοῖς ἀπὸ καιροῦ προοιμίοις τὸ νῦν ἀξιούμενον πάλαι ἀποδέδεικται*[13] *πραχθὲν αὐτὸ τοῦτο· ἐκείνων δὲ δύο ὄντων θάτερον μὲν ἐξ ὑπολήψεώς ἐστι προοίμιον τῆς περὶ τοὺς τὰ ἐγκλήματα ἔχοντας, οἷον τὴν μὲν ἀσέλγειαν*[14] *καὶ ἑξῆς· ἄλλη γάρ ἐστιν ἡ τοῦ παρεληλυθότος βίου διαβολή, καὶ ἄλλη τὸ νῦν κρινόμενον ἐν τούτῳ. θάτερον δέ ἐστι προκατάστασις, ἀλλ' οὐ προοίμιον, ἐκ τῶν ἄνωθεν*

---

8 Par. 2977. *καὶ οἱ δ. ὅ. λάβωμεν δὲ καὶ αὐτῶν παράδειγμα. ὁ Αἰσχ. καὶ ὁ Δ.* 9 Par. 2977. *φήσει.* 10 Par. 2977. add. *τὸν Αἰσχίνην δὲ μάλιστα, ὡς πένητα καὶ τῇ πόλει δύσνουν, ᾧ καὶ φαύλη ὑπόληψις, καὶ τούτῳ τῷ ἐξ ὑπολήψεως ἐπιπεπλεγμένον πρόβλημα· διὰ τοῦτο εἶπεν, οὐκ ἀναγκαῖον αὐτὸ μάθημα, ὡς ἤδη προδιδάξας τὰ ἐξ ὑπολήψεως· τῆς δὲ προκαταστάσεως παράδειγμα, ὅταν περὶ μετοικίας γράφωμεν, τοῦ παρεληλυθότος τὰς συμφορὰς πρῶτον λέγομεν· ὅπερ ἐστὶ προκατάστασις καὶ οὐ προοίμιον ἔπειτα δὲ καὶ τὰς τοῦ μέλλοντος, ὅπερ ἐστὶ διηγηματικόν.* 11 Par. 2918. *ἐπιπλεγμένον.* 12 Ald. *γράφομεν.* Sequentia usque ad finem capitis Par. non habet. Sunt in Taur. 13 In exemplari rhetorum Graecorum Parisiensi varietas lectionis, nescio cujus codicis, ad marginem est adscripta, constanter fere cum nostro codice consentiens. Notatur ibi: *ἀποδείκνυται.* 14 Ald. *εἰσέλγειαν.* — Dem. in Mid. init.

*καὶ παρεληλυθότων ἀρχομένη, καὶ εἰς [15] τὸ ἐνεστὼς κατιοῦσα.*

## *Περὶ παντὸς προοιμίου ἐκ πόσων μερῶν συνέστηκε.*

*Σύγκειται δὲ πᾶν προοίμιον ἐκ προτάσεως, καὶ τὰ λοιπά.*

*Ἐξ ἀποδόσεως· ἰστέον, [1] ὅτι ἡ μὲν ἀξίωσις δεῖται τοῦ βοηθήσοντος· ἀξίωσις γάρ ἐστιν ἡ ἱκετεία· ἡ δὲ ἀπόδοσις τὸ προσῆκον κελεύει γίνεσθαι· πολὺ δὲ διέστηκε τὸ δεῖσθαι τοῦ κελεύειν· ὁ μὲν οὖν κατηγορῶν τινος ὡς κακῶς ὑπ᾽ ἐκείνου παθὼν τῇ ἀξιώσει χρήσεται, ὁ δὲ συμβουλεύων τῇ ἀποδόσει· βάσις δὲ εἴρηται ἀπὸ τοῦ κυριωτέρου· ἐπεὶ γὰρ εἰς αὐτὴν καταλήγει τὸ προ- 358 οίμιον, εἰκότως βάσις ὠνόμασται. Πολιτικώτερον δέ φησιν ἀντὶ τοῦ ἐναγωνιώτερον, δικανικώτερον. κατασκευὴ δὲ λέγεται ἡ αἰτία τῆς προτάσεως. β΄. Ἁπτόμενοι τοῦ· ἐὰν προοιμιαζόμενος ἅψῃ καὶ τοῦ πράγματος αὐτοῦ, ἔφοδον ποιεῖς· τοῦτο γὰρ ἡ ἔφοδος καὶ οὐκ ἄλλο, ὡς δηλοῖ καὶ τοὔνομα· ὁδεύει γὰρ ὁ λέγων ἀπὸ τοῦ προοιμίου ἐπ᾽ αὐτὸ τὸ πρᾶγμα καὶ ἅπτεται αὐτοῦ. πανηγυρικωτέρα δὲ ἀντὶ τοῦ φαιδροτέρα· τὰ γὰρ ἐπιφωνήματα [2] οὐ τῶν ἀγωνιστικῶν, οὐ τῶν ἱστορικῶν, ἀλλὰ τῶν ἐπιδεικτικῶν καὶ θεατρικῶν· πανηγυρικωτέραν δὲ τὴν βάσιν εἶπε γίνεσθαι τῇ τῆς αἰτίας προσθέσει, [3] ἤτοι ὅτι τὰ ἐπιφωνήματα λαμπρότητα [4] ἔχει, ἥτις τῷ πανηγυρικῷ τὸν ὅλον κόσμον παρέχεται· [5] ἢ ὅτι ἐν [6]*

15 Ald. *εἰ τὸ ἐνεστὸς* [Taur. *ἐνεστὼς*] *κατοιοῦσα.* corrigit utrumque margo exempl. Par. et Taur. 1 T. VII. *α.* 2 T. VII. *β.* 3 Ven. *προθέσει.* 4 T. VII. *λαμπρότερα.* 5 T. VII. add. *ὡς τό· αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη.* [Dem. pro cor. p. 291.] 6 T. VII. *ἐν τῷ μέν.* Ven. *ἐν* om.

μὲν τῷ πανηγυρικῷ ἅτε ἀπολύτῳ ὄντι [7] δεῖ καὶ τὰς αἰτίας πολλάκις προσθεῖναι, [8] οὐ γάρ τι κατεπείγει· μόνης δὲ τῆς ἡδονῆς τῶν ἀκουόντων φροντίζει· ἀπ' ἀρχῆς δὲ ἄχρι τέλους καλεῖται ἡ ἐν συντόμῳ ἐπαγγελία [9] τοῦ σκοποῦ. ἐν δὲ τῷ ἐννάτῳ [10] κεφαλαίῳ τοῦ τρίτου τόμου μαθήσῃ, ὅπως ἐπιφωνηματικῶς ἐκφέρεται ταῦτα· γ'. Δεῖ δὲ τὸ προοίμιον· ἡ ἑρμηνεία [11] ἐν δυσὶ τούτοις θεωρεῖται, ἐν ἐκλογῇ ὀνομάτων καὶ συνθέσει· τὴν δὲ τῶν προοιμίων ἑρμηνείαν δεῖ [12] τῇ μὲν ἐκλογῇ ἀπεριεργοτέραν [13] τε εἶναι καὶ ἥκιστα [14] σημειώδη· γενέσθαι [15] δὲ αὐτὴν τοιαύτην, ἄν τις ἐκφεύγῃ [16] τοὺς ἐκφανεῖς τρόπους· [17] οἷον προπέποται τὰ τῆς πόλεως πράγματα· [18] καὶ τὰς γλωσσηματικὰς λέξεις, ὡς τὸ στομφάζειν, καὶ τὰ τοιαῦτα· [19] Προοιμιασόμεθα δὲ ἐνίοτε μὲν συνεστραμμένως καὶ πικρῶς εἴτουν περιοδικῶς· τίς [20] δὲ περίοδος, λεχθήσεται· ἐνίοτε δὲ [21] διηγηματικῶς, ὡς Λυσίας· „ἀδελφιδοῦς μοί ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι·“ Πολιτικὰ δὲ τὰ ἀγωνιστικὰ πάντα· οἷς καὶ τιμωρία ἢ γέρας πρόκειται· [23] παθητικὰ δὲ τὰ ἠθικά, οἷς ἕπεται

---

7 T. VII. addit: *καὶ τοὺς ἀκροατὰς ἐκ χυδαίων ἔχοντι ἀνθρώπων.* 8 T. VII. *τοῖς λεγομένοις προστιθέναι.* 9 Ald. *ἀπαγγελία.* Par. *ἐπαγγελία.* 10 Par. *ἐνάτῳ.* 11 T. VII. *δ.* 12 Mon. 8. *δεῖ μέν τῇ ἐκλ. καὶ ἀπερ.* 13 T. VII. *ἀπερίεργον.* 14 Ven. *ἥκ. ξενίζουσαν σημειώδη.* 15 *γενέσθαι δ. α. τοιαύτην* ex T. VII. recepi, Ald. om. 16 T. VII. *ἐκφύγῃ τις.* 17 T. VII. *καὶ τὰς γλωσσημ. λέξεις· ἐκφανεῖς μὲν τρόποι αἱ φανεραὶ τροπαί, οἷον — πόλεων, γλωσσηματικαὶ δὲ λέξεις, ὥς.* 18 *πράγματα* T. VII. om. — Dem. Ol. III. p. 24. 19 Par. 2977. *ὅμοια.* T. VII. addit: *ζητητέον δὲ περὶ τροπῆς τὸ δέκατον κεφάλαιον τοῦ τετάρτου τόμου τοῦ παρόντος βιβλίου.* 20 T. VII. *ἡ δὲ περίοδος τρίτον ἐστὶ κεφάλαιον τοῦ τετάρτου τόμου τοῦ βιβλίου τούτου.* — Ven. *εἴτουν περιοδ.* — *βιβλίου τούτου* om. 21 Mon. 8. Par. 2977. *δὲ καί.* 22 Ven. *ὁ Λυσ.* 23 T. VII. *δ.* add. *τὸ ἀγώνισμα.*

ἡδονὴ καὶ λύπη, φόβος καὶ ἐπιθυμία. **εὐκόλοις** δὲ ἀντὶ τοῦ σαφέσι. δ΄. **Καὶ ὄνομα μὲν**, ὡς [24] παρ᾽ Ὁμήρῳ, πολύτροπον πολλὰ πλάγχθη· πολλῶν δ᾽ ἀνθρώπων· πολλὰ δ᾽ ὄγ᾽ [25] ἐν πόντῳ. ε΄. **Προτάσεως δέ**· ἰστέον, ὅτι κατασκευάζει ἡ κατασκευὴ ὡς ὁμολογούμενα τὰ τῆς προτάσεως· καὶ γὰρ τῆς προτάσεως λεγούσης, [26] ὅτι λέληθεν ὑμῶν οὐδένα, λέγει ἡ κατασκευή· καὶ γὰρ οὐκ ἔστι μικρὰ ὥστε λαθεῖν. Ἰστέον δὲ, ὅτι πολλάκις πρὸ τῆς κατασκευῆς ἐπὶ τῇ προτάσει καὶ ἑτέρα ἐπιγίνεται πρότασις· εἶθ᾽ οὕτως ἐπάγεται καὶ κατασκευὴ μία κοινὴ τῶν δύο προτάσεων, ὅταν μὴ διΐστωνται πολὺ ἀλλήλων κατὰ τὸ διάφορον· ἢ ἑκάστη τῶν προτάσεων ἰδία κατασκευὴ, ὡς Ἰσοκράτης προοιμιασάμενος ἐν τῷ πρὸς Δημόνικον· „ἐν πολλοῖς, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασι ταῖς πρὸς ἀλλήλους συνηθείαις· οἱ μὲν γὰρ τοὺς φίλους παρόντας [27] μόνον τιμῶσιν, οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι· καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν“· πρώτη πρότασις, ἐν πολλοῖς μέν· δευτέρα, πολὺ δὲ μεγίστην· πρώτη κατασκευὴ, οἱ μὲν γὰρ τοὺς φίλους· δευτέρα, καὶ τὰς μὲν τῶν φαύλων. ς΄. **Οἷα μὲν, ὦ Ἀθηναῖοι**· εἴρηται ἄνω ὡς ἡ βάσις συνάγει τήν τε πρότασιν καὶ τὴν ἀπόδοσιν· τοῦτο δὲ φανερὸν ἐντεῦθεν· ἡ μὲν πρότασις αὕτη, [28] οἷα κακὰ πάσχουσιν οἱ νησιῶται προφάσει τῶν φόρων, οὐδένα ὑμῶν λέληθεν, τοῦτο μέχρι τῆς ἀποδόσεως ἀσαφές· οὐ γὰρ δῆλον, ποῖα τὰ κακά· ἡ δὲ βάσις ἐπειδὴ ἐκ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους γίνεται καὶ τὴν αἰτίαν προστί-

---

24 T. VII. ε. 25 Ald. δ᾽ ὄνγ᾽. Mon. 8. πολλὰ δὲ ὥς ἐν, ὅς ἐν πόντῳ. 26 T. VII. ἐχούσης. 27 Par. μόνον παρόντας. Sq. καὶ ex Isocr. inserui. 28 cfr. T. VII. ζ.

*θησι τῶν κακῶν. εἰκότως τὴν πρότασιν συνάπτειν λέγεται τῇ ἀξιώσει· ἔστι γὰρ ἡ ἀξίωσις τὸ τοὺς φόρους ἀνεῖναι τοῖς νησιώταις, οὐ μέντοι καὶ διὰ τί προστίθησιν, ἀλλ' ἡ βάσις τοῦτο ποιεῖ. ζ. Εἶτα ἡ ἀπόδοσις· καὶ μὴν οὐκ ἀπόδρσις, ἀλλ' ἀξίωσις· προείρηται γὰρ ἡ τούτων διαφορά· καταχρηστικῶς δὲ εἶπεν ἐνταῦθα.*

---

359 ## *ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.*

### *Περὶ προκαταστάσεως καὶ διηγήσεως καὶ προδιηγήσεως.*

*Διήγησίς ἐστι παντὸς μὲν προβλήματος, καὶ τὰ λοιπά.*

*Διήγησίς ἐστι·* μετὰ τοὺς τόπους[1] τῶν προοιμίων ἀκολούθως διδάξαι περὶ διηγήσεως βουλόμενος ὁ τεχνικὸς ἐπὶ τὰ πρεσβύτερα αὐτῆς ἀναδραμών, ὡς ἂν μὴ τὸ τέλος τοῦ προβλήματος ἀρχὴ τῆς διηγήσεως γένοιτο, τὴν ἔναρξιν ποιεῖται ἐκ τῆς προκαταστάσεως, ἥτις ἐστὶ πρεσβυτέρα τῆς διηγήσεως· εἶτα περὶ τῆς καταστάσεως ἥτις ἐστὶ διήγησις· προκατάστασις γὰρ ἡ προδιήγησις,[2] κατάστασις ἡ διήγησις. Ἰστέον δὲ,[3] ὅτι οὐ κατ' ἰδίαν περιγραφήν ἐστιν ἡ προδιήγησις, ἀλλὰ μέρος τῆς διηγήσεως, ὥσπερ καὶ ἡ κατασκευὴ καὶ τὰ ἄλλα μέρη τοῦ προοιμίου. β'. *Φαίνεται γάρ·* πολὺν[4] ἀνάλωσε λόγον ὁ Ἑρμογένης ἐν τῇ προκαταστάσει, ὀλίγον[5] δὲ ἐν τῇ καταστάσει· περὶ μὲν προδιηγήσεως ἐν ἓξ τόμοις διαλαβών, περὶ δὲ διηγήσεως ἐν ἑνί·[6] καὶ τὴν αἰ-

---

1 Ald. Par. 2918. τρόπους. T. VII. α. et Taur. τόπους. 2 ἡ προδιήγησις, κατάστασις Par. 2977. om. 3 δὲ Taur. om. 4 Est in Par. 2977. abest a Mon. 8. 5 ὀλίγον δὲ ἐν τῇ καταστ. Par. om. manus serior inseruit. 6 Par. 2977. ἐνίοις.

αἰτίαν αὐτὸς εἶπεν· ἡ μὲν γὰρ διήγησις φανερά ἐστιν, αὐτὸ γὰρ ἐκεῖνο [7] διήγησις τὸ ὑποκείμενον πρᾶγμα καὶ αὐτοδίδακτόν ἐστιν, ὡς ἂν εἴποι τις· τί γὰρ ἄλλο ἐρεῖ ὁ διηγούμενος, ἢ [8] πάντως αὐτὸ ἐκεῖνο τὸ γενονός; μόνον οὖν τὸ πῶς πλατύνεται διδάξαι ὑπέσχετο· περὶ δὲ προδιηγήσεως μακρὸν ἀπέτεινε [9] λόγον εἰκότως· ἐχρῆν γὰρ διδάξαι πόθεν [10] ληφθήσεται καὶ ἀπὸ πόσων τρόπων καὶ ὅτι καθ᾽ ἕκαστον εἶδος ζητήματος ἰδία αὐτῆς εὕρεσις, τὰ δὲ εἴδη τῶν ζητημάτων καὶ τὰς ἐν αὐτοῖς εὑρέσεις [11] ἐν τοῖς κεφαλαίοις διέλαβε· νῦν δὲ [12] ὁ λόγος τῷ τεχνικῷ οὐ περὶ διηγήσεως ἤγουν καταστάσεως, ἀλλὰ περὶ τῆς προδιηγήσεώς ἐστι· καὶ παρὰ τὸ εἰκὸς ἐποιήσαντο τὴν ἐπιγραφὴν, περὶ τῆς καταστάσεως ἤγουν διηγήσεως, πλανηθέντες τῇ ἀρχῇ τοῦ κεφαλαίου τῷ φάναι [13] τὸν τεχνικόν· δίηγησίς ἐστι παντὸς μὲν προβλήματος, ἀγνοήσαντες, ὅτι διὰ βραχέων ἐπιμνησθεὶς τῆς διηγήσεως καὶ ὑποσχόμενος διδάξαι, τίσι τρόποις πλατύνεται· [14] ἐν δὲ τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ παρόντος τόμου τοῦτο πεποίηκεν· εὐθέως περὶ ὧν προὔκειτο λέγειν αὐτῷ, ἤγουν [15] περὶ προκαταστάσεως ἢ προδιηγήσεως τῆς διδασκαλίας ἤρξατο.

---

7 Ald. ἐκεῖνος. Taur. et Par. 2918. et 2977. ἐκεῖνο. 8 Ald. ἢ om. ibid. αὐτὸ ἐκεῖνος. 9 Ald. ἀπέκτεινε. 10 Par. 2977. πῶς. 11 Par. 2918. addit: αὐτῆς. Par. 2977. αὐτοῖς ἐν τοῖς πέντε κ. 12 δὲ Par. 2977. om. 13 Par. 2977. φάσκειν. 14 Par. 2977. pergit: τῆς διδασκαλίας ἤρξατο φάμενος, τὴν δὲ προκατάστασιν τῆς διηγήσεως καὶ τὰ ἑξῆς. ἐν τοῖς ἓξ δὲ τοῖς κεφαλαίοις τοῦ τόμου ἠκριβωμένως διεξελθὼν ἅπαντα περὶ τῆς προκαταστάσεως, ἐν τῷ ἑβδόμῳ, ὡς δεδήλωται, τὰ περὶ αὐτῆς τῆς διηγήσεως διδάσκει. Ea quae in Ald. sequuntur, non habet. 15 Ald. ἤως.

## Περὶ μετοικιῶν μόνων, καὶ τῆς ἐν τούτοις εὑρέσεως.

*Οἱ περὶ μετοικίας βουλευόμενοι δυοῖν τούτοιν ἕνεκα θατέρου τὴν βουλὴν ἔχουσιν, καὶ τὰ λοιπά.*

*Οἱ περὶ μετοικίας· ἐν μὲν τῷ περὶ τῶν στάσεων λόγῳ τῇ φύσει τῆς τέχνης ἑπόμενος προέταξε τὰς δικανικὰς στάσεις τῆς πραγματικῆς· ἐνταῦθα δὲ τὴν πραγματικὴν τῶν ἄλλων πρὸς τὴν χρῆσιν τῶν κατ' ἐκεῖνο [2] καιροῦ ἀνθρώπων· τῆς γὰρ δημοκρατίας ἐπιλελοιπυίας, καὶ ταύτῃ τῆς τοῦ δικανικοῦ χρείας παρεωραμένης, εἰκότως τὴν περὶ αὐτοῦ εὕρεσιν δευτέρας ἠξίωσε τάξεως· τῷ γὰρ συμβουλευτικῷ καὶ μέχρι τοῦ νῦν ἡ πρώτη [3] ἐν ἔργῳ ἀποδέδοται τάξις.*

## Περὶ νόμων εἰσφορᾶς.

*Αἱ δὲ τῶν νόμων εἰσφοραὶ μετὰ περιστάσεως, καὶ τὰ λοιπά.*

*Αἱ γὰρ ἄνευ αἰτίας· αἱ [1] ἄνευ περιστάσεως οὐδὲ προβλήματά εἰσιν, ὡς ἡ θέσις· ποίαν γὰρ [2] ἕξουσι διήγησιν μὴ ἔχουσαν πρᾶγμα· μὴ οὔσης δὲ διηγήσεως μηδὲ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, οὐδὲ πρόβλημα ἔσται, ἀλλὰ ψιλὸν προγύμνασμα. β'. Ἐὰν δὲ γράφωμεν· ὁ τιθεὶς [3] νόμον τοῦ λύοντος χρησιμώτερός ἐστιν· ὁ μὲν γὰρ λύων πειραθεὶς τοῦ κακοῦ οὕτως ἐγένετο φρονιμώτερος, ὁ δὲ ἐπ' ἀδήλοις [4] ἐτίθει. [5]*

---

1 T. VII. τὰς ἄλλας στάσεις τοῦ δικανικοῦ. [Ven. τῶν δικανικῶν τῆς πραγματικῆς]. 2 Ald. ἐκεῖνος. Par. 2918. ἐκεῖνο τοῦ καιροῦ. τοῦ manu seriori insertum est. 3 T. VII. ἡ πρώτη.

1 Taur. αἰτίας καὶ περιστάσεως. 2 Taur. γὰρ om. 3 Ald. ὅτι θεὶς. T. VII. β. 4 T. VII. ἐπ' ἀδόλοις ἐτέθη, καὶ διὰ τοῦτο ἀναγκαιότερος. 5 Sequitur in Taur. Ἀθηναῖοι προσβάλλοντες ἐν τῷ Μαραθῶνι τοῖς Μήδοις τῷ τοῦ Ξέρξου στρατῷ ἥττησαν αὐτοὺς μεγάλως. Ἀποστείλαντες πρότερον καὶ ζητήσαντες ἀπὸ

## *Περὶ πολέμου καὶ εἰρήνης.* [1] 360

*Ὁμοίως κἂν πολεμεῖν γράφωμέν τισι· καὶ τὰ λοιπά.*

*Τὸ Κυλώνειον ἄγος.* Κύλων, εἷς ἦν [2] τῶν ἐνδόξων Ἀθηναίων, ἀνὴρ Ὀλυμπιονίκης· ἐπιθυμήσας τυραννῆσαι τῶν Ἀθηναίων παρεγένετο ἐπὶ θεοῦ χρηστήριον καὶ ἐπηρώτα· τοῦ δὲ θεοῦ ἐπιχρήσαντος [3] ἐν τῇ μεγάλῃ ἑορτῇ ἐπιθέσθαι τῇ τυραννίδι, ἀγομένων [4] τῶν Ὀλυμπίων, δόξας ταύτην εἶναι τὴν μεγάλην ἑορτὴν, ἐπέθετο καὶ κατέλαβε τὴν ἀκρόπολιν τῶν Ἀθηναίων. Περικλῆς ἔχων σὺν ἑαυτῷ τοὺς συμπράττοντας ἐπανέστη· ὁ δὲ Κύλων δείσας τὸν Περικλέα συνέθετο, ὅπως ὑπόσπονδος σὺν ἀδείᾳ κατέλθοι· καὶ γενομένων τῶν σπονδῶν κατήει ἐκδησάμενος ἀπὸ τοῦ ναοῦ τῆς Ἀθηνᾶς μήρινθον, ὡς δὴ ἱκέτης τῆς [5] θεοῦ· οἱ δὲ περὶ τὸν Πε-

---

Λακεδαίμονος βοήθειαν οὐκ ἔλαβον, διὰ τὸ κεῖσθαι νόμον Λακεδαιμονίοις, μηδέποτε συγκροτεῖν πόλεμον πανσελήνου μὴ οὔσης, ἀλλ' ὅτε πλησιφαὴς ἡ σελήνη ἐστίν. Οἱ Ἀθηναῖοι οὖν μόνοι συγκροτήσαντες πόλεμον μετὰ τῶν Μήδων ἤγουν τοῦ στρατοῦ τοῦ Ξέρξου ἥττησαν αὐτοὺς ἧτταν περιφανῆ ἐν Μαραθῶνι πόλει· οἱ Λακεδαιμόνιοι δὲ ἰδόντες, ποίας νίκης καὶ τροπαίων ἐξέπεσον οὐ μὴν ἀλλὰ καὶ φιλίας τῆς πρὸς τοὺς Ἀθηναίους διὰ τὴν ἀνάγκην τοῦ νόμου, βουλεύονται λύειν τὸν τῆς πανσελήνου νόμον. — Νόμος ἦν ἀποστελλομένου στρατηγοῦ μὴ ὑποστρέφειν αὐτὸν ἄνευ στρατοῦ. Ἀλκιβιάδης εἰς Σικελίαν πεμφθεὶς στρατηγὸς καὶ μηνυθεὶς παρὰ τῶν Ἀθηναίων ἐπανελθεῖν ἀφῆκε τὸ στρατόπεδον καὶ ἐπανῆλθε, καὶ ἡττήθη μεγάλως ἐκεῖσε μόνον ἀπολειφθὲν τὸ στρατόπεδον· ὕστερον δὲ πάλιν εἰς Κύζικον στρατεύσας καὶ περιφανῆ νίκην ἐργασάμενος καὶ ἐπανελθὼν εἰσάγει νόμον, μηδένα στρατηγὸν ἀπὸ τοῦ στρατοπέδου ἀνακαλεῖσθαι.

1 Ad hoc caput nec in Ald. nec in T. VII. scholia exstant, nam *Κυλώνειον ἄγος* sqq. pertinent ad cap. *περὶ ἀσεβείας ἢ φόνου.* Omnia ex T. VII. sumta sunt. 2 *εἷς ἦν τῶν ἐνδ. Ἀθ.* Ven. om. 3 Mon. 8. *ἐπὶ χρήσαντος.* Par. 2977. Ven. *χρήσαντος.* 4 T. VII. *διαγομένων.* 5 T. VII. *τοῦ.*

ρικλέα οὐ κατασχόντες τὴν ὀργὴν ἀπέκτειναν αὐτὸν κατερχόμενον· τοῦτό ἐστι τὸ Κυλώνειον ἄγος. β'. Τριακοντούτεις[6] σπονδαὶ αὗται· μετὰ τὰ Μηδικὰ[7] ἤδη Ξέρξου ἀποφθαρέντος καὶ Ἀρταξέρξου ἐπιθεμένου[8] τοῦ υἱοῦ αὖθις τοῖς κατὰ τὴν Ἀσίαν Ἑλληνικοῖς πράγμασι καὶ διαφόρως ἀποκρουσθέντος τῆς ἐλπίδος, εἶτα σπονδῶν Ἕλλησι γενομένων καὶ βαρβάροις, αἷς ὅρια ἐπεπήγεσαν[9] Κυάνεαι πέτραι, καὶ ποταμὸς Νέσσος[10] καὶ Φάσηλις πόλις Παμφυλίας καὶ Χελιδωνέαι ἀκρωτήριον. ἐγένετο δὲ[11] Ἕλλησι διαφορὰ πρὸς ἀλλήλους ἐξ αἰτίας τοιαύτης. Λακεδαιμόνιοι ἀφελόμενοι Φωκέων τὸ ἐν Δελφοῖς ἱερὸν παρέδοσαν Λοκροῖς· εἶτα πάλιν Λοκροὺς ἀφελόμενοι παρέσχον Φωκεῦσιν· ὑποστρεφόντων Ἀθηναίων ἀπὸ[12] τῶν πρὸς Ἀρταξέρξην σπονδῶν, στρατηγοῦντος αὐτοῖς Τολμίδου καὶ γενομένων κατὰ Κορώνειαν, ἐπιθέμενοι αὐτοῖς ἄφνω Βοιωτοὶ οὖσιν[13] ἀπαρασκεύοις ἔτρεψάν τε αὐτοὺς καί τινας ἐξ αὐτῶν καὶ[14] ἐζώγρησαν· οὕς τινας ἀπαιτούντων Ἀθηναίων οὐ πρότερον ἀπέδοσαν[15] ἢ τὴν Βοιωτίαν ἀπολαβεῖν· καὶ μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι περιπλεύσαντες τὴν Πελοπόννησον Γύθιον εἷλον· καὶ Τολμίδης χιλίους ἔχων Ἀθηναίων ἐπιλέκτους διῆλθε τὴν Πελοπόννησον· καὶ πάλιν Εὔβοιαν ἀποστᾶσαν εἷλον Ἀθηναῖοι· καὶ ἐπὶ τούτοις Ἀθηναίοις καὶ Πελοποννησίοις σπονδαὶ τριακοντούτεις ἐγένοντο· ἃς τεσσαρεσκαιδεκάτῳ ἔτει ἔλυσαν Ἀθηναῖοι, Σάμον πολιορκίᾳ[16] ἑλόντες Περικλέους[17] καὶ Σοφοκλέους στρατηγούντων, καὶ ὁ Πελοποννησιακὸς πόλεμος ἤρξατο.

---

6 T. VII. αἱ τριακ. 7 Mon. 8. Μηδαῖον. 8 Par. 2977. τοῦ υἱοῦ αὐτοῦ αὖθις ἐπιθεμένου. 9 Ven. ἐπεπήγησαν κύνιαι. 10 Ven. Νέσνιος. id. et Mon. 8. Φάσιλις. 11 δὲ inserui ex Par. 2977. 12 Ven. ὑπό. 13 οὖσιν Ald. om. Exemplar Paris. ad marg. et T. VII. habet: οὖσιν ἀπαρασκ. ἐτρέψαντο αὐτ. 14 καὶ T. VII. om. 15 Mon. 8. ἀπέλασαν. 16 Taur. Mon. 8.

## Περὶ διηγήσεως.

*Ταυτὶ μὲν οὖν περὶ τῶν προκαταστάσεων τῶν ἐν ταῖς διηγήσεσι λέλεκται· καὶ τὰ λοιπά.*

Ἡμεῖς μὲν οὖν· τὸ πολλάκις τὴν αὐτὴν ἔννοιαν

---

πολυορκίᾳ ἑλόντες [Ald. ἑλόνες.]. 17 T. VII. Taur. Περικλεῖ στρατηγοῦντι καὶ Σοφοκλεῖ, καὶ ὁ Πελοπ. ἤρξατο πόλεμος. — Addo schol. min. ex Par. 2977. Κἂν μὲν ἱστορίαν ἔχωμεν· ἤτοι γονεῖς ἢ πάππους, ἢ κατὰ γένος προσήκοντας, ἀναλογεῖ γὰρ πατράσιν ἡ ἱστορία. Ἐγὼ τὸν μὲν ἄλλον β. Σημείωσαι, ὅτι τρόποι διηγήσεως πέντε, τὰ πραττόμενα καὶ αἱ αἰτίαι τῶν πραττομένων· τὰ λειπόμενα καὶ αἱ αἰτίαι τῶν παραλειπομένων καὶ οἱ λογισμοί. Ἡ αὐτὴ γὰρ προδιήγησις· ἡ προειρημένη, οἷον ὅτι καὶ πάλαι ἀσθενής τις ἦν καὶ ἀποτρόπαιος. Ἐπὶ Ποτιδαιάτας· παρασπονδήσαντες γὰρ ἐπολιόρκησαν καὶ ἀνέστησαν Ποτιδαιάτας. Ἀνέστησαν, ἀναστάτους ἐποίησαν, κατέστρεψαν. Ἐξώρισαν· ἔξω τῶν ὅρων ἐποίησαν. Ὥσπερ ἐν ταῖς κατηγορίαις τὰ βίαια, οὕτως ἐν ταῖς ἀπολογίαις τὰς ἐπιεικείας. Εἶπε γὰρ ἐκεῖ, ὅτι ἐγὼ μὲν τὸν ἄλλον βίον καὶ τὰ ἑξῆς. Ἐπὶ μὲν τῶν πόλεων. οὐ γὰρ ἔχει γένος καὶ τὰ λοιπά. Οἱ βίοι. βίους τὰ προειργασμένα ἑκάστῳ τῶν προσώπων λέγει, καὶ τὰ ταῖς προγόνοις καὶ πατράσιν αὐτοῦ. — Ad cap. περὶ δημοσίων ἀδικημάτων Sch. min. ἀπὸ τῶν πρεσβυτέρων· τῶν προηγησαμένων, τῶν προτέρων. Οὐκ ἀνέῳξεν· ἐρείδεται τῷ νόμῳ. Ὁ δὲ δύσνους ὤν· ἡ προκατάστασίς ἐστι τοῦτο· ὅτι δύσνους ὢν περὶ τὴν πόλιν ἀρχῆθεν· ὡς κατὰ παράλειψιν δέ ἐστι καὶ τοῦτο. Προδιηγήσεις ἕξουσι· τοὺς βίους αὐτῶν οἱ τύραννοι, καὶ οὕτω λεγομένας τὰς διηγήσεις τῶν πραγμάτων. Ὁ βίος μέχρι τῶν πράξεων· αἱ δὲ πράξεις ἡ πολιτεία. Ὅτι ὁ μὲν βίος ὅλος τοῦ ἀνδροφόνου τυχὸν ἢ τοῦ μοιχοῦ περιληπτικός ἐστι καὶ αὐτοῦ τοῦ φόνου ἢ τῆς μοιχείας ἀναντιῤῥητον· νῦν δὲ βίον μὲν λέγει τοὺς λοιποὺς τῶν ἐγκωμιαστικῶν τόπους ἄχρι τῶν πράξεων· ἐν ἐκείναις δὲ παρατίθεται κἀκεῖνο αὐτὸ τὸ πεπραγμένον, τὸν φόνον τυχὸν ἢ τὴν μοιχείαν. Οἷς δέον ἐργάζεσθαι ἐγκώμιον καὶ ἐν ἄλλοις ἔμαθεν καὶ ἐν τῷ περὶ ἐγκωμίου.

ποικίλοις μεταποιεῖν κώλοις ἑρμηνεία λέγεται· ὃ καὶ κόσμον ἐμποιεῖ τῷ λόγῳ καὶ τὴν δύναμιν τρέφει τοῦ ῥήτορος· τὸ δὲ λέγειν τὴν διήγησιν πῇ μὲν πλατύνεσθαι, πῇ δὲ μηκύνεσθαι ἀδιαφόρως κεῖται. Ἰστέον δὲ, ὅτι φανερῶν ὄντων τῶν πραγμάτων περιττὸν τὸ διηγεῖσθαι, ὅπερ φασὶν ἐν δευτερολογίαις εὑρίσκεσθαι, ἢ ὅταν ἄδοξα τὰ πράγματα ᾖ· ἡ δὲ τάξις τῆς διηγήσεως οὐκ ἀεὶ μετὰ τὰ προοίμια· ἀλλ' ἔσθ' ὅτε καὶ μετὰ τὰς πίστεις, καὶ ἐν τοῖς ἐπιλόγοις, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου·[1] β'. Ἐν ταῖς περιγραφαῖς· ὁ[2] γὰρ ἐν εὐπεριγράπτῳ καὶ συντόμῳ λόγῳ πλατυνόμενος δῆλον ὅτι δι' ἑτέρων καὶ ἑτέρων λέξεων πληθυνθήσεται· τὸ μὲν γὰρ ἀπερικάλυπτον καὶ ἀόριστον μῆκος τοῦ λόγου καὶ τὰς αὐτὰς ἐπιδέχεται λέξεις· τὸ δὲ εὐπερίγραπτον καὶ ὡρισμένον ὥσπερ καὶ ἡ τῆς διηγήσεως ἐν τρισὶ καὶ τέτρασι κώλοις περιγραφὴ οὐκ ἔτι· περιγραφὴν δὲ λέγει τὴν σύντομον διάνοιαν. γ'. Εἶθ' ἡ αἰτία· ἡ τοῦ πραχθέντος αἰτία τὸ ὡς εὐνοϊκῶς προστησομένου ἐστί· τὸ δὲ οὐχ ὡς μὴ τὴν ἀλήθειαν προδώσοντος, οὔτε τὸ πραχθέν ἐστιν, οὔτε τοῦ πραχθέντος αἰτία· ἀλλὰ τῆς αἰτίας ἐναντίον, ὅπερ ἐστὶ τοῦ παρα-
361 λειφθέντος ἐπίτασις. δ' Τρόποι δὲ διηγήσεως· πρότερον εἰπὼν περὶ πλάτους τῆς διηγήσεως, ὅπερ ἐστὶ τῆς ποσότητος, νῦν περὶ τῶν τρόπων αὐτῆς φησιν, ὅπερ ἐστὶ τῆς ποιότητος· δεῖ γὰρ ἀεὶ προηγεῖσθαι τὴν ποσότητα τῆς ποιότητος· ὡς καὶ Ἀριστοτέλης ἐν ταῖς κατηγορίαις ἔδειξεν. ε' Ἐὰν δὲ σύντομος ᾖ καὶ πολιτική· ἀντὶ τοῦ ἁπλῆ καὶ ἀποίκιλος καὶ ἀσθενής· τοιοῦτον γὰρ τὸ σύντομον καὶ εὐτελές· ὃ καὶ εὔζωνον[3] καλοῦσιν, ὅταν μὴ ἀφ' ἑαυτοῦ ἰσχύῃ, ἀλλὰ τῆς ἀπὸ τῶν

---

1 Ald. Μηδίου. 2 Ald. ὅταν γὰρ εὐπεριγρ. Par. ὁ γὰρ ἐν εὐπερ. 3 Ald. εὔζωμον. Par. εὔζωνον.

αἰτιῶν καὶ τῶν τρόπων ἀποδείξεως δέηται. ϛʹ Φαιδροτέρα· ἀντὶ τοῦ πρὸς πάθος ἀπαγωγοτέρα· τουτέστι πάθος ἐμποιῆσαι δυναμένη χαρᾶς, φόβου, λύπης, ὀργῆς, καὶ τῶν τοιούτων.

---

## ΤΟΜΟΣ ΤΡΙΤΟΣ

## ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ.

Τὸ τρίτον μοι σύνταγμα τουτί γέγονεν, ὦ κράτιστε Ἰούλιε Μάρκε, καὶ τὰ λοιπά.

Ἡ προκατασκευή· περὶ πέντε τινῶν λέξειν ἐπαγγειλάμενος, πρίν τι τούτων εἰπεῖν, περὶ προκατασκευῆς διέξεισι· προδιδάξας [1] γὰρ περὶ προοιμίων καὶ προκαταστάσεως καὶ διηγήσεως, βουλόμενος διδάξαι περὶ ἀγώνων ἤτοι περὶ ἀντιθέσεως καὶ λύσεως, ἅπερ εἰσὶν αἱ εἰσαγωγαὶ τῶν κεφαλαίων καὶ οἱ τρόποι αὐτῶν, δεῖν ᾠήθη τὴν χώραν εἰπεῖν τῶν κεφαλαίων, ὡς ἂν μαθόντες ποῦ τίθενται μὴ διαμάρτοιμεν [2] τῆς εὐσχήμονος πλάσεως τοῦ λόγου· πῶς [3] ἄρα ὀφείλομεν αὐτὰ τιθέναι, καὶ εἰ [4] ἄρα μίαν χώραν ἔχουσιν ἢ δύο ἢ καὶ πλείονας· καὶ πῶς εἰσάγονται· διὸ ἐν τοῖς πρώτοις διδάσκει περὶ προκατασκευῆς· γινώσκων γὰρ ὁ τεχνικὸς ὡς οὐκ ἀεὶ τὴν αὐτὴν χώραν ἔχει ἡ προκατασκευὴ, δείκνυσιν αὐτοῖς τοὺς διαφόρους τρόπους· ἰστέον δὲ, ὅτι ἡ προκατασκευὴ καὶ προέκθεσις καὶ ἔκθεσις καὶ ἐπαγγελία καὶ ὑπόσχεσις λέγεται. βʹ. Καὶ οἰκονομίαν οὔκουν ἐρεῖς. ἡ μὲν γὰρ τέχνη μετὰ τὴν διήγησιν ἐπάγειν βούλεται τὴν προκατασκευὴν, εἶτα τὴν κατασκευήν· ἡ δὲ οἰκονομία οὐχ

---

1 T. VII. α. 2 Par. 2977. διαμάρτωμεν. 3 πῶς [Mon. 8. ποῦ] ἄρ' ὀ. α. τιθέναι ex T. VII. inserui. 4 εἰ Ald. om., recepi ex Par. 2918. et T. VII.

οὕτως· ἀλλὰ τῆς διηγήσεως τὴν προκατασκευήν· ἄλλο γάρ ἐστι τέχνη, καὶ ἄλλο οἰκονομία, τὸ μὲν γὰρ τῶν καθ' ἑαυτὸ καὶ τοῖς ἐμπίπτουσι χρῆται· οἰκονομία δὲ τῶν πρός τι· εἰ γὰρ μὴ συμφέρει τὸ ἐμπίπτον, οὐ χρῆται· ἔσθ' ὅτε δὲ καὶ ἡ χρῆσις οὐ κατὰ τεχνικὴν τάξιν [5], ἀλλ' ὡς ἂν ὁ καιρὸς διδῷ παρακολουθεῖ· γ'. Εἰ δέ μοι λέγοι τις· [6] τὸ ἑξῆς οὕτω· καθ' ὑπέρβατον γὰρ κεῖται· εἰ δέ μοι λέγοι τις ὡς Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους λόγῳ μεταξὺ [7] τῶν δύο νομίμων τοῦ τε παρανόμως εἰσενηνέχθαι [8] τὸν νόμον τὸν ὑπὸ Τιμοκράτους γραφέντα, καὶ τοῦ πῶς διδόασιν ἐξουσίαν κατηγορίας τοῖς βουλομένοις [9] οἱ νόμοι μέσῳ κέχρηται τούτῳ τῷ νοήματι· ὅτι [10] κατὰ τῶν μὴ [11] ποιησάντων ἃ προστάττουσιν οἱ νόμοι διδόασιν ἐξουσίαν κατηγορίας τοῖς βουλομένοις νομοθετοῦντες, ἐρῶ τὰς [12] αἰτίας.

## Περὶ βιαίου.

**Ἔστι καὶ τρίτον εἶδος λύσεως τὸ παραδοξότατον καὶ ἰσχυρότατον καὶ νικητικώτατον, καὶ τὰ λοιπά.**

Ἔστι καὶ τρίτον εἶδος· ἢ ὅτι [1] τρίτον ἐστὶ μετὰ τὴν ἔνστασιν καὶ ἀντιπαράστασιν, ἃς πολλάκις ἐν ταῖς στάσεσι καὶ ἀλλαχοῦ παρέδωκεν· [2] ἢ τρίτον ἁπλῶς [3] ὡς τρίτον κεφάλαιον μετὰ τὰ δύο εἴδη τῆς προκατασκευῆς, [4] ὧν τὸ μὲν ἡ προέκθεσις ἦν τῶν κεφαλαίων,

---

5 Par. τάσιν. 6 T. VII. c. I. β. 7 T. VII. μετά. 8 T. VII. εἰσενηνοχέναι. 9 Τοῖς βουλομένοις ex Par. 2918. et T. VII. inserui, Ald. om. 10 Par. 2977. ὅτι γάρ. 11 Ald. μοι. 12 Ald. ἐρῶτας.

1 T. VII. c. II. β. γ. 2 T. VII. παραδέδωκεν. 3 T. VII. addit: οὐκ ἐπειδὴ τρίτον λύσεως, ἀλλ' ὡς. 4 In T. VII. sequitur ἐν τούτῳ τῷ βιβλίῳ παραδεδομένον εἶδος ὃν οὐ προκατασκευῆς ἀλλὰ λύσεως. omissis sequentibus usque ad litt. β.

τὸ δὲ τὸ [5] κατὰ νόμους δοκεῖν εἰσφέρεσθαι τὴν κρίσιν· καίτοι ἐκεῖνα οὐκ ὠνόμασε λύσεις· ἔστι δὲ εἰπεῖν, ὅτι ἡ προκατασκευὴ εἰ μὲν παρὰ τοῦ λέγοντος γίνεται, κατασκευὴν ὑπισχνεῖται· εἰ δὲ ὑπὸ τοῦ ἐχθροῦ εἰσάγεται τὰ κεφάλαια, λύσεως εἶδός ἐστιν ἡ προκατασκευή. β' Ἢ [6] ὅταν ἐναντία· διαφέρει τοῦ προτέρου [7] βιαίου, ὅτι ἐκεῖ μὲν αὐτὸ τὸ προτεινόμενον ὑπὸ τοῦ κατηγόρου φυλάττων [8] ἀπερίτρεπτον εἰς τοὐναντίον περιτρέπει τὴν ἀξίωσιν· μᾶλλον δοῦναι δίκην ἄξιον δεικνὺς ἐξ ὧν ἐκεῖνος ἤλπισεν ἐκφυγεῖν· τοῦτο [9] δὲ αὐτὸ τὸ προτεινόμενον περιτρεπόμενον δείκνυσι, τοῦ ἐναντίου οὗ διατείνεται ὁ κατήγορος γεγενημένου, καὶ διὰ τοῦτο δίκαιον ὂν [10] αὐτὸν ὑποσχεῖν δίκην. [11]

## Περὶ κεφαλαίων. 362

*Περὶ μὲν τῆς τῶν κεφαλαίων εὑρέσεως κατὰ τὴν διαιρετικὴν ἐξεθέμεθα τέχνην· καὶ τὰ ἑξῆς.*

Κεφάλαιόν [1] ἐστι μέρος λόγου ἀπόδειξιν ἔχον [2] τοῦ προκειμένου πράγματος, ἐκ νοημάτων καὶ ἐπιχειρημάτων συγκείμενον· πᾶν δὲ τὸ τῆς ῥητορικῆς κράτος ἐν τούτοις [3] τοῖς κεφαλαίοις συνίσταται καὶ ἐν τῇ κατασκευῇ αὐτῶν· διδάξας οὖν ἡμᾶς ὁ τεχνικὸς ἑκάστης στάσεως τὰ κεφάλαια νῦν τὴν κατασκευὴν αὐτῶν καὶ τὴν λύσιν ὑπισχνεῖται παραδοῦναι ἡμῖν· ὑφ' ἡμῶν μὲν προβαλλομένων τὴν κατασκευήν, ὑπὸ τῶν δὲ [4] ἐναντίων προ-

5 τὸ Ald. om., recepi ex Par. 6 ἢ Ald. om., recepi ex Par. 7 T. VII. πρώτου. 8 Par. 2918. φυλάττον. Par. 2977. φυλάττει. 9 T. VII. τὸ δὲ δεύτερον τοῦ βιαίου εἶδος αὐτὸ τὸ [Ven. καὶ αὐτό]. 10 ὂν T. VII. om. 11 T. VII. τὴν δίκην.

1 T. VII. c. III. α. 2 Par. ἔχων. 3 Ven. τούτοις om. Mon. 8. om. τοῖς. 4 Par. ἐναντίων δὲ προτιθεμένων. [Ald. προυτιθεμένων].

τιθεμένων τὴν λύσιν· οὐδὲ γὰρ ἀρκεῖ ἁπλῶς εἰς πειθὼ τῶν ἀκουόντων τὸ προβάλλεσθαι κεφάλαιόν [5] τινος τῶν στάσεων, ὡς ἐν αὐταῖς ἐδίδαξεν, ἀλλὰ τὸ κατασκευάσαι αὐτὸ, καὶ ἀποδεῖξαι ἢ τὸ προστεθὲν [6] παρ' ἡμῶν ἀληθὲς, ἢ τὸ προβληθὲν ὑπὸ τῶν [7] ἐναντίων ψευδές· διὰ τοῦτο ἡ τελεία διδασκαλία τῶν κεφαλαίων ἐν τῇ περὶ εὑρέσεως πραγματείᾳ ἐκδέδοται· ὅθεν ἐν [8] τοῖς προλεγομένοις τῶν στάσεών φησι· „περὶ δὲ τῆς τῶν πολιτικῶν ζητημάτων διαιρέσεως εἰς τὰ λεγόμενα κεφάλαια ὁ λόγος γίνεται· ἔστι δὲ σχεδὸν ὁ αὐτὸς τῷ [9] περὶ εὑρέσεως.“ πᾶσα γὰρ διδασκαλία τῆς διαιρέσεως τῶν κεφαλαίων ἑκάστης στάσεως ἐν ταύτῃ τῇ πραγματείᾳ [10] τοῦ τρίτου τόμου εὑρίσκεται τὴν ἀρχὴν ἔχουσα. β'. Καὶ ὅσα ἑκάστης· ἴδια [11] μὲν ὥσπερ στοχασμοῦ μόνου ἔλεγχων ἀπαίτησις, βούλησις, [12] δύναμις· κοινὰ δὲ, ὡς ἀντίληψις καὶ μετάληψις, καὶ εἴ τι τοιοῦτον· τὰ [13] τούτων δὲ διάφορα, οἷον [14] ὅτι εἰ καὶ κοινὸν τὸ ἐν στοχασμῷ παραγραφικὸν πρὸς τὸ ἐν μεταλήψει, ἀλλ' οὖν ἔχει τι καὶ διάφορον· ἐν μὲν γὰρ στοχασμῷ διαβολή ἐστι ψιλὴ τοῦ ἀγῶνος, καὶ οἷον εἰπεῖν ἀνάπνευσις τοῦ φεύγοντος· ἐν μεταλήψει δὲ [15] καὶ μάλιστα τῇ ἐγγράφῳ τελεία ἐκβολή. γ'. Λύσει τῇ καὶ ἀνθυποφορᾷ· διαφέρει [16] ἀνθυποφορὰ καὶ ἀντίθεσις καὶ ἀντιπίπτον· ἀντιπίπτον μὲν γάρ ἐστιν, ὅταν οἶδεν, ὅτι [17] μέλλει αὐτῷ [18] τις ἀντι-

---

5 T. VII. τὸ κεφ. 6 Ald. προστεθέν. T. VII. et Par. 2918. προτεθέν. 7 T. VII. ὑπὸ ἐναντίου. 8 T. VII. ἐν ἀρχῇ τῶν προλεγομένων. 9 Par. τό. Ald. ante τῷ repetit σχεδόν. 10 T. VII. εὑρίσκεται τὴν ἀρχὴν ἔχουσα ἐν τῷ τρίτῳ τόμῳ τῷ περὶ εὑρέσεως. 11 T. VII. γ. δ. 12 T. VII. καὶ βούλησις καὶ δ. Ven. primum καὶ om. 13 Ven. καὶ τούτων διάφορα. 14 T. VII. κἂν γὰρ κοινὸν, φέρε τὸ ἐν στοχ. 15 Mon. 8. δὲ. Par. 2977. καὶ om. 16 T. VII. ἰστέον δὲ, ὅτι ἀνθυπ. διαφέρει. 17 T. VII. ὡς ὅτι. tum Ald. μέλλοι. Par. et T. VII. μέλλει. 18 T. VII. αὐτοῦ.

πεσεῖν ὡς ἄτοπόν τι λέγοντι, καὶ ἐπανορθώσηται ἑαυτὸν προσποιητῶς ὥσπερ καὶ λεληθότως· ἀνθυποφορὰ δέ, ὅταν μέρος μὲν ὥσπερ καταδέχηται τοῦ λεγομένου ὁ ἀκροατής, ἀμφιβάλλῃ [19] δὲ περὶ τὸ λοιπόν. ἀντίθεσις δέ, ὅταν ἀπό τινος κεφαλαίου ὁρμᾶται· οἷον ἀπὸ δικαίου ἢ συμφέροντος, ἢ τῶν τοιούτων. δ΄. Κόσμος γάρ ἐστιν· ἡ πρότασις καὶ ἡ ἀντιπρότασις τοῦτο ποιοῦσι, διασύρουσαι καὶ διαβάλλουσαι τοῦ ἐχθροῦ τὸν λόγον, ὅς ἐστιν ἡ ὑποφορά, καὶ ῥᾳδίαν ὑπισχνούμεναι δοῦναι τὴν λύσιν.

## Περὶ ἐπιχειρημάτων.

Εἶτε οὖν εἰσάγοιμεν ἡμεῖς κεφάλαιον, καὶ τὰ ἑξῆς.

Ἐπιχείρημά ἐστιν, ὥς φησι Νεοκλῆς, [1] συλλογισμὸς μετὰ τῆς οἰκείας τῶν μερῶν ἀποδείξεως· ἄλλοι δὲ οὕτως· ἐπιχείρημά ἐστι λόγος ἔξωθεν λαμβανόμενος πρὸς ἀπόδειξιν τῶν [2] ὑποκειμένων. τῶν δὲ ἐπιχειρημάτων τὰ μέν ἐστι διδασκαλικά, ὁπόσα ἐκ τῶν κοινῶν ἐννοιῶν ἢ τῶν ὑποκειμένων πραγμάτων, ἢ τῶν παρακολουθούντων τῇ [3] περιστάσει εἰκότων ἢ τεκμηρίων [4] ποιεῖται τὴν πίστιν. τὰ δέ ἐστι δυσωπητικὰ [5] μόνον, ὁποῖα τυγχάνει ὄντα τὰ ὁμοιωματικά, [6] κατ᾽ ἐνίους δὲ παραδειγματικὰ καλούμενα· τούτων δὲ Νεοκλῆς φησι τυγχάνειν εἴδη [7] τρία, εἰκόνα, παραβολήν, παράδειγμα· εἰκὼν μὲν οὖν ἐστι σώματος σώματι παράθεσις. οἷον ὥσπερ γὰρ οἰκίας οἶμαι καὶ πλοίου καὶ τῶν ἄλλων τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων. παραβολὴ δὲ πράγματος οἵου τε γενέσθαι ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ γενομένου· [8] οἷον

---

19 T. VII. ἀμφιβάλλοι.

1 T. VII. c. IV. β. 2 τῶν Ven. om. 3 τῇ T. VII. om. 4 Mon. 8. πλημυρίων. 5 Ald. δυσωπιστικά. Par. et T. VII. δυσωπητικά. 6 Par. ὁμοιωτικά. 7 Par. ἤδη. 8 γενομένου — ἀπομνημόνευσις Ven. om.

Ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη.[9]

παράδειγμα δέ ἐστιν, ὥς Ζήνων φησί· γενομένου πράγματος ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ νῦν[10] ζητουμένου· οἷον τὸ μὲν ζήτημα, εἰ δεῖ[11] πολλῶν καὶ σοφῶν τὰ μαθήματα συλλέγειν. τὸ δὲ παράδειγμα, καὶ ἡ μέλιττα
363 ἐπὶ πολλὰ βλαστήματα ἕρπουσα τὰ κάλλιστα ἀπ' αὐτῶν λαμβάνει· διαφέρει δὲ ἀλλήλων ταῦτα, ᾗ τὸ μὲν παράδειγμα γεγενημένου πράγματός ἐστιν ὁμοίωσις· ἡ δὲ παραβολὴ οὐ γεγενημένου, ἀλλ' οἵου τε γενέσθαι·[12] μέρη δὲ τοῦ ἐπιχειρήματος τρία, ἡ πρότασις αὐτὴ, οἷον ἔσχες[13] μου δέκα δραχμάς· τὰ λήμματα· εἴληφας γὰρ δύο καὶ τρία καὶ πέντε· ἡ ἐπιφορὰ, ἥτις[14] ἐπιφέρεται τῇ προτάσει, ὡς τὸ[15] ἔχεις μου δέκα δραχμάς.[16] λύσομεν οὖν τὰ ἐπιχειρήματα οὕτως· εὐθὺς γὰρ ἢ πρὸς τὴν πρότασιν ἀντιστησόμεθα· οἷον κέκλοφεν οὗτος, οὐ κέκλοφεν οὗτος, ἢ τὴν πρότασιν συγχωρήσαντες ἕν τι τῶν λημμάτων αἰτιασόμεθα· οἷον ἔστω ἐνθύμημα τόδε· ὁ γὰρ[17] οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ· ἐροῦμεν γὰρ αὐτὸ[18] ψεῦδος εἶναι τόδε τοῖς Ἀθηναίοις. ἢ καὶ τὰ λήμματα δόντες μὴ ἀκολουθεῖν αὐτοῖς τὴν ἐπιφορὰν ἐπιδείξομεν, ὡς ἐπ' ἐκείνου· ὁ γὰρ μισότεκνος Δημοσθένης τὴν μόνην καὶ ἀγαπητὴν θυγατέρα ἀπολέσας[19] ἔθυε καὶ ἐλευχειμόνει· τὸ γὰρ λευχειμονεῖν μετὰ θάνατον τῆς[20] θυγατρὸς μισότεκνον· ἐροῦμεν γὰρ[21] μὴ ἀκολουθεῖν

9 Il. Γ. 33. 10 νῦν Ven. om. 11 Mon. 8. εἴδη. 12 T. VII. γεγενῆσθαι. 13 T. VII. ἔχε. 14 ἥτις ἐπιφ. τῇ πρ. Ven. om. 15 Ven. ὥστε. 16 T. VII. addit: εἴπομεν δὲ μέρη κυρίως [Ven. κυρίως μέρη] τρία, διότι Ἀλέξανδρος Ἀθηνόδωρον εἰρηκέναι [Mon. 8. εἰρημένον] φησὶ, μέρη εἶναι ἑπτά. Λύσομεν δὲ τ. ἐ. οὕτως· πᾶν ἐπιχείρημα ἔφαμεν ἐκ τριῶν συνεστάναι, προτάσεων, λημμάτων, ἐπιφορᾶς· εὐθὺς οὖν. 17 Dem. Phil. III. p. 115. 18 Ald. αὐτὸ τὸ, Par. et T. VII. τὸ om. 19 Par. ἀπώλεσας. Mon. 8. ἀπώλεσεν. 20 τῆς T. VII. om. 21 Ven. οὖν.

τοῦτο τοῖς λήμμασιν· ἐπεὶ καὶ Μίνως[22] καὶ Ξενοφῶν καὶ Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου ἔθυον τῶν τέκνων ἀποθανόντων καὶ ἐλευχειμόνουν. β΄. Καὶ[23] λόγοις, ὅ ἐστιν ἐγκωμιαστικῷ· καὶ πράγμασιν, ὅ ἐστι συμβουλευτικῷ, καὶ δίκαις, ὅ ἐστι δικανικῷ· καὶ ἁπλῶς[24] ἐν ὑποθέσει πάσῃ καὶ[25] παντὶ βίῳ. γ΄. Προστιθέασι δέ· ὕλην οἱ μὲν τῶν τεχνικῶν τὰ τῆς ῥητορικῆς[26] ἔφασαν εἴδη· οἱ δὲ τὰς τῶν προσώπων ποιότητας· οἷον ῥήτορας, στρατηγούς, δημαγωγούς,[27] τυράννους, μοιχούς, πατέρας, συγγενεῖς, καὶ τὰ ὅμοια· οἱ δὲ τὰ ὄργανα, οἷς ἔσθ᾽ ὅτε τινές τινας ἠμύναντο· εἰσὶ δὲ οἳ καὶ τὰ εἴδη τῶν προβλημάτων ὕλην ὠνόμασαν φυσικῶν φημι καὶ ἠθικῶν, καὶ πολιτικῶν καὶ ἐπιστημονικῶν· ἔνιοι πάλιν τὰ τοιαῦτα τῶν ζητημάτων εἴδη ὀρθότατα[28] πάντων ἐκάλεσαν ὕλην. τέσσαρα δὲ ταῦτα ἠθικὸν, παθητικὸν, πραγματικὸν ἤτοι δικανικὸν, μικτόν· ἔστι δὲ ἠθικὸν μὲν, ἐν οἷς ἢ[29] σχέσις τίς ἐστιν, ὡς πατρὸς πρὸς υἱὸν, ἢ[30] διάθεσις πρὸς ἀλλήλους, ὡς ἐρών-

22 καὶ Μίνως recepi ex T. VII. Mon. 8. μόνως. Paullo post τῶν τέκνων Ald. om., recepi ex Par. et T. VII. — Addo ex Par. 2977. Schol. min.: καὶ ἀπὸ τρόπων· τῶν περιστατικῶν. τὸ προκείμενον τοῦτο λέγει. Ἀπὸ τῶν αὐτῶν αἱ γενέσεις· ἀπὸ τῶν αὐτῶν ἐπιχειρημάτων αἱ γενέσεις, εἴτουν τῶν κατασκευῶν καὶ τῶν λύσεων, εἴτε τῶν περιστατικῶν, ἐξ ἐκείνων γὰρ αἱ γενέσεις τῶν ἐπιχειρημάτων. Περίστασις δέ· ἐν τοῖς τρισὶν εἴδεσί φησιν ἡ περίστασις, συμβουλευτικῷ καὶ τοῖς λοιποῖς. Καὶ λόγοις· καὶ πάλιν τὰ τρία λέγει. 23 In Par. 2977. legitur ita: ἐν τοῖς τρισὶν εἴδεσι, φησὶ, τὸ ὅλον ἡ περίστασίς ἐστιν, ἡ ποιοῦσα τὰ ἐπιχειρήματα, καὶ λόγοις κ.τ.λ. 24 Par. addit φησίν. 25 Par. καὶ ἐν. — Post βίῳ addit: τὰ περιστατικά εἰσι τὰ ἔχοντα τὴν ἐνέργειαν, καὶ οὐδέν ἐστιν ἔξω τούτων τῶν πραττομένων εὑρεῖν. 26 Ald. εἴδη ἔφασαν· omisso τὰ τῆς ῥητορικῆς. Supplevi ex Par. et T. VII. s., quod τὰ om. 27 δημαγωγοὺς ex T. VII. inserui. Tum Ven. μοιχούς, τυράννους. 28 Par. ὀρθότητα. 29 ἢ ex T. VII. recepi. 30 T. VII. addit: ἢ ἀδελφῶν πρὸς ἀδελφούς.

τος πρὸς ἐρωμένην.[31] ἢ γνώμη ἀδιάστροφος πρός τι, ὡς φυλαργύρου πρὸς χρυσόν· παθητικὰ[32] δὲ ἐν οἷς ἐστι φόβος, ὀργή, λύπη, καὶ τὰ τοιαῦτα· δικανικὰ δὲ ἐν οἷς ἔνεστι ψιλὴ μάχη· μικτὰ δὲ τὰ ἐξ ἀμφοῖν τούτων. ὕλην οὖν ταύτην φησί· διὸ καὶ ἐπάγει, πιθανῶς δὲ ἐπιμερίζει τῶν ἄλλων ἑκάστῳ, ὅτῳ ἂν καὶ δύνηται·[33] ἢ καθ' ἑτέραν ἀκριβεστέραν ἐπιβολὴν ὕλην λέγει τὴν ἐπακολουθοῦσαν ποιότητα τοῖς περιστατικοῖς· οἷον τόπῳ[34] μὲν τὸ ἐπιτήδειον ἢ ἀνεπιτήδειον· χρόνῳ δὲ, πρόσφορον ἢ ἀπρόσφορον. τρόπῳ, τὸ δικαίως ἢ ἀδίκως. προσώπῳ, τὸ πένης ἢ πλούσιος, καὶ ὅσα εἴωθε τοῖς προσώποις ἀκολουθεῖν· αἰτίᾳ, τὸ εὔλογον ἢ ἄλογον.[35] πράγματι, τὸ καλὸν ἢ κακόν· ταῦτα γὰρ συναναφαίνεται τοῖς περιστατικοῖς· ἀλλ' οὐ δήπου κατ' ἰδιότητα παραλαμβάνεται.[36] δ'. Εἴτε ἐπὶ τοῦ παρελθόντος· διὰ τούτων τὸ δικανικὸν ἐδήλωσε καὶ τὸ συμβουλευτικόν· τὸ δὲ πανηγυρικὸν παρῆκε διὰ τὸ μὴ στασιάζεσθαι. ε'. Εἰ μή τι πρὸ αὐτοῦ· καὶ γὰρ πολλάκις ἢ παντελῶς ἐκλείπει τὸ κεφάλαιον[37] τοῦτο ὡς ἐπὶ τῶν ἰσάζοντα[38] ἐχόντων τὰ[39] πρόσωπα, ἢ[40] τὰ πράγματα στοχασμῶν[41] καὶ τῶν ἀπὸ γνώμης· ποτὲ[42] δὲ τὴν τάξιν ἀμείβει ἡ τῶν ἐλέγχων ἀπαίτησις·

31 T. VII. ἐρώμενον. Tum Ald. ἢ γνώμην ἀδιάστροφον. 32 Mon. 8. παθητικός. Pro ἐστι T. VII. ἔνεστι. Ven. om. 33 T. VII. addit: ὑποκειμένου γὰρ τῷ ζητήματι τούτων τινός, [Mon. 8. ὑποκειμένῳ γ. τὰ ζητήματα] ῥήτορος ἀγαθοῦ τὸ τῷ ἑκάστῳ πρόσφορον μετὰ πιθανότητος προσνεῖμαι, ὡς μὴ δόξαι μιμούμενόν τινα, ἀλλ' αὐτόχρημα [Mon. αὐτὸ χρῆμα. Ven. αὐτοχρήματον. Par. αὐτόχρημα τὸν] μελετώμενον εἶναι, ὡς ἐν δυσκόλῳ πεποίηκε Λιβάνιος, καὶ ἐπὶ Κλέωνος Θουκυδίδης, καὶ τῶν ἄλλων πασῶν δημηγοριῶν. 34 Mon. 8. τρόπῳ. 35 ἢ ἄλογον Mon. 8. om. 36 λαμβάνεται. 37 T. VII. η. 38 Mon. 8. ἰσαζόντων τῶν ἐχόντων. 39 τὰ Par. om. 40 T. VII. ἤτοι. Ven. τῷ πράγματι, τῷ στοχασμῷ καὶ τῷ ἀπὸ γν. 41 Par. 2977. τῶν στοχ. 42 Ald. Mon. 8. τότε. Ven. Par. 2977. ποτέ.

οἵ γε [43] γὰρ κατηγοροῦντες μετὰ βούλησιν καὶ δύναμιν τάττουσιν αὐτὸ, ὡς ἂν ἐκ τῆς βουλήσεως καὶ τῆς δυνάμεως τῆς κατηγορίας τὸ ἰσχυρὸν ἀπειληφυίας σαθρὸν τὸ ἐπὶ ἐλέγχους τὸν φεύγοντα ἀποκλίνειν δειχθείη· οἵ τε παράδοξοι καλούμενοι μετὰ βούλησιν καὶ δύναμιν, καὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τὴν τῶν ἐλέγχων ἀπαίτησιν ποιοῦνται· [44] τοῦτο δὲ [45] συμβαίνει διὰ τὸ τοὺς τοιούτους κατὰ αἴτησιν εἶναι καὶ ἀντιστρέφειν τὴν τάξιν τῶν [46] τὰ πράγματα ἐχόντων· ὃ γὰρ τὴν δωρεὰν αἰτῶν, τῶν φευγόντων ἂν τὴν τοῦ διώκοντος ἔχει χώραν, ὡς πρῶτος λέγων· ὃ χαρακτηρίζει τὸν διώκοντα. ς'. Ἐν τῷ περὶ παραπρεσβείας. Αἰσχίνης [47] κρινόμενος παραπρε- 364
σβείας ὅτε πρὸς Φίλιππον ἐπρέσβευσεν, ἀντιληπτικῶς ἀπελογεῖτο λέγων. ἔξεστιν ἑκάστῳ ἃ βούλεται λέγειν, καὶ οὐ κεκώλυται. ἀνεύθυνος οὖν εἰμι ἐπὶ λόγοις· ἔλυσε δὲ τὴν ἀντίληψιν Δημοσθένης μεταλήψει· ὅτι οὐκ ἀνεύθυνος ἐπὶ λόγοις ῥήτωρ, ᾧ τοῦτο ἔργον, ᾧ καὶ ὠφελεῖν καὶ βλάπτειν δύναται. [48] ζ'. Ἡ λύσις ἀπὸ τοῦ πράγματος· λύσιν ἐνταῦθα τὴν κατασκευὴν τῆς λύσεώς φησι. η'. Πολλάκις δὲ ἀπὸ μιᾶς· ἰστέον, ὅτι καὶ γένεσις λέγεται ἐπιχειρημάτων καὶ εἰσαγωγὴ [49] καὶ εὕρεσις ἐπιχειρημάτων ἡ ἀπὸ τῶν περιστατικῶν μορίων κατασκευὴ τῶν κεφαλαίων καὶ ἀνασκευή. θ'. Ἔστι δὲ τῷ τρόπῳ· συστέλλειν τὰ νοήματα δυνάμεθα περιοδικῶς, ὡς ἐν τῷ περὶ περιόδου τεχνολογήσεται· [50] πῶς ἔνεστι

---

43 T. VII. τε. 44 Ald. ποιοῦντας. 45 T. VII. δὲ οὕτως ἐπὶ τούτων συμβ. 46 Mon. 8. τὰ πρ. ἔχοντα sine τῶν. Ven. τὰ om. 47 Ex T. VII. schol. min. 48 Schol. min. addunt: καὶ οὐ μόνον ἀπὸ τοῦ προσώπου, ἀλλὰ καὶ ἀπὸ τῶν λοιπῶν περιστατικῶν ἐχρήσατο ἐπιχειρήμασιν, ὡς ἔχει τὰ ῥητὰ, ἅπερ ἀπὸ τοῦ τῆς παραπρεσβείας λόγου εἴληπται τῷ τεχνικῷ. 49 Ald. ἀσαγωγή. — T. VII. θ. 50 Par. τετεχνολόγηται. Sumpta sunt ex T. VII. Schol. min.

πολλὰς ἐννοίας συνεστραμμένως δι' ὀλίγων εἰπεῖν· πλατύνειν δὲ δυνάμεθα, δι' ὧν πλατύνεται καὶ διήγησις, περὶ [51] ἧς εἴρηται· ζήτει δὲ καὶ τούτου τοῦ τόμου τὸ ἔννατον [52] κεφάλαιον τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· καὶ εὑρήσεις περιοδικὰ τὰ συστέλλοντα.[53] ι. Ὡς ἐν τῷ τῆς παραπρεσβείας· συνεβούλευσεν ὁ Δημοσθένης Ἀθηναίοις πόλεμον ἄρασθαι. ὑπήκουσαν Ἀθηναῖοι καὶ [54] ἡττήθησαν, καὶ κρίνεται· βούλεται οὖν μετάστασιν ποιῆσαι ὅτι ὑμεῖς ὑπηκούσατε· καὶ ἵνα μὴ πρὸς ὀργὴν ἐρεθίσῃ τὸν δῆμον, στρέφει καὶ μεταποιεῖ τὰ τῆς ὑποθέσεως. ιά. Ἀλλὰ ἀδίκως· χορηγοῦ γενομένου ἐν τῇ ἑορτῇ τοῦ Δημοσθένους καὶ μέλλοντος ἐπὶ τέλει στεφανοῦσθαι, ἀντεῖπεν Αἰσχίνης λέγων, ὅτι οὐ δεῖ σε [55] στεφανοῦσθαι ἀδίκως ἄρξαντα, ὑπόχρεως γὰρ εἶ τῷ δημοσίῳ, ὑπόχρεως δὲ οὐκ ἄρχει.[56]

## Περὶ ἐνστάσεως καὶ ἀντιπαραστάσεως.

Ἰστέον ὅτι τὴν ἔνστασιν καὶ ἀντιπαράστασιν, καὶ τὰ ἑξῆς.

Ἰστέον ὅτι· ἐν πάσῃ, φησί, στάσει [1] χρὴ τὰς μάχας καὶ τὰς κατασκευὰς κατὰ εἰκόνα τῆς ἐνστάσεως καὶ ἀντι-

---

51 Schol. min. περὶ δὲ διηγήματος ἔμαθες ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ δευτέρου τόμου τοῦ παρόντος βιβλίου. 52 Par. ἔνατον. 53 Sch. min. ἑρμηνείαν· τὴν φράσιν ἢ τὴν ἔννοιαν. Τὸ μεταστατικόν· παραγραφικὸν κεφάλαιον ἐνέπεσε, καὶ μεθιστᾷ τὴν κατηγορίαν εἰς τὸν καιρόν. 54 καὶ Sch. min. om. 55 σε recepi ex Sch. min. 56 Sch. min. addunt: Λαμβάνει οὖν τὸν τοῦ κατηγόρου λόγον ὁ Δημοσθένης, τὸ, „ἀλλὰ ἀδίκως ἦρξας", καὶ ποιεῖ ὑποφοράν· ὑποφορὰ γὰρ ὁ τοῦ ἐχθροῦ λόγος· εἶτα λύει αὐτὴν ἑνὶ ἐπιχειρήματι τῷ ἀπὸ τοῦ χρόνου λέγων· ὅτι οὐ νῦν σε ἐχρῆν κατηγορεῖν, ὅτε ἦρξα, ὅτε στεφάνου καιρὸς, ἀλλὰ τότε, ἡνίκα λογισμοῖς ὑπεβαλλόμην, ἡνίκα τὰς εὐθύνας ἐδίδων· ἀνάγνωθι τὸν περὶ τοῦ στεφάνου λόγον καὶ εὑρήσεις.

1 T. VII. α. et β. eadem bis habet, sine magna lectionis va-

ἀντιπαραστάσεως εἰσάγειν· οἷον[2] χρὴ ἐλέγχους παρέχειν, τὸ κεφάλαιον· οὐ χρὴ ἐλέγχους παρέχειν, ἔνστασις· εἰ δὲ δεῖ[3] παρέχειν, οὐκ ἐπὶ τῶν κρύφα πραττομένων, ἀντιπαράστασις. εἶτα ἐπὶ τῆς βουλήσεως· ἠβουλήθην[4] εἰρηνεῦσαι μετὰ Φιλίππου, τὸ κεφάλαιον· οὐκ ἠβουλήθην εἰρηνεῦσαι, ἔνστασις· εἰ δὲ καὶ ἠβουλήθην, ὅπως ἂν μὴ δῃώσῃ τὴν πόλιν, ἀντιπαράστασις· ὁμοίως[5] ἐπὶ τῆς δυνάμεως· δυνάμενος ἀνελεῖν στρατιώτας Φιλίππου οὐκ[6] ἀνεῖλες, τὸ κεφάλαιον· οὐκ[7] ἐνῆν μοι δύναμις ἀνελεῖν στρατιώτας[8] Φιλίππου, ἔνστασις· εἰ δὲ καὶ ἠδυνάμην,[9] πότε ἂν ἀντηλλαξάμην[10] πολιορκίαν Ἀθηνῶν εὐτελῶν στρατιωτῶν ἀναιρέσεως, ἀντιπαράστασις.[11] καὶ ἐφεξῆς τὰ λοιπὰ κεφάλαια, ὅσα ἐγχωρεῖ· καὶ ἡ φύσις τῶν πραγμάτων παρέχει·[12] εἰ μὲν οὖν ἀναιδὴς εἴη ἡ ἔνστασις, προθετέον[13] τὴν ἀντιπαράστασιν, εἰ δὲ εὐπαράδεκτος ἡ ἔνστασις, τεθήτω[14] πρῶτον.[15] β'. Τοῦτο δὲ ἀπορήσασα·[16] τοῦτο τὸ μὴ γίνεσθαι τὰς λύσεις ἐκ πλειόνων ἐπιχειρημάτων καὶ ἐργασιῶν καὶ ἐνθυμημάτων, ἢ τὸ εἰς ἑκατέραν μὴ ἐπιχειρεῖν, τὴν ἔνστασίν φημι καὶ ἀντιπαρά-

rietate. 2 οἷον ex Par. 2977. recepi. 3 δεῖ T. VII. om. 4 Ald. ἠβουλήθης. T. VII. α. ἠβουλήθην. β. ἠβουλήθης. 5 T. VII. β. καί, sine ὁμοίως. 6 T. VII. β. τοῦτο δρᾶσαι οὐκ ἠγωνίσω. Mon. 8. τὸ κεφάλαιον sub litt. β. om. 7 T. VII. β. οὐ προσῆν. 8 T. VII. α. Φιλ. τοὺς στρατιώτας. β. τοὺς στρ. Φιλ. 9 T. VII. α. β. ἴσχυον, tum Ven. et Par. 2977. β. τότε. 10 Ald. ἀντεφυλαξάμην. Par. 2918. 2977. ἀντηλλαξάμην. Mon. 8. α. ἀνταλλάξωμεν. β. ἀντιλλαξόμην. Ven. ἀντιλλαξάμην π. Ἀθηναίων. 11 T. VII. α. β. ἡ ἀντ. Mon. 8. α. καὶ ἡ ἀ. 12 T. VII. οὕτως μεθοδεύσομεν τῇ ἐνστάσει τὴν ἀντιπαράστασιν· οὐκ ἀεὶ δὲ τὴν ἔνστασιν πρώτην θετέον, ἢ τὴν ἀντιπαράστασιν· ἀλλ' εἰ μὲν ἀναιδής. 13 T. VII. προςθετέον. 14 Ald. τεθείτω. T. VII. τεθήτω. 15 T. VII. addit: χρὴ δὲ γινώσκειν, ὡς ἐν τοῖς κεφαλαίοις πρώτην ἔθηκε τὴν τῶν ἐλέγχων ἀπαίτησιν, εἰδὼς τὸ παραγραφικὸν μὴ ἀεὶ εὑρίσκεσθαι ἐν τῷ στοχασμῷ. 16 Cfr. T. VII. γ.

στάσιν, ὀλιγάκις πάσχει ἡ τέχνη ἀπορήσασα. γ΄. Ἤδη δὲ ἠρκέσθησαν· τούτῳ καὶ ὁ [17] θεολόγος Γρηγόριος ἐχρήσατο εἰς λύσιν τῆς ἀντιθέσεως τῷ εἰπεῖν, „ἀλλ᾽ οὐ νόμος ἐκκλησίας τὸ σπάνιον", ἐπιχείρημα μόνον ἀπὸ τοῦ πράγματος· ἐὰν δὲ προσθῇς καὶ τὴν ἐργασίαν, ἔσται παραδειγματική, ὡς αὐτὸς ἐποίησεν εἰπών· „εἴπερ μία [18] χελιδὼν ἔαρ οὐ ποιεῖ".

## Περὶ ἐργασιῶν.

Ὥσπερ τοίνυν τῆς λύσεως εὑρεθείσης, καὶ τὰ ἑξῆς.

Ὥσπερ τοίνυν· [1] ὅρα μή ποτε λύσιν [2] φησὶν ὁ τεχνικὸς πρώτην τὴν ἔνστασιν καὶ δευτέραν τὴν ἀντιπαράστασιν, καὶ τρίτον εἶδος λύσεως τὸν βίαιον ὅρον. οὕτω [3] γὰρ ἐν ἐκείνῳ φησίν· ἔστι καὶ τρίτον εἶδος λύσεως τὸ παραδοξότατον καὶ εἰ οὕτως ἔχει· ἐχρῆν [4] μετὰ τὸ περὶ ἐνστάσεως καὶ ἀντιπαραστάσεως γράφεσθαι τὸ περὶ βιαίου ὅρου· οὐ μέντοι [5] πρὸ τοῦ περὶ κεφαλαίων· ἀνα-
365 κόλουθον γάρ. β΄. Ὥσπερ δὲ κεφαλαίου· εἰ καθ᾽ ἕκαστον [6] κεφάλαιον ἔνστασις εἰσάγεται καὶ ἀντιπαράστασις, ἑκατέρα [7] δὲ τούτων δι᾽ ἓξ ἐπιχειρημάτων κατὰ τὰ ἓξ περιστατικὰ μόρια κατασκευάζεταί τε καὶ λύεται, τουτέστιν ὁμοῦ [8] διὰ δώδεκα ἐπιχειρημάτων, ἕκαστον δὲ ἐπιχείρημα δι᾽ ἓξ ἐργασιῶν ἀνάγκη συνάγεσθαι τὰς ἐρ-

17 ὁ et Γρηγόριος Par. om.: etiam Sch. min. in T. VII. Γρηγόριος om., quod glossa est. 18 Par. et Sch. min. εἴπερ μηδὲ μία χελιδὼν [Schol. min. τὸ] ἔαρ ποιεῖ. — Sch. min. addunt: καὶ ἀλλαχοῦ εἰς τὸν αὐτὸν λόγον· ἡ ἀντίθεσις, ἀλλὰ Ναυάτος οὐ δέχεται τοὺς ἐπὶ πορνείᾳ μεταγνόντας· εἶτα ἡ εἰκὼν τῆς ἐνστάσεως, ἀλλ᾽ οὐκ ἐμοὶ νόμος ἡ Ναυάτου μισανθρωπία.

1 T. VII. sch. min. 2 λύσιν Ald. om., recepi ex Par. et sch. min. 3 Sch. min. οὕτως — ἔφη. 4 Sch. min. χρῆναι. 5 Ald. μέν. Par. et sch. min. μέντοι. 6 Cfr. T. VII. γ. 7 Ald. ἑκάτερα. Par. ἑκατέρα. 8 ὁμοῦ Ald. om., recepi ex Par.

γασίας τῶν ἐπιχειρημάτων ἑβδομήκοντα δύο·[9] εἰ δὲ καὶ καθ᾽ ἑκάστην ἐργασίαν ἐνθυμήματα καὶ ἐπενθυμήματα κατὰ τὰ ἓξ περιστατικὰ μόρια ἐπιφέρεται, δῆλον ὡς εἰς τετρακόσια[10] καὶ τριάκοντα δύο ταῦτα ἀνενεχθήσεται· ἀλλ᾽ ἡ μὲν τέχνη ἐπίσταται ταῦτα, ἡ δὲ φύσις τῶν πραγμάτων οὐκ ἐπιδέχεται πάντα ἐν οἱῳδήποτε τῶν κεφαλαίων· διὸ ὡς ἐγχωρεῖ ἐν τοῖς ἀγῶσι χρησόμεθα.

## Περὶ ἐνθυμήματος.[1]

Τὸ δὲ ἐνθύμημα δόξαν δριμύτητος ἀποφέρεται μείζονα γνωσθέν. καὶ τὰ λοιπά.

Ἐνθύμημά ἐστι συνεστραμμένος συλλογισμὸς[2] ἀτελὴς καθ᾽ ἓν ἀξίωμα· ἕτεροι δέ φασιν, ὡς ἐνθύμημά ἐστι τοῦ προηγουμένου ἐπιχειρήματος συμπέρασμα, προσαγόμενον τῷ ζητήματι ἐν μιᾷ περιόδῳ· διαφέρει δὲ συλλογισμὸς διαλεκτικὸς ἐνθυμήματος, ὅτι ἐν μὲν τῷ συλλογισμῷ πάντα τὰ λήμματα τιθέντες[3] κατὰ τὴν ἰδίαν τάξιν ἐπιφέρομεν τὸ συμπέρασμα· ἐν δὲ τῷ ἐνθυμήματι οὐ πάντα τὰ λήμματα τῆς ἐπιφορᾶς εἰπεῖν ἀναγκαῖον· ἀλλ᾽ ἢ τὰ λήμματα παραλείπομεν, ἢ τὴν ἐπιφορὰν, οὔτε μὴν τάξει[4] χρώμεθα· ὥστε πρότερον μὲν εἶναι τὰ λήμματα, ἐπὶ πᾶσι δὲ τὴν ἐπιφοράν· ἀλλ᾽ ὡς ἂν τύχῃ, λόγον[5] εἰσφέρομεν· καὶ[6] οὕτω μὲν Ἀλέξανδρος. Νεοκλῆς δέ φησιν, ὅτι ὁ μὲν συλλογισμὸς ἐκ λημμάτων καὶ ἐπιφορᾶς συνέστηκε· τὸ δὲ[7] ἐνθύμημα παρὰ τὸ ἐπιχεί-

---

9 Par. $\overline{οβ}$. Ald. $\overline{οζ}$. 10 Par. τετρακόσια τριάκοντα καὶ δύο.
1 Titulus abest ab Ald. 2 Ald. λόγος. Exempl. Par. ad marg. λογισμός. Par. λογισμὸς, cui manus recentior praefixit συλ. T. VII. β. λογισμός. 3 Par. T. VII. θέντες. 4 Ald. ἐν τάξει. Par. T. VII. ἐν om. T. VII. etiam μὴν om. 5 T. VII. τὸν λόγον. 6 καὶ οὕτω μὲν Ἀλ. T. VII. om. ita scribens: ὡς δὲ Νεοκ. φησι, διαφέρει ταύτῃ. 7 δὲ ex T. VII. recepi.

ρημα συνειλημμένως ἐκφέρεται καθ᾽ ἓν ἀξίωμα ἢ ἤθους καὶ πάθους, ἔσθ᾽ ὅτε συναναμεμιγμένων.[8] τόποι δὲ ἐνθυμηματικοὶ εἴκοσιν. εἷς· πρῶτος ὁ ἐκ τοῦ ἐναντίου λαμβανόμενος, ἀκολουθεῖ γὰρ [9] τὰ ἐναντία τοῖς ἐναντίοις· καὶ γὰρ εἰ ἡ [10] σωφροσύνη καλὸν, αἰσχρὸν ἡ ἀκολασία· καὶ εἰ αἰσχρὸν ἡ ἀδικία, καλὸν ἡ δικαιοσύνη. δεύτερος ὁ ἐκ τοῦ ἐνδεχομένου καὶ ἐπὶ μέρους, οἷον εἰ εὐεργετούμενοι μισοῦμεν, καὶ κακὰ πάσχοντες ἀγαπήσομεν· τρίτος ὁ ἐκ τοῦ [11] πρός τι, οἷον εἰ γὰρ μὴ [12] ὑμῖν τα φαῦλα [13] προστάσσειν παράνομον, οὐδὲ ἐμοὶ τὸ πεισθέντα ἐργάσασθαι· [14] τέταρτος ἐκ τῶν αἰτίων [15] καὶ τῶν [16] ποιητικῶν καὶ γενέσεων καὶ φθορῶν, οἷον [17] εἰ ἀγαθὸν καὶ καλὸν ἡ φιλανθρωπία, καὶ τὸ ἐκ ταύτης γενόμενον· πέμπτος ἐκ τοῦ μᾶλλον καὶ ἧττον· οἷον εἰ γὰρ υἱὸν ἀπέκτεινεν ἴδιον, πῶς ἀλλοτρίου φείσεται· [18] ἕκτος ἐκ τῆς ἀκολουθήσεως κατὰ τὸ μᾶλλον· οἷον εἰ ἀγαθὸν τὸ ποθεῖν, οἱ τὰ μάλιστα ποθοῦντες ἄριστα ἂν ἔζων· ἀλλὰ μὴν ὁρῶμεν αὐτοὺς πολλάκις διαπταίοντας. ἕβδομος ἐκ τῶν ἠρμένων πρὸς τὸ [19] ὑποκείμενον· οἷον δεῖ τὸν μείζονα ὑπερέχειν κατ᾽ ἀρετὴν, εἰ δὲ [20] μὴ, γελοῖον [21] ἂν εἴη, εἰ ὁ χείρων ἀνακρίνοι [22] τὸν βελτίω· ὄγδοος ἐκ τοῦ ἀναλόγου· οἷον ὥσπερ τις τοὺς μισθοφόρους ποιεῖται πολίτας δι᾽ ἐπιείκειαν, οὕτω [23] καὶ φυγάδας ποιεῖταί τις

8 T. VII. συναναμεμιγμένων. Ald. — ον. Sequentia sumta sunt ex T. VII. α. 9 γάρ T. VII. om. 10 ἡ ex T. VII. recepi. 11 T. VII. τῶν. 12 μὴ T. VII. om. 13 T. VII. τὸ φαῦλον. 14 Par. et T. VII. ἐργάζεσθαι. 15 Ald. αἰτίων. Par. ἀναιτίων. 16 T. VII. τῶν om. tum Par. Mon. 8. ποιητῶν. 17 καὶ φθορῶν οἷον Ald. om., recepi ex Par. et T. VII. 18 T. VII. φείσαιτο. 19 Ald. Ven. τόν. Par. 2918. τό. Mon. 8. τὸν ὑποκρινόμενον. 20 εἰ δὲ — βελτίω Mon. 8. om. 21 Ven. γέλοιον, omissis ἂν εἴη. 22 Ald. Par. ἀνακρίνει. Ven. ἀνακρίνοιτο, scr. ἀνακρίνοι τόν. 23 T. VII. οὕτως. Ven. φυγάδα ποιεῖ.

ἐν τοῖς μισθοφόροις τὸ ἀνῆκον διαταττόμενος. [24] ἔννα-
τος ἐκ τοῦ παραδείγματος· ἄτοπον γὰρ εἰ κυβερνήτας
μέν τις μὴ κλήρῳ προβάλλεται, [25] στρατηγοὺς δὲ κλήρῳ
προβάλλεται· [23] δέκατος ὁ ἐξ ἐπαγωγῆς· οἷον [26] Ἀλυάτ-
του καὶ Κανδαύλου, ἔτι δὲ Γύγου καὶ Ἀλυάττου πολε-
μίων ἡμῖν φωραθέντων ἀεὶ, τίς ἂν πιστεύσειεν [27] εὔ-
νουν ἡμῖν καθεστάναι Κροῖσον· ἑνδέκατος ὁ ἐκ τῆς δι-
αιρέσεως· οἷον [28] εἰ τῶν φαύλων τὴν ἀλογίαν ἡγητέον,
πῶς οὐκ ἐπαινετέα τῶν λογικῶν ἡ κατάστασις· δωδέκα-
τος ὁ ἐκ τῆς κρίσεως· ὁρῶντες γὰρ Φίλιππον καὶ τὰ
τοῦ Φιλίππου κατὰ τῶν Ἀθηναίων μηχανήματα δυσμε-
νῆ καὶ κακόνουν πάντως αὐτὸν τῇ πόλει λογισόμεθα· [29]
τρισκαιδέκατος ὁ ἐκ τῶν καιρῶν· οἷον εἰ τοῖς μέλλουσιν
ἄκαιρος [30] ἡ νίκη καὶ τοῖς ἤδη νενικηκόσι· τεσσαρεσ-
καιδέκατος ἐκ μεταλήψεως· οἷον οὐ τὸ [31] πεισθῆναι δει-
νὸν ἦν [32] τῷ Ἀντιπάτρῳ, ἀλλ' ὅτι προσδεχόμεθα δου-
λείαν· πεντεκαιδέκατος ἐκ τῶν ἑπομένων καὶ ἀποβαινόν-
των· καὶ [33] ὅ ἐστι διὰ τῶν πρεπόντων· οἷον οὐ δεῖ παι- 366
δείαν ἀσκεῖν, ἕπεται γὰρ φθόνος· ἑκκαιδέκατος ἐξ ὁρι-
σμοῦ· οἷον [34] κύριος φρόνιμος τῶν πάνυ ἀγαθῶν, καὶ
ὁ ἀνδρεῖος πάνυ τῶν ἀναγκαίων· ἑπτακαιδέκατος ἐξ
ὑποθέσεως· οἷον εἰ Φιλίππῳ πιστεύοντες τῆς τριηραρ-
χίας [36] ἀμελήσετε, οὐδὲν κωλύει καὶ τῶν φιλτάτων ἀ-

---

24 Par. 2977. Ven. διαπραττόμενος. 25 προβάλλεται Par. om. Ven. προβάλλ. κλήρῳ. 26 οἷον T. VII. om. 27 Ald. πιστώσειεν. Par. πιστεύσειεν. 28 T. VII. οἷον om. Ven. οὕτως. 29 Ven. Mon. 8. λογιζόμεθα. Mon. 8. τὴν πόλιν. 30 Ald. Par. 2918. 2977. Mon. 8. ἄκυρος. Ven. ἄκαιρος. 31 Ald. τῷ. — Mon. 8. παθῆναι. Ven. πισθῆναι. 32 Par. 2977. Ven. νῦν. 33 Ven. καὶ ἐκ τῶν διὰ τῶν πρεπόντων. 34 Ald. Par. 2918. 2977. Mon. 8. οἷον ὅτι εἰ σωφροσύνη [Mon. σωφρόνου] πάντων ἀγαθὸν ὁ καὶ ἀνδρεῖος πάντως ἀναγκαῖον. recepi lectionem Ven. 36 Ald. Par. πατριαρχίας Mon. 8. τῆς πατρ. Par. 2977. Ven. τριηραρχίας.

*θρόως στερηθῆναι· ὀκτωκαιδέκατος ἐκ τῶν ἁμαρτανομένων καὶ κατηγοροῦντι καὶ ἀπολογουμένῳ· οἷον εἰ*[37] *κατηγοροῦσι Μηδείας ὡς ἀπέκτεινεν, ἥμαρτε*[38] *γὰρ περὶ τὴν ἀποστολήν· ἀπολογεῖται δὲ, ὅτι οὐ καὶ τὸν Ἰάσονα, τοῦτο γὰρ ἡμάρτανε μὴ ποιήσασα· ἐννεακαιδέκατος ἐκ τοῦ οὗ ἕνεκα εἴη ἂν ἢ*[39] *γένοιτο· οἷον*[40] *τούτου χάριν φάναι γεγονέναι· ὅτι ὁ Διομήδης προείλετο τὸν Ὀδυσσέα καὶ τὸν*[41] *ἐκ τοῦ Ὀδυσσέως· εἰκοστὸς ἐκ τοῦ ὀνόματος· οἷον ὅτι οὐκ ἂν ποτε Ἱππονίκην ἔθετο ὁ τοῦ*[42] *Ἑρμοῦ ὢν ἱερεὺς Ἑρμογένης μὴ ὄντος υἱοῦ· καὶ ὡς Ἰφικράτης· ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν εὐπατριδῶν, ὧν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾳδιόν*[43] *ἐστι γνῶναι· εἰκοστὸς πρῶτος ὁ τοῖς διαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασι τὴν*[44] *αἰτίαν τοῦ παραδόξως λέγειν παρέχων· οἷον, ἄτοπον γὰρ εἰ φεύγοντες μὲν ἐμαχόμεθα,*[45] *ὅπως κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα,*[46] *ὅπως μὴ μαχώμεθα·*[47] *Ἔτι τῶν*[48] *ἐνθυμημάτων τὰ μέν ἐστιν ἐλεγκτικὰ, τὰ δὲ δεικτικά· δεικτικὰ μὲν οὖν*[49] *τὰ κατ᾽ ἔμφασιν ἀκολουθίας προϊόντα· οἷον τὸ*

---

37 Par. et T. VII. *οἷον κατηγοροῦσι γάρ.* 38 T. VII. *ἥμαρτεν.* 39 Mon. 8. *ἢ εἰ.* 40 *οἷον* T. VII. om. 41 T. VII. *τά.* 42 Ven. *ὅτι.* 43 *ῥᾴδιον* Par. 2977. om. Ven. *ῥᾴδιον ἐπιγνῶναι.* 44 Ald. *καὶ τήν.* Par. T. VII. *καὶ* om. 45 Mon. 8. *ἐκμαχόμεθα.* 46 Ald. *φευξούμεθα.* Par. et T. VII. *φευξόμεθα.* 47 Ven. addit: *Τὸ ἐνθύμημα δόξαν δριμύτητος ἀποφέρεται, ἀντὶ τοῦ δραστήριον· γνωσθὲν ὅ τί τέ ἐστιν, καὶ ὅπως εὑρίσκεται, καὶ ὅπου· ὅ τί τέ ἐστιν ἀντὶ τοῦ ὅ ἐστι, τοῦτο καὶ διδάσκει, ὅταν λέγηται* (Cod. *λέγεται*) *ὅτι συγκριτικῶς ἅπαν ἐκφέρεται, ὅπως δὲ εὑρίσκεται ἀπὸ τῶν περιστατικῶν, ὅπως δὲ ἐπὶ τοῦ τέλους τῆς κατασκευῆς· μετὰ γὰρ τὴν ἐργασίαν ἐπάγεται ἀεὶ σχῆμα μὲν ἔχον συγκριτικόν· συγκριτικῶς λέγει ἐκφέρεσθαι τὰ ἐνθυμήματα πρὸς τὴν ἐκ παραβολῆς ἤ τινα ἄλλην τῆς ἐργασίας μεταχείρησιν.* 48 In T. VII. haec multis interjectis ab antecedentibus sejuncta sunt. 49 T. VII. *τὰ τοιαῦτα τά.*

γὰρ [50] εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται· ἐλεγκτικὰ δὲ τὰ κατ' ἔμφασιν μάχης, [51] οἷον οὐ γὰρ ἂν Σόλων μὲν αὐτὸ παρέλιπεν, Αὐτοκλῆς δὲ εὕρετο· τὸ δ' αὐτὸ, φησὶ, διανόημα ἑκατέρως [52] δύναται μεταχειρίζεσθαι, τῆς αὐτῆς γινόμενον διαφορᾶς· τὰ μὲν γὰρ δεικτικὰ πρὸς πρᾶγμά [53] τι συνίσταται, τὰ δὲ ἐλεγκτικὰ πρὸς πρόσωπον· ἐπεὶ δὲ πᾶν ἐνθύμημα, ὡς ἔφαμεν, [54] ἢ ἐκ μάχης ἢ ἐξ ἀκολουθίας γίνεται, ἀναγκαῖον περὶ ἀκολουθίας καὶ μάχης εἰπεῖν· [55] τῶν γὰρ ἀκολουθούντων τισὶν, ἃ μὲν ἐν τῷ [56] καθόλου καὶ ἀεὶ ἀκολουθεῖ· οἷον [57] εἰ καπνός ἐστιν ἐνταῦθα, πῦρ ἐστιν ἐνταῦθα· τὰ [58] δὲ ὡς ἐπίπαν μὲν οὐκ [59] ἀκολουθεῖ, ἐπὶ πλέον δὲ, οἷον εἰ νότος ἐστὶν εὐπλοήσει· ἃ δὲ ἐπ' ἔλαττον, [60] οἷον εἰ τυμβωρύχος ἐστὶ, θησαυρῷ περιπεσεῖται· τοῖς [61] μὲν οὖν καθόλου ἀεὶ ἀκολουθοῦσιν ἀεὶ χρηστέον· ἔστι γὰρ ἀναμφισβήτητον· ταῦτα δὲ καὶ τεκμήρια Ἀριστοτέλης καλεῖ· [62] τοῖς δὲ ὡς

50 γὰρ Ald. om., est in Par. — Dem. Ol. I. p. 16. 51 T. VII. add.: ὡς ἔχει ἐπὶ τοῦ Λυκούργου. 52 Par. ἑκατέρους. Ald. ἑκάτερον. T. VII. ἑκατέρως. 53 Ald. Par. πᾶν. πρ. T. VII. πᾶν om. 54 Ald. ἤφαμεν. Ven. ἔφαμεν. [sine ὡς] εἴτε ἐξ ἀκολ. γίνεσθαι, ὡς ἐπὶ τῶν δεικτικῶν ἐπιδείκνυμεν, εἴτε ἐκ μάχης, ὡς ἐπὶ τῶν ἐλεγκτικῶν, ἀναγκ. 55 Par. T. VII. εἰπεῖν καὶ μάχης. — T. VII. addit: ἔνιοι μὲν οὖν τῶν περὶ ταῦτα δεινῶν, ὡς Ἀλέξανδρός φησιν, οὐδεμίαν διαφορὰν οἴονται τούτων εἶναι, ἄλλοι δὲ ἀπὸ τῶν ἐξ αὐτῶν προδήλως δεικνύουσιν, ὅτι οὐκ ἔστι ταῦτα, ἀλλ' ἕτερα· τῶν γὰρ ἀκολουθούντων τισὶν, ὡς Ἀλέξανδρός φησιν, ἃ μὲν κ. τ. λ. 56 T. VII. τοῖς. 57 T. VII. ὡς ἔχει ταῦτα. 58 Par. et T. VII. ἃ. Par. 2977. ἃ γὰρ ἐπίπαν. 59 οὐκ Ald. om., est in Par. et T. VII. 60 Par. et T. VII. addit: ἀκολουθεῖ. 61 Ald. ταῖς. 62 T. VII. h. l. ponit, quae Planud. paullo inferius habet: ὅτι τεκμήριον, φησὶ, τὸ τέλος προσηγόρευται, τούτων δὲ κομισθέντων τέλος ἔχειν τὸ πρᾶγμα συμβαίνει. [Aristot. Rhet. I. 2: p. 1367. b. Bekk. ὅταν γὰρ μὴ ἐνδέχεσθαι οἴωνται λῦσαι τὸ λεχθὲν, τότε φέ-

ἐπὶ τὸ πλεῖστον [63] ἐπ' ἔλαττον ἀκολουθοῦσιν οὔ· χρηστέον δὲ ὅμως εἰ ἐκείνων ἀποροῖμεν· [64] ταῦτα δὲ Ἀριστοτέλης [65] σημεῖα καλεῖ· καὶ γάρ τοι τεκμήριον, φησὶ, τὸ τέλος προσαγορεύεται· [66] τούτου δὲ κομισθέντος τέλος ἔχειν τὸ πρᾶγμα συμβαίνει· ὅταν οὖν [67] ἀπὸ τῶν ἀκολουθούντων τὰς πίστεις [68] κομίζειν βουλώμεθα, διχῶς ληψόμεθα· [69] ἢ γὰρ προτιθέντες, [70] ὅτι τόδε τῷδε ἀκολουθεῖ, εἶτα προσλαβόντες τὸ ὑπάρχον τῷ ἀκολούθῳ ἐπιφέρομεν, ὅτι καὶ τὸ ἀκόλουθον ὑπάρχει τόδε· οἷον εἰ τῷ δικαίῳ τὸ [71] ἀγαθὸν ἀκολουθεῖ, καὶ τὸ [72] δικαίως ζῆν τὸ ἀγαθὸν ὑπάρχειν ἐστίν· [73] ἀλλὰ μὴν τὸ δίκαιον ἀγαθὸν, καὶ τὸ δικαίως ἄρα ζῆν ἀγαθόν· ἢ θέντες ὅτι τόδε τῷδε ἀκολουθεῖ, ἔπειτα προσλαβόντες τῷ ἀκολούθῳ τὸ ὑπάρχον [74] ἐπιφέρομεν, ὅτι οὐ δι' [75] ἐκεῖνο, ᾧ ἀκόλουθον ὑπάρχει, οἷον εἰ τὸ δικαίως ζῆν κακὸν, τὸ δίκαιον οὐκ ἀγαθὸν ὑπάρχει· [76] τὸ δίκαιον [77] δὲ ἀγαθὸν, οὐκ ἄρα τὸ δικαίως ζῆν κακόν· τῶν δὲ μαχομένων ἃ μὲν οὕτως [78] μάχεται, ὥστε καὶ αὐτὰ καὶ τὰ ἀντικείμενα αὐτοῖς μάχεσθαι· οἷον ἡμέρα ἐστὶ, νύξ ἐστι· ταῦτα γὰρ ἀνασκευαστικά εἰσιν ἀλλήλων· οἷον οὐκ ἔστιν ἡμέρα, οὐκ ἔστι νύξ· ἃ δὲ αὐτὰ μὲν μάχεται, οὐ μὴν καὶ τὰ ἀντικείμενα αὐτῶν· οἷον Πλάτων ἐν Ἀθήναις ἐστὶ, [79] Πλάτων ἐν Σικελίᾳ ἐστί· ταῦτα μὲν γὰρ

ρειν οἴονται τεκμήριον ὡς δεδειγμένον καὶ πεπερασμένον· τὸ γὰρ τέκμαρ καὶ πέρας ταὐτόν ἐστι κατὰ τὴν ἀρχαίαν γλῶσσαν.] 63 Ald. Par. καὶ, T. VII. ἤ. 64 T. VII. ἀποροίημεν. 65 T. VII. ὁ Ἀριστ. 66 Par. προσηγόρευται. 67 T. VII. inserit: φησίν. 68 Ald. τὰς στάσεις κομίζειν βουλόμεθα. correxi ex Par. et T. VII. 69 Ald. ἀναψώμεθα. Par. et T. VII. ληψόμεθα. 70 Par. Mon. 8. προστιθέντες. 71 Ven. καὶ τό. 72 Ald. τῷ. 73 ἐστὶν Ven. om. 74 Ald. ὑπάρχειν. Par. et T. VII. ὑπάρχον. 75 Par. et T. VII. οὐδ' ἐκείνῳ. 76 T. VII. ὑπάρχειν. 77 Par. T. VII. ἀγαθὸν δὲ τὸ δίκαιον. 78 οὕτως ex Ven. recepi. 79 T. VII. ἐστίν.

ἀλλήλοις μάχεται· τὰ δὲ ἀντικείμενα αὐτοῖς οὐκ ἔτι·[80] οἷον Πλάτων οὐκ ἔστιν ἐν Σικελίᾳ· Πλάτων οὐκ ἔστιν ἐν Ἀθήναις· οὐδεμία γὰρ ἐνταῦθα μάχη· πάλιν δὲ τῶν μαχομένων ἃ μὲν ἐξ ἑνὸς καὶ ἀεὶ μάχεται, οἷον ἡμέρα ἐστὶ, νύξ ἐστιν· ἃ δὲ ἀπό τινος χρόνου· οἷον Δίων νυκτὸς ἐγένετο, Δίων ἡμέρας ἐγένετο· γενομένου γὰρ[81] Δίωνος, ταῦτα μάχεσθαι ἤρξατο· ἃ δὲ πρὸς μέν τινα χρόνον ἀλλήλων ἐστὶν ἀναιρετικὰ, μετ' ὀλίγον δὲ οὐκ ἔτι· οἷον Δίων φρόνιμός ἐστι, Δίων ἄφρων ἐστί· ζῶντος 367 μὲν γὰρ αὐτοῦ μάχεται, ἀποθανόντος δὲ οὔ. Ἀπὸ[82] τῶν μαχομένων οὖν τούτων, ὧν καὶ τὰ ἀντικείμενα μάχεται, δύο, φησὶ, συλλογισμοὶ γίνονται· ἢ γὰρ θέντες[83] ὅτι μάχεται τόδε τῷδε, ἔπειτα εἰπόντες, ὅτι ὑπάρχει τὸ ἕτερον, τὸ λοιπὸν ἀναιροῦμεν· οἷον ὅτι ἡμέρα ἐστὶ, νύξ[84] ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστὶ, νύξ ἄρα οὐκ ἔστιν· ἢ θέντες, ὅτι μάχεται τῷδε τόδε, ἔπειτα ἀνελόντες τὸ ἕτερον, τὸ λοιπὸν τίθεμεν, οἷον εἰ[85] οὐχ ἡμέρα ἐστὶ, νύξ ἐστιν· ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα, νύξ ἄρα ἐστίν· ἀπὸ δὲ τῶν λοιπῶν πρόδηλον,[86] πῶς οἱ συλλογισμοί γενήσονται· πρόαγε[87] δὲ αὐτοὺς ῥητορικῶς καὶ κατὰ[88] εὐθύμημα· οἷον ἐπὶ παραδείγματος·[89] διαλεκτικῶς μὲν οὕτως[90] ὁ

---

80 οὐκέτι οἷον Πλάτων Mon. 8. om. 81 Mon. 8. Par. 2977. δέ. 82 T. VII. ἀπὸ μὲν οὖν. 83 Ald. ἢ τεθέντες. Par. et T. VII. ἢ γὰρ θέντες, tum T. VII. ὃ μάχεται τῷδε τόδε. 84 Ven. ἢ νὺξ. Mon. 8. νύξ ἐστιν om. 85 T. VII. ὅτι. Par. 2918. εἰ om. sq. οὐχ. Par. 2977. om. 86 Mon. 8. πρόδ. δὲ αὐτοὺς, πῶς οἱ συλλόγου. 87 Ald. Mon. 8. πρός γε. Par. 2918. 2977. Ven. πρόαγε. 88 T. VII. κατ' ἐ. 89 T. VII. δήλη γὰρ ἂν οὕτως ἡ ἐπιχείρησις γένοιτο [Mon. γένηται. Ven. γενήσεται. Par. γένοιτο] οὐχὶ καὶ — ἄφρων ἐστὶ Σωκράτης, quae Planud. paullo inferius ponit. 90 Exempl. Paris. ad marg. inserit οὖν. tum Ald. Par. οὗτος. T. VII. οὕτως. Ald. πραχθήσεται. Par. et T. VII. προαχθήσεται.

*λόγος προαχθήσεται, καλούμενος ὑπ' αὐτῶν τρίτος ἀναπόδεικτος· οὐχὶ καὶ φρόνιμός ἐστι Σωκράτης καὶ ἄφρων· ἔστι δὲ φρόνιμος, οὐκ ἄρ'*[91] *ἄφρων· ῥητορικῶς δὲ ὡδί· πῶς γὰρ οἷόν τε*[92] *Σωκράτην ἕνα καὶ τὸν αὐτὸν ὄντα ἅμα καὶ φρόνιμον εἶναι καὶ ἄφρονα; Ἀρεταὶ δὲ ἐνθυμήματος βραχύτης*[93] *κώλων καὶ εὐρυθμία κατὰ τὴν σύνθεσιν τῶν ὀνομάτων.*

### Περὶ ἐπενθυμήματος.

*Ἐπενθύμημα γάρ ἐστι κυρίως ἐπὶ φθάνοντι ἐνθυμήματι ἕτερον ἐπινοούμενον ἐνθύμημα, καὶ τὰ λοιπά.*

*Ἰστέον,*[1] *ὅτι τῶν ἐνθυμημάτων τὰ μὲν ἁπλῶς ἐστιν ἐνθυμήματα, τὰ δὲ καὶ ἐπενθυμήματα· ὅταν γὰρ εἰς ἀκοὴν τὸ ἐνθύμημα προΐῃ*[2] *ἢ ὑπὸ καταφορᾶς ἑλκυσθείη, γένοιτ' ἂν, φησὶν Ἁρποκρατίων, ἐπενθύμημα· τοῦτο δὲ συνεκτικόν*[3] *ἐστι τῆς τοῦ ἐπιχειρήματος θέσεως, καὶ τῆς τοῦ ἐνθυμήματος, ὡς ἂν εἰ λέγοιμεν κατασκευάζοντες, ὅτι ὁ λύων νόμον τοῦ τιθέντος βελτίων· ὁ μὲν γὰρ τῇ τοῦ λυσιτελοῦντος ὑποσχέσει προκαταλαμβάνων τοὺς ἐπιδεχομένους εὐέλπιδας παρεσκεύασεν· ὁ δὲ τοὺς ἤδη τοῦ κακοῦ πεπειραμένους μόνος τῶν ἄλλων τοῦ λυποῦντος ἀπήλλαξεν· ὅσον δὲ τὸ παρὸν ὀχληρὸν τοῦ ἐν ἐλπίσιν*[4] *ἀγαθοῦ δραστικώτερον, τοσοῦτον οὗτος τοῦ τιθέντος*[5] *ἀνώτερος· εἷς μὲν οὗτος τρόπος ἐπενθυμήματος· ἔστι δ' ὅτε αὐτοῦ μόνου τοῦ ἐνθυμήματός ἐστι κατασκευαστικόν· ὡς ἂν εἰ λέγοιμεν καίτοι τῶν*[6] *τὸ συνοῖσον μὴ δυνηθέντων προϊδεῖν*[7] *ἀναισθητότεροι δόξαιεν ἂν οἱ τὸ*

---

91 Par. *ἄρα.* 92 Mon. 8. *οἴονται,* 93 Par. *βραχύτις.*

1 T. VII. *γ.* 2 Par. et T. VII. *προΐοι.* 3 Par. Mon. 8. *συνακτικόν,* Ven. *συντακτικόν.* Par. 2977. *συνεκτικώτατον.* 4 Par. Mon. 8. *τοῦ ἐν ἐλπίσι τοῦ ἀγ.* 5 Par. T. VII. *οὗτος τοῦ τιθέντος.* Ald. *τοῦ τιθ. οὗτος.* 6 *τῶν* Ald. om., est in Par. et T. VII. 7 Exempl. Paris. ad marg. *παριδεῖν.*

συνάπτον ἤδη φυλάξασθαι μὴ θελήσαντες· ἐνταῦθα γὰρ προθέντες τὴν προκειμένην πεῖραν [8] καὶ τὴν εἰκασίαν ἐπεξεργασόμεθα τὴν ἄνοιαν τῶν μηδ' ὑπὸ τῆς πείρας διδαχθέντων· ἐνίοτε μὲν οὖν, φησὶ, μετὰ τὸ ἐπενθύμημα ταῖς παραδειγματικαῖς κατασκευαῖς ἐπιχειρηματικῶς χρηστέον λέγοντας, [9] ὡς καὶ κυβερνήτην ἤδη σφάλματα [10] μετεδίδαξε καὶ στρατηγόν· ἐνίοτε δὲ καὶ ἀντ' ἐπενθυμήματος [11] τὰ αὐτὰ τάττεται· μετὰ γὰρ τὸ εἰπεῖν, ὁ ἀναίσθητος ὁ μηδὲ [12] μετὰ τὴν πεῖραν ἀγαθὸς κριτὴς, ἐπιφέρομεν εὐθέως τῷ ἐνθυμήματι, ὅτι πονηρὸς μὲν στρατηγὸς, ὃς τὴν ἐκ πείρας βλάβην οὐκ ἐφυλάξατο, πονηρὸς δὲ κυβερνήτης, ὃς μηδέποτε ἐκ τοῦ φθάσαντος σφαλεροῦ μετεβουλεύσατο.

## Περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους.

Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ τὰ λοιπά.

Τὰ ἀπ' ἀρχῆς· ἰστέον, [1] ὅτι οὐ τὴν αὐτὴν ἔχει κατασκευὴν τῶν ἐπιχειρημάτων τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, οἵαν καὶ τὰ λοιπὰ κεφάλαια, ἀλλ' ἴδιον τόπον ἐπέχει τῶν ἐπιχειρημάτων τὴν ὑποδιαίρεσιν, ἥτις ἢ κατὰ ποσότητα γίνεται ἢ ποιότητα, ὅταν τὰ πολλὰ ὀλίγα ποιῶμεν, ἢ τὰ μεγάλα τῶν ἐγκλημάτων [2] εὐτελέστερα· ἔστι δὲ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους αὐτὸ τὸ πρᾶγμα γυμνὸν, περὶ οὗ ἡ [3] ἔγκλησις· ἐν μόνῳ μέντοι τῷ στοχασμῷ ἀπ' ἀρχῆς ἄχρι τέλους τὸ σημεῖόν ἐστιν· ἄδηλον γὰρ τὸ πραχθέν· β΄. Οὐ γὰρ ἡ περίστασις· καὶ μὴν ἐν ταῖς στάσεσι γίνεσθαί φησι τὰ ἀπ' ἀρχῆς ἄχρι

8 πεῖραν Mon. 8. om. 9 Ald. Par. λέγοντες. T. VII. λέγοντας. 10 Par. σφάλματος. 11 Ald. Par. Mon. 8. ἀντεπενθυμήματος. Par. 2977. ἀντ' ἐπ. 12 T. VII. μή.

1 Cfr. T. VII. α. β. 2 Ald. ἐπιχειρημάτων. Par. ἐγκλημάτων. 3 ἡ ex Par. recepi. Ald. om.

*τέλους, ἀφ' ἂν καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις· ἀλλ' ἐκεῖ μὲν περὶ μόνης τῆς αὐτῶν γενέσεώς φησιν· ἐνταῦθα δὲ τὴν ἰσχὺν αὐτῶν καὶ ὅπως γενόμενα δεῖ κρατύνειν, ὑπέδειξε· τὸ μὲν γὰρ ἁπλῶς, τὸ δὲ πρός τι· καὶ*
**368** *τὸ μὲν σχεδὸν παντὸς, τὸ δὲ οὐ παντός. γ΄. Εἰ καί τι*[4] *τούτου μετριώτερον ἐποίησας· ἐλλιπῶς*[5] *τὸ ἔδει σε δοῦναι δίκην· ὃ δεῖ προτετάχθαι ἐπὶ τοῦδε. ἀντιστροφή*[6] *ἐστιν ἐπὶ τῶν διαλεκτικῶν, ὅταν ὁ ὑποκείμενος γίνηται κατηγορούμενος, καὶ ὁ κατηγορούμενος ὑποκείμενος· οἷον*[7] *εἰ ἄνθρωπος γελαστικὸν, καὶ εἰ γελαστικὸν ὁ*[8] *ἄνθρωπος· οὕτως οὖν*[9] *καὶ ἐνταῦθα ἥ τε πρότασις ἀπόδοσις γίνεται, καὶ ἡ ἀπόδοσις πρότασις· οἷον εἰ γὰρ τόδε ἐποίησας, οὐκ ἔδει σε δοῦναι δίκην,*[10] *τοῦτο τὸ ὀρθόν· τὸ δὲ ἀντεστραμμένον*[11] *οὕτως· οὐκ ἔδει σε δοῦναι τιμωρίαν,*[12] *εἰ τόδε ἐποίησας. δ΄. Καὶ καθόλου πᾶσαν· συγχωρεῖν*[13] *λέγων εἰ παρεκαθέζου τῷ τάφῳ*[14] *οὐκ ἐνεκάλουν· ἀναιρεῖς τὸ συγχωρηθὲν, ἐὰν εἴπῃς· καίτοι οὐδὲ τότε ἂν*[15] *ἔξω τιμωρίας ἔμεινας· ἐπαναλαμβάνεις δὲ, ἐὰν ἐπάγῃς· νῦν δὲ οὐ παρεκαθέζου μόνον δακρύων, ἀλλὰ καὶ τὴν αὐτοῦ χλαμύδα ἐκείνῳ συνέθαψας.*[16]

---

4 Ald. *τοι.* Par. *τι.* 5 Ald. *ἐλλειπῶς.* Par. *ἐλλιπῶς.* 6 T. VII. *ια.* v. 9. Ald. *γίνεται.* 7 *οἷον* T. VII. om. 8 *ὁ* Par. et T. VII. om. 9 *οὖν* et paullo post *τε* T. VII. om. 10 T. VII. *τιμωρίαν. ἰδοὺ τὸ ὀ. οὕτως.* 11 Ald. *ἀνεστραμμένον.* Par. et T. VII. *ἀντιεστρ.* 12 Ald. *τιμορίαν, εἰ τόδε ἐποίησαν.* T. VII. *τιμωρίαν οὐκ ἔδει σε δοῦναι, εἰ ἐποίησας τόδε, καὶ πάλιν, ἐγὼ μὲν καὶ ἐπ' ἐκείνῳ σε τιμωρίαν ἀπῄτησα ἄν, καίτοι μικρὸν ἦν καὶ μετριώτερον ἦν, ἀπῄτησα ἄν σε τιμωρίαν καὶ τὰ ἑξῆς.* 13 T. VII. in sch. min. *συγχωρεῖν.* Ald. Par. *συγχωρεῖς.* 14 Sch. min. add. *θρηνῶν.* 15 *ἂν* Ald. om., est in Par. 2918. et 2977. 16 Par. 2977. add. *ὃ τεκμήριον ἔρωτος, καὶ οὐδὲ ἀνεκόμισας κατὰ τὴν ἐντολήν.*

*Πρόσκειται τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους ὥσπερ ἴδιόν τι ἐπὶ τῷ τέλει, καὶ τὸ πλαστὸν ἐπιχείρημα καλούμενον, καὶ τὰ ἑξῆς.*

*Πρόσκειται·* διαφέρει [17] ἡ προσωποποιΐα τοῦ πλαστοῦ, καθὸ ἡ μὲν προσωποποιΐα διὰ τῆς ὑποδιαιρέσεως πρόεισι καὶ τοῦ ἀντιθετικοῦ καλουμένου σχήματος· τὸ δὲ πλαστὸν ἀπὸ τοῦ ἐναντίου ἢ τοῦ γεγονότος· γίνεται δὲ τὰ πλαστὰ διχῶς, ἢ γὰρ τὸ γεγονὸς ὡς οὐ γεγονὸς ἀθρόως πλάσσεται· ἢ ἐκ τοῦ ἐναντίου, ἀπὸ μὲν τοῦ γενομένου, ὡς μὴ γενομένου ὡς τὸ εἰ δὲ τότε, ὅτε τὴν Ποτίδαιαν ἐλάμβανον [18] καὶ ἑξῆς· ἀπὸ δὲ τοῦ ἐναντίου, ὡς τό· ἀλλ' εἰ μὲν μίαν ἀπώλεσε ναῦν, καὶ ἑξῆς. β'. Ἐπὶ δὲ τῷ κακῶς προσυπακούεται πραχθέντι. γ'. *Τοῦτο τοῦ ἀθρόου·* οὐδὲ [19] γὰρ τὸ κτεῖναι εἰς λεπτότερα ἐπιδιαιρεῖ, ἀλλ' ἀθρόον διαλαμβάνει τὸ πεπραγμένον· [20] ἦν δ' ἂν ὑποδιαίρεσις, εἰ ἔλεγεν· εἰ δὲ μὴ ἀπέκτεινα, ἀλλὰ μόνον προθυμηθεὶς ὥρμησα, καὶ [21] τῆς ἀκροπόλεως μετεκίνησα, εἰ ἑτέροις ὑπεθέμην τὸ πρακτέον, οὐκ [22] ἂν διὰ τοῦτο τοῦ προσήκοντος γέρως ἐτύγχανον.

## *Περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς πραγματικῆς.*

*Δυσχερῆ λύσιν ἔχει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς πραγματικῆς, καὶ τὰ ἑξῆς.*

*Δυσχερῆ λῦσιν·* μόνη γὰρ τῶν στάσεων ἁπασῶν ἡ πραγματικὴ, τὸν μέλλοντα χρόνον κληρωσαμένη καὶ

17 Cfr. T. VII. ιε et ις. 18 Ald. ἐκλάμβανον. Par. ἐλάμβανον. 19 T. VII. ιζ. 20 T. VII. add. καὶ ποιεῖ τὴν ὑποδιαίρεσιν ἀπὸ τῆς τοῦ πράγματος ἀρχῆς, [Mon. ἀρχῆς om.] ἀφ' ἧς εἰκὸς τὸν δρῶντα ἐγχειρεῖν. Πῶς δ' ἀπὸ τῶν λεπτοτέρων ἦν ἡ ὑποδ. οἷον εἰ ἔλ. 24 Ald. μόνη. — T. VII. καὶ et paullo post εἰ. om. 22 οὐκ ἂν — ἐτύγχανον Ald. om., recepi ex T. VII.

τοῖς τελικοῖς κεφαλαίοις διαιρουμένη καὶ πολλαῖς τῶν στάσεων κοινωνοῦσα καὶ κατ᾽ ἐκείνας διαιρουμένη, οὐ ῥᾳδίαν τὴν λύσιν τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους προβάλλεται. β΄. Καὶ ὑπὸ τῶν ἐχθρῶν· οἷόν ἐστι τὸ [1] τοῦ στρατηγοῦ τοῦ διακόψαντος μέρος τοῦ τείχους [2] καὶ ἐξελθόντος καὶ νικήσαντος· ποιεῖ γὰρ ἐκεῖνος τὴν ἀντίστασιν. γ΄. Καὶ ἐν τῇ ἀντιλήψει· ἐν γὰρ τῇ ἀντιλήψει οὕτω ποιοῦμεν, λέγοντες ὅτι ἐξῆν μοι φονεῦσαι τὸν τρισαριστέα· χρώμεθα καὶ ἀντιθετικῷ ἤγουν [3] ἀντεγκληματικῷ, ὅτι ἄξιος ἦν ἀναιρεθῆναι, τί γὰρ ἐμοίχευεν.

## Περὶ τάξεως ἐπιχειρημάτων.

Ἡ δὲ τάξις τῶν ἐπιχειρημάτων διπλῆ, καὶ τὰ ἑξῆς.

Ἀποδεικτικά φησι τὰ στασιαζόμενα, τὰ ἀγωνιστικά, πανηγυρικὰ δὲ τὰ φαιδρὰ καὶ ὁμολογούμενα, καὶ αὐξητικά· τὸ δὲ πολιτικῆς ἑρμηνείας ἀντὶ τοῦ ἐναγωνίου φράσεως· ἀποδεικτικώτατα δὲ τῶν [1] ἐπιχειρημάτων τὰ ἀπὸ [2] τῆς αἰτίας καὶ τοῦ ἐναντίου· κοινῷ γὰρ [3] λόγῳ τὴν ἐργασίαν ἐπιχείρημα καλεῖ· τὰ δὲ ἀπὸ παραδείγματος καὶ τρόπου [4] καὶ τῶν λοιπῶν περιστατικῶν πανηγυρικά εἰσι. [5] καὶ δῆλον ἐντεῦθεν· τὰ μὲν γὰρ ἀπὸ τοῦ προσώπου τοῖς ἐγκωμιαστικοῖς [6] ἐργάζεται, τὰ δὲ ἀπὸ [7] τῶν πραγμάτων ἐκ τῆς ὁμοιότητος αὐτῶν τουτέστι τῶν παραδειγμάτων, ἃ ἐπιμονὴν λαμβάνοντα εἰς πνεῦμα [8]

---

1 τὸ Ald. om. est in Par. 2 Ald. τύχους. 3 Ald. ἤως. idem error jam supra obvius ex ignorantia compendii scribendi ἤγ natus videtur. 1 τῶν Ald. om., est in Par. et T. VII. α. 2 Ven. παρά. et infr. παρὰ παραδειγμ. et παρὰ προσώπου. 3 Ven. δέ. 4 T. VII. et margo exemplaris Paris. τροπῆς. Par. τροπῆς. ου manu recentiori superscriptum. 5 T. VII. εἰσί. 6 T. VII. ἐγκληματικοῖς. 7 T. VII. ἀπὸ [Ven. παρὰ] παραδείγματος ἀπὸ [Ven. παρὰ] ὁμοιότητος πραγμάτων. 8 T. VII. πνεύματα.

ἀποτείνεται καὶ τὴν ἀκμὴν ποιεῖ, ἣν τοῦ πανηγυρικοῦ βούλεται εἶναι· ὡσαύτως καὶ [9] τὰ ἀπὸ τοῦ καιροῦ [10] καὶ τόπου τὴν ὕλην ἀπὸ τῶν ἐγκωμιαστικῶν λαμβάνει ἐπαινουμένου τοῦ τόπου καὶ τοῦ καιροῦ, ἢ ψεγομένου· εἰ δέ τις ἀκριβῶς [11] σκοποίη, ἔστι καὶ τὰ ἀπὸ τῆς αἰτίας καὶ τοῦ ἐναντίου ἀπὸ πάντων εὑρεῖν τῶν ἐγκωμιαστικῶν, ὥστε εἰ μὲν ἐκτὸς [12] αἰτίας εὕροις κείμενον τὸ ἐπιχεί- 369
ρημα, πανηγυρικόν ἐστιν· εἰ δὲ ἀπὸ τοῦ ἐναντίου καὶ τῆς αἰτίας οὐδεμία μηχανὴ μὴ οὐκ [13] ἀποδεικτικὸν εἶναι καὶ ἐναγώνιον· πολλάκις δὲ καὶ πανηγυρικοῦ ὄντος τοῦ ἐπιχειρήματος μεταχειριζόμεθα αὐτὸ ἀποδεικτικῶς· ἢ κατὰ συστροφήν· ὡς τὸ, „ὁ γὰρ οἷς [14] ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων [15] καὶ παρασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, [16] κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ·“ ἀπὸ προσώπου γὰρ τοῦτο ἢ κατὰ ἀκολουθίαν καί τινα ἄλλην τῶν ἀποδεικτικῶν μεταχείρισιν. [17] β. Ἄλλως τε δέ· οἷον γὰρ ἀπὸ στενότητός τινος καὶ συστροφῆς τῶν [18] ἀποδεικτικῶν ἀπαλλαγέντες οἱ ἀκροαταὶ καὶ πρὸς τὸ ἄνετον τοῦ πανηγυρικοῦ καταντήσαντες [19] λόγου καὶ τὴν ῥᾳστώνην τῆς ἑρμηνείας ἥδιον [20] διατίθενται. [21] γ. Ἐν ταῖς ὑποφοραῖς, ἢ ταῖς ὑπὸ τῶν ἐχθρῶν προτάσεσι ταῖς ἀντιθέσεσιν ἢ ταῖς ὑπαλλαγαῖς τῶν ἐπιχειρημάτων [22] καὶ ἐργασιῶν.

---

9 T. VII. δὲ τὰ παρά. 10 τοῦ Par. om. 11 T. VII. σκοποίη ἀκριβῶς. 12 Ald. T. VII. ἐκτός. Par. ἐκ τῆς. 13 T. VII. οὐχί. 14 Ald. οἷος. — Dem. Phil. III. p. 115. 15 Ven. καὶ παρασκ. — τοξεύῃ. Par. 2918. 2977. Mon. 8. ταῦτα πράττων — — τοξεύῃ om. 16 Ald. πολεμεῖν. 17 Ald. T. VII. μεταχείρησιν. Par. μεταχείρισιν. 18 T. VII. β. τῆς ἀπὸ τῶν. 19 Mon. 8. καταντήσαντος. Ex T. VII. addidi λόγου. 20 Par. 2977. ἴδιον. 21 T. VII. addit: μεταβολὴ γὰρ πάντων ἥδιστον κατὰ τὸν εἰρηκότα. [Eur. Orest. 234.] 22 Sequitur in Ald. καὶ ἐπιχειρημάτων. Par. om.

## Περὶ ὅρου καὶ ἀνθορισμοῦ καὶ συλλογισμοῦ καὶ λύσεως τοῦ συλλογισμοῦ.

*Ὅρος καὶ ἀνθορισμὸς καὶ συλλογισμὸς καὶ λύσις τοῦ συλλογισμοῦ τέσσαρα μέν ἐστιν ὀνόματα, καὶ τὰ λοιπά.*

Ἰστέον, ὅτι ὁ μὲν ὅρος[1] ἐκ τῶν περὶ τὸ πρᾶγμα καὶ ἐκ τῶν παρειμένων καὶ πρὸ τοῦ πράγματος γίνεται,[2] ὁ δὲ ἀνθορισμὸς ἐκ τῶν πεπραγμένων καὶ περὶ τὸ πρᾶγμα καὶ πρὸ τοῦ πράγματος.[3] ὁ δὲ συλλογισμὸς ἐκ τῶν μετὰ τὸ πρᾶγμα καὶ τῶν πεπραγμένων καὶ μὴ πεπραγμένων καὶ[4] ἐπισυμβεβηκότων, συνάγει[5] γὰρ ἄμφω, ἡ δὲ λύσις ἐκ τῶν μετὰ τὸ πρᾶγμα ἐπισυμβεβηκότων· διΐστησι δὲ ταῦτα ἀλλήλων τὰ πεπραγμένα καὶ παρειμένα.[6] β'. Διῃρημένης τῆς διανοίας, τουτέστι τῆς ἐργασίας· τὸ δὲ, ὥσπερ καὶ ἐπὶ τῶν ἐπιχειρημάτων ἐλλειπές[7] ἐστι· δεῖ γὰρ προσυπακούεσθαι[8] τὸ, ἡ τέχνη παρ' ἡμῖν εὕρηται. γ'. Μὴ διαμαρτεῖν τὰς δριμύτητας· δριμύτητας καλεῖ τὰς ἀντιλογίας διὰ τὸ δραστήριον καὶ ἐξεργαστικὸν τοῦ προκειμένου· ἐπεί τοι δοκοῦσι μὲν ὅσον ἀπὸ[9] τῆς ἐπιπολαίου ἐπιβολῆς αἱ αὐταὶ εἶναι· κατὰ μέντοι τὴν μετ' ἐπιστάσεως αὐτῶν μεταχείρισιν,[10] ἣν ἡ τοῦ χρόνου παρέχεται διάστασις, πολὺ τὸ βαθὺ[11] καὶ περινενοημένον μετὰ τοῦ διαφόρου καὶ δριμύσσον[12] τὸν ἀντίπαλον φαίνονται ἔχουσαι. δ'. Τῶν δὲ[13] ἄνω κεφαλαίων· ἄνω κεφάλαια τὸν

ὅρον

---

1 T. VII. 2 γίνεται T. VII. om. 3 T. VII. add. ἔχουσι δὲ καὶ κοινωνίαν ταύτην καὶ διαφορὰν. ὁ μὲν συλλ. 4 T. VII. om. 5 συνάγει — ἐπισυμβεβηκότων ex T. VII. recepi, Ald. om. 6 T. VII. τὰ παρειμ. τὰ ῥηθέντα τέσσαρα κεφάλαια. 7 Ald. ἐλλειπές. Par. ἐλλιπές. 8 Ald. προςειπακούεσθαι. 9 Mon. 8. ἐπί. 10 Ald. μεταχείρησιν. 11 Ald. βραχύ. Par. et T. VII. βαθύ. Mon. 8. δὲ τὸ βαθύ. 12 Mon. 8. δριμύσον. 13 Par. τε.

ὅρον φησὶ καὶ τὸν ἀνθορισμόν· ἐφεξῆς δὲ εἶτουν κάτω τὸν συλλογισμὸν καὶ τὴν λύσιν αὐτοῦ.

## Περὶ διασκευῆς.

**Ἡ διασκευὴ δὲ τοῦ προβλήματος ἡ διατύπωσίς ἐστι τοῦ πράγματος· καὶ τὰ λοιπά.**

Ἡ διασκευή· οὐκ ἔστιν ἁπλῶς ἡ διήγησις, ἀλλὰ τῶν ἐν τῇ διηγήσει ψιλῶς εἰρημένων κατὰ λεπτὸν τῷ τρόπῳ φράσις, ὥσπερ ἐν ποιητικῇ· οἷον

Αὖ ἔρυσαν [2] μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
Μηρούς τ' ἐξέταμον, κατά τε κνίσσῃ ἐκάλυψαν
Ὤπτησάν τε περιφραδέως

καὶ τὰ λοιπά. β'. Οὐ μέντοι γε. ἀκριβῶς προσέθηκε τὸ [3] τοσοῦτον· ἔσθ' ὅτε γὰρ ἡ διατύπωσις καὶ διὰ τῆς αἰτίας [4] περαίνεται, ὡς ἐν τῷ περὶ διηγήσεως αὐτὸς οὗτος διδάσκει. γ'. Διασκευάζεται μὲν γάρ· πρόσωπον μέν, [5] ὅπως διέκειτο λαμπρῶς ἢ στυγνῶς· πρᾶγμα δὲ πῶς ἐτελεῖτο, ἀπόρως ἢ φιλοτίμως. [6] τόπος ὁποῖος ἦν, ὀρεινὸς ἢ ὁμαλός· χρόνος [7] ὁποῖος ἦν, νοσερὸς ἢ ὑγιεινός· ὁ δὲ τρόπος οὔτε ἑαυτὸν διασκευάζει οὔτε τὴν αἰτίαν· καὶ γὰρ καὶ ἐκείνη κατασκευάζει. δ'. Χρὴ δὲ τὸν μέλλοντα· εἰ γὰρ [8] κατὰ τοὺς τρεῖς χρόνους τῇ διατυπώσει χρῷο, προσκορὴς ἔσῃ καὶ ψυχρολογίᾳ ἁλώσῃ· διατυποῦνται δὲ τὰ μὲν παρελθόντα ὡς μηκέτι ὄντα· τὰ

---

1 T. VII. α. β. 2 Ald. ἀνέρυσαν. Il. A. 459. 460. 466. 3 τὸ Mon. 8. om. 4 T. VII. διὰ τούτων. 5 Ald. πρόσ. μὲν γάρ, ὅπως διήκειτο. correxi ex Par. et T. VII. 6 T. VII. pergit: προθύμως ἢ κατηναγκασμένως, εὐθύμως ἢ λυπηρῶς, τόπος καὶ τρόπος ποταπὸς ἦν [Ven. κ. τρόπος om.] καὶ πῶς διετέθη, ὑγιεινῶς ἢ νοσερῶς [Par. διετίθει, ὑγιεινὸς ἢ νοσερὸς] εὐπόρως ἢ ἀπόρως, προσηνῶς ἢ ἀηδῶς. χρόνος ὁμοίως ὅπως ἔχει κατὰ τὸν τόπον, αἰτία, ὅπως ἀναφαίνεται, εὐλόγως ἢ ἀλόγως καὶ εἴ τι τοιοῦτον. 7 Ald. χρόνον. Par. χρόνος. 8 T. VII. ζ.

δὲ μέλλοντα ὡς οὔπω ὄντα, ἵν' ὑπ' ὄψιν ἡμῖν ἄγωνται·[9] τὰ δὲ παρόντα ὡς ἐνεστῶτα καὶ δῆλα τοῖς πᾶσιν οὐ διατυποῦνται. Ἰστέον δὲ, ὅτι ὡς ἡ τοῦ μέλλοντος διατύπωσις ἐν τῇ πραγματικῇ μόνῃ ἐμπίπτει· ἄνω δὲ μέρος τὸν παρεληλυθότα φησὶν, ὡς ἔχει τὸ τοῦ Δημοσθένους·[10] „ὅτε γὰρ ἐπορευόμεθα εἰς Δελφοὺς, ἐξ ἀνάγκης ἦν ὁρᾷν ταῦτα πάντα, οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα,“ καὶ ἐφεξῆς. ε. Ἐὰν δὲ παντάπασιν· τοῦτο
370 γίνεται ὅταν αἰσχρὸν ᾖ τὸ πεπραγμένον, καὶ ὅταν ἀφ' ἑαυτοῦ ἰσχύῃ ἐν τῇ διηγήσει. ϛ. Τοῖς ἐπιοῦσιν[11] ἢ τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους ἢ τοῖς ἐπιλόγοις· ἐν τούτοις γὰρ τοῖς δυσὶν ἡ διασκευὴ γίνεται· μάλιστα δὲ δοκεῖ περὶ τῶν ἐπιλόγων ἐνταῦθα διαλαμβάνειν· ἔνθα καὶ ἐλέου εἰσβολὴ ἢ ἐκβολὴ γίνεται, οἷς ἁρμόδια τὰ τῆς διασκευῆς κῶλα κομματικά τε ὄντα, ἐνίοτε δὲ καὶ ἀσύνδετα καὶ πάθη κινοῦντα· τὰ γὰρ τῆς κατασκευῆς σχοινοτενῆ καὶ μακρά εἰσι. ζ. Δεῖ γὰρ πάντως. ὥσπερ ἐκ τῆς ὑποδιαιρέσεως εἰς τὸ πρᾶγμα ἐπάνεισιν· οἷον εἰ γὰρ ἀνδρὸς ἦρα, εἰ γὰρ [12] σοῦ αὐτοῦ ἦρα, εὐθὺς ἀνατρέχει ἐπὶ τὸ πρᾶγμα· νῦν δὲ εἰδώλου ἐρᾷ· οὕτω καὶ ἐκ τῆς διατυπώσεως εἰς τὸ πρᾶγμα αὐτὸ ἡ ἐπάνοδος γίνεται· μετὰ [14] γὰρ τὸ εἰπεῖν· τριακοσίους ἐθύσατε ὡς ἱερεῖα, ὡς σφάγια, ὠμῶς καὶ ἀνηλεῶς, ἐπανατρέχει ἐπὶ τὸ πρᾶγμα, τούτους ἐθύσατε, διεφθείρατε τὸν ἀριθμὸν ὑμῶν τὸν ἐπαινούμενον. η. Ταυτολογεῖ δέ· τουτέστι ὥσπερ ὁμοίως τῇ ὑποδιαιρέσει ἐκ τῆς διασκευῆς εἰς τὸ πρᾶγμα ἐπανερχόμεθα· οὕτω καὶ ἐκ τῆς τῶν χωρίων ἀγωγῆς εἰς αὐτὸ πάλιν τὸ πρᾶγμα ἐπάνιμεν· ἔστι δὲ χωρίων ἀγωγὴ τὸ ἐξ ὁμοίων ἱστοριῶν εἰς ἀνατροπὴν ἢ ἔλεγχον τῶν νῦν διασκευαζομένων λαμβανόμενον· οἷον ἀπέ-

---

9 Par. γένωνται. 10 De fals. leg. p. 361. 11 Ald. ἐποιοῦσιν. 12 Par. ἐστίν. 13 εἰ γὰρ σοῦ αὐτοῦ ἦρα manu seriori in Par. inscriptum est. 14 Cfr. T. VII. ιζ.

κτεινεν ὑμῶν καὶ βασιλεὺς τριακοσίους ἐν Πύλῳ· ἀλλ᾽ οὐκ ἔθυσεν· εἶτα ἡ ἐπάνοδος· ὑμεῖς δὲ παρεστήσασθε τριακοσίους.

---

## ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ·

### Περὶ σχημάτων τοῦ λόγου.

Ἐπεὶ οὖν καὶ περὶ τῶν ἐπιχειρημάτων καὶ περὶ τῶν ἐργασιῶν καὶ περὶ τῶν ἐνθυμημάτων τῆς εὑρέσεως πάντα εἰς τέλος πεπλήρωται. καὶ τὰ λοιπά.

Μνημονεύσας ἐν τῷ τρίτῳ τόμῳ περὶ προκατασκευῆς καὶ βιαίου, εἶτα περὶ κεφαλαίων εἰσαγωγῆς καὶ τῶν ἄλλων, νῦν περὶ τῶν σχημάτων βούλεται λέγειν· πλὴν περὶ τοῦ στρογγύλου σχήματος οὐδαμοῦ διαλαμβάνει· εἰπὼν γὰρ ὅτι τὰ πολιτικὰ ἐκφέρεσθαι δεῖ πάντα ἐνθυμήματα στρογγύλως κατὰ τὴν σύγκρισιν, οὕτω γὰρ δριμύτητος πλείονος δόξαν ἀποφέρονται, ἢ εἴ τις αὐτὰ ἁπλώσοι [1] τῷ λόγῳ ἡπλωμένῳ παραδείγματι ἐχρήσατο καὶ οὐ στρογγύλῳ, ὁποίῳ δεῖ κεχρῆσθαι ἐν τοῖς πολιτικοῖς, αἰτίαν μόνον προβαλλόμενος τὴν τοῦ Δημοσθένους χρῆσιν· ὡς αὐτοῦ ἐν τῷ πολιτικῷ ἐπιχειρήματι ἡπλωμένῳ σχήματι χρησαμένου καὶ οὐ στρογγύλῳ· ἴσως [2] οὖν ὡς φιλοσύντομος τὸ ἡπλωμένον [3] διδάξας, τὸ ἐναντίον αὐτοῦ νοεῖν ἡμᾶς εἴασεν, ὅπερ οὐκ ἔστι σαφοῦς διδασκαλίας· ἔστι τοίνυν στρογγύλον λόγος σύντομος ἐξ ἀντιθέσεως ἢ συγκρίσεως συμπλεκόμενος μετὰ δριμύτητος ἐλέγχων τὸν ἐναντίον· ὡς τὸ, ὥσπερ γὰρ [4] εἴ τις ἐκείνων ἑάλω, σὺ τάδ᾽ οὐκ ἂν ἔγραψας· οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει. β′. Τῇ τάξει δὲ ἐνταῦθα·

---

1 Ald. ἁπλώσαι. Par. ἁπλώσοι. 2 Par. ἴσος. 3 Ald. ἡπλωμένων. 4 Margo exempl. Par. inserit ἄν.

δέον γὰρ θεῖναι τὸ ἐπιχείρημα, εἶτα τὴν ἐργασίαν, εἶτα τὸ ἐνθύμημα, προὔθηκε μὲν τὸ ἐνθύμημα, ἐπήγαγε δὲ τὸ ἐπιχείρημα καὶ τὴν ἐργασίαν αὐτοῦ· καὶ οὕτως ἥπλωσε τὸν λόγον· εἶτα συστρέψας συνήγαγεν αὐτὸν δι' ἑτέρου ἐνθυμήματος· πλὴν ἰστέον ὡς εἰ καὶ τῶν ἡπλωμένων εἶναι τοῦτό φησι τὸ τοῦ Δημοσθένους παράδειγμα, ἀλλὰ τῷ τελευταίῳ ἐνθυμήματι συνέστραπται [5] καὶ στρογγύλον ἐγένετο.

## Περὶ ἀντιθέτου.

Ἀντίθετόν ἐστι σχῆμα λόγος διπλασιάζων πάντα τὸν ὑποκείμενον νοῦν τοῦτον τὸν τρόπον· καὶ τὰ λοιπά.

Διπλασιάζει τὸν νοῦν τὸ ἀντίθετον ἢ ὡς δὶς τὸ ὑποκείμενον λέγον· ἢ ὡς μὴ μόνον τὸ ὂν λέγον, ἀλλὰ καὶ τὸ μὴ ὂν ἀναπλάττον· β'. Ἀρετὴ δέ· ἐνταῦθα γὰρ τὸ μὲν.[1] ἀντίθετον δι' ὀκτὼ κώλων ἐκφέρεται· τὸ δὲ ὑποκείμενον δι' ἑπτά· περιοδικῶς δὲ ἐκφερόμενα ἑκάτερα ἑνὶ κώλῳ ἐκφέρεται. γ'. Καί τοί γε παντός· εἰ περιττή ἐστιν ἡ μία πρότασις, τίς λοιπὸν ἡ τοῦ ἀντιθέτου χρεία, ἢ πῶς ἀναγκαῖον νομίζεται; καί φαμεν,[2] ὅτι ἐξ ὑποθέσεως λαμβάνει ταύτην, ἀλλ' οὐκ ἀποφαίνεται εἶναι τὸ μὴ ὂν ὡς ὄν· καὶ ἄλλως ἐν ἑνὶ καὶ τῷ αὐτῷ
371 σχήματι διδάσκει τί τε χρὴ ποιεῖν τοῦ προκειμένου ὑπάρχοντος, καὶ τί τοῦ ἀντικειμένου αὐτῷ τῷ νῦν ὑπάρχοντι· ἐγὼ δέ φημι, ὅτι οὐ τὸ καθ' ὑπόθεσιν τοῦ ἀντιθέτου περιττὸν εἶναι Ἑρμογένης φησίν· ἢ [3] γὰρ ἂν ἐκλελοιπὸς τὸ ἐξ ὑποθέσεως, οὐδὲ τὸ ἀντίθετον ἦν σχῆμα· ἀλλ' αὐτό φησι τὸ ὑποκείμενον τὸ ὕστερον ἐπαγόμενον,[4] διὸ καί φησι· ποιεῖ δὲ τὸ [5] αὐτὸ δοκεῖν ἀναγ-

5 Ald. συνέστρεψε. Par. συνέστραπται.

1 μὲν Ald. om., recepi ex Par. 2 Ald. φασὶν, μέν. Par. Φαμέν. 3 Margo exempl. Par. ἦ. 4 ὕστερον ἐπαγόμενον

καῖον εἶναι καὶ ἑξῆς. δ'. Καὶ γὰρ ἐνταῦθα· τοῦτό ἐστι τὸ κατὰ φύσιν· „ἐπεὶ [6] δὲ περὶ ὧν πολλάκις." τὸ δὲ ἀντίθετόν ἐστι τὸ [7] „εἰ μὲν περὶ καινοῦ τινος πράγματος." ε'. Τοῦτο γὰρ εἰ μὲν [8] ἀντίθετον καλῶς διοργανοῦται καὶ ἐπιτρέχει· καὶ εἰς διάφορα πνεύματα μετατίθεται τὸ ἀντίθετον σχῆμα· ἡνίκα τοῖς συναπτικοῖς καὶ παρασυναπτικοῖς συνδεῖται καὶ συμπλέκεται· τὸ δὲ ἐναντίον ἐκ τῆς λεγομένης ἄρσεως καὶ [9] θέσεως, εἴτουν [10] ἄρσεως καὶ συμπλοκῆς κοσμεῖται. [11] ϛ'. Τὸ δὲ ἐναντίον ἀναστρέφει· ἐν μὲν γὰρ τῷ ἀντιθέτῳ Φίλιππον ἔλεγε πονεῖν καὶ παρεῖναι τοῖς πράγμασιν, Ἀθηναίους δὲ πάσχειν τὴν ὑπ' ἐκείνου κάκωσιν. [12] ἐν δὲ τῷ ἐναντίῳ Ἀθηναίους μέν φησι δρᾷν, Φίλιππον δὲ τὴν ἐξ αὐτῶν [13] πάσχειν ἧτταν.

## Περὶ περιόδου.

Ἡ δὲ περίοδος οὐχ ἑνὶ ὑποπίπτει σχήματι· καὶ τὰ λοιπά.

Ἐνθύμημά [1] ἐστιν εἰκότως διεσπαρμένων συλλογὴ ἤτοι συναγωγὴ πρὸς ἄλληλα, ἢ συλλογισμὸς καταλείπων τοῖς ἀκούουσι λογισμὸν, πρὸς ἣν σὺ βούλει τελευτήν.[2]

---

Ald. post ποιεῖ δὲ τὸ αὐτὸ δρκεῖν ponit: Par. post ὑποκείμενον τό. 5 τὸ Ald. om. est in Par. 6 Par. ἐπειδὴ δέ. Demosth. Phil. I. init. 7 τὸ Ald. om. est in Par. 8 εἰ μὲν Par. om. — T. VII. γ. δ.. σημείωσαι ὅτι καλῶς. 9 T. VII. τε καί. 10 T. VII. ἤτοι ἀναιρέσεως [Ven. ἀναιρευνήσεως.] 11 Ven. addit: ἀναστρέφεται τὸ πρᾶγμα ἀπὸ τῶν δρώντων εἰς τοὺς πάσχοντας, καὶ ἔμπαλιν. 12 T. VII. δούλωσιν. 13 T. VII. ἐκείνων πάσχ. καταδυναστείαν.

1 T. VII. β. 2 T. VII. addit: ἢ ἀπόδειξις διὰ λόγου ἐν ᾧ τεθέντων τινῶν μερῶν ὁμολογουμένων τοῖς ἀντιδίκοις, τῷ φεύγοντι ἢ τῷ διώκοντι, [Ven. τῷ φ. ἢ τῷ διώκ. om.] ἕτερόν τι τῶν κειμένων ὑποθέσεων [Ven. ὑποθ. om.] τὸ ἀμφισβητούμενον [Ven. add. γὰρ] φαίνεται ἀποδεδειγμένον, ἢ ἀποδείκνυται.

σχήματα δὲ τῶν ἐνθυμημάτων καὶ τρόποι πέντε· γνωμικόν,[3] συλλογιστικόν, δεικτικόν, ἐλεγκτικόν, παραδειγματικόν· καὶ γνωμικὸν[4] μέν ἐστιν ἀπόφανσις[5] περὶ τῶν καθόλου, διδάσκουσα ὁποῖά ἐστι τὰ πράγματα, ἢ[6] ὁποῖα δεῖ εἶναι, δίκαια ἢ συμφέροντα ἄνευ ὡρισμένων ὀνομάτων· αἱ γὰρ[7] ἐν ταῖς ὡρισμέναις τέχναις ἀποφάνσεις οὐ γνῶμαι· οἷον σημεῖόν ἐστιν[8] οὗ μέρος οὐδέν, καὶ δὶς δύο τέσσαρα· ἀλλ' ὅσα περὶ τῶν κοινῶν ἐννοιῶν γνωμοτυποῦμεν τοῦ δικαίου καὶ τοῦ συμφέροντος, καὶ[9] ὅσα οὐδεμιᾶς τέχνης ἀφωρισμένα·[10] οἷον

εὖ πρᾶττε. τὰ φίλων δ' οὐδέν, ἤν τις δυστυχῇ.[11]

καὶ τὸ „τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.“[12] ταῦτα μὲν ὁποῖά ἐστι σημαίνει[13] τὰ πράγματα· ὁποῖα δὲ δεῖ εἶναι, ὡς τοῦτο,[14] ἢ γὰρ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή· συλλογιστικὸν δέ· οἷον οἱ δόξης ὀρεγόμενοι πάντα πόνον ὑπομένειν ἀξιοῦσιν ὑπὲρ τοῦ μη-

---

3 T. VII. συλλ. γνωμικόν. 4 Ald. γνωμονικόν. T. VII. γνωμικόν. Sch. min. αὕτη γνώμη περιόδου· ἐνθυμηματικαὶ δὲ αἱ ἑξῆς. τί δέ ἐστι γνωμική, ἔμαθες καὶ ἐν τῇ γνώμῃ τῶν προγυμνασμάτων. 5 T. VII. ἀπόφασιν. Omnes Codd. et Ald. ἀφόφασ. et l. 7. ἀποφάσεις. scr. ἀποφάνσ. 6 ἢ Par. om. 7 Mon. 8. ἐν ταῖς γὰρ ὡρ. τ. ἀπόφασις, sine αἱ. 8 ἐστιν T. VII. om. — pro οὗ habet οὐ. 9 Mon. 8. μὴ ὅσα μηδαμῇ τέχν. 10 Ald. ἀφορισμένα. 11 Ald. δυστυχεῖ. Par. ἢν τις δυστυχῇς. T. VII. τι δυστυχῇς. Eur. Phoen. 414. et Dem, Ol. I. p. 16. 12 T. VII. addit: καὶ πάλιν, οὐδὲ γὰρ οἷόν τε τοὺς ἐπ' εὐσεβείᾳ διαφέροντας μὴ καὶ κινδυνεύειν αἱρεῖσθαι τῆς εὐσεβείας ἕνεκα· πᾶσι γὰρ τοῖς ἐπ' εὐσεβείᾳ διαφέρουσι καὶ τὸ κινδυνεύειν καὶ θέλειν ὑπὲρ τοῦ μένειν ὁμοίους ἀναγκαῖόν τι γίνεται. 13 σημαίνει Ven. om. 14 T. VII. add.: εἰ γὰρ ἀθανάτου δόξης τυχεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐθέλετε, χρὴ πᾶν ὑμᾶς ὑπὲρ τῆς εὐσεβείας παθεῖν, ἢ προέσθαι ταῦτα φαῦλά τινα φοβηθέντας καὶ πρόσκαιρα· ταῦτα μὲν τὰ γνωμικά, συλλογιστικὰ δέ.

δὲν τῆς εὐδοξίας διαφθεῖραι· εἰ δὲ καὶ ὑμῖν, [15] ὦ ἄνδρες Ἀθηναῖοι, πάντων μάλιστα τοῦ τοιούτου [16] μέλει, τίνος ἕνεκα [17] τοὺς ὑπὲρ τιμῆς κινδύνους ὀκνεῖτε· συλλογιστικὸν δὲ λέγεται, ὅτι ἀπὸ τοῦ καθόλου [18] τὸ μερικὸν συνελογίσατο· δεικτικὸν δὲ οὕτως· οἱ νέοι φιλόδωροι· ἀλλὰ μὴν καὶ σὺ νέος· φιλόδωρος ἄρα. εἶ· ἐλεγκτικὰ [19] δέ, οἷον ἄτοπον γὰρ [20] ὁμολογεῖν μὲν περὶ πλείστου ποιεῖσθαι τὴν εὐδοξίαν· τοὺς δὲ ὑπὲρ τῆς δόξης πόνους ὀκνεῖν [21] ὑφίστασθαι· γίνεται δὲ τὸ ἐλεγκτικὸν ἐκ δύο ἐναντίων [22] ἀλλήλοις συγκειμένων καὶ ἀνομολόγων πρὸς ἄλληλα, ὥσπερ τὸ δεικτικὸν ἐξ ὁμοίων καὶ ἀκολούθων· οἷον ὥσπερ οἱ πρόγονοι πάντα [23] ἐτόλμων ἕνεκα τιμῆς, οὕτω [24] καὶ ἡμᾶς προσήκει μὴ λείπεσθαι τῆς ἐκείνων ἀρετῆς· παραδειγματικὸν δέ, ὅταν πρὸς τῷ ἐνθυμήματι παράδειγμά τι λαμβάνῃ, ἐπειδὰν [25] τὸ ἐνθύμημα ἀγνοῆται, καὶ δέῃ δια [26] γνωρίμου διηγήσεως πιστὸν αὐτὸ γενέσθαι· [27] ὡς Εὐριπίδης μετὰ τὸ εἰπεῖν τὸ ἐνθύμημα τὸ,

---

15 Ven. ἡμῖν. 16 T. VII. τὸ τοιοῦτον. tum Ald. μέλλει. 17 T. VII. ἕνεκεν. 18 T. VII. τὸν ἴδιον εἰπὼν συνελογισάμην, οἷόν ἐστι τὸ κατὰ παντὸς καὶ ἀπὸ τῶν πρώτων τὰ μέρη· εἰ δέ ἐναλλάξας οὕτως εἴποις, χρὴ [Ven. οἷον χρὴ] ὑμᾶς, ὦ Ἀθηναῖοι, τοὺς ὑπὲρ τῆς τιμῆς πόνους αἱρεῖσθαι, οἱ γὰρ ἀθανάτου δόξης ὀρεγόμενοι, καὶ τὰ ἑξῆς, συνελογίσω καὶ οὕτως [Ven. συνελ. δὲ ἀπὸ τοῦ], ἀπὸ τοῦ ἐν ὅλῳ τὸ ἴδιον ἐπὶ τὸ καθόλου ἀγαγών· δεικτικὸν δέ. 19 T. VII. ἐλεγκτικόν. 20 γὰρ T. VII. om. 21 T. VII. κατοκνεῖν. 22 T. VII. ἐναντίον. 23 Ven. ἕν. τιμῆς πάντα ἐτ. 24 T. VII. οὕτως καὶ ἡμῖν. 25 T. VII. ἐπάν. 26 Mon. 8. καί. 27 T. VII. οἷον· Οὐκ ἔστιν ἔπος, οὐδὲ πάθος οὔτε [πάθος οὔτε Mon. et Par. om., habet Ven.] συμφορὰ θεήλατος, ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις, ὁ γὰρ μακάριος — — Τάνταλος κεφαλῆς [κεφαλῆς Mon. om.] ὑπερτέλλοντα δειμαίνων πέτρον ἀέρι ποτᾶται καὶ τίνει [Ven. τείνει. Mon. 8. τίνει.] ταύτην δίκην· μετὰ γὰρ τὸ ἐνθύμημα τὸ κατὰ [τὸ κατὰ Τάνταλον — — — ἐνθύμημα

Οὐκ ἔστιν οὐδὲν [28] δεινὸν ὧδ' εἰπεῖν ἔπος

καὶ [29] ἑξῆς ἐπάγει τὸ [30] παράδειγμα.

Ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας
Διὸς πεφυκὼς, ὥς λέγουσι, Τάνταλος.

καὶ τὰ ἑξῆς· ἔστι δὲ καὶ ἀναστρέψαντα, ὡς ἐπὶ τῶν συλλογιστικῶν, πρῶτον θεῖναι τὸ παράδειγμα· [31] οἷον εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη [32] προσαγάγωσι· [33] τοῦτο γὰρ εἰπὼν τὸ ἐνθύμημα ἐπήνεγκεν· ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, καὶ τὰ ἑξῆς. β'. Ἰστέον δέ· ἰσοσκελὴς καὶ ἰσόπλευρος [34] ἡ ἀπὸ τεσσάρων κώλων· οἷον ἐν μὲν γὰρ τῷ γράψαι [35] καὶ ἑξῆς· τὰ γὰρ δύο
372 κῶλα τὰ ἀποδοτικὰ σχῆμα ποδῶν ἔχουσιν εἴτουν σκελῶν· πλευρῶν δὲ τόπον ἐπέχουσι τὰ πρῶτα δύο τὰ [36] τῆς προτά-

---

ὡς Mon. om.] *Τάνταλον ἐπάγει παράδειγμα· ἔστι δὲ καὶ ἀναστρέψαντα.* 28 *οὐδὲν* Par. 2977. om. — Eur. Or. 1—7. 29 Margo exempl. Par. *τὰ ἑξῆς.* 30 *τὸ* ex Par. recepi, Ald. om. 31 T. VII. *εἶτα ἐπαγαγεῖν τὸ ἐνθύμημα, ὡς ἔχει τὸ Δημοσθενικὸν, εἰ μὴ καὶ* [Phil. III. p. 115.]. 32 Par. 2977. *ἤδη τοῖς τείχ.* 33 Ald. *προσάγωσι.* Par. *προσαγάγωσι.* T. VII. *προσαγάγητε, ἀλλ' οὐ φήσετε, ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ καὶ ἑξῆς.* [Mon. *ἑξῆς* om. Ven. *τὰ ἑξῆς*] Addo Sch. min. *ἐνθυμηματική ἐστιν αὕτη ἡ περίοδος. Ὧν οὖν ἐκεῖνος· Ὀλυνθιακοῦ λόγου δευτέρου. Τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις. Ἐνθυμηματική. Τοῖς πρὸς χάριν αὐτοῦ πολιτευομένοις καὶ ἃ βούλεται ποιοῦσιν, ὀφείλει χάριτας καὶ εὐεργεσίας. Οἷς γὰρ οὖσιν· κατὰ Φιλίππου λόγος πρῶτος. Ἐνθυμηματική. Ὃν ἡ τύχη· ἐν τῷ περὶ τοῦ στεφάνου. Καταδρομήν· ἐλεγκτική. Ὑμῖν ἐξεῖναι· ἀφείλετο ἀπὸ κοινοῦ. Ταύτης τὸ σχῆμα· τῆς ἀποδεικτικῆς· Εἶτ' ἃ Φίλιππος εἰς τὸν λόγον τὸν περὶ τῶν ἐν Χεῤῥονήσῳ. Οὐκ αἰσχύνεσθε. ἐκ τοῦ παραπρεσβείας. Νῦν δὲ ἃ μέν· ἐν τῷ παραπρεσβείας.* 34 Est in Par. 2977. 35 Par. 2977. add.: *μηδένα εἶναι ἀτελῆ, τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι, μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς, τὸ δοῦναι ὑμῖν ἐξεῖναι.* 36 Mon. *τὰ*

σεως· τοῦτο δὲ τὸ σχῆμα καὶ τετράπλευρον λέγεται· [37] συντομωτέρα δὲ ἐν τῇ ἀποδόσει περίοδος ἡ δυσὶ μὲν κώλοις ἀπαρτίζουσα τὴν πρότασιν, ἑνὶ δὲ τὴν ἀπόδοσιν. [38] γ'. "Ο μᾶλλον ἐκπλήττει· τοῦτο λέγει ὅτι ὑπαλλαττόμενον τό νόημα καὶ μεταποιούμενον [39] καὶ δοκοῦν ἴδιον καὶ αὐτοσχέδιον τοῦ προφέροντος πλέον ἐπαινεῖται καὶ θαυμάζεται· ἢ ἐκείνῃ [40] αὐτῇ τῇ τῶν ἀρχαίων γραφῇ ἀναλλοιώτως ἐξενηνεγμένον.

Ἔκθεσις τῶν σχημάτων τῆς πολλάκις μὲν ἀναστρεφομένης περιόδου, μηδὲ ἅπαξ δὲ χιαζομένης.

Ἐν μὲν [41] γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ. Τοὺς ἔχοντας ἀφείλετο ἀτέλειαν.

Ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς, Τὸ δοῦναι ὑμῖν ἐξεῖναι.

Ἐν μὲν γὰρ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς, Τὸ δοῦναι ὑμῖν ἐξεῖναι.

---

om. 37 Par. 2977. λέγει καὶ ἐπὶ γραφῆς καὶ ἐπὶ οἰκοδομημάτων· τοιαύτη δὲ κἀκείνη ἡ περίοδος ἡ χιαζομένη· ὁ μὲν γὰρ Φίλιππος, ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν. 38 Par. 2977. add.: ὡς τό· ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δέον δίκην λαβεῖν, τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν [Ol. II. p. 19.]. 39 Ald. ὑπονοούμενον. Par. 2918. et 2977. μεταποιούμενον. 40 Par. 2977. ἐκείναις αὐταῖς ἀναλ. [Ald. et Par. 2977. ἀναλλοιότως] ταῖς γραφαῖς τῶν ἀρχ. ἐξενηγ. ὡς νῦν καὶ ὑμεῖς ἐν τῇ διδασκαλίᾳ ποιοῦμεν καὶ γράφομεν. 41 Ἐν μὲν γὰρ τῷ γράψαι sqq. usque ad ὁ μὲν Ἑρμογένης τετραχῶς (exclus.) in schema redacta exhibet Par.

| | | | |
|---|---|---|---|
| Ἐν μὲν γὰρ τῷ γράψαι. | Τοὺς ἔχοντας | Ἐν δὲ τῷ προσγράψαι. | Τὸ δοῦναι. |
| Ἐν μὲν τῷ προσγράψαι. | Τὸ δοῦναι | Ἐν δὲ τῷ γράψαι. | Τοὺς ἔχοντας. |
| Ἐν μὲν γὰρ τῷ γράψαι. | Καὶ ἐν τῷ προσγράψαι. | Καὶ τοὺς ἔχοντας. | Καὶ τὸ δοῦναι. |
| Καὶ τοὺς ἔχοντας | Καὶ τὸ δοῦναι. | Ἐν τῷ γράψαι. | Καὶ ἐν τῷ προσγράψαι. |

*Ἐν δὲ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν.*

*Ἐν μὲν γὰρ τῷ γράψαι, μηδένα εἶναι ἀτελῆ, καὶ ἐν τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς. Καὶ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν καὶ τὸ δοῦναι ὑμῖν ἐξεῖναι.*

*Καὶ τοὺς ἔχοντας ἀφείλετο ἀτέλειαν καὶ τὸ δοῦναι ὑμῖν ἐξεῖναι.*

*Ἐν τῷ γράψαι μηδένα εἶναι ἀτελῆ καὶ ἐν τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς.*

*Ὁ μὲν οὖν Ἑρμογένης τετραχῶς οὕτως ταύτην φησὶ ποικίλλεσθαι·* [42] *ἡμεῖς δὲ καὶ ἄλλας προσεξεύρομεν τέσσαρας ἀναστρεφομένων τῶν προτέρων κατ' ἀναποδισμὸν ἐκ τοῦ τέλους εἰς τὴν ἀρχήν.*

*Τό τε γὰρ δοῦναι — Ἐν τῷ προσγράψαι — Καὶ τοὺς ἔχοντας — Ἐν τῷ γράψαι.*

*Τούς τε γὰρ ἔχοντας — Ἐν τῷ γράψαι — Καὶ τὸ δοῦναι — Ἐν τῷ προσγράψαι.*

*Τό τε γὰρ δοῦναι — Καὶ τοὺς ἔχοντας — Ἐν τῷ προσγράψαι — Καὶ ἐν τῷ γράψαι.*

*Ἔν τε γὰρ τῷ προσγράψαι. — Καὶ ἐν τῷ γράψαι — Καὶ τὸ δοῦναι — Καὶ τοὺς ἔχοντας.*

*Ἔκθεσις τῆς χιαζομένης περιόδου πρὸς τὸ πολλάκις ἀναστρέφεσθαι.*

*Ὁ μὲν γὰρ Φίλιππος ὅσῳ πλείονα — Τοσούτῳ θαυμαστότερος.*

*Ὑμεῖς δὲ ὅσον χεῖρον — Τοσούτῳ πλείονα.*

*Ὅσῳ μὲν γὰρ ὁ Φίλιππος πλείονα — Τοσούτῳ πλείονα.*

*Ὅσῳ δὲ ὑμεῖς χεῖρον — Τοσούτῳ θαυμαστότερος.*

*Ὑμεῖς μὲν γὰρ ὅσῳ χεῖρον — Τοσούτῳ πλείονα.*

---

42 Ald. ποικίλεσθαι.

*Ὁ δὲ Φίλιππος ὅσῳ πλείονα — Τοσούτῳ θαυμαστότερος.*

*Ὅσῳ μὲν γὰρ ὑμεῖς χεῖρον — Τοσούτῳ θαυμαστότερος.*

*Ὅσῳ δὲ ὁ Φίλιππος πλείονα — Τοσούτῳ ὑμεῖς πλείονα.*

*Ὅσῳ μὲν γὰρ Φίλιππος πλείονα, ὑμεῖς δὲ χεῖρον — Τοσούτῳ ἐκεῖνος μὲν θαυμαστότερος, ὑμεῖς δὲ πλείονα.*

*Ὅσῳ μὲν γὰρ ὁ Φίλιππος πλείονα, ὑμεῖς δὲ χεῖρον — Τοσούτῳ ὑμεῖς μὲν πλείονα, ἐκεῖνος δὲ θαυμαστότερος.*

*Ὅσῳ μὲν γὰρ ὑμεῖς χεῖρον, ὁ δὲ Φίλιππος ὅσῳ πλείονα — Τοσούτῳ ἐκεῖνος μὲν θαυμαστότερος, ὑμεῖς δὲ πλείονα.*

*Ὅσῳ μὲν γὰρ ὑμεῖς χεῖρον, ὁ δὲ Φίλιππος ὅσῳ πλείονα — Τοσούτῳ ὑμεῖς μὲν πλείονα, ἐκεῖνος δὲ θαυμαστότερος.*

*Τοσούτῳ μὲν γὰρ ὑμεῖς πλείονα — Ὅσῳ χεῖρον.*

*Τοσούτῳ δὲ ὁ Φίλιππος θαυμαστότερος — Ὅσῳ πλείονα ὑπὲρ τήν.*

*Τοσούτῳ μὲν γὰρ ὁ Φίλιππος θαυμαστότερος — Ὅσῳ ὑμεῖς χεῖρον.*

*Τοσούτῳ δὲ ὑμεῖς πλείονα — Ὅσῳ Φίλιππος πλείονα ὑπὲρ τήν.*

*Τοσούτῳ μὲν γὰρ ὁ Φίλιππος θαυμαστότερος — Ὅσῳ πλείονα ὑπὲρ τήν.*

*Τοσούτῳ δὲ ὑμεῖς πλείονα — Ὅσῳ χεῖρον.*

*Τοσούτῳ μὲν γὰρ ὑμεῖς πλείονα — Ὅσῳ ὁ Φίλιππος πλείονα ὑπὲρ τήν.*

*Τοσούτῳ δὲ ὁ Φίλιππος θαυμαστότερος — Ὅσῳ ὑμεῖς χεῖρον.*

*Τοσούτῳ μὲν γὰρ ὑμεῖς πλείονα, ὁ δὲ Φίλιππος θαυμαστότερος — Ὅσῳ ὑμεῖς μὲν χεῖρον, ὁ δὲ Φίλιππος πλείονα.*

*Τοσούτῳ μὲν γὰρ ὁ Φίλιππος θαυμαστότερος, ὑμεῖς δὲ πλείονα, — Ὅσῳ ὑμεῖς μὲν χεῖρον, ἐκεῖνος δὲ πλείονα.*

Τοσούτῳ μὲν γὰρ ὑμεῖς πλείονα, ὁ δὲ Φίλιππος θαυμαστότερος — Ὅσῳ ὁ μὲν Φίλιππος πλείονα, ὑμεῖς δὲ χεῖρον.

Τοσούτῳ μὲν γὰρ ὁ Φίλιππος θαυμαστότερος, ὑμεῖς δὲ πλείονα — Ὅσῳ ἐκεῖνος πλείονα, ὑμεῖς δὲ χεῖρον.

## Περὶ πνεύματος.

Δεῖ τοίνυν τὸν μέλλοντα λέγειν τὰ ποῖα τῶν νοημάτων κατὰ πνεῦμα ἐξενεχθήσεται· καὶ τὰ λοιπά.

Ἐπῳδῷ μετρούμενον· οἱ ἀρχαῖοι[1] ἐποίουν στίχους δύο μείζους καὶ ἕνα ἐλάττονα· τῶν οὖν μειζόνων τὸν πρότερον στροφὴν ἐκάλουν· περὶ[2] τὸν βωμὸν ἐν ταῖς ἑορταῖς ᾄδοντες αὐτὸν, καὶ[3] χορεύοντες· τὸν δὲ δεύτερον ἀντίστροφον ἐναλλάξοντες τὴν χορείαν, τὸν δὲ ἐλάττονα ἐπῳδὸν, ᾄδοντες αὐτὸν ἑστηκότες· ἐδήλου δὲ, ὥς φασιν, ἡ μὲν στροφὴ τὴν τῆς ἀνωτάτω σφαίρας κίνησιν, ἡ δὲ ἀντίστοφος τὴν τῶν πλανωμένων· ἡ δὲ ἐπῳδὸς τὴν τῆς γῆς ἠρεμίαν. β′ Περινενόηται· τουτέστι κατείληπται τῇ διανοίᾳ τοῦ ἀκούοντος. γ′. Οἱ δέ φασι· καὶ εἰ ἄρα τὸ κόμμα ἐπῳδῷ μετρεῖται καὶ τὸ κῶλον ἐπῳδός ἐστι, κόμμα ἂν καὶ κῶλον εἴη τὸ αὐτό· ἀλλὰ προηγουμένως μέν ἐστιν εἰπεῖν, ὡς οὐ τῶν αὐτῶν ἐστιν ἑκατέρα ἡ δόξα, εἰ δὲ καὶ τῶν αὐτῶν ἦν, λέγοιτ' ἂν κόμμα μὲν ἐπῳδῷ μετρούμενον, τὸ μέγιστον τῶν ἄλλων κόμμα, κῶλον δὲ ἐπῳδὸς εἶναι τὸ ἐλάχιστον τῶν ἄλλων κῶλον· ὥστε τὸ μέγιστον κόμμα ταὐτὸν εἶναι τῷ ἐλαχίστῳ κώλῳ. δ′. Ἐλέγχεται δὲ τὸ πνεῦμα· τέσσαρα κατ' ἀρχὰς ἐπηγγείλατο εἰπεῖν, τί ἐστι πνεῦμα, καὶ πόσα εἴδη αὐτοῦ, καὶ πόθεν γίνεται καὶ πῶς συντίθεται· ὧν τὰ μὲν πρότερα δύο ἐδίδαξεν ἐν τῷ εἰπεῖν „πνεῦμα μὲν οὖν ἐστιν,“

---

1 Cfr. T. VII. α. 2 Ald. παρά. Compendium scribendi πε quo utitur Par. eodem iure legi potest περί. 3 καὶ ex Par. recepi, Ald. om.

καὶ ἐν τῷ „εἴδη δὲ πνευμάτων δύο,“ νυνὶ δὲ τὸ τρίτον λέγει. „εἰ γὰρ ἀποφαντικῶς [4] ἄρξῃ,“ φησὶ, „τοῦ προτέρου [5] κώλου, ἀποφαντικῶς δεῖ σε καὶ τὰ λοιπὰ κῶλα περᾶναι, ἄχρις ἂν εἰς ἕτερον βούλει πνεῦμα μεταδοῦναι· τότε γὰρ ὑπαλλάξεις τὸ σχῆμα·“ πάντα πάλιν τὰ ἐκείνου κῶλα ἢ ἐρωτηματικῶς προφέρων ἢ δεικτικῶς, ἤ τι τῶν τοιούτων· τὸ δὲ τέταρτον ἐφεξῆς ἐρεῖ ἐν τῷ· συνδεῖται δὲ τὸ πνεῦμα. ε. Καὶ πάσχει δέ γε· ἢ ἀντὶ τοῦ πάθος ἐμφαίνει ψυχῆς· οἷον θυμὸν τοῦ λέγοντος, ἢ λύπην ἢ τὰ τοιαῦτα· ἢ ἀντὶ τοῦ πάθος ἐμποιεῖ τοῖς ἀκούουσι. ς'. Καὶ Ὅμηρος· σὺ καλῶς τέθεικε τὸ [6] τοῦ Ὁμήρου· ὁ γὰρ Ὅμηρος πρῶτον τὴν παραβολὴν τέθεικε, καὶ οὕτω τὰ πράγματα· ἴσως δ' ἂν ἐν ἑτέρῳ τόπῳ εὑρεθείη τι τοιοῦτον κατὰ τὸν Ὅμηρον.

### Περὶ διλημμάτου.

Τὸ δὲ διλήμματόν ἐστι σχῆμα μὲν λόγου, δριμύτητος δὲ δόξαν ἔχον καὶ ἀλήθειαν· καὶ τὰ λοιπά.

Δεῖ δὲ τὰς ἐρωτήσεις· δεῖ γὰρ ἐναντίας ἀλλήλαις [1] εἶναι καὶ ἀμέσους· ἵνα, κἂν θέλῃ κἂν μὴ θέλῃ, θατέραν τῶν δύο ἀποκρίνηται· εἰ γὰρ εἶεν ἔμμεσοι, διαφεύξεταί σου τὴν ἐρώτησιν τὸ μέσον ἀποκρινάμενος· οἷον εἰ ἐρωτήσεις, πότερον πενιχρὰν ἔγημας ἢ τῶν εὐδαιμόνων, ἀποκριθήσεται, μηδ' ἑτέραν ἀλλ' αὐτάρκη κεκτημένην· καὶ μενεῖς ἀχανής· β' Ἤιδεις τὰ μέλλοντα· συνεβούλευσε [2] Δημοσθένης ἑλέσθαι τοὺς χιλίους νεκροὺς, οὐ τοὺς δισχιλίους [3] αἰχμαλώτους· ἀπέκτεινε Φίλιππος τοὺς δισχιλίους αἰχμαλώτους, καὶ κρίνεται ὑπ'

---

4 Ald. Par. ἀποφατικῶς h. l. et v. sq. scripsi ἀποφαντ. 5 Par. πρώτου. 6 Ald. καί. Par. τό

1 Ald. et Par. ἀλλήλας. posui ἀλλήλαις. 2 Ex Par. 2977. v. 26. Ald. νεκρός. 3 Par. 2977. τριακοσίους.

Αἰσχίνου Δημοσθένης δημοσίων· χρῆται οὖν Δημοσθένης [4] συγγνωμονικῷ, ὅτι ἠγνόουν τὸ μέλλον. γ'. Ὅταν τῶν ἐρωτήσεων· δεῖ γὰρ πρὸς ἑκατέραν τῶν ἐκ τῆς [5] ἐρωτήσεως ἀποκρίσεων ἕτοιμον εἶναι τὸν ἐρωτῶντα λύειν αὐτήν· τὸ δὲ σεσόφισται, ἀντὶ τοῦ σεσοφισμένως προῆλθεν· [6] ἢ ὅτι βίαιόν ἐστι. δ'. Ὅπερ καὶ παρ' ἡμῶν· τοῦτο ἐν τῇ διαιρέσει τῶν στάσεων ἐξέθετο κατὰ τὸ δεύτερον εἶδος τῆς ἀντιλήψεως· τὸ ἀπ' αὐτοῦ τε τοῦ πεπραγμένου καὶ τινος ἐπισυμβεβηκότος ἑτέρου τὴν κρίσιν ἔχον, ἐν ᾧ φησιν, ἐπὶ τίσι με κρίνεις.

374 Περὶ παρηχήσεως.

*Παρήχησις δέ ἐστι κάλλος ὁμοίων ὀνομάτων ἐν διαφόρῳ γνώσει ταὐτὸν ἠχούντων, καὶ τὰ λοιπά.*

Ἰστέον, ὅτι τὸ μὲν πείθει τὸν Πεισίαν, [1] καὶ τὸ οὐκ Εὐπείθει πείθοντο, [2] κατὰ δύο λέξεις γίνονται· τὸ δὲ, ἤτοι ὅγ' ἐς πεδίον τὸ Ἀλήϊον [3] κατὰ τρεῖς· τὸ δὲ τοῦ Θουκυδίδου [4] κατὰ τέσσαρας· τοιοῦτον δὲ καὶ τὸ παρὰ τῷ Δημοσθένει, [5] „δεινὸν γὰρ εἰ τοὺς ἑλεῖν, ἂν ἕλωσιν, οὐκ εἰδότας ἑλόμενοι ἐλεήσετε.

Περὶ κύκλου.

*Κύκλος ἐστὶ σχῆμα καὶ αὐτὸ ἑρμηνείας ἴδιον κάλλος ἐμπεριέχον λόγου, καὶ τὰ λοιπά.*

Κύκλος ἐστίν· ἀντὶ τοῦ κυκλικὸν σχῆμα λόγου.

---

4 *Δημοσθ.* Par. 2977. om. — Post τὸ μέλλον addit: καὶ κατὰ διλήμματον ἐρωτᾷ τὸν Αἰσχίνην, σὺ δὲ ᾔδεις τὸ μέλλον, ἢ οὐκ ᾔδεις ὡς ἑκατέραις ταῖς ἀποκρίσεσιν ἁλωσόμενον. 5 ἐκ τῆς ex Par. recepi, Ald. om. 6 Sch. min. προήχθη καὶ καλῶς, καὶ ὁ προαγαγὼν αὐτὸ σεσοφισμένως Δημοσθένης ἐστὶν, καὶ διὰ τοῦτο καλεῖται Δημοσθενικόν.

1 Xenoph. Hellen. VII. 1, 41. Πεισίαν. Ald. Par. Πειθίαν. 2 Od. Ω. 465. 3 Il. Z. 201. 4 Thuc. I. 110. τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν. 5 Vide expositionem

κύκλος γὰρ κυρίως ὁ τῶν γεωμετρῶν· οὗτος δὲ ὡς ὁμολογούμενον ὂν περὶ λόγου λέγειν, παρῆκεν οὕτως [1] εἰπεῖν, καὶ κύκλος ἁπλῶς εἴρηκεν· οὐκ ἔστι δὲ οὐδὲ ὁ τούτων ὁρισμὸς τέλειος· οὐδὲ γὰρ ἀντιστρέφει· οὐδὲ γὰρ καὶ πᾶν σχῆμα ἑρμηνείας ἴδιον κάλλος ἐμπεριέχον λόγου κύκλος ἐστί· διὸ οὐδ' οὗτος τῷ τοιούτῳ ἀρεσκόμενος [2] ὁρισμῷ ἕτερον ἐν τῷ τέλει τίθησιν, ὅς ἐστιν ἴδιος τοῦ κύκλου· τὸ δὲ ἀφ' ὧν ἂν ἄρξηταί τις ὀνομάτων οὐ περὶ ὀνομάτων μόνον φησίν· ἀλλὰ καὶ πάντων τῶν τοῦ λόγου μερῶν.

## Περὶ ἐπιφωνήματος.

Τὸ ἐπιφώνημα λόγος ἐστὶν ἔξωθεν ἐπὶ τῷ πράγματι παρ' ὑμῶν λεγόμενος· καὶ τὰ λοιπά.

Μέχρι γὰρ ἄν τις· εἰ κατὰ κῶλον, φησί, ποιοῖτό [1] τις μεμετρημένως τὴν τοῦ πράγματος διήγησιν. διατύπωσίς ἐστι τοῦ πράγματος μόνον καὶ προβλήματος διασκευή· εἰ δὲ παυσάμενος ἐπενέγκοι τι ἔξωθεν τολμηρῶς, ὡς ἔχειν τι παράδοξον καὶ οὐ τοῖς πᾶσιν ἐγνωσμένον, ἀλλ' οὐδὲ ἀπηλλοτριωμένον τῶν ἐν τοῖς πρὸ αὐτοῦ κώλοις ῥηθέντων, ἀλλά τινα ἐπίτασιν αὐτοῦ, ἐνίοτε δὲ καὶ τὴν τῆς ἐπιτάσεως γένεσιν, ἐπιφώνημα τοῦτό ἐστιν· οὐκ ὀρθῶς δὲ τέθεικε τὸ τοῦ Ὁμήρου παράδειγμα· τὸ γὰρ ἐπιφώνημά ἐκεῖ οὐκ ἐν τῷ τέλει, ἀλλ' ἐν τῷ μέσῳ κεῖται· ἔχει γὰρ οὕτω·

Σὺν [2] δὲ νεφέεσσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
Σὺν δ' εὖρός τε νότος τ' ἔπεσε, ζέφυρός τε δυσαής·
Καὶ βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων.

ἴσως δὲ οὐ προσέσχεν Ἑρμογένης, ἀλλ' ἐπλανήθη διὰ

---

1 Par. οὗτος. 2 Par. ἀρεσκ. τῷ τοιούτῳ.

1 Ald. ποιεῖτο. 2 Od. E. 293.—296.

τὴν ταυτότητα τοῦ ὀρώρει δ' οὐρανόθεν νύξ. εὑρίσκεται γὰρ πολλαχοῦ παρ' Ὁμήρῳ τὸ τοιοῦτον ἐπιφώνημα ἐν τῷ τέλει κείμενον. οἷον·

Ὣς εἰπὼν[3] σύναγε νεφέλας ἐτάραξε δὲ πόντον
Χερσὶ τρίαιναν ἑλών· πάσας δ' ὀρόθυνεν ἀέλλας
Παντοίων ἀνέμων· ὤρώρει[4] δ' οὐρανόθεν νύξ.

Ὁρίζεται δὲ παρά τινων τὸ ἐπιφώνημα καὶ λέξις[5] ἐπικοσμοῦσα· οὐ γὰρ ἴση πασῶν τῶν λέξεων χρεία, ἀλλ' αἱ μὲν ὑπηρετοῦσι τοῖς πράγμασι· καὶ δι' ἑαυτῶν ὡς ἐν εἰκόνι παριστῶσιν αὐτά· αἱ δὲ ἐπικοσμοῦσαι γαργαλίζουσι τὴν ἀκοὴν διὰ τῆς ἡδύτητος ἐπεισάγουσαι καί τι περισσότερον τῶν προλεχθέντων καὶ καλλωπισμὸν τοῦ λόγου· ἐπὶ τέλει δὲ τίθενται,[6] ὥσπερ καὶ ἡ ὦα ἐν τοῖς τῶν ἱματίων ἄκροις, ἵνα μὴ βραχεῖαι οὖσαι, ἂν ἐν τῷ μεταξὺ τεθῶσιν, ὑπὸ τοῦ πλήθους τῶν λεγομένων συγκρύπτοιντο ὡς καὶ τόδε τὸ Ὁμηρικόν·

Ἐκ καπνοῦ κατέθηκ'[7] ἐπεὶ οὐκ ἔτι τοῖσιν ἐῴκει
Οἷα πάρος[8] Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς·
Πρὸς[9] δ' ἔτι καὶ τόδε μεῖζον ἐπὶ φρεσὶν ἔμβαλε δαίμων·
Μήπως οἰνωθέντες ἔριν στήσαντες ἐν ὑμῖν
Ἀλλήλους τρώσητε.[10]

εἶτα τὸ ἐπιφώνημα·

Αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος·

τινὲς δὲ καὶ τὴν γνώμην ἐπιφώνημα γίνεσθαί φασιν. ἀλλὰ τὸ ἐπιφώνημα δεῖ τελευταῖον ἀεὶ τίθεσθαι· ἡ δὲ γνώμη πολλάκις προτασσομένη ἐλέγχεται μὴ εἶναι, μηδὲ ἐοικέναι ἐπιφωνήματι.

---

3 Od. E. 291—294. 4 Ald. ὀρώρει. 5 Par. λέξεις. 6 Ald. τεθέντα. Par. τίθενται. 7 Ald. τέθεικ'. Par. et T. VII. κατέθηκεν. Od. T. 7. 8 Ald. Par. et T. VII. τὰ πάρος [Ald. πάρως) Τροίην δὲ κ. κάλλιπεν Ὀ. ἄλλο δὲ μεῖζον ἐπὶ φρ. 9 Od. T. 10—14. 10 Ald. Par. τρώσοιτε. T. VII. τρώσητε· μέχρι τούτου ἡ διατύπωσις.

## Περὶ τροπῆς.[11]

*Συντελικὰ τῆς τροπῆς*· τουτέστι συντελεστικὰ, ἁρμόδια. Τὸ δὲ μεθύει[12] ἐπιφωνηματικῶς εἴρηται.

## Περὶ σεμνοῦ λόγου.

Σεμνὸν δὲ εἴ τί πού ἐστιν ἐν τοῖς οὖσι, καὶ τὰ λοιπά. 375

*Ὁ μὲν δὴ μέγας*· ὅμοια καὶ ταῦτα τὰ Ὁμήρου ἔπη·

Ἦ καὶ κυανέῃσιν[1] ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος
Κρατὸς ἀπ' ἀθανάτοιο, μέγαν δ' ἐλέλιξεν[2] Ὄλυμπον.

καὶ

Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε[3] Πηλείωνα,
Οἴῳ φαινομένη, τῶν δ' ἄλλων οὔτις ὁρᾶτο.[4]

καὶ

Ἔκλαγξαν[5] δ' ἄρ' ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο,
Αὐτοῦ κινηθέντος, ὃ δ' ἤϊε νυκτὶ ἐοικώς.

καὶ

Φράζεο[6] Τυδείδη καὶ χάζεο, μηδὲ θεοῖσιν
Ἶσ' ἔθελε φρονέειν, ἐπεὶ οὔποτε φῦλον ὁμοῖον
Ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων.

β. *Ἡ πολλάκις οὐδὲ λέγεται*· ὅτι μὲν οὐ λέγεται, ἀληθὲς, καὶ δεῖ γίνεσθαι οὕτως· ὅ γε μὴν Ὅμηρος, οὐχ ὡς οὗτος φησὶν, ἐποίησεν,[7] ἀλλὰ καὶ τὸ ἔργον ἐδήλωσεν. ἔχει γὰρ ὧδε·[8]

Λῦσε δὲ παρθενικὴν ζώνην, κατὰ δ' ὕπνον ἔχευεν.
Αὐτὰρ ἐπεὶ[9] ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα,
Ἔν τ'[10] ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.[11]

---

11 Ald. caput hoc omittit: in Par. pauca haec exstant. 12 Phil. I. p. 54. 1 Ald. κυανέοισιν — κεῦσε. Par. κυανέῃσιν. Il. Α. 528. 2 Ald. ἐγέλιξεν. 3 Ald. Par. δὲ ἕλε κόμης. Il. Α. 197. 4 Ald. οὔ τι ὁρᾶτος. 5 Il. Α. 46. 6 Il. Ε. 440. 7 Ald. οὗτος ἔφη ἐποί σεν. 8 Od. Λ. 245. 9 Ald. et Par. ἐπείῤ'. 10 Ald. ἔνθ'. 11 Ald. ὠνόμαζε.

καὶ μετὰ πολλὰ[12] ἐπάγει τὸ,

ἡ δ' ὑποκυσσαμένη.

## Περὶ κακοζήλου.

Τὸ δὲ κακόζηλον γίνεται ἢ κατὰ τὸ ἀδύνατον ἢ κατὰ τὸ ἀνακόλουθον, καὶ τὰ λοιπά.

Γίνεται τὸ κακόζηλον κατὰ τὸ ἀδύνατον, οἷον·

Σειρὴν[1] χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες,
Πάντες δ'[2] ἐξάπτεσθε θεοί·

ἄχρι τοῦ

Αὐτῇ κεν γαίῃ ἐρύσαιμ', αὐτῇ τε θαλάσσῃ·

Κατὰ τὸ ἀνακόλουθον· οἷον ἐκ τοῦ κατὰ τὴν Δάφνην πλάσματος, ὡς ἡ γῆ τὴν κόρην κρύψασα φυτὸν ἀνέδωκεν ὁμώνυμον· ἀνακόλουθον γὰρ τῷ[3] λυπεῖν ἐθέλειν τὸ βούλεσθαι θεραπεύειν. κατὰ τὸ αἰσχρόν. οἷον·

Ἦ ῥα[4] καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν.

κατὰ τὸ ἀσεβὲς, οἷον·

Ζεῦ πάτερ, οὔ τις σεῖο[5] θεῶν ὀλοώτερος ἄλλος·

κατὰ τὸ ἄδικον, οἷον·

Ἐγὼ[6] δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον
Αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας.

κατὰ τὸ τῇ φύσει πολέμιον, ὡς ἐὰν λέγωμεν τὴν Δάφνην φυγοῦσαν Ἀπόλλωνα ὑπὸ τὴν μητέρα γῆν ἢ τὸν πατέρα Λάδωνα διαιτᾶσθαι· φύσει γὰρ ζώοις ἡ τοιαύτη δίαιτα πολεμία καὶ ἀναιρετική. β'. Ἐν τῇ προδιορθώσει μόνῃ· ἔστι καὶ ἄλλη προδιόρθωσις· ἐὰν εἴπω μή μοι ἀπιστήσῃς λέγοντι· ἢ εἴ μοι δίδως εἰπεῖν καὶ τὰ τοιαῦτα· ὁμοίως ἔστι καὶ ἄλλη ἐπιδιόρθωσις· οἷον ἐάν τι τῶν μὴ δεόντων εἰπὼν καταφύγῃς ἐχομένως[7] εἰς συγγνώμην,

---

12 v. 253. 1 Il. Θ. 19. 2 δ' Ald. Par. om. 3 Ald. τὸ λυπεῖν ἐθ. τῷ βούλ. Par. τῷ λυπεῖν ἐθ. τὸ βούλ. 4 Il. Ξ. 346. 5 Ald. Par. οὔτοι σοῖος. Il. Γ. 365. 6 Il. Α. 184. 7 T. VII. ἐγνωσμένως.

ὡς δι᾽ ὀργὴν εἰρηκὼς ἢ λύπην ἢ ἔλεον [8] ἢ ἡδονήν· ἢ ἐὰν [9] αἰτίαν προβάλῃ, ὅτι διὰ τόδε εἶπον ἢ τόδε.[10]

## Περὶ τῶν ἐσχηματισμένων προβλημάτων.

**Τῶν ἐσχηματισμένων προβλημάτων τὰ μέν ἐστι κατὰ τὸ ἐναντίον, καὶ τὰ λοιπά.**

*Ἡ μέντοι μεταχείρισις·* [1] ἡ αὐτὴ μεταχείρισις ἐπ᾽ ἀμφοῖν τῷ ἐναντίῳ καὶ πλαγίῳ· ποία αὕτη; ἡ ὑποφορά, δι᾽ ἧς ἐγγίνεται. τὸ εἰδέναι μελετᾶν ἄμφω· αἱ δὲ ὑποφοραὶ μελετῶνται ἰσχυρῶς, καὶ τὴν ἰσχὺν ὁ ῥήτωρ ἐν ταύταις μᾶλλον ἐπιδείκνυται ἢ ἐν τῷ δοκοῦντι εἰσάγεσθαι. τὴν μὲν γὰρ εἰσαγωγὴν ὁ ὑπὲρ τοῦ Περικλέους λέγων ὀφείλει ποιεῖν ἀσθενῆ, τὴν ὅτι δεῖ ὑπακοῦσαι καὶ δοῦναι αὐτὸν Λακεδαιμονίοις· τὴν δὲ ὑποφοράν, εἴτουν τὸν ἀπὸ τῶν ἐχθρῶν λόγον, ἰσχυρὰν κατασκευάζεσθαι [2] παντὶ τρόπῳ, ἐπιχειρήμασιν, ἐργασίαις, ἐνθυμήμασιν, ἐπενθυμήμασιν, πλαστοῖς, καὶ εἰπεῖν ἐν τῇ ὑποφορᾷ τῶν ἐχθρῶν, πάντα τὰ εἴργοντα δοθῆναι Περικλέα Λακεδαιμονίοις, ὅσα δηλαδὴ ἢ ἐκεῖνος αὐτὸς οἰκείῳ προσώπῳ θέλων λέγειν εἶπεν ἂν ὑπὲρ [3] ἑαυτοῦ, ἢ ἕτερος ὑπὲρ αὐτοῦ λέγων. τοῦτο γὰρ μηχανᾶται, ἵνα αὐτὸς μὲν οἰκείῳ προσώπῳ λέγῃ, δεῖ ἀπιέναι με, συνιστᾷ δὲ ἀλλοτρίῳ [4] προσώπῳ, ἤγουν [5] ὑποφορᾷ, τὸ μὴ δεῖν ἀπιέναι. [6] Δεῖ δὲ τὰς κατασκευὰς σαθρὰς ποιεῖν ὡς δέχεσθαι ὑποφορὰς καὶ ἀντιθέσεις· ἐπεὶ εἰ ἰσχυρὰς ποιήσω, πρόδηλον [7] ὡς

8 ἢ ἔλεον T. VII. om. 9 Ald. ἂν αἰτίαν προβάλλῃ [sic]. Par. ἐὰν α. προβάλῃ. 10 Ald. τότε.

1 Ald. Par. h. l. et paullo post μεταχείρησις, scr. μεταχείρισις, ut infra et T. VII. scribitur. Vide p. 363. — v. 12. δεῖ Ald. om. 2 Par. et T. VII. κατασκευάσαι. 3 ὑπὲρ ἑαυτοῦ ἢ ἕτερος T. VII. om. 4 T. VII. ἄλλῳ. 5 Ald. ἤως. 6 T. VII. add.: ὁ τῆς κατασκευῆς ἐστι λόγος ἐμός, ἡ δὲ ὑποφορὰ τοῦ ἀντιδίκου· ὀφείλω οὖν σαθρὰς κατασκ. ποιεῖν ἐνδέχεσθαι. 7 T. VII. προδήλως σπ.

σπεύδω πείθειν, καὶ οὐχὶ σχήματι τοῦτο ποιεῖν.[8] β΄.
*Δεῖ δὲ μεταχειρίσεως*· εἰ γὰρ ἐν ταῖς ἐμφάσεσι γυ-
376 μνοὺς εἰσάγοιμεν τοὺς λόγους, εἰς ὀργὴν κινήσομεν τοὺς
ἀκροατάς· καὶ οὐκέτι προσέξουσιν ἡμῖν τὸν νοῦν. *Δεῖ
δὲ ἐν τοῖς τοιούτοις*· ἀνεύθυνον τὸ σὸν, ἀντὶ τοῦ
συγγενικόν· ὑπεύθυνον ἀντὶ τοῦ σπερματικοῦ, ὃ καὶ ση-
μαίνεται νῦν κατ᾽ ἔμφασιν. τὸ γὰρ σὸν καὶ τὸ συγγενι-
κὸν σημαίνει[9] καὶ τὸ σπερματικόν. *Εἴρηται ὅπου*.
εἴρηται, φησὶ, παρ᾽ ἐμοῦ ἐν τῇ μελέτῃ οὕτως.

## Περὶ τῶν συγκριτικῶν προβλημάτων.

Τὰ συγκριτικὰ προβλήματα εἰ μὲν στοχασμῷ περιπέσοι ἢ ὅρῳ ῥᾳδίαν ἔχει καὶ τὴν διαίρεσιν, καὶ τὰ λοιπά.

*Συγκριτικά εἰσι προβλήματα ἐν μὲν στοχασμῷ* οἱ διπλοῖ τέλειοι ἢ[1] καὶ ἀτελεῖς ἐκ μόνων προσώπων. ἐν δὲ ὅροις ὁμοίως οἱ διπλοῖ, ὡς ἐπὶ τοῦ ῥήτορος, καὶ τοῦ δορυφόρου, τοῦ μὲν λόγους εἰπόντος κατὰ τυράννου, τοῦ δὲ ἀκούσαντος καὶ ἀποκτείναντος αὐτὸν, καὶ ἀμφισβητούντων περὶ τοῦ γέρως· ἑκάτερος γὰρ ἑαυτὸν μὲν τυραννοκτόνον κατασκευάσει εἶναι· τὸν δὲ ἕτερον μὴ εἶναι. β΄. *χρησόμεθα δέ*· μελετητικὰς ἐφόδους τὰς ἐργασίας οἶμαι καὶ τὰ ἐνθυμήματα καὶ τὰ ἄλλα καλεῖν· τῶν[2] δὲ ἀπό τε τῶν πρὸ τοῦ πράγματος καὶ ἀπὸ τῶν μετὰ τὸ πρᾶγμα συμβαινόντων.

---

8 T. VII. ποιεῖν. Ald. ποιῶ. 9 Ald. σημαίνῃ.

1 Ald. εἰ. Par. ἤ. — v. 16. Ald. λόγου. et v. 19. τῶν δέ.
2 τῶν δὲ Par. om.

## ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΩΝ ΙΔΕΩΝ.[1]

Τὸν πολιτικὸν[2] λόγον δεῖ καὶ τὸ μὴ ἀδύνατον ἔχειν, τουτέστι τὸ δυνάμενον[3] πεῖσαι, καὶ τὸ ἡδύ. τὸ μὲν οὖν δυνατὸν ἐκ τῆς γνώσεως[4] τῶν κεφαλαίων τῶν καθ' ἑκάστην στάσιν γίνεται,[5] περὶ ὧν ἐδίδαξεν[6] Ἑρμογένης ἐν τῇ περὶ τῶν στάσεων πραγματείᾳ·[7] ὁ γὰρ τὰ κεφάλαια μαθὼν οἶδε δή που καὶ ἐνθυμηθῆναι· ὁδηγεῖ γὰρ ἡμᾶς ἐπὶ τὴν τῶν ἐνθυμημάτων εὕρεσιν τὰ κεφάλαια,[8] ἃ καὶ βιάζεται τὴν τοῦ ἀκροατοῦ διάνοιαν, καὶ ἀναγκάζει πείθεσθαι· τό δέ γε ἡδὺ ἐκ τῆς ποικιλίας τῶν σχημάτων

1 Exstant haec Prolegomena in codicibus voluminis VII. in Vindobon. XVIII., qui alias scholiis caret. In cod. Ambros. Q. 27. manu recentiori negligenter ad marginem adjecta sunt. Eadem Ioannes Siceliota commentario suo inseruit. Recensio horum codd. discrepat ab Aldo. 2 Ald. πολιτικῶν. tum Vind. Sicel. Ambr. τὸ δυνατόν. 3 Sicel. τὸ πεῖσαι δυνάμενον. 4 Sicel. γνώσεως. Ald. et codd. reliqui γνώμης. 5 Vind. Sicel. et Ambr. γινομένων. 6 Vind. ἡμᾶς ὁ Ἑρμογ. 7 Post πραγματείᾳ in Sicel. inseritur: περιγίνεται. 8 Sequitur in Vind. Sicel. Ambr.: ὡς ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν τὸ συμφέρον κεφάλαιον ἐργασάμενος [Sicel. et Ambr. ἐργαζόμενος] ὁ Δημοσθένης ἐνθυμήματα εὗρε πεῖσαι δυνάμενα [Sicel. δυνατὰ] τὸν ἀκροατὴν, συμμαχῆσαι Ὀλυνθίοις. Τὸ μὲν γὰρ [Vind. γὰρ om.] συμφέρον ἐστὶν ἐκεῖ κεφάλαιον, ὅτι συμφέρει Ἀθηναίοις ἡ συμμαχία [Vind. Ambr. ναυμαχία] τὰ δὲ ἐνθυμήματα, ὅτι Ὀλυνθίων σωζομένων μακρὰν ἡμῶν ἀπέσται ὁ πόλεμος· εἰ δὲ Ὀλυνθίους Φίλιππος λάβοι [Sicel. Ambr. λάβῃ] ἥξει θᾶττον εἰς [Sic. ἐφ'] ἡμᾶς, ὅτι οὐ τοσαῦτα δαπανήσομεν ἔξω τῆς χώρας αὐτῷ πολεμοῦντες [Sicel. Ambr. πολεμ. αὐτῷ] ὅσα εἰς τὴν Ἀττικὴν ἐλθόντος Φιλίππου· ἔλθοι δ' ἄν, εἰ Ὄλυνθον λήψεται. Βιάζεται τοίνυν τὴν τοῦ ἀκροατοῦ διάνοιαν τὸ ἐνθύμημα καὶ ἀναγκάζει πείθεσθαι, διὸ καὶ τὸ δυνατὸν ἔφαμεν ἐκ τῶν κεφαλαίων γίνεσθαι, δι' ὧν τὰ ἐνθυμήματα προσγίνεται καὶ εὑρίσκεται· τὸ δέ γε ἡδὺ κ. τ. λ.

καὶ τῆς τῶν ἰδεῶν γνώσεως ἐργαζόμεθα. σκληρὸς μὲν γὰρ καὶ προσκορὴς ὁ μονοειδὴς λόγος· ἡδὺς δὲ καὶ πιθανώτατος ὁ ποικίλος καὶ πολυσχημάτιστος. μεταβολὴ γὰρ πάντων ἡδὺ,[9] ὥς φησιν[10] Εὐριπίδης· ἐν τούτῳ[11] οὖν ἡμᾶς τῷ βιβλίῳ ὁ Ἑρμογένης διδάσκει, πῶς δεῖ καλλωπίζειν καὶ ἡδύνειν τά τε εὑρεθέντα ἐνθυμήματα[12] καὶ τὴν φράσιν. κέχρηται δὲ προοιμίῳ, ἐν ᾧ δείκνυσιν ὅτι ἀναγκαία[13] ἡ τῶν ἰδεῶν γνῶσις τῷ ῥήτορι, ἄν τε λέγειν ἄν τε κρίνειν τὰ τῶν ἄλλων θέλῃ·[14] κἂν γὰρ εὐφυὴς ᾖ,[15] οὐδὲν ὄφελος ἐντεῦθεν,[16] ἐὰν μὴ προσῇ τὰ τῆς τέχνης, δι᾽ ἧς ὀρθῶς ἂν καὶ τοὺς ἀρχαίους ζηλώσωμεν.[17]

Ὅτι περὶ καθολικῆς ἰδέας γέγραπται τὸ σύγγραμμα, οὐ περὶ[18] Πλατωνικῆς ἢ Δημοσθενικῆς·

Ὅτι διὰ τῶν τοῦ Δημοσθένους λόγων περὶ πάσης ἰδέας διδάσκει· οὗτος γὰρ ποικίλος μάλιστα ὁ[19] ῥήτωρ.

Ὅτι δυσχερὲς τὴν μῖξιν τῶν ἰδεῶν εὑρεῖν καὶ εὑρόντα φράσαι.

Ὅτι οὐδεὶς τῶν πρὸ αὐτοῦ καθῆκεν ἑαυτὸν εἰς τὴν περὶ τῶν καθολικῶν ἰδεῶν πραγματείαν.[20]

---

9 T. VII. γλυκύτατον, Εὐριπίδης φησὶ, τοῦτο οὖν τὸ ἡδὺ, ἐν τούτῳ κ. τ. λ. 10 Vind. κατὰ τὸν Εὐριπίδην. In Ambr. primum fuit: γλυκύτατον Εὐριπίδην, tum correctum: γλυκὺ κατὰ τὸν Εὐριπίδην (Orest. 234.). 11 Vind. Sicel. Ambr. τοῦτο οὖν τὸ ἡδὺ ἐν τούτῳ ἡμᾶς. 12 Sicel. νοήματα καὶ ἐνθ.μ. 13 Vind. Ambr. ἀναγκαία τῷ ῥήτορι. 14 Par. T. VII. Vind. Sicel. Ambr. ἐθέλῃ. 15 Vind. Ambr. ᾖς. 16 Vind. Ambr. Sicel. ἐνταῦθα. 17 Ald. Vind. ζηλώσομεν. Ambr. Sicel. Par. ζηλώσωμεν. 18 Sicel. οὐ γὰρ Δημοσθ. ἢ Πλατωνικῆς, etiam Vind. Ambr. et T. VII. Δημοσθ. ἢ Πλάτων. 19 ὁ Vind. Ambr. om. 20 Sequitur in Vind. Ambr. Sicel. Ὅτι ἑπτά εἰσιν ἰδέαι, αἳ τὸν Δημοσθενικὸν λόγον ποιοῦσαι, ὧν αἳ μὲν γενικαί εἰσιν, αἱ δὲ εἰδικαὶ, ἐξ ὧν ἅπας γίνεται λόγος. [ἐξ ὧν ἅπας γίνεται λόγος Vind. et Ambr. non habent: contra sequentibus praefigunt: Ἐκ τίνων τε ἅπας γίνεται λόγος· ὅτι ἐξ ἐνν.] Ὅτι ἐξ ἐννοίας

Ὅτι ἑπτά εἰσιν αἱ ἰδέαι αἱ γενικώταται, σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης. τούτων αἱ μὲν τέσσαρες μένουσιν ἀδιαίρετοι, κάλλος, γοργότης, ἀλήθεια, δεινότης· αἱ δὲ λοιπαὶ τρεῖς διαιροῦνται εἰς ἑτέρας δώδεκα· ἡ μὲν σαφήνεια εἰς καθαρότητα καὶ εὐκρίνειαν· τὸ δὲ μέγεθος εἰς σεμνότητα, τραχύτητα, σφοδρότητα, λαμπρότητα, ἀκμὴν καὶ περιβολήν. τὸ δὲ ἦθος εἰς ἀφέλειαν, γλυκύτητα, δριμύτητα καὶ ἐπιείκειαν καὶ βαρύτητα, ὡς εἶναι τὰς [21] πάσας σὺν ταῖς ἀδιαιρέτοις τέσσαρσιν ἐννέα ἐπὶ δέκα. [22] ἑκάστη δὲ τούτων διαιρεῖται εἰς ὀκτὼ, ἔννοιαν, μέθοδον, λέξιν, σχῆμα, κῶλον, συνθήκην, ἀνάπαυσιν καὶ ῥυθμόν.

---

## ΕΡΜΟΓΕΝΟΥΣ ΠΕΡΙ ΙΔΕΩΝ ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

*Εἴπερ ἄλλο τι τῷ ῥήτορι καὶ τὰς ἰδέας οἶμαι τοῦ λόγου τῶν ἀναγκαιοτάτων εἶναι γινώσκειν, καὶ τὰ λοιπά.*

Εἴπερ ἄλλο τι· τὸ χρήσιμον ἐν πρώτοις τοῦ βι- 377
βλίου διὰ πολλῶν ἀποδείκνυσιν, ὡς ἐξ αὐτοῦ πάρεστι γνῶναι· ἰστέον δὲ, ὡς ἰδέα ἐστὶ ποιότης λόγου τοῖς ὑπο-

---

μεθόδου, λέξεως, σχήματος, κώλων, συνθέσεως [Sicel. κώλων, συνθήκης] ἀναπαύσεως καὶ [Vind. Ambr. καὶ om.] ἑκάστη συμπληροῦται τῶν ἰδεῶν. [ἑκάστη συμπλ. τῶν ἰδεῶν Vind. Ambr. non habent] *Τίς ἡ δύναμις τῶν ποιούντων τὰ εἴδη τοῦ λόγου. Ἐπὶ τούτοις ἀνακεφαλαιωσάμενος περὶ πάσης ἰδέας διδάσκει, καὶ πρῶτόν γε περὶ σαφηνείας.* [Sicel. et Ambr. pergunt: *Ἰδέαι εἰσὶν ἑπτὰ σαφηνείας· μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης· τούτων γενικαὶ τρεῖς, σαφήνεια, μέγεθος, ἦθος, αἱ δὲ λοιπαὶ τέσσαρες εἰδικαὶ καὶ ἄτομοι αἵδε· κάλλος, γοργότης, ἀλήθεια, δεινότης.* Finit in his Siceliota: in Ambros. sequitur: *εἰς τρία διαιρεῖται τὸ παρὸν βιβλίον, εἰς τὴν διδασκαλίαν αὐτῶν τῶν ἰδεῶν, εἰς τὴν μίξιν αὐτῶν καὶ περὶ χαρακτήρων διαφόρων εὑρισμένων ἐν τοῖς παλαιοῖς* etc.] Vindob. addit: *Τὰ κεφάλαια τοῦ πρώτου β.* sequitur schema genealogicum. 21 τὰς Ald. om., est in Par. 22 Ald. ἑπτακαίδεκα. Par. θ. ἐπὶ δέκα.

κειμένοις ἁρμόδιος[1] προσώποις τε καὶ πράγμασι κατά τε ἔννοιαν καὶ λέξιν, καὶ τὴν ὅλην τῆς ἁρμονίας καταπλοκήν. β΄. Καλῶν τε καὶ γενναίων·[2] ἀντὶ τοῦ μὴ χαμαιζήλων, μηδὲ εἰκῇ συγκειμένων καὶ εὐκαταφρονήτων. γ΄. Ἡ γάρ τοι μίμησις·[3] Διονύσιος μὲν τὴν μίμησιν οὕτως ὁρίζεται· μίμησίς ἐστιν ἐνέργεια διὰ τῶν θεωρημάτων ἐκματτομένη τὸ παράδειγμα· οἱ δὲ μεταγενέστεροι οὕτω· λόγος ἢ πρᾶξις ὁμοίωσιν εὖ ἔχουσαν τοῦ παραδείγματος περιέχουσα· ζῆλος δέ ἐστιν ἐνέργεια ψυχῆς πρὸς θαῦμα τοῦ δοκοῦντος εἶναι καλοῦ κινουμένη. δ΄. Τοὐναντίον γάρ·[4] ὁ μὲν γὰρ μὴ ὀξὺς τὴν φύσιν ἀγαπᾷ κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα[5] ἀτρέμας ἧσθαι καὶ ἄλλων μῦθον ἀκούειν. ὁ δὲ τῷ τάχει τῆς φύσεως πεποιθὼς καὶ μόνην αὐτὴν πρὸς ἕκαστα τῶν ἐγχειρουμένων ἀποχρῆν οἰόμενος τόν τε παρὰ τῆς τέχνης χαλινὸν οὐκ ἀνεχόμενος καταγέλαστος πολλαχῇ τοῖς ἐπιστήμοσι φαίνεται. καὶ τοιοῦτος οἷος ἵππος ταχὺς ἄνευ τοῦ διοικοῦντος ἀτάκτως φερόμενος, ὃς θεῖ μὲν ταχέως, ἀλλὰ σφαλερῶς· καὶ τὴν μέσην ἀφεὶς ὁδὸν καὶ τετριμμένην εἰς ἀβάτους καὶ κρημνώδεις τόπους ἀφίησιν. ε΄. Κράτιστον μὲν γάρ·[6] ἀρχὴ γὰρ οἱονεὶ καὶ κρηπὶς καὶ χρηστὸν ὄργανον ψυχῆς[7] πρὸς τὰ βέλτιστα χωρεῖν ἐπειγομένης δεξιὰ φύσις. διὸ καὶ Πίνδαρός φησι·

τὸ[8] δὲ φυᾷ κράτιστον ἅπαν.

ὁ δέ γε Ἐπίκουρος[9] ἐν τῷ περὶ ῥητορικῆς αὐθαδέστερον, οἶμαι, λέγων φησὶν αὐτὸς μόνος εὑρηκέναι τέχνην πολιτικῶν λόγων· τοὺς δὲ ἄλλους[10] ἀποσκορακίζων[11] ῥήτορας

1 Ald. ἁρμοδίως. Par. ἁρμόδιος. 2 Cfr. T. VII. ς. 3 T. VII. η. 4 Eadem sunt in Ven., cfr. T. VII. θ. 5 Il. B. 200. 6 T. VII. ι. 7 T. VII. ψυχή. Ald. Par. ψυχῆς — ἐπειγομένη, scr. ἐπειγομένης. Par. 2916. Mon. 8. ἐπαγομένη. Par. 2977. ἐπειγομένη. 8 Mon. 8. Par. 2977. 2916. τῷ δ' εὐφυᾶ. Ol. IX, 151. 9 Mon. 8. Ἐπίκρατος. 10 Ald. Par. 2918. 2977.

ἑαυτῷ πως μαχόμενα λέγει· φύσις γάρ ἐστιν ἡ κατορθοῦσα λόγους, τέχνη δὲ οὐδεμία. ϛʹ. Πλεῖον[12] γὰρ ἄν· τὸ μὲν γὰρ λέγειν ἡ φύσις· τὸ δὲ εὖ ἡ περὶ τὰς ἰδέας δίδωσι τέχνη. ζʹ. Ἀλλ' ὅ γε μαθητόν ἐστιν· ἡ μὲν γὰρ φύσις τῶν οὐκ ἐφ' ἡμῖν ἐστιν. οὐδεὶς γὰρ ἑκὼν ἢ νωθὴς ἢ ὀξὺς τίκτεται· τὸ δὲ τῇ μιμήσει ἑαυτὸν ἐπιδοῦναι τῆς ἡμῶν προαιρέσεώς ἐστιν. ηʹ. Ἐπεὶ μηδὲ ἄλλο τι.[13] Πλάτων τε γάρ φησι·[14]

*Τῶν γὰρ πόνων πωλοῦσιν ἡμῖν οἱ θεοὶ*
*τἀγαθά·*[15]

καὶ Σοφοκλῆς·[16]

*Πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πάτηρ·*

καὶ ὁ ἐν Μιλήτῳ θεός·[17]

*Οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον·*

καὶ πάλιν

*Πάντα πόνος τεύχει θνητοῖς*[18] *μελέτη τε βροτείη.*

θʹ. Καὶ ζώοις λογικοῖς· εἰ γὰρ ἐν θνητοῖς τοῦτο μόνον λογικόν, εἰκότως αὐτῷ καὶ ἡ τοῦ λόγου ἄσκησις πάντων ἐστὶν ἁρμοδιωτέρα. ἕκαστον γὰρ κατὰ φύσιν πρὸς τὴν οἰκείαν ἐπείγεται σωτηρίαν. σώζει δὲ ἕκαστον ἡ τελειότης· ἑκάστου δὲ ἀνθρώπου τελειότης ὁ λόγος.

---

Mon. 8. ἀλόγους. Ven. Par. 2916. ἄλλους. 11 Mon. 8. ἀποσκληροσαρκίζων. 12 Par. πλείονι. 13 T. VII. ιδ. 14 T. VII. φησιν. — Quem versum noster Platoni, Comico sc., tribuit, eum Xenoph. Mem. II, 1. 20. Epicharmi esse dicit, cfr. Ruhnk. annot. ad h. l. p. 301. ed. Schneid. 15 Par. τἀγαθά. Ald. τὰ ἀγαθά. 16 Ex Eurip. Licymnio versum hunc affert Stob. Tit. 29, 7. 17 Ven. ἐν Μιλήτῳ ὁ θεός. Versus hic inter Milesii Phocylidis sententias v. 151. legitur, unde corruptelam suspicatur Ruhnk. l. l. 18 Ald. τεύχει δὲ βροτοῖς μελλέτη δέ. Par. 2977. 2916. Mon. 8. βροτοῖς sine δέ. Ven. θνητοῖς. omnes τε. Archilocho versum hunc tribuit Jo. Sicel. litt. ιδ. πάντα γὰρ πόνος τεύχει θνητοῖς, κατ' Ἀρχίλοχον, μελέτη τ' ἀρίστη, unde a Ruhnkenio ad Xen. Mem. II, 1. 20. a Gaisfordio inter Archilochi fragmenta nr. LXXXVII. relatus est.

Μέλλων δὲ ἐπ᾽ αὐτὸ χωρεῖν ἤδη τὸ διδάσκειν περὶ ἑκάστου τούτων τοσοῦτον προσδιορισάμενος αὐτὸ ποιήσω, καὶ τὰ λοιπά.

*Ὅτι νῦν ἐστιν·* εἰ γὰρ[19] καὶ ἐκ πλειόνων ἰδεῶν οἱ ἑκάστου τούτων συνεστήκασι λόγοι, ἀλλ᾽ οὖν καθόλου ἡ Δημοσθενική τε καὶ Πλατωνικὴ φράσις, μίαν τινὰ σύμμικτον ἐκ πολλῶν ἰδεῶν ἐπιφαίνουσιν[20] ἰδέαν· ἥπερ ἰδίας μὲν οὐκέτι κοινῆς δέ τινος ἐκ τοῦ χρησαμένου τυγχάνει τῆς προσηγορίας. ἐντεῦθεν δὲ ἡμῖν παρίστησιν, ὅτι τὴν τῶν πρὸ αὐτοῦ φεύγει κακίαν, οἱ τῶν καθόλου βραχέα φροντίσαντες τὴν πᾶσαν ἔθεντο σπουδὴν, ἑνὸς ἑκάστου διδάσκειν τοὺς τύπους, ἐνταῦθα δὲ καὶ τὸν τοῦ βιβλίου σκοπὸν δηλοῖ φανερῶς. β′. *Καὶ τὰ λοιπὰ τῶν λόγων εἴδη·* ἰστέον, ὡς ἄλλο μὲν εἶδος, ἄλλο δὲ ἰδέα. καὶ γάρ εἰσιν ὡς περιέχον καὶ περιεχόμενον. οὗτος δὲ ἀδιαφόρως κέχρηται τοῖς ὀνόμασι, ποτὲ μὲν εἴδη τὰς ἰδέας καλῶν, ποτὲ δὲ ἰδέας τὰ εἴδη. γ′. *Ἐπειδὴ δὲ ἐκείνων·* δοκεῖ πως ἐναντία λέγειν ἑαυτῷ, καὶ ὃ τοὺς ἄλλους ἐμέμφετο, τούτῳ αὐτὸν περιπίπτειν. ἔοικε δὲ μὴ οὕτως ἔχειν· οἱ μὲν γὰρ πρὸ αὐτοῦ τὴν πᾶσαν σπουδὴν εἰς τὴν τῶν καθ᾽ ἕκαστα ῥητόρων ἰδέαν ἐσχήκασιν. οὗτος δὲ εἰς αὐτὰς τὰς καθόλου ἰδέας· ὅθεν διπλοῦν τῷ μανθάνοντι τὸ τέλος, αὐτόν[21] τε λόγων καλῶν, εἶναι 378 πατέρα, καὶ τοὺς παλαιοὺς κρίνειν εἰδέναι, διὸ καί φησι· τῶν κατ᾽ ἄνδρα εὐδοκιμούντων. δ′. *Χρησάμενον τῷ λόγῳ·*[22] τὸν Δημοσθένην φησὶ, ὃς[23] ταῖς μὲν τῶν ἰδεῶν ἐπὶ πλεῖστον[24] ἐχρήσατο, ὡς σαφηνείᾳ τε καὶ γοργότητι καὶ περιβολῇ, ταῖς δὲ ἐπ᾽ ἔλαττον, ὡς λαμπρότητι καὶ[25] σεμνότητι καὶ κάλλει· οὕτω γὰρ ὑπερεκπλήττεται διόλου τὸν ῥήτορα, τῆς μίξεως ἕνεκα τῶν ἰδεῶν, ὡς ἕνα ἀνθ᾽ ἑνὸς ἀποφαίνεσθαι· πολιτικῶν[26] τε ἄριστον

19 T. VII. ιθ. 20 Ald. Par. ἐπιφέρουσιν. T. VII. ἐπιφαίνουσιν. Ven. ἰδέαν ἐπιφαίν. 21 Par. αὐτῶν. 22 T. VII. κε. κϛ. 23 Ald. Par. πῶς ταῖς μέν. T. VII. ταῖς μὲν γὰρ, scr. ὅς. 24 Ald. ἐπιπλεῖστον, abest a Ven. 25 T. VII. hoc et sq. καὶ om. 26 Par. πολιτικόν.

τὸν Δημοσθενικὸν, καὶ αὖθις τὸν Δημοσθενικὸν ἄριστον τῶν πολιτικῶν· ὅθεν καὶ [27] Ἰάμβλιχος [28] ἐν τῷ περὶ κρίσεως ἀρίστου λόγου [29] φησί· „δεῖ γὰρ μήτε τὸ σύντονον εἶναι σαφὲς, μήτε τὸ σαφὲς ἰδιωτικὸν, καὶ τὸ μὲν σεμνὸν μὴ εἶναι ἄγαν ἐξηλλαγμένον, τὸ δὲ κοινὸν μὴ εἶναι εὐκαταφρόνητον, ἔχειν δέ τινα ἐξαίρετον ὑπεροχὴν, τὸ γὰρ παντελὲς τοῦτο καὶ συμπεπληρωμένον ὅλοις τοῖς [30] κάλλεσι τῶν λόγων παρ' Ὁμήρῳ τε καὶ Πλάτωνι καὶ Δημοσθένει γνώριμόν ἐστιν ἰδεῖν· ἐπεὶ δὲ [31] τὸ διδάσκειν ἄνευ παραδειγμάτων ἀσαφὲς εἶναι δοκεῖ καὶ ὑπόκουφον, μηδαμοῦ τῆς διδασκαλίας ἐπερειδομένης, διὰ τοῦτο τὸν Δημοσθενικὸν ἐξελέξατο [32] τύπον, ὡς ἓν σῶμα παραδοῦ-

27 Ven. δὲ καί. 28 T. VII. add.: ὁ θεῖος. 29 T. VII. ἀρίστῳ λόγῳ. 30 Ald. Par. 2918. 2916. τοῖς ὅλοις. Mon. 8. ὅλοις om. Ven. ὅλοις τοῖς. 31 δὲ T. VII. om. 32 T. VII. ἐκλεξάμενος τύπον, ὃς καὶ ποικίλος εἶναι δοκεῖ καὶ ἐξ ἁπάσης ἰδέας συμμιγὴς καὶ τοῦτον παραθέμενος ἅμα καὶ τὴν διδασκαλίαν διεσαφήνισε, καὶ ὡς ἓν σῶμα παραδέδωκε, διὰ τὸ μὴ ἐκ π. θ. τ. παραδ. εἰ δέ τις καὶ ζητοίη, τί δή ποτε προετίμησε τοῦ Πλάτωνος τὸν Δημοσθένην καὶ ταῦτα μηδὲν ἧττον κἀκείνου τὸν ἑαυτοῦ διαποικίλαντος [Mon. 8. Par. 2916. διαποικίλλαντος] λόγον σκοπείτω πρότερον περὶ τίνων τῷ τεχνικῷ σκοπὸς διαλαβεῖν· πῶς γὰρ ἠδύνατο περὶ πολιτικῶν χαρακτήρων διαλεγόμενος τοὺς Πλάτωνος ἐν παραδείγματι λόγους παραλαβεῖν ἄλλως τε κἂν τὰ ποιοῦντα παρὰ Πλάτωνι τὰ αὐτὰ, πλὴν ἡ μῖξις διάφορος, πρὸς ἣν ἀφορᾷν δεῖ· τὰ γὰρ ποιοῦντα αὐτὰ πάντως εὑρεθήσεται, κἂν ποιητικὸν λάβῃς λόγον, κἂν πολιτικὸν, ἀλλὰ μιγνυμένων αὐτῶν διαφόρως, ποτὲ μὲν ποιητικὸς, ποτὲ δὲ πολιτικὸς γίνεται λόγος, ὥστε τὸ διάφορον ἡ μῖξις, ἀλλ' οὐ τὰ ἀποτελοῦντα ποιεῖ· καλῶς οὖν ὁ τεχνικὸς ἐν παραδείγματι τὸν Δημοσθενικὸν ἔλαβε λόγον, καθὰ καὶ ὁ Ξεν. Seb. min. συμμιγεῖ· τῷ Δημοσθενικῷ φησι. Τὰ μέρη, οἷον λέξιν, μέθοδον, σχήματα καὶ τὰ τοιαῦτα. Ὅθεν· ἐκ τοῦ δικανικοῦ τυχόν. Ἐξ ὧν ἐκ τῶν ὀκτὼ μερῶν. Ὁποῖον κατὰ τὴν αὐτοῦ φύσιν. Δι' οὗ· διὰ ποίαν αἰτίαν ἐγένετο τοιοῦτον.

ναι τὴν διδασκαλίαν βουληθεὶς τῷ μὴ ἐκ πολλῶν θέσθαι τὰ παραδείγματα. προετίμησε δὲ τὸν Δημοσθένην τοῦ Πλάτωνος, ἐπειδὴ περὶ πολιτικῶν σχημάτων καὶ χαρακτήρων ὁ λόγος αὐτῷ, ἐν οἷς ὁ Δημοσθένης μᾶλλον τοῦ Πλάτωνος ἐπλεόνασεν· ἐποίησε δὲ τοῦτο ὥσπερ καὶ Ξενοφῶν ἐν ταῖς παιδείαις· ὑπογράψας γὰρ ὁποῖον δεῖ εἶναι τὸν βασιλέα καὶ δεῖξαι ταῦτα σπεύδων ἐπ' αὐτῶν τῶν πραγμάτων τὸν Κῦρον ἔλαβεν εἰς ὑπόδειγμα[33] κατ' ἐκεῖνο[34] καιροῦ καλῶς βασιλεύσαντα. ε. Τοτὲ μὲν ποιητικός· οἱ μὲν[35] ποιητικὸν ἐξηγοῦνται τὸν πεποιημένον καὶ ἐπιτετηδευμένον λόγον πρὸς τὸ τοιούσδε τοὺς ἀκούοντας καταστῆσαι, οὐ[36] ποιητικὸν δὲ τὸν ἐπιτετηδευμένον μὲν, μὴ μέντοι δοκοῦντα· ἄμεινον δὲ τῷ Ἁλικαρνασσεῖ[37] Διονυσίῳ ἑπομένους ποιητικὸν μὲν λόγον φάναι τὸν τροπικῇ τε καὶ μεταφορικῇ καὶ διθυραμβώδει[38] συνθήκῃ συντεθειμένον, ὁποία ἡ Γοργίου τοῦ ῥήτορος φράσις· πρῶτον γὰρ ἐκεῖνος, ὥς φησιν ὁ Διονύσιος[39] ἐν τῷ περὶ μιμήσεως δευτέρῳ[40], τὴν ποιητικὴν καὶ διθυ-

33 Par. παράδειγμα. 34 Ald. ἐκεῖνος. Par. κατ' ἐκεῖνο τοῦ καιροῦ. τοῦ manu recentiori insertum. T. VII. κατ' ἐκείνου καιροῦ. 35 T. VII. λ. οἱ μὲν πρὸ ἡμῶν [Mon. 8. προοιμῶν]. 36 T. VII. ὡς οὐ ποιητικὸν δὲ καὶ γὰρ καὶ τὴν οὐ ἄρνησιν τῷ ῥητῷ προσετίθεσαν. 37 T. VII. Ἁλικαρνασεῖ. 38 T. VII. διθυραμβικῇ. 39 Mon. 8. Par. 2916. 2977. ὁ Ἁλικαρνασσεύς. Ald. Par. ὁ Διονύσιος. Ven. Διονύσιος. 40 Ald. Par. 2918. 2916. 2977. Mon. 8. ἐν τῷ [Mon. ἐκ τῶν] περὶ μιμήσεως, χαρακτήρων καὶ συνθέσεως ὀνομάτων. Trium librorum tituli in unum confusi offenderunt jam Harlesium ad Fabric. Bibl. Gr. T. IV. p. 399., cfr. Morelli Bibl. MSS. p. 303. Spengel. συναγ. τεχν. p. 69, Recepi lectionem codicis Ven. non sine metu, ne auctorem non scribam correxerim. In libro de compos. verb. haec, quae h. l. dicuntur de Gorgia, nusquam leguntur. Semel tantum Gorgiae mentio fit p. 144. Schaef. Infra vero haec ipsa ex solo libro περὶ μιμήσεως laudantur. Ceterum notatu dignum, hujus operis,

ῥαμβώδη λέξιν εἰς τοὺς πολιτικοὺς εἰσήνεγκε λόγους· ὡς ποιητικὸν μὲν [41] λόγον, καὶ γὰρ [42] οὕτω τινὲς γράφουσιν, ἀλλ' οὐ ποιητικὸν τὸν εὐρυθμίας μὲν καὶ ἁρμονίας ὁμαλῆς μετειληφότα, κατὰ [43] περίοδον καὶ κῶλον εἰς [44] ἀπηκριβωμένην σύνθεσιν, τὴν δέ γε [45] διθυραμβώδη καὶ ποιητικὴν συνθήκην ἥκιστα ζηλώσαντα, οἵα τίς ἐστιν ἡ τοῦ Ἰσοκράτους φράσις, περὶ ἧς καὶ Διονύσιος ἐν τῷ πρώτῳ τῶν [46] χαρακτήρων ὡδί πως [47] λέγει. „τῶν τε γὰρ φωνηέντων τὰς παραλλήλους θέσεις ὡς ἐκλυούσας τὴν ἁρμονίαν τῶν ἤχων καὶ τὴν λειότητα τῶν φθόγγων λυμαινομένας ἐκτρέπεται, [48] περιόδῳ τε καὶ κύκλῳ περιλαμβάνειν τὰ [49] νοήματα πειρᾶται ῥυθμοειδεῖ [50] πάνυ καὶ οὐ πολὺ ἀπέχοντι τοῦ ποιητικοῦ μέτρου". ὅθεν δὴ καὶ πλείστους ἰάμβους παρ' αὐτῷ τε καὶ Δημοσθένει ῥᾴδιον εὑρεῖν, πάλιν δὲ περὶ τῆς ἄνευ μέτρου λέξεως τῆς ὁμοίας καλῷ ποιήματι λέγων ὁ αὐτὸς Διονύσιος [51] ὧδέ πού φησιν ἐν τῷ περὶ συνθέσεως ὀνομάτων· [52] „Δημοσθένην γὰρ ἐν τοῖς μάλιστα οἴομαι τὴν ποιητικὴν ἐκμεμάχθαι φράσιν, τίς γὰρ οὐκ ἂν ὁμολογήσειεν τοῖς κρατίστοις ἐοικέναι ποιήμασί τε καὶ μέλεσι τοὺς Δημοσθενικοὺς λόγους καὶ μάλιστα τάς τε κατὰ [53] Φιλίππου δημηγορίας καὶ τοὺς δικανικοὺς ἀγῶνας τοὺς δημοσίους", ἔνθα δὴ καὶ τὸ προοίμιον τὸ κατὰ Ἀριστοκράτους παραθεὶς ἐκ πολλῶν αὐτὸ συνεστάναι μέτρων ἀναπαιστικῶν τε καὶ ἐλεγειακῶν δείκνυσι· καὶ πάλιν μετ' ὀλίγα φησίν· [54] „ἀπόχρη

---

quod tribus libris constitisse vulgo ferunt, quartum librum memorari ab anonymo T. VII. 41 Par. et T. VII. δέ. 42 καὶ γὰρ οὕτω — ποιητικὸν T. VII. om. 43 T. VII. κατά τε. 44 εἰς T. VII. om. 45 γε T. VII. om. 46 τῶν T. VII. om. 47 T. VII. ὧδέ πως. T. V. p. 538. Reisk. 48 Ven. ἐξίσταται. 49 τὰ T. VII. om. 50 T. VII. ῥυθμοειδῆ et ἀπέχοντα. 51 Διονύσιος Ven. om. 52 c. 25. p. 378. Schaef. 53 Ven. κατὰ om: Par. 2916. κατὰ Φίλιππον. 54 p. 382. Schaef. Recepi ex Dionysio εὔμετρον, Ald. Codd. ἔμμετρον.

γὰρ τὴν πολιτικὴν λέξιν εὔρυθμον εἶναι καὶ εὔμετρον· οὕτω γὰρ ἂν εἴη ποιητικὴ [55] μέν, οὐ μὴν ποίημα, καὶ ἐμμελὴς μέν, οὐ μέλος δέ“. ἔτι γε μὴν ἐν τῷ περὶ μιμήσεως ὁ αὐτός φησιν, ὅτι Γοργίας μὲν τὴν ποιητικὴν ἑρμηνείαν μετήνεγκεν εἰς λόγους πολιτικούς, [56] οὐκ ἀξιῶν ὅμοιον τὸν ῥήτορα τοῖς ἰδιώταις εἶναι. Λυσίας δὲ τοὐ-
379 ναντίον ἐποίησε· τὴν γὰρ φανερὰν ἅπασι καὶ τετριμμένην λέξιν ἐζήλωσεν, ἔγγιστα νομίζων εἶναι τοῦ πεῖσαι τὸν ἰδιώτην τὸ κοινὸν τῆς ὀνομασίας καὶ [57] ἀφελές· ἥκιστα γὰρ ἄν τις εὕροι τὸν Λυσίαν τροπικῇ καὶ μεταφορικῇ λέξει κεχρημένον· σεμνὰ δὲ καὶ περιττὰ καὶ μεγάλα [58] φαίνεσθαι τὰ πράγματα ποιεῖ τοῖς κοινοτάτοις ὀνόμασι χρώμενος καὶ ποιητικῆς οὐχ ἁπτόμενος κατασκευῆς· ἔτι γε μὴν ὁ αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ τὸ δοκοῦν ἀνεπιτήδευτον εἶναι ἀποίητον ὀνομάζει. καὶ πολὺ κάλλιον ἦν οὕτως ὀνομάσαι τὸ ἀνεπιτήδευτον, ἐπείπερ [59] τοῦτο ἐβούλετο δηλῶσαι· ἢ ὡς οὐ ποιητικόν· ἐπάγει γὰρ καὶ τάδε περὶ Λυσίου· „δοκεῖ γὰρ ἀποίητός τις εἶναι [60] καὶ ἀτεχνίτευτος ὁ τῆς ἑρμηνείας αὐτοῦ χαρακτήρ, καὶ πολλοῖς ἂν καὶ τῶν φιλολόγων παράσχοι δόξαν, ὅτι ἀνεπιτηδεύτως καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ ὡς [61] ἔτυχε σύγκειται· ἔστι δὲ παντὸς ἔργου μᾶλλον τεχνικοῦ κατεσκευασμένος· πεποίηται γὰρ αὐτοῦ τὸ ἀποίητον καὶ δέδεται τὸ λελυμένον, καὶ ἐν αὐτῷ τῷ [62] μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι [63] τὸ δεινὸν ἔχει“. ς΄. Ἐπιτιμήσῃ [64] δὲ

55 Sch. min. *Ποιητικὸν λέγει τὸν ταῖς ἀληθείαις ποιητικόν, ὡς τὸ Ὁμηρικόν, ὡς ποιητικὸν τὸν ἔμμετρον μὲν καὶ ἐοικότα ποιητικῷ, οὐ μὲν πάντῃ ποιητικόν, ὡς τὸν Δημοσθενικὸν καὶ Ἰσοκρατικόν. Τῶν παρὰ τούτῳ· λείπει τὸ λόγων.* 56 T. VII. ποιητικούς. 57 T. VII. καὶ τό. 58 T. VII. μάλα. 59 Par. et T. VII. εἴπερ. 60 Ald. οἶμαι. Par. et T. VII. εἶναι. 61 καὶ ὡς Mon. per lac. om. — Cfr. infra p. 411. Ald. 62 Ald. Ven. τό. 63 Mon. 8. κατασκευάσθαι τὸ δεῖν ἔχειν. 64 Par. ἐπιτιμήσῃ.

μηδείς· κρίσιν μὲν λέγει τὸ[65] κρῖναι τὸν Δημοσθένην παρὰ τοὺς ἄλλους· μέθοδον δὲ τὸ διὰ τῶν τοῦ Δημοσθένους λόγων καὶ περὶ τῶν ἄλλων διδάσκειν ἰδεῶν. ζ. Ἐπ' εὐκρινείᾳ· εὐκρίνειαν οὐκ αὐτὴν τὴν ἰδέαν λέγει· ἀλλὰ τὴν τοῦ ἰδίου συγγράμματος, ὡς τῶν παλαιοτέρων ἀσαφῶς περὶ τῶν ἰδεῶν εἰρηκότων.

Ὁ τοίνυν Δημοσθένης ὅ, τιπερ κεφάλαιον ἦν τῶν πολιτικῶν ἠκριβωκὼς τὸ μὲν ὡς διὰ πάντων ἥκει πανταχοῦ ταῖς μίξεσι, καὶ τὰ λοιπά.

Μήθ' ὅτε συμβουλεύοι·[1] καὶ γὰρ ἐν Φιλιππικοῖς συμβουλεύων σφοδρῷ[2] τῷ ψόγῳ, ὅπερ ἐστὶ πανηγυρικοῦ, κέχρηται κατὰ Φιλίππου, ἔκ τε τῆς οἰκείας φύσεως καὶ τῶν συνόντων καὶ πάντοθεν[3] αὐτὸν διαβάλλειν πειρώμενος· καὶ πάλιν ἐν τῷ[4] περὶ στεφάνου δικανικὸν εἶδος μελετῶν πανηγυρίζει τῇ τε κατ' Αἰσχίνου πομπείᾳ λαμπρῶς ἐπεξιὼν καὶ ταῖς εὐφημίαις τῆς οἰκείας ἐναβρυνόμενος[5] πολιτείας. β. Χαλεπὸν δὲ οὐδὲν ἧττον·[6] παρὰ τὸ εἰρημένον ἐν τῷ κατὰ σοφιστῶν Ἰσοκράτους·[7] „φημὶ γὰρ ἐγὼ τῶν μὲν ἰδεῶν, ἐξ ὧν τοὺς λόγους ἅπαντας καὶ λέγομεν καὶ συντίθεμεν, λαβεῖν ἐπιστήμην οὐκ εἶναι τῶν πάνυ χαλεπῶν, ἤν τις αὐτὸν[8] παραδιδῷ μὴ τοῖς ῥαδίως ὑπισχνουμένοις, ἀλλὰ τοῖς εἰδόσι τι περὶ

---

Ald. ἐπιτιμήσει. 65 T. VII. διότι ἔκρινε τὸν Δημ. μάλιστα παρὰ τοὺς ἄλλους κεχρῆσθαι τῇ τῶν ἰδεῶν ποικιλίᾳ περὶ τοὺς λόγους. μέθ. δέ, ὅτι διὰ τὸν Δημ. λόγον — ἰδεῶν διδάσκει.

1 T. VII. λε. 2 T. VII. σφόδρα. 3 T. VII. πανταχόθεν. 4 T. VII. ἐκ τῶν. 5 Ald. ἐναμβρυνόμενος πολιτείαν. corrigit Par. et T. VII. 6 Quae sub litt. β. leguntur, Jo. Sicel. in commentarium suum recepit, sub titulo: εἰς τό· τοῦτο δὲ παγχάλεπον εὑρεῖν. Συριανοῦ καὶ Φοιβάμωνος. [sic] Etiam hic sumsit ex T. VII. λη. 7 Par. 2916. 2977. Ἰσοκράτει. Ald. Par. Sicel. Ἰσοκράτους. 8 Sicel. αὐτὰ παραδίδωσι. Par. 2916. 2977. αὐτῶν παραδιδῷ. Mon. 8. αὐτῶν παραδῷ. Ald. et Par. αὐτὸν παραδῷ, recepi lectionem Isocr. §. 16. p. 331. Bekk.

αὐτῶν. τὸ δὲ τούτων ἐφ' ἑκάστου [9], τῶν πραγμάτων, ἃς δεῖ προελέσθαι καὶ μῖξαι πρὸς ἀλλήλας, καὶ τάξαι κατὰ τρόπον, ἔτι τε καὶ τῶν καιρῶν μὴ διαμαρτεῖν, ἀλλὰ καὶ τοῖς ἐνθυμήμασι πρεπόντως [10] ὅλον τὸν λόγον καταποικῖλαι, καὶ τοῖς ὀνόμασιν εὐρύθμως καὶ μουσικῶς εἰπεῖν, ταῦτα πολλῆς ἐπιμελείας δεῖσθαι", πλὴν ὁ Ἑρμογένης φησὶν, ὅτι τὸ γνῶναι τὴν μίξιν οὐδὲν [11] δυσχερές. γ'. Εἴτε ἐν μέτροις· μέτρα μέν φησιν οἷα τὰ τῶν ἐποποιῶν, Ὀππιανοῦ, Διονυσίου, τοῦ τὴν περιήγησιν γράψαντος, καὶ τῶν τοιούτων, ποίησιν δὲ οἷα τὰ Ὁμήρου καὶ Ἡσιόδου καὶ τῶν ἄλλων, καταλογάδην δὲ τὸ πεζόν. δ'. Στοιχεῖα καὶ ἀρχάς· [12] στοιχεῖον καὶ ἀρχὴ διαφέρει· τὸ μὲν γὰρ στοιχεῖον καὶ ἀρχή ἐστιν, ἡ δὲ ἀρχὴ οὐ πάντως στοιχεῖον. ὁ γάρ τοι θεὸς ἀρχὴ τῶν [13] ἁπάντων, οὐκ ἔτι δὲ στοιχεῖον. ε'. Καὶ ὅπως γίνεται· τουτέστι διὰ ποίων κατασκευάζεται τόπων· τὸ δὲ τί δύναται ἀντὶ τοῦ τί τὸ ἀπὸ τῆς μίξεως τῶνδε ἢ τῶνδε τῶν ἰδεῶν ἀποτέλεσμα. ς'. Ἡ μὲν οὖν ὑπόσχεσις· [14] ἐν τῷ πρώτῳ [15] τῶν Φιλιππικῶν εἶπεν ὁ ῥήτωρ· „ἡ μὲν οὖν ὑπόσχεσις οὕτω μεγάλη, τὸ δὲ πρᾶγμα ἤδη [16] τὸν ἔλεγχον δώσει, κριταὶ δὲ ὑμεῖς ἔσεσθε"· τὸ [17] δὲ κἀνταῦθα διὰ τὸ τὸν Δημοσθένην ἐκεῖ φάναι, „τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον δώσει".

Φημὶ τοίνυν, ὅτι τὸν Δημοσθενικὸν λόγον τὰ ποιοῦντά ἐστιν εἰ μέλλοι τις ὡς ἕν, καὶ τὰ λοιπά.

Φημὶ τοίνυν· ὅρα, ὅπως ἀξιωματικῶς καὶ μηδὲν ἐνδοιάσας τὸν λόγον προάγει, μηδαμῶς κατὰ τοὺς προειρη-

9 Sicel. ἑκάστῳ. 10 πρεπόντως Par. om. 11 Par. T. VII. et Sicel. οὐ. 12 T. VII. μς. 13 T. VII. μὲν ἀπ. 14 Ald. h. l. et in contextu ὑπόθεσις, scribendum ὑπόσχεσις ex Phil. I. p. 44. 15 T. VII. μθ. τετάρτῳ. 16 T. VII. οὕτω. 17 τὸ δὲ — δώσει T. VII. om.

ειρημένους ἀπιστῶν ἑαυτῷ περὶ ὧν βούλεται λέγειν. β'. Αἱ δὲ [1] κοινωνοῦσι· τοῦτό φησιν, ὅτι εὑρίσκονται ἰδέαι κοινωνοῦσαι ἀλλήλαις κατὰ ἔννοιαν τυχὸν ἢ σχῆμα ἢ ἕτερόν τι τῶν ὀκτὼ μερῶν· αἱ δὲ κατὰ [2] δύο ἢ καὶ πλείονα. γ'. Ὥσπερ κατὰ διαφοράν· ὃ λέγει, τοιοῦτόν ἐστιν· ἡ καθαρότης τῇ σεμνότητι κοινωνεῖ σχήμασι, κώλοις, ἀναπαύσεσι, τοῖς δὲ κεχώρισται. δ'. Ἵν' ἐκ τούτων· προλαμβάνειν γὰρ δεῖ τὴν τῶν κοινῶν διδασκαλίαν· εὐμαρέστερον γάρ πως ὁ ταῦτα καταλαβὼν παρακολουθήσει τοῖς μερικωτέροις. 380

**Ἅπας τοίνυν λόγος ἔννοιάν τ' ἔχει πάντως τινὰ, καὶ τὰ λοιπά.**

Ἡ ἐννοίας· [3] αἱ μὲν γὰρ τῶν ἰδεῶν μονοειδεῖς ἔχουσι τὰς ἐννοίας, ὡς ἡ καθαρότης, αἱ δὲ καὶ μέχρι τριῶν καὶ τεττάρων προέρχονται τόπων, ὡς ἡ σεμνότης καὶ ἕτεραι· μέθοδος δέ ἐστιν ἡ οἰκονομία, τὸ πῶς δεῖ προφέρειν τὰ νοήματα, ἥτις ἐστὶ σχῆμα τῆς ἐννοίας· ἀναλογεῖ [4] δὲ ἡ μὲν ἔννοια τῇ ψυχῇ, ἡ δὲ μέθοδος τῇ ταύτης κινήσει· ὡς γὰρ ἡ ψυχὴ ἠρεμοῦσα μὲν οὐδὲν ἀποτελεῖ ἡ ἔννοια, κινουμένη δὲ ποιεῖ τι, καὶ τοῦτο καλεῖται μέθοδος, ἡ περὶ τὴν ἔννοιαν· ἤδη δὲ καὶ ἡ λέξις ἀναλογεῖ τῷ σώματι, ὥσπερ ἡ ψυχὴ διὰ τοῦ σώματος ἐνεργεῖ, οὕτω καὶ ἔννοια διὰ τῆς λέξεως, καὶ ὅπερ ἐν τῷ σώματι μορφὴ, τοῦτο ἐν τῇ λέξει σχῆμα· ἔστι δὲ καὶ ἐν αὐτῷ [5] καὶ σύνθεσις ὁμωνύμως λεγομένη καὶ [6] ἀνάπαυσις· ὥσπερ γὰρ τὰ σώματα περατοῦται, τὸν αὐτὸν τρόπον καὶ τὰ [7] κῶλα τὴν ἀνάπαυσιν ἔχει, καὶ τὸ ἐξ ἀμφοῖν τούτων [8] ὁ ῥυθμός. Ἰστέον, ὡς ἕτεροι τεχνογράφοι τρία φασὶν, οὐκ ὀκτὼ, γνώμην, οἷον τὸν νοῦν,

1 Ald. ἅ, δέ. — Cfr. T. VII. νγ. 2 Ald. καὶ κατά, Par. καὶ om. 3 Cfr. T. VII. α. 4 Cfr. T. VII. β. 5 ἐν αὐτῷ Ald. om., recepi ex Par. 6 T. VII. καὶ ἡ. 7 τὰ ex T. VII. recepi. 8 T. VII. τούτοιν συνιστάμενον.

σχῆμα, τουτέστι τύπον τοῦ λόγου· ἀπαγγελίαν, δι᾽ ἧς ἀπαγγέλλεται τὰ πράγματα. β΄. Καὶ τὸ ἐξ ἀμφοῖν· ὁ[9] ῥυθμός ἐστιν ὁ ποιὸς ἦχος τοῦ λόγου, ἰαμβόκροτος[10] τυχὸν ἢ Ἀνακρεόντειος ἢ ἐλεγεῖος ἢ[11] ἑτεροῖός τις· ἰστέον δὲ, ὅτι, ὥσπερ ἡ μέθοδος ἐξάπλωσίς ἐστι καὶ ἐργασία τοῦ νοήματος, ποικίλον αὐτὸ καὶ παντοδαπὸν ἐκ μονομεροῦς ποιοῦσα,[12] οὕτω καὶ τό σχῆμα τὴν μίαν λέξιν ἀπολαβὸν, ποτὲ μὲν πνευματικῶς ἐκφέρεται[13] καὶ ἀκμαίως, ποτὲ δὲ περιοδικῶς συνάγεται, ποτὲ δὲ ἄλλως καὶ ἄλλως· ἔτι[14] ἰστέον, ὡς ὁ μὲν τεχνικὸς τὰ σχήματα μόνης εἶναι λέγει τῆς λέξεως, οἱ δὲ πολλοὶ τῶν τεχνογράφων καὶ κατὰ τὴν ἔννοιάν[15] φασιν εἶναι σχήματα· ἐπὶ μὲν γὰρ τῶν κατ᾽ ἔννοιάν φασι σχημάτων, κἂν ἀμείψῃς τὴν λέξιν, οὐ βλάψεις τὴν ἔννοιαν,[16] οἷον· „νυνὶ δὲ ὑπὸ[17] τῶν χρηστῶν τούτων διέφθαρται[18] τὰ πράγματα·“ τοῦτο, φασὶ, κατ᾽ εἰρωνείαν εἴρηται·[19] ἄμειψον δὲ τὴν λέξιν, καὶ θὲς ὁποίαν[20] βούλει, μόνον τὸ ἦθος ἐμφαίνουσαν,[21] οἷον ἀντὶ τοῦ χρηστῶν εἰπὲ καλῶν καὶ

---

9 ὁ Par. om. 10 Mon. 8. ἢ ἀμβρόκοτος τυχὸν δὲ Ἀνακρέοντος. 11 T. VII. ἢ τοιάςδε· περὶ τούτων ἀκριβῶς διδάξει σε ὁ τεχνικὸς ἐν τῇ καθ᾽ ἑκάστην ἰδέαν ἐπεξεργασίαι· ἑκάστη γὰρ αὐτῶν διὰ τούτων τῶν μερῶν γίνεται· καὶ πρὸς ἀνάγκης αὐτῷ συχνῶς ἅμα καὶ ἀκριβῶς περὶ τούτων διεξιέναι· τοῦτο μέντοι παρατηρητέον, ὅτι ὥσπερ κ. τ. λ. 12 T. VII. add. τὴν γὰρ ἁπλῶς στάσιν καὶ ζήτησιν τῇ ἀμοιβῇ τῆς ἐννοίας εἰς πλείους ἀπετέλεσεν. 13 Ald. Par. ἐκφέρει et συνάγει. T. VII. ἐκφέρεται et συνάγεται. 14 ἔτι ἰστέον ὡς T. VII. om. 15 T. VII. ἐνν. ἐπιχειρήσαντες παρακρούειν ἡμᾶς ἐντεῦθεν ᾠήθησαν· ἐπὶ μὲν γάρ. 16 Ald. λέξιν. Par. et T. VII. ἔννοιαν. 17 Ald. ὑπέρ. Par. ὑπό. — Dem. Ol. III. p. 35. νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει. 18 T. VII. διέφθαρτο. 19 T. VII. λέλεκται τὸ σχῆμα, ἀλλὰ τὴν λέξιν ἄμειψον. 20 Ald. ὁποῖα. Par. ὁποίαν. T. VII. ὁποῖον. 21 T. VII. add. καὶ σκόπησον, εἰ ἡ μεταλλαγὴ τῆς λέξεως ἔβλαψε τὴν ἐνθύμησιν, οἷον καθ᾽ ὑπόθεσιν

ἀγαθῶν, καὶ ἡ μεταλλαγὴ τῆς λέξεως οὐ διαφθείρει τὴν ἔννοιαν· ἐπὶ δὲ τῶν κατὰ λέξιν σχημάτων [22] διαλύει τὸ πᾶν· οἷον ἐστὶ σχῆμα τὸ καλούμενον πτωτικόν· ὥσπερ ἔχει, μή με Δημοσθένει παραδῶτε, μή με διὰ Δημοσθένην ἀνέλητε· ἐὰν [23] γὰρ ἀμείψας τὴν πτῶσιν ἐνταῦθα ἄλλην παρεμβάλης [24] λέξιν, τὸ σχῆμα διέλυσας, οἷον μή με Δημοσθένει παραδῶτε, μή με διὰ τοῦτον [25] ἀνέλητε· [26] δοκεῖ δὲ βέλτιον λέγειν ὁ τεχνικός· πῶς γὰρ ἂν σχήματα μόνης εὑρεθείη τῆς ἐννοίας; ἀσχημάτιστος γὰρ αὕτη, ὅταν ἠρεμῇ καὶ μένῃ καθ᾽ ἑαυτήν· ἐνεργοῦσα δὲ πάντως ἐπὶ τὴν λέξιν καταφέρεται, περὶ ἣν γίνεται καὶ τὰ σχήματα· καὶ δὴ Λογγῖνος ὁ φιλολόγος ἐν τῇ ῥητορικῇ τέχνῃ μόνης τῆς λέξεως εἶναι λέγει τὰ σχήματα αὐταῖς λέξεσι φάσκων οὕτως· [27] ὅσα σχήματα τῶν ἐννοιῶν ὠνόμασται, οἷον προδιόρθωσις, ἐπιδιόρθωσις, [28]

---

ἀντὶ τῶν χρηστῶν εἰπὼν καλῶν κἀγαθῶν· οὕτω, φασὶν, ἐπὶ τῶν κατ᾽ ἔννοιαν σχημάτων ἡ μεταλλαγὴ τῆς λέξεως οὐ διαφέρει [sic] τὴν ἔ. 22 σχημάτων T. VII. om. 23 T. VII. ἐνταῦθα γὰρ εἰ τὴν πτῶσιν ἀμ. 24 Par. et T. VII. παρεμβάλης. Ald. παρεμβάλλης. 25 T. VII. τοῦτο. 26 T. VII. addit: τοῦτο γὰρ οὐκ ἔστι πτωτικὸν μεταληφθείσης τῆς λέξεως καὶ ἐπὶ τῶν ὁμοιοκαταλήκτων ὡς ὁμοίως· καὶ πολλοὶ μὲν ἀρέσκονται ταύτῃ τῇ δόξῃ καὶ τῶν μάλα σοφῶν· ὁ δὲ τεχνικὸς τῆς λέξεως εἶναι λέγει τὰ σχήματα. πῶς γὰρ ἂν μόνης εὑρεθείη — — τὰ σχήματα· καὶ τοῦτο σαφῶς ἐν τῷ περὶ αὐτῶν δειχθήσεται λόγῳ· πλὴν καὶ οἱ περιφανεῖς τῶν τεχνικῶν τούτῳ τῷ λόγῳ συναινοῦσιν [Mon. συνεινοῦσιν], αὐτίκα Λογγ. φιλολ. ἐν τῇ ῥητ. τέχνῃ τῆς λέξεως μόνης ε. λ. τ. σχ. καὶ δὴ παρεθέμεθα καὶ τὴν λέξιν αὐτὴν, ὅπως μηδεὶς ἀπιστήσῃ τοῖς εἰρημένοις, „ὅσα," φησὶ σχήματα. 27 Ald. οὗτος, scripsi οὕτως. — Sqq. ὅσα σχήματα — — ὑποκρίσεως ἀρετῇ πρέποντα, quae h. l. Longino tribuuntur, Apsinis rhetoricae, p. 715. sine diversi auctoris nomine inserta esse, Ruhnkenii repertum est litterarium. Vide F. A. Wolf. Analect. litter. Vol. II. p. 522. 28 ἐπιδιόρθωσις T. VII. om.

ἀποσιώπησις,[29] παράλειψις, εἰρωνεία, ἠθοποιΐα, ἅπαντα ταῦτα οὔ μοι δοκοῦσι δικαίως σχήματα καλεῖσθαι, ἀλλ' ἔννοιαι καὶ ἐνθυμήματα, καὶ λογισμοὶ τοῦ πιθανοῦ χάριν,[30] καὶ πίστεως εἴδη·[31] τὰ μὲν γὰρ προοιμίων ἔχει δύναμιν, ἐπιδιόρθωσίς τε καὶ προδιόρθωσις, ἡ δὲ παράλειψις τὸ ἀξιόπιστον ἐνδείκνυται, καὶ μέρη ἂν εἴη τῆς παθητικῆς τε καὶ ἠθικῆς ἀποδείξεως, τῇ τῆς ὑποκρίσεως ἀρετῇ πρέποντα."[32] γ'. Ἀλλὰ μὴ ἐξ ὑποβολῆς· προηγουμένως ἐστὶ λέγειν τὸ ἀπ' αὐτῶν ψιλῶν ἄρχεσθαι τῶν πραγμάτων· ὡς Δημοσθένης[33] ἐν τῷ κατὰ Σπουδίου·[34] „ἀδελφὰς ἔχομεν γυναῖκας, ὦ ἄνδρες
381 Ἀθηναῖοι, ἐγώ τε καὶ Σπουδίας οὑτοσὶ Πολυεύκτου[35] θυγατέρας·" καὶ Λυσίας ἐν τῷ κατὰ Διογείτονος· „ἀδελφοὶ ἦσαν Διόδοτος καὶ Διογείτων ὁμοπάτριοι·"[36] ἐξ ὑποβολῆς δέ ἐστιν, ἤτοι ὅταν μὴ προηγουμένως τὶς εἰσάγῃ τὸν λόγον, ἀλλὰ προειρηκώς[37] τινα οὕτως ὑποβάλλῃ[38] τὸ πρᾶγμα, περὶ οὗ ἐθέλει εἰπεῖν, ὡς ὁ ῥήτωρ

---

29 Mon. 8. ἀποφήτησις, tum Ald. εἰθοποιΐα. 30 Ald. Par. πειθανοῦ χωρίου. T. VII. χάριν. 31 T. VII. εἴδους. 32 T. VII. addit: καὶ ταῦτα μὲν Λογγῖνος ὁ φιλολόγος, ᾧ δεῖ μάλιστα πείθεσθαι, κἂν οἱ λοιποὶ πάντες ἐναντιῶνται τῷ λόγῳ. πλὴν καὶ αὐτὸς ὁ τεχνικὸς ἐν τῷ περὶ αὐτῶν ἀποδείξει λόγῳ τῆς λέξεως μόνης εἶναι τὰ σχήματα, νῦν ἀπαρίθμησιν ποιεῖται ψιλὴν, καὶ πάρεργον ἦν ἐν μὴ προσήκουσι τόποις τὴν περὶ αὐτῶν καταναλῶσαι διδασκαλίαν. 33 T. VII. ς. Recepit etiam Jo. Sicel. usque ad ὑποβάλλει τὸ μερικόν. 34 Mon. 8. καὶ ἐνταῦθα κατὰ σπουδήν. 35 Sicel. Πολλυεύκτου. 36 Ven. addit: καὶ ὁμομήτριοι, ἀλλὰ μὴ ἐξ ὑποβολῆς, ἢ πως ἑτέρως· ἐξ ὑποβολῆς ἐστιν, ἢ ὅταν. — Sch. min. μὴ ἐξ ὑποβολῆς φησιν, οὐ γὰρ ἀφίστασθαι δεῖ τοῦ προηγουμένου, καὶ ἐπιφέρειν ἕτερον, τοῦτο γάρ ἐστιν ἡ ὑποβολή. ibid. ἀντὶ τοῦ πόῤῥωθεν τοῦ ὑποκειμένου, ἢ μεταξὺ τῆς διηγήσεως ὑποβάλλειν ἄλλό τι. Διὰ ἐπιθέτων Φοῖβος ὁ Ἀπόλλων, καὶ Ἰωάννης ὁ Χρυσόστομος. ib. τῶν μὴ κυρίων ὀνομάτων, λέγει δὲ τὰ τροπικὰ καὶ ἐμφαντικά. 37 Mon. 8. προηγουμένως. 38 Ald. Par. Sicel. ὑποβάλλει. T. VII. ὑποβάλλῃ.

ἐν τῷ πρὸς Βοιωτὸν περὶ προικός. „πάντων ἐστὶν ἀνιαρότατον,[39] ὦ ἄνδρες, ὅταν τις ὀνόματι[40] μὲν ἀδελφὸς προσαγορευθῇ τινῶν, τῷ δὲ ἔργῳ ἐχθροὺς ἔχῃ τούτους, καὶ ἀναγκάζηται πολλὰ καὶ δεινὰ παθὼν[41] ὑπ' αὐτῶν εἰς δικαστήριον εἰσιέναι· ὃ νῦν[42] ἐμοὶ συμβέβηκεν." Ἀρξάμενος γὰρ[43] ἀπὸ τοῦ καθόλου καὶ δεινώσας, ὡς ἠβούλετο, τὸ πρᾶγμα, οὕτως ὑποβάλλει τὸ[44] μερικόν· ἢ ὅταν ἐάσας ἐξ[45] εὐθείας προενεγκεῖν τὸν λόγον προσώπου τινὸς ὑποβολῇ χρήσηται, κἀκείνῳ περιθῇ τοὺς λόγους, οἷον,[46] „ὡς ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι·" τὸ δὲ ἢ πῶς ἑτέρως ἀντὶ τοῦ ὑπερβατῶς νοητέον. δ'. Λέξις δέ· λέξις δριμεῖά ἐστιν ἡ ἐμφαντικὴ καὶ μεταφορικὴ, καὶ ἄλλως μὲν[47] ἐπὶ τῆς συνηθείας λαμβανομένη, ἐφ' ἑτέρου δὲ σημαινομένου μεταγομένη· οἷον εἴ τις λέγει φιλανθρώπους τοὺς κύνας καὶ φιλάνδρους τὰς πόρνας. ε'. Ἡ μὴ διηρμένη·[48] διηρμένη ἐστὶν ἡ δίαρμα ἔχουσα. ὡς τὸ βοόωσι[49] καὶ τὸ Πηληϊάδεω· τινὲς δὲ διηρημένη γράφουσιν, ὡς τὸ μῆρ' ἐκάη,[50] καὶ κατὰ ταῦρον ἐδηδὼς,[51] καὶ ἡ χασμῳδίας ἔχουσα· πλατεῖα δὲ ἡ τῷ ἄλφα πολλῷ κεχρημένη, ὡς τὸ πεινάων καὶ τὸ ἐπιτελλομενάων. ς'. Καὶ τὰ χωρὶς ἐπεμβολῆς. ἐπεμβολή ἐστιν ἡ μεταξυλογία,[52] ὅταν μεταξὺ τῆς ἀκολουθίας ἔξωθέν τι ἐπεμβάλλῃ· οἷον „τοῦ γὰρ[53]

---

39 Ald. Par. ἀνιαρώτατον. T. VII. Sic. ἀνιαρότ. Tum Par. ὦ ἄ. Ἀθηναῖοι. 40 Sicel. ὀνόματα. 41 καὶ δεινὰ παθὼν om. Ald. Par. 2918. 2977. Sicel. Mon. [qui habet πολλάκις]. Sunt in Ven. et Dem. p. 1008. 42 Sicel. νῶ. 43 γὰρ Mon. om. 44 T. VII. Sicel. τὰ περιστάντα αὐτῷ [Sic. αὐτὸν] πράγματα. 45 Ven. τὸ ἐξ. Mon. προσενεγκεῖν. 46 Dem. Ol. II. p. 23. 47 Ald. δέ. Par. μέν. 48 Ald. bis διηρημένη. Par. διηρμένη. 49 Ald. βοήσωσι. Par. βοάωαι. 50 Il. A. 464. 51 Ald. Par. ἐδηδοκώς. Il. P. 542. ἐδηδώς. — v. 22. Ald. ἐπιτελλομένον, scr. ἐπιτελλομενάων. 52 T. VII. ιδ. 53 Dem.

Φωκικοῦ συστάντος πολέμου·" εἶτα ἡ ἐπεμβολή· „οὐ δι' ἐμὲ, οὐ γὰρ ἔγωγ' ἐπολιτευόμην πω τότε," ἡ γὰρ ἀκολουθία ἦν, „πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε·" κατ' ὀρθότητα δὲ,[54] ὡς τὸ „Σαννίων[55] ἐστὶ δή πού τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων·"[56] ζ΄. Διὰ τὴν τοιαύτην λέξιν· τὴν μήτε δηλαδὴ χασμῳδίας ἔχουσαν, μήτε σύμφωνα συμφώνοις συγκρούουσαν· ἀπόκροτος γὰρ αὕτη καὶ γλυκύτητος ἀλλοτρία· ἀλλὰ τὴν φωνήεντα συμφώνοις συμπλέκουσαν· αὕτη γὰρ θέλγει ὡς εὖ κεκραμένη. η΄. Κατὰ δὲ τὰς βάσεις· βάσις καλεῖται ἡ κατάληξις τῶν κώλων, ἣ καὶ ἀνάπαυσις λέγεται· μεταφορικὴ δὲ ἡ λέξις ἀπὸ τῶν χορευτῶν· τὴν γὰρ ἐν χοροῖς βάσιν ὁρίζονται οὕτως οἱ μουσικοί· βάσις ἐστὶν ἄρσεως καὶ θέσεως ποδῶν σημείωσις· τὸ γὰρ αἴρειν τὸν πόδα, εἶτα τιθέναι, ἄρσιν καὶ θέσιν ὠνόμασαν· ἄρσις οὖν καὶ θέσις ἡ ἐν τῷ ἄρχεσθαι καὶ λήγειν τῶν χορευτῶν ὁρμὴ λέγεται. θ΄. Ἡ βεβηκυῖα· ὅταν τὰ κῶλα ἀπαρτίζῃ τὴν ἔννοιαν, καὶ καταλήγῃ εἰς μακρὰς λέξεις καὶ μακροκαταλήκτους· ἢ εἰς βάσιν λήγουσα καὶ πόδα τέλειον. ι΄. Ὁ δὲ ῥυθμός ἐστιν,[57] ὡς φησιν Ἀριστόξενος ἢ Ἡφαιστίων, χρόνων τάξις· χρόνος δέ ἐστι μόριον ποδὸς ἢ φωνῆς μέτρον ἐλάχιστον ἢ μέτρον κινήσεως.

*Πάντα μὲν οὖν εἴδη λόγων ἐν τούτοις τεθεώρηται, καὶ τὰ λοιπά.*

Μᾶλλον δὲ εἴδει· ἐν τοῖς ἀνωτέρω μέρη καλέσας τὰ ὀκτώ, ἐξ ὧν ἑκάστη ἰδέα γίνεται, οἷον ἔννοιαν, μέ-

---

pro cor, p, 230. 54 δὲ T. VII. om. 55 Ald. Σανίων. — Dem, in Mid, p. 533. 56 T. VII. συγγράφων, οὗτος ἀστρατείας ἑάλω· καὶ τὸ „ἀδελφὰς ἔχομεν γυναῖκας, ὦ ἄνδρες δικασταὶ, [Par. 2977. ὦ Ἀθηναῖοι] ἐγὼ καὶ Σπουδίας οὑτοσὶ," καὶ ὅσα οὕτως ἐκφέρονται. 57 T. VII. κ.

θοδον καὶ τὰ ἑξῆς· εἶτα μέρος ἐνταῦθα τὴν περιβολὴν φήσας διὰ τοῦτο ἐπιδιορθούμενος εἶπε, μᾶλλον δὲ εἴδει· γένος μὲν γὰρ τὸ μέγεθος, εἴδη δὲ περιβολὴ,[58] τραχύτης, μέρη δὲ τὰ ὀκτώ· τὸ μὲν γὰρ μέρος καθ᾽ αὑτὸ οὐ συνίσταται χωρὶς ἑτέρου, οἷον κεφαλὴ, χείρ· τὸ δὲ εἶδος ἀρκεῖ ἑαυτῷ πρὸς σύστασιν, ὥσπερ καὶ ἡ περιβολὴ ἀρκεῖ ἑαυτῇ, ὡς ὑποκατιὼν[59] ἐρεῖ. εἰ μὲν οὖν ὡς ὅλον τι λάβοιμεν[60] τὸ μέγεθος, μέρος ἐστὶν ἡ περιβολὴ, εἰ δὲ ἐκεῖνο γένος, αὕτη εἶδος. β΄. Καὶ τὰ μὲν ὑψηλά·[61] καὶ γὰρ Ἰσοκράτης ἔργον ἔφασκεν εἶναι ῥητορικῆς τὰ μὲν σμικρὰ μεγάλως εἰπεῖν, τὰ δὲ μεγάλα σμικρῶς· καὶ τὰ μὲν καινὰ παλαιῶς, τὰ δὲ παλαιὰ καινῶς. γ΄. Πασῶν αὐτῷ· αἱ γάρ τοι[62] τῆς καθαρότητος ἔννοιαι κώλοις καὶ σχήμασι πολλάκις τοῖς τῆς λαμπρότητος ἢ περιβολῆς παρ᾽ αὐτῷ διαπλέκονται, καὶ τοὐναντίον αἱ τῆς περιβολῆς ἔννοιαι διὰ τῶν τῆς καθα- [382] ρότητος καὶ τῆς εὐκρινείας ἐξάγονται σχημάτων, πανταχοῦ τὴν μίξιν ἐναρμόνιον τοῦ ῥήτορος ποιουμένου. δ΄. Πλεονάζειν δ᾽ ἔφην· πλεονασμὸν λέγει ἐνταῦθα, ἐπειδὴ τὸ πλεονάζειν καὶ ἐν πλήθει ἐστὶ καὶ ἐν δυνάμει, οὐ τὸ πλῆθος τῶν ὀκτὼ μορίων τῆς ἰδέας, ἀλλὰ τὴν δύναμιν· οἷον ἐπὶ τῆς τραχύτητος ἡ λέξις καὶ τὸ σχῆμα καὶ δύο μόνα ὄντα ἰσχυρότατά[63] εἰσι παρὰ τὰ λοιπὰ πάντα· κοινωνοῦσιν οὖν αἱ ἰδέαι κατὰ τὰ μόρια ἀλλήλαις· γίνεται δὲ ἑκάστη ἰσχυρὰ οὐκ ἐκ τῶν κοινῶν, ἀλλ᾽ ἐκ τῶν ἰδίων· ἐκεῖνα γὰρ αὐτὴν χαρακτηρίζειν ὅτι μάλιστα δύναται,[64] ἃ καὶ κυριώτατα ἑκάστης ἰδέας φησίν· ὥσπερ ἡ σφοδρότης τῇ τραχύτητι κατὰ μὲν ἐννοίας

58 Ald. περιβολὴν. 59 Par. ὑποτακτικῶν. manus recentior superscripsit: ὑποκατιών. 60 Ald. λάβοι μέν. 61 Litt. β. est in T. VII. λα. et apud Sicel. 62 τοι Ald. om., est in Par. et T. VII. [Mon. καὶ γὰρ τοῖς.]. 63 Ald. ἰσχυρώτητα. 64 Par. δύνανται.

τινὰς καὶ λέξεις καὶ μεθόδους, συνθήκην τε καὶ ἀνάπαυσιν κοινωνεῖ, σχήμασι δὲ καὶ κώλοις πάντη διέστηκεν· ὁ τοίνυν ἐναργῆ σφοδρότητα βουλόμενος ἐργάσασθαι, σχήμασι καὶ κώλοις σφοδροῖς πλεοναζέτω, καὶ κυριώτατα τεύξεται τοῦ σκοποῦ.

Ἔστιν οὖν πρῶτον μὲν καὶ ἰσχυρότατον ἁπανταχοῦ ἡ ἔννοια, καὶ τὰ λοιπά.

Ἔστιν οὖν· τοῖς συμβαλλομένοις [65] τῇ δυνάμει καὶ κυριωτέροις οὖσι κατὰ τὸν τοῦ πλεονασμοῦ λόγον, ἐκείνοις καὶ τὴν πρώτην ἀποδίδωσι τάξιν· ἐν μὲν οὖν τοῖς φθάσασι κατὰ τὴν φυσικὴν ἀκολουθίαν τὴν ἀπαρίθμησιν ἐποιήσατο, καὶ μετὰ τὴν ἔννοιαν τὴν μέθοδον ἔθηκεν· ἐνταῦθα δὲ τὴν τάξιν μετέθηκεν, ἅτε περὶ τῶν τὴν δύναμιν ποιούντων διαλεγόμενος· καὶ τετάρτην τὴν μέθοδον ἔταξεν, ἐπειδὴ πρώτην τὴν λέξιν ὁ ἀκροατὴς προσδέχεται, καὶ οὐδὲν ἕτερον αὐτῷ διαπορθμεύει τὴν ἔννοιαν· τὴν δὲ λέξιν προσδεξάμενος ἐπιποθεῖ καὶ τὸ περὶ αὐτὴν σχῆμα λαβεῖν, διὸ καὶ μετὰ τὸ σχῆμα τὴν μέθοδον τίθησιν· ἔστι δὲ μέθοδος μὲν λόγος τὴν οἰκείαν τῆς ἰδέας ἔννοιαν κατὰ τὸ προσῆκον ἀπαγγέλλων· σχῆμα δὲ λέξεων ἐξάλλαξις, καὶ σύνθεσις ἐπὶ τὸ κρεῖττον ἄνευ τρόπου· καὶ δὴ καὶ τὸ σχῆμα καὶ ἡ μέθοδος κοινωνοῦντα ἀλλήλοις κατὰ τὰ ἐναλλάττειν τὸ σύνηθες διαλλάττουσι ταύτῃ, ὅτι ἡ μὲν μέθοδος ἐννοίας ἐστὶν ἐναλλαγὴ, τὸ δὲ σχῆμα τῆς λέξεως, καὶ ὅτι τὰ μὲν τῆς διανοίας σχήματα, ὡς καὶ πρόσθεν εἴρηται, κἂν ὑπαλλάξῃ τις αὐτὰ τοῖς [66] ῥήμασιν, ὁμοίως μένει· τὸ δὲ τῆς λέξεως σχῆμα μεταπιπτούσης τῆς λέξεως οὐχ οἷόν τέ ἐστιν φυλαχθῆναι· ἰστέον δὲ, ὡς ἐνταῦθα παρῆκε περὶ τῶν κώλων εἰπεῖν, κατ' ἀνάγκην γὰρ παρακολουθοῦντα

---

65 Cfr. T. VII, λς. 66 Ald. τῆς. — v. 29. σχῆμα μετ. τῆς λέξεως Ald. om., recepi ex Par.

ταῦτα παρῆκε· τὸ γὰρ σχῆμα ὑπὸ τῶν κώλων περατοῦταί τε καὶ ὁρίζεται, οὕτω δ᾽ [67] ἂν παρῆκε καὶ περὶ τοῦ ῥυθμοῦ [68] εἰπεῖν παρακολουθοῦντος τῇ συνθήκῃ καὶ ἀναπαύσει, εἰ μὴ [69] πρὸς τοὺς μουσικοὺς ἀνεφύετο λόγος αὐτῷ. β΄. Δύνασθαι γὰρ φήσουσι· καὶ γὰρ τῷ ὄντι παρ᾽ ἐκείνοις [70] τὸ ὅλον ἐστὶν ὁ ῥυθμός· εἰ γὰρ καὶ ὁ αὐτός ἐστι παρὰ πᾶσι καὶ ἐκ τῶν αὐτῶν γίνεται στοιχείων, ἀλλ᾽ οὖν κατὰ τὴν δύναμιν [71] διάφορος· τὸ δὲ αἴτιον τόδε· τῶν τεχνῶν ὅσαι [72] τῇ αἰσθήσει δουλεύουσι, χάριν ἡδονῆς τοῦτο ποιοῦσιν· ὅσαι δὲ τῷ λογισμῷ, τοῦ συμφέροντος ἕνεκεν· ἀλλ᾽ ὅταν τὸ ἀποτελούμενον αἰσθήσει μιᾷ προσενεχθῇ, τὰ μεγάλα δρᾷ· τοὐναντίον δὲ γίνεται διαμεριζόμενον ἀσθενὲς, πῇ μὲν πρὸς ταύτην, πῇ δὲ πηὸς ἑτέραν φερόμενον, διὸ δὴ καὶ τοὺς ἑτεροφθάλμους λέγουσιν ὀξύτερον ἀντιλαμβάνεσθαι τῶν [73] αἰσθητῶν, ἅτε μὴ μεριζομένης τῆς ὄψεως [74] ἐπὶ τῶν ὁρατικῶν ὀργάνων, ἀλλ᾽ ἅμα πάσης [75] ἐκχεομένης διὰ τὸ πάθος καὶ τὴν συμβᾶσαν περίστασιν· οὕτω τοίνυν καὶ ἐπὶ τῶν μουσικῶν ῥυθμοί· [76] πρὸς γὰρ τὴν ἀκοὴν φερόμενοι μόνην εἰκότως [77] κατά τε τὸν λόγον ἐκείνων ὑπὲρ ἅπαντα πανηγυρικὸν δύνανται [78] λόγον ἡδίους [79] ποιῆσαι τὰς ψυχάς· καὶ μᾶλλον κινῆσαι θυμὸν ἢ σφοδρὸς λόγος καὶ [80] καταφορικός· ἐκλυόμενοι γὰρ ἐκ τοῦ λογισμοῦ διὰ τὸ ἄσημον τῆς φωνῆς [81] καὶ μόνῃ τῇ ἀκοῇ

---

67 Ald. δ᾽ ἂν παρήκε. 68 Ald. ῥυτοῦ. 69 Par. ὁ πρός. 70 T. VII. μα. 71 T. VII. τὸ δυνατὸν διάφ. τί δὲ τὸ αἴτιον, ἐντεῦθεν εἰσόμεθα. 72 ὅσαν — ποιοῦσιν. Mon. 8. om. 73 T. VII. τῆς αἰσθήσεως. 74 T. VII. θέας. 75 πάσης Ald. om., est in Par. et T. VII. 76 Ald. ῥηθμοί. Par. ῥυθμῶν. T. VII. ῥυθμῶν τῶν μουσικῶν. 77 Mon. ἔκειντο. 78 Ald. ἠδύνατο. Par. ἠδύναντο. T. VII. δύνανται. 79 Mon. ἰδίους. 80 καὶ ex Par. inserui, Ald. om., T. VII. ἢ τὸν σφοδρὸν λόγον καὶ καταφορικὸν, ἐξωθούμενοι γάρ. 81 T. VII. τῶν ὀνομάτων.

*προσπίπτοντες τὰ μέγιστα δύνανται παρὰ τοῖς μουσικοῖς· ἐπὶ δὲ τῶν λόγων, ἅτε μεριζόμενος ὁ ῥυθμὸς, καὶ πῆ μὲν πρὸς τὴν ἀκοήν, πῆ δὲ πρὸς τὸν λογισμὸν φερόμενος,*
383 *ἐξασθενεῖ, μεριζομένης*[82] *δηλαδὴ τῆς δυνάμεως. γ΄. Καὶ θυμὸν κινῆσαι· ὡς ὁ Τιμόθεος αὐλήμασιν ἐκίνει πρὸς θυμὸν καὶ ὅπλα τὸν Ἀλέξανδρον, καὶ Λακεδαιμόνιοι πρὸς τὸν ἐμβατήριον τοῦ*[83] *αὐλοῦ ῥυθμὸν κατὰ πολεμίων ἐχώρουν. φασὶ δὲ καὶ τοὺς Πυθαγορείους, εἴ ποτε κινηθεῖεν αὐτοῖς*[84] *τὰ πάθη, ἤ τινας ἑτέρους ὑπ'*[85] *αὐτῶν κατεχομένους θεάσαιντο, διὰ τῶν ἐν*[86] *αὐλοῖς τε καὶ κιθάραις ῥυθμῶν μετάγειν ἐπὶ τὸ ἡμερώτερον*[87] *τὴν ψυχήν· καὶ Πυθαγόρας δὲ, ὡς Ἰάμβλιχός φησιν ἐν τῷ περὶ τῆς Πυθαγορικῶν*[88] *αἱρέσεων, μέσων*[89] *νυκτῶν ἀστρονομούμενος νεανίαν τινὰ σὺν αὐλητῇ κωμάζοντα μετὰ λαμπάδος κατὰ αὐλητρίδος, τόν τε*[90] *οἶκον αὐτῆς ἐμπρῆσαι σπεύδοντα διὰ ζηλοτυπίαν, ἐπέσχε τῆς μανίας*[91] *παρακελευσάμενος τῷ αὐλητῇ,*[92] *μεταβάλλεσθαι τὸν ῥυθμὸν ἐπί τι καταστηματικώτερον μέ-*

---

82 T. VII. *διαμεριζομένης δηλονότι δυνάμ. Οὐδὲν ὁ τεχνογράφος καὶ Λακεδαιμονίους τοὺς ἀνδρικωτάτους πρὸς τὸν ἐμβατ. — χωροῦντας. φασί.* Sch. min. *Θετέον αὐτά· τοὺς ῥυθμοὺς δηλονότι καὶ τὰς συνθήκας καὶ τὰς λέξεις. Θυμὸν κινῆσαι· ὡς ὁ Τιμόθεος α. ἐ. π. θ. καὶ πρὸς τὰ ὅπλα τὸν Ἀλέξ. Σφοδρόν· ὑβριστικόν. Ἐρεσχελήσωσιν· ἀντὶ τοῦ ὑβριστικῶς διαλέξονται· Ἐρεσχελία ἐστὶν ἡ περὶ τὰ χείλη ἔρις, τουτέστι τοὺς λόγους.* Ven. *τὸ δὲ ἐρεσχελίσουσιν ὁριστικῶς διαλέξονται σημαίνει.* 83 Par. *τόν.* 84 Ald. Par. *αὐτῶν.* Par. 2977. Mon. *αὐτοῖς.* Ven. *κινηθείη ἐν αὐτοῖς.* 85 Ven. *κατ' ἀ.* supra lin. *ὑπ'.* — T. VII. *θεάσαιντο κινουμένους.* 86 *ἐν* Mon. om. 87 Mon. *ἡμέτερον.* 88 Ald. Par. *Πυθαγορείου αἱρέσεως.* T. VII. *πυθαγορικῶν αἱρέσεων.* 89 Par. T. VII. *μέσων.* Ald. *μέσῳ.* 90 *τε* Mon. om. 91 Mon. *ἔπασχε τῆς μονῆς.* 92 Ven. *τῷ αὐλητῇ.* Ald. Par. 2918. 2916. 2977. *τῇ αὐλητρίδι.* — tum Parr. tres et Mon. *μεταβαλέσθαι.* Ven. Ald. *μεταβάλλεσθαι.*

λος, τὸ καλούμενον σπονδεῖον. Ἐμπεδοκλῆς δὲ ὁ Ἀκραγαντῖνος, ὁ Πυθαγόρου μαθητὴς, ὁ κωλυσανέμας ἐπίκλην, σπασαμένου τινὸς ἤδη κατὰ τοῦ πλησίον τὸ ξίφος, ὃς ἐδόκει τὸν πατέρα τοῦ θυμουμένου ἀνῃρηκέναι, ἀνακρουσάμενός[93] τι καταστηματικὸν τῇ κιθάρᾳ μέλος, ἣν ἔτυχε μετὰ χεῖρας ἔχων, διεκώλυσε τὸν φόνον γενέσθαι, χαλάσας τοῦ νεανίσκου τὸν θυμὸν[94] μαλθακωτέρῳ ῥυθμῷ· καταφορικὸν δὲ λέγει τὸν ὑβριστικόν. δ'. Κἂν τῇ ἄλλῃ μουσικῇ· εἰπὼν ἄλλῃ ἐδήλωσεν, ὅτι καὶ ἡ ῥητορικὴ μουσικὴ μέν ἐστιν, οὐκ ἔμμετρος δὲ, οἵα ἡ τῶν ποιητῶν· ἀλλὰ ὥς τινος πεζοῦ λόγου γινομένη. έ. Τῷ τοιόνδε γίνεσθαι, οἷον ἢ γοργὸν, ἢ ὁμαλὸν, ἢ σεμνὸν, ἢ τραχύν. ς'. Καὶ δι' ἣν αἰτίαν· ποικιλώτατος[95] γὰρ οὗτος ἁπάντων περὶ τὰς μίξεις· ὡς καὶ ὁ Ἁλικαρνασεὺς ἐν τῷ περὶ συνθέσεώς[96] φησι τάδε· „ὅρος γὰρ δή τίς ἐστιν ἐκλογῆς ὀνομάτων καὶ κάλλους συνθήκης ὁ Δημοσθένης·“ καὶ ἀνωτέρω περὶ Πλάτωνος λέγων φησίν·“[97] εἰ δέ γε δεινὸς οὕτως ἦν ἐκλέξαι τὰ ὀνόματα, ὡς συνθεῖναι περιττὸς,[98] καὶ νύ κεν ἢ παρήλασε τὸν Δημοσθένη κάλλει ἑρμηνείας, ἢ ἀμφήριστον[99] ἔθηκε· νῦν δὲ περὶ τὴν ἐκλογήν ἐστιν ὅτε διαμαρτάνει.“

Ἐπεὶ δὲ χωρὶς μὲν αὐτὴν καθ' ἑαυτὴν ἔστιν εὑρεῖν οὐδεμίαν ἐξειργασμένην ἰδέαν διαρκῶς, καὶ τὰ ἑξῆς.

Ἐπεὶ δέ· τοῦτο λέγει, ὅτι ἐὰν μὴ μάθωμεν, τίς ἐστιν ἡ καθολικὴ ἰδέα, οὐ δυνάμεθα διδάξαι ἢ τοῦ Πλά-

93 Mon. Par. 2977. ἀναβαλλόμενος. Ven. Par. 2916. ἀναβαλόμενος. 94 τὸν θυμὸν T. VII. ponit post ῥυθμῷ. tum addit: εἰκότως οὖν παρὰ τοῖς μουσικοῖς τοσαύτην ἔχειν ὁ ῥυθμὸς θρυλεῖται [Par. 2977. θρυλλεῖται ex corr.] δύναμιν. 95 T. VII. ν. 96 Par. addit: ὀνομάτων. p. 242. Schaef. 97 p. 240. Schaef. — Ald. δεῖνος. 98 Ald. καὶ περιτ. Par. T. VII. et Dionys. καὶ om. 99 Ald. ἀμφίρηστον. Tum T. VII. ἔθηκεν.

τωνος ἢ τοῦ Δημοσθένους τὴν ἰδέαν. β΄. Ἀνάγκη πάντων· καίτοι διὰ τοῦ Δημοσθενικοῦ λόγου καὶ περὶ πασῶν τῶν ἰδεῶν διδάσκειν ἐπηγγείλατο· ἀλλά φαμεν, ὅτι νῦν πρότερον βούλεται τὰς ἀρχὰς διδάξαι, ἐξ ὧν ἅπας γίνεται λόγος, ἔπειτα κἀκεῖνο ποιῆσαι. γ΄. Ἦσαν δὲ δήπουθεν· ἰδέαι[1] ἑπτά· γενικαὶ μὲν τρεῖς, σαφήνεια, μέγεθος,[2] ἦθος· εἰδικαὶ δὲ τέσσαρες, κάλλος, γοργότης, ἀλήθεια, δεινότης· εἴδη τῆς σαφηνείας δύο, καθαρότης καὶ εὐκρίνεια· εἴδη τοῦ μεγέθους ἕξ, σεμνότης, τραχύτης, σφοδρότης, λαμπρότης, ἀκμὴ, περιβολή·[3] εἴδη τοῦ ἤθους δύο,[4] ἀφέλεια, ἐπιείκεια. δ΄. Οἷον διαφοράς· γράφεται καὶ οὕτως· οἷον διαφορὰς οὐσίας τινός· τὰ γὰρ μέρη ἑκάστης ἰδέας ὥσπερ συστατικαὶ διαφοραί τινος εἴδους εἰσίν. ε΄. Ἣν δὴ καὶ πρώτην· προτέτακται ἡ σαφήνεια, διότι καὶ παντὶ λόγῳ σαφηνείας μάλιστα δεῖ·[5] εἰ γὰρ τὸ ἀντικείμενον αὐτῇ κακίζομεν,[6] τὴν ἀσάφειαν· φροντιστέον ἄρα τῆς σαφηνείας· ἀλλ' ἵνα μὴ παντελῶς ἐκκλίνωμεν εἰς τὸ εὐπετὲς καὶ χαμαιπετῆ τὸν λόγον ποιήσωμεν, καταφεύγειν εὐθὺς ἐπὶ τὸ μέγεθος δεῖ· τούτῳ γὰρ[7] χρησάμενοι δευτέρῳ καὶ τῶν ἰδιωτῶν δόξαιμεν[8] ἂν διενεγκεῖν, καὶ τὰς χρείας ἀντέχεσθαι·[9] τὸ γὰρ μέγεθος εἰς ὕψος ἐπαίρει τὴν σαφήνειαν, καὶ φεύγει τὸ εὐτελές· ἀλλ' ἐπειδὴ τὰ μεγάλα εἶναι δεῖ καὶ ἡδέα,[10] ἵνα μὴ τοὺς ἀκροατὰς ἀποστρέφω-

---

1 Est in Par. 2977. Mon. om. 2 Par. 2977. μέθοδος. 3 Par. 2977. καὶ περίβ. 4 δύο ex Par. 2977. recepi. 5 Est in T. VII. ξ. et apud Sicel. 6 Sicel. κακίζεται. T. VII. add. καὶ φεύγομεν. 7 Par. 2916. 2977. γὰρ καί. 8 Ald. δόξομεν. Par. Sic. et T. VII. δόξαιμεν. 9 T. VII. add. συμφέρεσθαι γὰρ δοκοῦντες ἐκείνοις ἐκ τοῦ ἐπιφερομένου διαστελλόμεθα, καὶ τὴν τοιαύτην ἀποκρουόμεθα διαβολήν· τὸ γὰρ μεγ. ἐπιφερόμενον δεύτερον. 10 T. VII. addit: τάχα [τάχα Mon. per lac. om.] γὰρ ἂν τοσοῦτον λυπήσωσιν, ὅταν μὴ πρὸς [Sicel. μὴ προστυγχάνωσιν]

*σιν, ἕπεται καὶ τὸ κάλλος τῷ μεγέθει· μεθ' ὃ [11] ἡ γοργότης, ὡς ἂν [12] τὸ κεκαλλωπισμένον μέγεθος εὐκίνητον ποιήσῃ [13] κατὰ τὸ ἐνδεχόμενον. βραδέα γὰρ ὡς ἐπὶ τὸ πλεῖστον [14] καὶ δυσκίνητα τὰ μεγάλα· διὸ δὴ καὶ τὸν Περικλέα φασὶν [15] ἠρέμα βαδίζειν, τὸν ὄγκον ἐντεῦθεν καὶ τὸ μέγεθος ἐμφαίνειν [16] βουλόμενον· ἐπεὶ δὲ δεῖ μὴ μόνον διαχειρίζειν, [17] ἀλλὰ καὶ τὸν λέγοντα τὴν ἑαυτοῦ φύσιν ἐμφαίνειν, καὶ κινεῖσθαι πρὸς τὴν προκειμένην [18] ὑπόθεσιν, ὅταν [19] μὲν προσφάτως δόξῃ κινεῖσθαι* 384
*καὶ κατά τινα περίστασιν, ποιεῖ τὸ ἀληθές· ὅταν δὲ τὴν ἐνυπάρχουσαν [20] καὶ χρονίαν ἕξιν ἐνδείξασθαι βουληθῇ, [21] ποιεῖ τὸ ἦθος· διὸ δὴ καὶ προετάγη τῆς ἀληθείας· τὸ μὲν γὰρ ὥσπερ κατὰ φύσιν αὐτῷ συγκεκλη-*

---

ἡδονῆς τυγχάνωσιν, ὅσον καὶ κατὰ [Sicel. μετὰ] τὸ μέγεθος ὑπερβάλλουσι, καὶ μᾶλλον ἂν ἀποστρέψωσι [Sicel. ἀποτρέψωσι] τοὺς περιτυγχάνοντας· τίς γὰρ ἀνάσχοιτο τοιούτοις ἐκτυχεῖν· ἃ μὴ μόνον εἰσὶ μεγάλα λίαν, ἀλλ' ἤδη [Sicel. ἤδη που.] καὶ λυπηρά· διὰ ταύτην τοίνυν [Mon. διὰ τὸ ταύτην τοίνυν. Parr. το et ταύτην om.] τὴν αἰτίαν τὸ κάλλος ἕπεται τῷ μεγέθει. [Ald. ἔπαιται — τὸ μεγέθει. sic]. 11 Mon. 8. καθό. 12 T.VII. ὅπως τό. 13 Mon. ποιήσει. 14 Sicel. ὡς ἐπίπαν. 15 Sicel. λέγουσιν. 16 Sicel. ὑφαίνειν. Post βουλόμενον T. VII. addit: καὶ μέχρι μὲν τῆς γοργότητος ἵσταται τὸ λεγόμενον· ἀνάγκη γὰρ εἶναι τὸν λόγον σαφῆ — καὶ μὴ ταπεινὸν, ἀλλὰ μέγαν [Sicel. μὴ λίαν, ἀλλ' ὅπως] λίαν, ὅπως ἐκφύγῃ τὸ χαμαίζηλον, καὶ μὴ μόνον ἐπηρμένον, ἀλλὰ καὶ κεκαλλωπισμένον, καὶ μετὰ ταῦτα εὔζωνον καὶ ταχύν· ὥσπερ γὰρ τὰ δυσκίνητα τῶν σωμάτων κακίζεται, κἂν ὦσι μεγάλα λίαν, καὶ καλὰ [Mon. σαφοῦς], τὸν αὐτὸν τρόπον καὶ ὁ λόγος [Par. 2977. τὸν αὐτὸν λόγον καὶ ὁ τρόπος] χωλεύει δυςπόριστος [Sicel. δυςπόρευτος. Mon. Parr. δυςπόριστος.] ὢν καὶ βραδὺς, κἂν ᾖ κεκαλλωπισμένος καὶ μέγας· δεῖ δὲ μὴ μόνον. 17 Sicel. supra χει ponit ω. 18 Par. ὑποκειμένην. manus recentior superscripsit: γρ. προ. T. VII. ὑποκειμ. 19 T. VII. ἀλλ' ὅταν. 20 Sic. ὑπάρχουσαν. idem et T. VII. ἕξιν καὶ χρονίαν. 21 Sic. et Par. 2916. βουληθείη.

ρωμένον εἰσάγει,[22] τὴν δὲ κατὰ περίστασιν ἐκ τοῦ ὑποκειμένου κινούμενος πράγματος·[23] ἐπὶ τούτοις ἡ δεινότης, καὶ μάλα εἰκότως, τὰ γὰρ προειρημένα διαχειρίζειν τῷ ῥήτορι, σπουδὴ[24] κατὰ τὴν ἐνυπάρχουσαν αὐτῷ[25] τέχνην καὶ δεινότητα, οὐ[26] κατὰ τάξιν, ἀλλὰ κατὰ τὴν ἀκολουθίαν τοῦ πράγματος.[27]

## *Περὶ σαφηνείας, ᾗ ὑποβέβηκε τὸ καθαρὸν καὶ εὐκρινές.*

Σαφήνειαν τοίνυν λόγου ποιεῖ εὐκρίνεια καὶ καθαρότης· καὶ τὰ λοιπά.

*Ἅπασι σχεδόν·* καὶ ἀνωτέρω εἶπε[1] συνίστασθαι μὲν ἑκάστην λόγων ἰδέαν ἐκ τῶν ὀκτώ, οὐ μέντοι ἐκ πάντων πάντως ἀνάγκη γίνεσθαι, ἀλλ' ἐκ τῶν οἰκειοτάτων αὐτῇ, ἃ καὶ κυριώτατα[2] εἶπεν. β'. *Ἀλλὰ πρῶτόν γε.*

---

22 Par. 2977. εἰσαγάγοι. Par. 2916. εἰσενέγκοι. Mon. εἰσενέγκειν. Sic. Ald. Par. εἰσάγει. 23 Sic. πράγμ. κινουμένην. tum T. VII. addit: καὶ τούτων λαβέ μοι [Mon. λάβοιμεν τὰ πέρατα] τὰ παραδείγματα· σαφέστερον γὰρ ἂν οὕτως γένηται τὸ λεγόμενον· οἷον ὡς ἐν τῷ κατὰ Τιμάρχου, εὐθὺς γὰρ ἐν τοῖς προοιμίοις ὃ [ὃ Sicel. om.] Αἰσχίνης τὴν ἑαυτοῦ φύσιν ἐνέφηνε [Sic. supra ἐκ posuit ἀ.]. ἀεὶ γάρ, φησί, τὸν ἀπράγμονα βίον ἀγαπήσας, νῦν ὑπὸ τῆς Τιμάρχου βδελυρίας κατηγορεῖν ἀναγκάζομαι· ὅρα γάρ, ὅπως καὶ λέγει, „οὐδένα πώποτε τῶν πολιτῶν οὔτε γραφὴν γραψάμενος οὔτε εὐθύναις λυπήσας“ καὶ τὰ ἑξῆς. τῷ δὲ ἀληθεῖ μόνῳ [T. VII. μόνος, omisso sq. οἰκείως. secutus sum Sic.] ὁ ῥήτωρ οἰκείως χρῆται καὶ συνεχῶς, οἷον Ἀνδροτίων, ὦ γῆ καὶ θεοί, μεταξὺ γὰρ ὥσπερ ἐξ αὐτοῦ κινούμενος τοῦ πράγματος τὴν ἑαυτοῦ διάθεσιν ἀνεκάλυψεν [Sic. ἀπεκάλυψεν]. 24 Ald. et Par. σπουδῇ. T. VII. Sic. σπουδή. 25 Sic. αὐτοῦ. 26 Mon. καί. 27 Mon. addit: τέλος τοῦ περὶ ἰδεῶν.

1 Est in Par. 2916. 2977. εἶπεν, ὅτι συνίσταται. 2 Ald. κυριώτατον. Parr. κυριώτατα.

αὕτη γὰρ μάλιστα ποιεῖ τὴν σαφήνειαν, ἧς βλαβείσης ἐπεισέρχεται ἡ εὐκρίνεια, τὸ συμβὰν τῇ καθαρότητι θεραπεύουσα πάθος· διὸ δὴ καὶ τὴν καθαρότητα προέταξεν, ἅτε μάλιστα συντελοῦσαν πρὸς τὸ σαφῆ ποιῆσαι τὸν λόγον· ἡ γὰρ εὐκρίνεια τάχα περιττὴ, ὅταν ἡ [3] καθαρότης ἐῤῥωμένην ἔχῃ [4] τὴν φύσιν. γ΄. Κατά τι· τουτέστιν ἔννοιαν, μέθοδον, λέξιν καὶ σχῆμα. δ΄. Καὶ μηδὲν ἔχουσα βαθύ· οἱονεὶ τὸ κεκρυμμένον καὶ λανθάνον τοὺς πολλοὺς, καὶ ὑπερβαῖνον τὸν πολὺν ἄνθρωπον· περινενοημένον δὲ τὸ ἐξ ἐπινοίας τοῦ λέγοντός τι προσλαμβάνον. ε΄. Χρὴ δὲ αὐτάς· [5] καθ᾽ ἑαυτὴν, φησὶν, ἡ προκειμένη [6] ἔννοια σαφεστάτη ἐστίν· ἐπειδὴ δὲ δεινώσεως ἕνεκα [7] παρείληφεν αὐτὴν καὶ τῆς σαφηνείας, ἐκβιάζεται τὴν φύσιν, καὶ τὸ δοκοῦν ἁπλούστατον, λελέχθαι γέμει βαθύτητος· διὰ παραδειγμάτων γὰρ κατασκευάσαι βουλόμενος δεινότερα πάντων εἰς αὐτὸν Μειδίαν πεποιηκότα, τὸ κατὰ Σαννίωνα [8] παρείληφεν· εἴ γε τοῦ μὲν ἀτίμου Σαννίωνος [9] χοροδιδασκάλου παρὰ παρὰ τὸν νόμον καταστάντος οὐδὲ τῶν ἐχθρῶν οὐδὲ εἷς ἥψατο, Μειδίας δὲ [10] τὸν ῥήτορα φιλοτίμως χορηγοῦντα ἐτύπτησεν. ς΄. Ἕνεκά γε τῆς ἐπιβολῆς· τουτέστι τοῦ ἐπιχειρήματος· τὸ μὲν γὰρ κατὰ Σαννίωνα, καὶ τὸ τῶν τριάκοντα, εἰς κατασκευὴν ἑτέρου παρελήφθησαν, καὶ διὰ τοῦτο ἀφανίζεσθαι δοκεῖ ἐν αὐτοῖς ἡ καθαρότης· τὸ δὲ „ἀδελφὰς ἔχομεν [11] καὶ τὸ κοινωνός εἰμι,“ [12] ψιλῶς δι᾽ αὐτὸ τὸ πρᾶγμα εἰσενήνεκται. ζ. Καὶ μη-

---

3 Ald. ἐκ καθαρότητος. Par. ἡ καθαρότης. 4 Ald. Par. ἔχει. scr. ἔχῃ. 5 T. VII. c. III, 8. 6 T. VII. ἡ ἔννοια ἡ προκ. 7 T. VII. addit: τοῦ καθ᾽ ἑαυτόν. tum Par. 2977. παρέλαβεν. 8 Ald. τὸ Σαννίων. correxi ex Par. et T. VII. 9 Σαννίωνος Ven. om. 10 δὲ Ald. om., est in Par. et T. VII. Mon. Μηδείας δὲ τοῦ ῥήτορος. 11 Dem. in Spud. init. 12 Dem. in Dionysodor. init.

δὲν ἔξωθεν· γένος[13] μὲν εἴδει, ὅταν ἐθέλων[14] τὸ εἰδικὸν[15] εἰπεῖν καὶ τὸ γένος αὐτῷ[16] συμπεριλάβῃ, οἷον Αἰσχίνην βουλόμενος ὑβρίσαι, καὶ γενικῶς περὶ πάντων συκοφαντῶν ἔφη[17] „πονηρὸν, ὦ Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεὶ, καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον· τοῦτο δὲ καὶ φύσει κίναδος[18] τ' ἀνθρώπιόν ἐστιν·" ὅλον δὲ μέρει,[19] ὅταν τοῦ μέρους μνημονεῦσαι θέλοντες καὶ τὸ ὅλον προσπεριλάβωμεν, οἷον·[20] „ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἕστηκεν ἐκ δεξιῶν." Ἀόριστον δὲ ὡρισμένῳ· οἷον[21] „πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου, δύο δὲ, ὦ Ἀθηναῖοι, καὶ μεγάλα·" ἀόριστα γὰρ ὄντα τὰ πολλὰ τοῖς ὡρισμένοις δυσὶ[22] προσπεριέλαβε. Κρίσιν δὲ δικαστῶν. οἷον[23] „ἀντὶ πολλῶν ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει." τῷ γὰρ παρ' αὐτοῦ ῥηθήσεσθαι μέλλοντι τὴν τῶν ἀκροατῶν

ατῶν

---

13 T. VII. 24. 14 T. VII. θέλων. 15 Par. ἰδικόν. 16 Ald. T. VII. αὐτὸ, Par. αὐτῷ. 17 Pro cor. p. 307. 18 Ald. Mon. κίναιδος. Par. Ven. κίναδος. Sch. min. δολερὸν ζῶον οἷον ἀλώπηξ, quod Mon. in contextum recepit: idem τἀνθρώπειον. 19 Ald. Par. ἐν μέρει. T. VII. ἐν om. Sch. min. Προκαταλαμβάνονται πόλεις· αὐτῶν τῶν οἰκητόρων οἱ πλεῖστοι· αἱ πόλεις ὅλον, τῶν οἰκητόρων τὸ μερικόν. 20 De fals. leg. p. 428. Sch. min. οἷον, ἀλλ' ὅλης — ἀκροπ. τοῦτο γάρ ἐστιν ὅλον, εἶτα ἐπήγαγε τὸ μέρος· παρὰ τὴν χαλκῆν τὴν μεγάλην ἐκ δεξιᾶς ἕστηκεν. 21 Pro cor. p. 226. Sch. min. οἷον ἐν τῷ περὶ τοῦ στεφάνου· πολλὰ — Αἰσχίνου· τοῦτυ ἀόριστον, εἶτα ἐπήπαγε τὸ ὡρισμένον· δύο — μεγάλα. ταῦτα δὲ ἐν τῷ περὶ αὐτῆς ἐρεῖ τῆς περιβολῆς. ibid. πολλοῖς δὲ παιδευθεὶς πρότερον· ἀόριστον τοῦτο· εἶτα ὡρισμένον· λόγῳ, νόμῳ, προφήταις. 22 δυσὶ T. VII. om. 23 Olynth. I. init. v. 16. Ald. ἡμᾶς.

ατῶν[24] συμπεριέλαβε κρίσιν. Ποιότητα δὲ πράγματος,[25] ὡς ἐπ' ἐκείνου· „καὶ σπουδαῖα[26] νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀναγκαῖα τῇ πόλει, περὶ ὧν βουλεύεσθε“ [27] ἢ ὡς ἐν τῷ περὶ παραπρεσβείας· „ὅτε δεῦρο ἤδη τὸ στράτευμα ἄγων ἐβάδιζε Φίλιππος“ εἶτα [28] ἡ ποιότης· „αἰσχρῶς, ὦ Ἀθηναῖοι, καὶ ἀναξίως ὑμῶν·“ τὸ δὲ [29] ἢ τὴν πρὸς ἕτερον διαφοράν· οἷον· „οὐχὶ ταὐτὰ παρίσταταί μοι γινώσκειν, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω καὶ ὅταν εἰς τοὺς [30] λόγους, οὓς ἀκούω· ἢ οὕτως· 385
„ὑπεσχόμην [31] χορηγήσειν μηδενὸς ἄλλου ὑπισχνουμένου.“ ταῦτα γὰρ πάντα εἴ τις καλῶς σκοποίη ἐκ τῶν παρακολουθούντων τοῖς πράγμασι γίνονται· ὅταν γὰρ ἡ μέ-

---

24 Sch. min. Μάρτυρες δὲ ὑμεῖς, ὑπὲρ ὧν καὶ πρὸς οὓς ὁ λόγος· οἱ ἀκροαταὶ ἐκεῖνοί εἰσι καὶ δικασταὶ τοῦ λόγου. 25 T. VII. πράγματος τοῦτο μέν, εἰ τῷ ἀνωτέρω τι λάβοιμεν συνημμένον, διὰ τὸ καὶ ἐροῦμεν, ὅτι πρὸς τῇ κρίσει τῶν ἀκροατῶν καὶ τὸ συμφέρον τοῦ πράγματος ἐκ προοιμίων δείκνυσιν· εἰ δὲ καθ' ἑαυτό, ὡς ἐπ' ἐκείνου. [Ald. Par. ἐκείνῳ]. 26 Mon. Par. 2977. σπουδαῖον et ἀναγκαῖον. — Phil. IV. init. 27 Ald. βουλεύεσθαι. Mon. βούλεσθε. — Sqq. ex or. de fals. leg. p. 390. ἢ ὡς — ἀναξίως ὑμῶν. T. VII. om., sunt inter sch. min., quae post ὑμῶν addunt: ταῦτα γὰρ πάντα περιβολὴν ἐργάζεται, ἥ φησιν ἐναντίαν εἶναι τὴν καθαρότητα. ib. Οὐ καλῶς μὲν ἴσως, οὐδὲ δικαίως, ἀπήγαγε δ' οὖν· τὸ γὰρ καλῶς καὶ δικαίως ποιότης ἐστὶ τοῦ πράγματος. 28 Sch. min. εἶθ' οὕτως. 29 τὸ δὲ Ven. om. 30 Ven. Mon. Par. 2977. 2916. εἰς τοὺς λόγ. ἀκούω. Ald. Par. εἰς om. Recepi οὓς ex Dem. Ol. III. init. ubi πρὸς τοὺς λ. οὓς. — Sqq. T. VII. om., sunt in sch. min. οἷον ὑπεσχόμην χορηγῆσαι, μηδενὸς ἄλλου ὑπισχνουμένου. Τάττει δὲ τοῦτο Ἀψίνης μετὰ τῶν σχημάτων εἰκότως· οὐ γὰρ σχῆμά ἐστι διανοίας κατὰ Ἑρμογένην. ib. Ἐγὼ δὲ ὁ φιλαθήναιος καὶ μάταιος· διαφορὰν λέγει ἐνταῦθα ἑαυτοῦ τε καὶ τοῦ μεγάλου Βασιλείου, „οὐ γὰρ ᾐσθόμην,“ φησί, „τοῦ φθόνου, πιστεύων τῷ πλάσματι.“ 31 In Mid. p. 519. verbis paullum immutatis.

θοδος ἐκπέσῃ τῆς οἰκείας φύσεως, ὡς μὴ τὸ [32] προκείμενον αὐτὸ μόνον λέγειν, εἰς τὸν τῆς περιβολῆς ἐμπίπτει λόγον. η. Περιβάλλει δέ. τῷ πράγματι [33] παρακολουθοῦσι τὰ λοιπὰ περιστατικά· ἐὰν μὲν οὖν τὸ πρᾶγμα εἴπῃς [34] χωρὶς τῶν περιστατικῶν, καθαρότητα ποιήσεις, εἰ δὲ προσθήσεις καὶ αὐτὰ, περιβολὴν ἀπεργάσῃ· [35] οἷον, Χριστὸς γεννᾶται, τὸ πρᾶγμά ἐστι μόνον, ἐὰν δὲ ἐπεξεργάσῃ τὸ πῶς ἐγεννήθη καὶ ποῦ καὶ πότε, περιβολὴν ποιήσεις· ὅμοιον δέ ἐστι καὶ τὸ ἐχορήγησα· εἶτα εἰ προστίθῃς τὸν χρόνον, ὅτι τρίτον ἔτος τουτὶ, εἶτα τὸν τόπον, [36] ποῦ· ὑπεσχόμην ἐν τῇ ἐκκλησίᾳ τοῦτο ποιεῖν· εἶτα τὴν αἰτίαν· „ἐπειδὴ," φησὶν, „οὐ καθεστηκότος χορηγοῦ στάσις ἦν." εἶτα τὸν τρόπον, ὅτι ἐθελοντής. ταῦτα εἰ προστίθῃς, περιβάλλεις· ἰστέον δὲ, ὅτι τὰ περιστατικὰ οὐ προηγουμένως, ἀλλὰ κατὰ δεύτερον λόγον δόξει μὲν λέγειν καθαρῶς, οὐδὲν δὲ ἧττον περιβάλλει· τὸ δὲ ἤ τι [37] τοιοῦτον προσέθηκε διὰ τοὺς λέγοντας, ὧν καὶ Πορφύριος ὁ φιλόσοφός ἐστιν, ἕβδομον περιστατικὸν τὴν ὕλην. θ'. Πρὸ αὐτοῦ τοῦ πράγματος· εἰ γάρ τις, φησὶ, μετὰ τὸ πρᾶγμα τάξει τὰ περιστατικὰ, δόξαν μὲν καθαρότητος δίδωσιν, οὐ μὴν καθαρῶς ὡς προσῆκον ἐρεῖ· ἴδιον γὰρ μάλιστα καθαρότητος τὸ μὴ κεχρῆσθαι τοῖς περιστατικοῖς. ι. Καὶ τὰ ἐφεξῆς· ἔστι δὲ τὸ ἐφεξῆς τόδε, ὥστε πολὺν χρόνον πάνυ μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾷν περιφευξεῖσθαί με, ὑγιάνας καὶ σωθεὶς ἀπροσδοκήτως, ἔλαχον αὐτῷ τὴν δίκην τῆς αἰτίας ταυτηνί. ια. Καὶ τὸ ἀφηγηματικῶς· ποιεῖ, [38] φησὶ, καθαρὰν τὴν μέθοδον καὶ

32 Ald. τὸ μή, Par. μὴ τό. 33 Leguntur haec in Par. 2977. 2916. absunt a Mon. 34 Parr. εἴῃ. sq. τῶν Ald. om., est in Parr. tribus. 35 Ald. ἀπεργάσεις. οἷον χρηστός. 36 Ald. τόπον, ὅτι ποῦ ὑπεσχ. Par. ὅτι om. 37 Ald. εἴ τι. Par. ἤ τι. 38 T. VII. κ.

ἡ ἀφήγησις, οὖσα καὶ αὐτὴ μέθοδος, ἀλλ' οὐ σχῆμα· κἂν ἀμφισβητήσωσιν [39] ἡμῖν τινες τῶν σοφῶν, οὐ συγχωρήσομεν· οὐ γὰρ τὰ σχήματα ἄλλοις τισὶ γίνεσθαι [40] σχήμασι πέφυκε· διαφέρει [41] δὲ ἀφήγησις διηγήσεως, ὅτι ἡ μὲν διήγησις ἔκθεσίς ἐστι πράγματος μετὰ τὰς προοιμιακὰς ἐννοίας ταττομένη· ἡ δὲ ἀφήγησις κατὰ μὲν τὸν [42] Τιβέριον σχήματός ἐστιν ὄνομα, [43] δι' ἧς οὐ τὰς διηγήσεις μόνας προάγομεν, [44] ἀλλὰ καὶ πλεῖστα ὅσα κεφάλαια· κατὰ δὲ Ἑρμογένην μέθοδός ἐστιν, ἣν καὶ προεῖπε σχῆμα εἶναι διανοίας. ιβ΄. Καὶ γὰρ ὀρθώσας. [45] ὀρθώσας μὲν τουτέστι [46] κατ' ὀρθὴν πτῶσιν προφέρων τὸν λόγον· οἷον [47] „ἐγώ, ὦ Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι·" πλαγιάσας δέ, κατά τινα τῶν πλαγίων πτώσεων ἀφηγούμενος· οἷον [48] „τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ." μερίσας δέ· οἷον [49] „εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ Ἀθηναῖοι, λέγειν." ἢ οὕτως. [50] „Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων." συμπλέξας δέ, οἷον, „καὶ σπουδαῖα νομίζων, ὦ Ἀθηναῖοι, καὶ ἀναγκαῖα περὶ ὧν βουλεύεσθε." [51] ἢ ὡς ἐν τῷ πρὸς Λεπτίνην· „τρία γὰρ τὰ μέ-

---

39 T. VII. ἀμφισβητήσαιεν. 40 T. VII. γενέσθαι sine σχήμασι. Tum addit: ἐπεὶ δειξάτωσαν, καὶ συγχωροῦμεν εἶναι σχῆμα τὴν ἀφήγησιν, ἐπεὶ καὶ ὁ τεχνικός, ἵνα μὴ δόξῃ κατὰ πάντα τοῖς πρὸ αὐτοῦ τεχνογράφοις ἐναντιοῦσθαι καὶ ταῦτα πρώτως ἐπιχειρήσας τῇ τοιαύτῃ πραγματείᾳ καθυφῆκεν. 41 T. VII. ιη. 42 τὸν Ald. om. — Locus hic abest a nostro Tiberio, qui schemata sua enumerat p. 17. et p. 40. ed. Boiss. 43 Par. T. VII. ἐστιν ὄνομα. Ald. ὄνομά ἐστι. 44 Ald. Par. προσάγομεν. T. VII. προάγομεν. 45 T. VII. κα. 46 τουτέστι T. VII. om. 47 Dem. contr. Tim. p. 701. 48 Pro cor. p. 230. 49 Phil. I. init. 50 Herod. I. 6. T. VII. ἢ οὕτως — ἐθνέων om. sub litt. κγ. ponens. 51 Par. 2916. βούλεσθε. Phil. IV. init. Parr. 2916. et 2977. add.: κατὰ συμπλοκὴν ἀφηγούμενος, συμπλοκὴ δὲ

γιστα ὀνείδη κτᾶται,[52] ὧν τὸ κατ᾽[53] εἶδος ἕπεται, φθονεροὺς, ἀχαρίστους, ἀπίστους, καὶ[54] ἐν Φιλιππικοῖς, „οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας ἀδικεῖ.“[55]

Λέξις δὲ καθαρὰ ἡ κοινὴ καὶ εἰς πάντας ἥκουσα καὶ μὴ τετραμμένη,[56] καὶ τὰ λοιπά.

α. Καὶ μὴ τετραμμένη· ἀντὶ τοῦ τροπὴν ἔχουσα καὶ μεταφοράν ὡς τό·[57] „αἱ δὲ πόλεις ἐνόσουν.“ ἐπὶ μὲν γὰρ τῶν σωμάτων κυρίως ἡ νόσος, ἐπὶ δὲ πόλεως μεταφορικῶς διὰ τὰς στάσεις.[58] ποιεῖ δὲ τὸν τρόπον καὶ τὴν τροπικὴν λέξιν ἡ ἀκυρολεξία, ᾗ καὶ Ὅμηρος κέχρηται συνεχῶς ὡς ἔχει τὸ

πόδας[59] πολυπίδακος Ἴδης.

καὶ τὸ

ἄκρην κὰκ κορυφήν[60]

---

ἐστι σχῆμα ὅμοιον τῷ κατὰ σύλληψιν, ὡς ἐν τῷ πρὸς Λ. [p. 460.] κ. τ. λ. quae absunt a Mon. 52 Parr. κτώμενος. 53 Parr. κατά. 54 Parr. συμπλέκεται δὲ τὸ ἐν Φιλ. Phil. III. p. 110. 55 Parr. add.: καὶ τὸ ἐν Παναθηναϊκῷ, τριῶν γὰρ ἐθνῶν τῶν μεγίστων ἐν τοῖς Ἕλλησι, καὶ τὰ ἑξῆς. [Aristid. Panath. p. 120. Iebb. p. 194. Dind.]. 56 Ald. τετραμμένους. Sqq. καὶ μὴ τετραμμ. — διὰ τὰς στάσεις sumta sunt ex T. VII. κε. 57 Dem. pro cor. p. 240. 58 Par. 2977. addit: Τετραμμένη· οἷον τὸ ἐκνενευρισμένοι [Ol. III. p. 37.] καὶ τὸ προπέποται, [Ol. III. p. 34.] καὶ τὸ πεπρακότες [pro cor. p. 241.], καὶ τὸ τιθασσεύουσι [Ol. III. p. 37.], καὶ ὅσα ἀπ᾽ ἄλλων νοημάτων ἐπ᾽ ἄλλα φέρονται, ἀφ᾽ ἑαυτῶν δὲ σκληρὰ, ὡς τὸ ἀταρπός· αὕτη γὰρ τροπικὴ μὲν οὐκ ἔστιν, οὐ μὴν λεία, ἀλλὰ τραχεῖά τις. Sch. min. Ἐκνενευρισμένοι ἐπὶ ταύρων λέγεται, καὶ τὸ πεπρακὼς [de fals. leg. p. 345.] ἐπὶ δούλων, καὶ τὸ κατεσθίων ἐπὶ ζώων [In Aristog. II. p. 782.]. Sch. min. add.: μὴ τετραμμένη. Οὐ μὴν τὰ κατ᾽ ἀλήθειαν σχήματα δι᾽ ἑτέρων σχημάτων γίνονται· ἡ γὰρ ἀφήγησις δι᾽ ἄλλων καὶ ἄλλων σχημάτων γίνεται, ἡ ἀφήγησις ἄρα οὐ σχῆμα [Par. οὖσα οὐ σχῆμα]. 59 Il. Υ. 59. 60 Ald. κακκορυφήν. — Il. Θ. 85.

ἁπλῶς γὰρ εἰπεῖν αἱ τοιαῦται λέξεις ἐμφαντικώτεραι μὲν τῶν ὑποκειμένων εἰσὶν, ἢ κυρίως λεγόμεναι, λυμαίνονται δέ γε τὴν καθαρότητα· τοιαύτη ἐστὶ λέξις καὶ τὸ „προπέποται“ [61] καὶ „τιθασεύουσι“· [62] καὶ ὅσαι ἀπ' ἄλλων νοημάτων ἐπ' ἄλλα φέρονται. [63] β'. Παρ' Ἰσοκράτει· ἐκ τῆς Ἰσοκράτους [64] τέχνης διδασκόμεθα, ποῖαι τῶν λέξεων λέγονται καθαραί· τοσοῦτον γὰρ πεφρόντικε τῆς καθαρότητος τῶν λέξεων [65] ὁ ἀνὴρ, ὡς καὶ ἐν τῇ 386 οἰκείᾳ τέχνῃ τοιάδε παραγγέλλειν [66] περὶ λέξεως „δεῖ δὲ τῇ μὲν λέξει τὰ φωνήεντα μὴ συνεμπίπτειν, χωλὸν γὰρ τὸ τοιόνδε, μηδὲ τελευτᾶν καὶ ἄρχεσθαι ἀπὸ [67] τῆς αὐτῆς συλλαβῆς, οἷον [68] εἰποῦσα σαφῆ, ἡλίκα καλὰ, ἔνθα Θαλῆς· καὶ τοὺς συνδέσμους τοὺς [69] αὐτοὺς μὴ σύνεγγυς τιθέναι, καὶ τὸν ἑπόμενον τῷ ἡγουμένῳ εὐθὺς ἀνταποδιδόναι, ὀνόματι δὲ χρῆσθαι ἢ μεταφορᾷ, ἢ τῷ καλλίστῳ ἢ τῷ [70] ἥκιστα πεποιημένῳ ἢ τῷ γνωριμωτάτῳ· ὅλως [71] δὲ ὁ λόγος μὴ λόγος ἔστω, ξηρὸν γὰρ, μηδὲ ἔμμετρος, καταφανὲς γὰρ, ἀλλὰ μεμίχθω παντὶ ῥυθμῷ [72] μάλιστα· διηγητέον δὲ τὸ πρῶτον καὶ τὸ δεύτερον καὶ τὰ λοιπὰ ἑπομένως· καὶ μὴ πρὶν ἀποτελέσαι τὸ πρῶτον ἐπ' ἄλλο ἰέναι, εἶτα [73] ἐπὶ τὸ πρῶτον ἐπανιέναι ἀπὸ τοῦ τέλους. γ. Τὰ ἐφεξῆς εἰρημένα· ἐφεξῆς ἐστι τὸ [74] ἀνθρώπῳ πονηρῷ καὶ φι-

---

61 Dem. Ol. III. p. 34. 62 Par. τιθασεύουσι, quod recepit Bekk. Ol. III. p. 37. Ald. τιθασσεύουσι. 63 Ald. ἐπ' ἄλλων νοημάτων ἄλλα φέρουσι. secutus sum Par. 64 T. VII. κη. Vide de hoc loco Spengel. συναγ. τεχν. p. 161. 162. 65 τῶν λέξεων Ven. om. 66 T. VII. παραγγέλλειν. Ald. παραγγέλλει. 67 T. VII. ἐκ. [Mon. ἐξ αὐτῆς. ad marg. ἐκ τῆς αὐτῆς]. 68 οἷον ex T. VII. inserui. 69 τοὺς ex T. VII. recepi. 70 Par. τό. 71 Ald. ὅλος. Par. ὅλως. 72 Par. παντὶ ἐν θυμῷ. 73 εἶτα Mon. 8. om. 74 Ald. Par. τῷ. scr. τό. — Contr. Timocr. p. 701.

λαπεχθήμονι.“ δ'. Τὸ γὰρ ἦν Κανδαύλης. ὅτι μὲν ἡ εὐθεῖα καθαρότητα ποιεῖ, δῆλον, σὺ δὲ μὴ ζήτει κατ' εὐθεῖαν μόνον προφέρειν τὸν λόγον· καλὸν γὰρ καὶ τοῦτο, ἀλλ' ἐπάγειν σπεῦδε καὶ τὸ ῥῆμα, ὅπως ἐκ τοῦ βραχέος [75] συστήσῃς τὴν ἔννοιαν. ἐγὼ γὰρ τοὐναντίον φημὶ, ὅτι κἂν ἀπὸ πλαγιασμοῦ ἄρξῃ, μὴ διὰ μακροτέρων δὲ τὴν ῥηματικὴν ποιήσῃς [76] ἀπόδοσιν, οὐδὲν ἧττον καθαρῶς ἔσται ὁ λόγος. ε. Εἰ καὶ τὰ ἐφεξῆς· ἐφεξῆς [77] εἰσι τοῦ ῥητοῦ ταῦτα. [78] ὃς ῥέων ἐκ μεσημβρίας μεταξὺ Σύρων καὶ Παφλαγόνων ἐξίησι πρὸς βορέην [79] ἄνεμον εἰς τὸν Εὔξεινον καλεόμενον πόντον. ς. Καὶ τῇ ἐννοίᾳ καὶ τῷ σχήματι. τῇ μὲν ἐννοίᾳ διὰ τὰ περιστατικὰ, τῷ δὲ σχήματι διὰ τὸν πλαγιασμόν. Δι' ἀλλήλων εὑρίσκονται· οὐχ ἁμαρτάνει ἡ διάλληλος λέξις ἐνταῦθα· ἐφ' ὧν γὰρ αὐθυπόστατά εἰσι τὰ πράγματα, ὡς ἡ οὐσία, ἢ ἐν ἄλλῳ θεωροῦνται μὴ τῆς σχέσεως αὐτοῦ δεόμενα· ἀλλ' ἐν αὐτῷ ὡς ἐν ὑποκειμένῳ τὸ εἶναι ἔχοντα, τηνικαῦτα διαβέβληται· ἐφ' ὧν δὲ τὰ πράγματα ἐν σχέσει θεωρεῖται ἀναγκαῖος [80] ὁ διάλληλος λόγος. η. Ἤτοι κατὰ ἀφαίρεσιν· τὸ [81] γὰρ ἀφελεῖν καὶ χωρίσαι, τοῦτό ἐστι τὸ εἰπεῖν, ὅτι καθαρὰ σχήματά ἐστι τὰ μὴ ποιοῦντα περιβολήν· κατὰ δὲ πρόσθεσίν ἐστι τὸ μὴ εἰπεῖν περὶ αὐτῆς τῆς σαφηνείας μόνον, ἀλλὰ προσθεῖναι καὶ καθαρότητα καὶ εὐκρίνειαν, ἐξ ὧν ἔμελλε δείξειν συνιστῶσαν τὴν σαφήνειαν. θ'. Καὶ τὸ ὑπέρβατον. ὑπέρβατόν ἐστιν τὸ ὑπερβιβάζον τὴν τοῦ λόγου σύνταξιν· [82] γίνεται δὲ τοῦτο διχῶς, ἢ κατὰ παρένθεσιν, ἢ

75 Ald, βραχέως, Par, βραχέος στήσεις τὴν ἐ. 76 Ald. ποιήσεις. scr, ποιήσῃς. 77 Idem habet Par, 2977, Mon. 8. om. 78 ταῦτα. Par, 2977, om, — Herod, I. 6, 79 Par. 2977. βορρᾶν et καλούμενον, 80 Ald, ἀναγκαῖα, 81 T. VII. μ. Ald. Par, τοῦτο γάρ ἐστιν ἀφελεῖν κ. χωρ. τὸ εἰπεῖν, recepi lectionem Sicel, qui eadem habet, 82 T, VII, μβ, τάξιν.

κατὰ ἀναστροφήν· κατὰ παρένθεσιν μὲν, ὡς ἐν τῷ κατ' Ἀνδροτίωνος·[83] „ἀλλ' ἐπὶ τοῦ Δεκελεικοῦ πολέμου·“ εἶτα ἡ[84] παρένθεσις· „τῶν γὰρ ἀρχαίων ἓν, ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθε ὑπομνήσω·“ κατὰ δὲ[85] ἀναστροφὴν, ὡς ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν· οἷον „τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεὺς, δόξαν ἀντὶ τοῦ ζῆν ᾑρημένος·“ ἔστι γὰρ τὸ ἑξῆς „τὴν[86] τοῦ διαπράξασθαι δόξαν·“ οὕτω Τιβέριος.[87]

Μετὰ δὲ τὸν περὶ σχημάτων λόγον τῆς καθαρότητος, καὶ τὰ λοιπά.

Πρῶτον μὲν ἡ ἁπλῆ· τουτέστιν ἡ ἀπερίεργος καὶ πεζή. β΄. Ἡ λογοειδεστέρα· τουτέστιν ἡ κωμικωτέρα καὶ προβεβληκυῖα λόγῳ πεζῷ κατὰ συνθήκην, ὅθεν τινὲς καὶ[1] ῥητορικὴν ἔμμετρον τὴν κωμῳδίαν ἐκάλεσαν· πολλοὺς[2] γοῦν παρά τε τῷ Ἰσοκράτει καὶ μάλιστα τῷ[3] Δημοσθένει λανθάνοντας ἰάμβους τε καὶ χωλιάμβους[4] ἐστὶν εὑρεῖν διὰ τὴν ἐναρμόνιον συνθήκην τῶν λέξεων, ὡς εὐθὺς ἐν τῷ[5] πρώτῳ τῶν Φιλιππικῶν· „δῆλον γάρ ἐστι[6] τοῖς Ὀλυνθίοις, ὅτι νῦν οὐ περὶ δόξης οὐθ' ὑπὲρ μέρους χώρας[7] κινδυνεύουσιν,“ οὐχ ὡς τῶν[8] ῥητόρων ἐπιτηδευσάντων καὶ ἔμμετρα λέγειν· ἀλλότριον γὰρ τοῦ πολιτικοῦ λόγου τὸ[9] τοιοῦτον, ἀλλ' αὐτοφυῶς εἰς μέτρον ἀπενεχθείσης[10] τῆς φράσεως. γ΄. Ἧττον γάρ· ἡ γὰρ ἐξ

83 p. 597. 84 ἡ T. VII. om. 85 δὲ T. VII. om. — Ol. II. p. 22. 86 T. VII. τὴν δόξαν τοῦ διαπρ. 87. p. 42. Boiss.

1 Par. καὶ τὴν ῥητ. 2 T. VII. μζ. 3 T. VII. παρὰ Δημ. 4 Ald. Par. 2977. χωριάμβους. Par. 2916. 2918. Ven. χωλιάμβους. Mon. χαλιάμβους. Ad rem cfr. supra p. 445. Exempla ex Isocrate congessit Spengel. in συναγ. τεχν. p. 153. sq. 5 T. VII. ἐν πρώτῳ Φιλ. Ven. add.: οἶδεν. — Ol. I. p. 10. 6 Ald. ἔστιν. T. VII. ἐστι. 7 Ald. τῆς χώρας. Par. T. VII. τῆς et sq. κινδυνεύουσιν om. 8 τῶν Ald. om., est in Par. T. VII. 9 Par.

ἰάμβων καὶ τροχαίων συνθήκη οὐ τοσοῦτον ὕψος ἐργάζεται τῷ λόγῳ, ὅσον ἡ ἐκ σπονδείων καὶ δακτύλων συνεστῶσα· τοῖς γὰρ χρόνοις συμβαίνει καὶ ὁ κόμπος τοῦ λόγου, ὁ δὲ πεζὸς λόγος ὡς ἐπὶ τὸ πλεῖστον [11] ἐξ ἰάμβων καὶ τροχαίων ἐστί· διὸ καὶ ἴαμβοι πεζοφανεῖς
387 εἰσι πολλαχοῦ· δεῖ τοίνυν καὶ τὸν καθαρὸν λόγον ἰαμβοφανῆ εἶναι· τὸ δὲ διῇρται ἀντὶ τοῦ ἐπῇρται πρὸς ὄγκον· δ΄. Οὐ δεῖ δὲ τὸ ἀκριβές· ὁ μὲν Διονύσιος [12] καὶ τὸ βάθος ἐξετάζων τοῦ λόγου μέχρι τῶν στοιχείων καταγίνεται· [13] ὁ δὲ τεχνικὸς τοὺς λόγους εἰδὼς [14] δίκην πτηνῶν παρερχομένους ἐκείνων [15] παρακελεύεται φροντίζειν κατὰ τὴν συνθήκην, οἷς δύναται παρακολουθεῖν ἡ αἴσθησις τοῦ ἀκούοντος· [16] ἀγαπητὸν γὰρ, εἰ τὴν ἐπιφάνειαν καταλάβοι, μήτι γε δὴ τὴν ἐν τῷ σώματι κεκρυμμένην τοῦ λόγου συνθήκην· εἰ γὰρ τοῦ ῥήτορος ῥύδην [17] λέγοντος ὁ ἀκροατὴς ἐθελήσει [18] τὸ βάθος σκοπεῖν, ἀγνοήσει τοῦ λόγου τὴν δύναμιν, ἐν ᾧ τὴν τοιάνδε συνθήκην διαγνῶναι σπουδάζει, καὶ ἁπλῶς εἰπεῖν ταὐτὸν ἂν πάθοι τῷ βουλομένῳ καταλαβεῖν τῶν ὀρνέων τὴν φύσιν, καὶ μὴ [19] σπουδάζοντι τῇ πτήσει παρατεῖναι τὴν θέαν. [20] ε΄. Καὶ λέγω δὴ τοῦ φυσικοῦ· φυσικὸν κα-

---

2916. Ven. τό γε. Mon. τό τε. 10 Ven. ὑπενεχθείσης. Mon. ἐπενεχθείσης. 11 Ald. ἐπιτοπλεῖστον. 12 T. VII. νβ. — Dion. de Comp. p. 128. 278. 312. 356. sqq. et saepius. Schaef. 13 T. VII. add.: καὶ ἴσως ἐκεῖνο μὲν, ἅτε μηδὲν φροντίζων τῆς τῶν ἀκουόντων αἰσθήσεως, εἰκότως καὶ μέχρι τούτων τὴν διδασκαλίαν ἐξέτεινεν. 14 T. VII. add.: θᾶττον ἢ λέγονται. 15 T. VII. ἐκείνοις. 16 Ald. τοῦ ἀκούοντας. 17 Ald. Par. ῥήδην. T. VII. ῥύδην. 18 T. VII. ἐθελήσοι. 19 μὴ Ald. om., est in Par. T. VII. 20 T. VII. add.: ὥσπερ γὰρ, εἰ τύχοι πολλῶν ἐκεῖσε φερομένων, εἰ πρὸς τὸ πρῶτον μόνον ἀπίδοις [Mon. ἐπίδοις] οὐκέτι τὰ λοιπὰ βλέπειν οἷός τε εἶ, ἀλλ᾽ ἀνάγκη ταχέως μεταφέρειν τὴν ὅρασιν, ὅπως ἐκ μέρους θεάσῃ τῶν ἠπταμένων τὴν ἐπιφάνειαν, τὸν αὐτὸν τρόπον κἀπὶ τῶν λόγων τῇ βάσει μόνον καὶ τῇ ἐπιφανείᾳ οἷός τέ ἐστιν ἐξ-

λεῖ μέτρον τὸ ἐκ τῆς αὐτοφυοῦς τοῦ λόγου συνθήκης συνιστάμενον καὶ μὴ ἐπιτετηδευμένον, ὡς παρὰ τοῖς ποιηταῖς, καὶ [21] Διονύσιος δέ φησιν, „ἀπόχρη τὴν πολιτικὴν λέξιν εὔρυθμον εἶναι καὶ εὔμετρον· [22] οὕτω γὰρ ἂν εἴη ποιητικὴ μὲν, οὐ μὴν ποίημα, καὶ ἐμμελὴς μὲν, οὐ μέλος δέ·" τὰ ὅμοια δὲ λέγει καὶ Ἰσοκράτης, ὡς μικρῷ ἔμπροσθεν γέγραπται· Ἰστέον δὲ, ὅτι Ἡφαιστίων· φυσικὰ μέτρα γενικὰ βούλεται εἶναι ἐννέα, δακτυλικὸν, ἀναπαιστικὸν, ἰαμβικὸν, τροχαϊκόν· ἀντισπαστικὸν, χοριαμβικὸν, ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπὸ ἐλάσσονος· κρητικόν· τὰ δὲ παρὰ ταῦτα ἀσυνάρτητα καὶ συγκεχυμένα. ς΄. Τὸν γάρ τοι ῥυθμόν· ὁ [23] μὲν Ἑρμογένης ἴσως οἴεται ταὐτὸν εἶναι μέτρον καὶ ῥυθμόν· διαφέρει δέ· μέτρον μὲν γὰρ χωρὶς συλλαβῆς οὐκ ἂν γένοιτο, ὁ δὲ ῥυθμὸς καὶ ἐν συλλαβαῖς καὶ χωρὶς συλλαβῶν· καὶ γὰρ κρότος χαλκείων [24] καὶ κίνησις δακτύλων ῥυθμὸς ἐνομίσθη· ἰστέον δὲ, ὅτι τὸ μὲν μέτρον πεπηγότας ἔχει τοὺς χρόνους, μακρόν τε καὶ βραχὺν καὶ τὸν κοινὸν, ὁ δὲ ῥυθμὸς, ὡς βούλεται, ἕλκει [25] τοὺς χρόνους· πολλάκις γοῦν καὶ [26] τὸν βραχὺν χρόνον μακρὸν ποιεῖ· διὸ καὶ μέτρου πατέρα [27] τὸν ῥυθμόν φησιν ὁ Λογγῖνος. ζ.

---

ακολουθεῖν ὁ ἀκροατὴς, ἐπεὶ τοῦ λοιποῦ σπουδάζων παρακολουθεῖν τοῖς λεγομένοις οὐδὲν δύναται τἀν ἐν βάθει ζητεῖν, ἀλλ' ἔνθα ἂν ὁ λέγων ἀπαρτίσῃ τὴν διάνοιαν, πρὸς ἐκείνην ὁρᾷ τὴν συνθήκην.
21 T. VII. ὡς γὰρ καὶ ἀνωτέρω εἴρηται, Διον. ἐν τῷ περὶ συνθέσεως ὀνομάτων [p. 382. Schaef.] φησὶν, ἀπόχρη γάρ. 22 Ald. Par. T. VII. ἔμμετρον. correxit Vict. in marg. exempl. sui. cfr. supra p. 446. v. 1. 23 T. VII. νε. ὁ Ἑρμ. οἴεται ταὐτὰ ἑ. 24 Mon. 8. χαλῆνῶν Par. 2977. χαλκέων. 25 Par. ἔχει. 26 καὶ ex T. VII. recepi. 27 Ald. Par. T. VII. πνεῦμα. Ruhnk. Diss. de vita et scriptis Longini p. CIII. Toup. ad Longin. p. 509. ed. Weisk. emendant πατέρα ex Longini fragmento III. p. 160. ed. Weisk. „μέτρου δὲ πατὴρ ῥυθμὸς καὶ θεός," et Schol. Aristoph. Nub. 638. ὅτι πατὴρ μέτρου ῥυθμός. Natum est vitium ex compendio scribendi.

Οὐδὲν ἄλλ' ἢ μέτρον τε· ἔμμετρόν γὰρ εἶναι δεῖ τὸν λόγον κατὰ φύσιν, καὶ μὴ ἔμμετρον ὅσον κατὰ τέχνην· δῆλον γὰρ, ὡς ἑκάστη τέχνη μεθόδους ἐπινοεῖ μόνον καὶ τάξιν ἐπιτίθησι τοῖς καταληπτοῖς [28] πράγμασιν, ἐπεί τοί γε πάντα προϋπάρχει τῇ φύσει. ή. Καὶ καταλήξει τινί· κατάληξίς [29] ἐστιν, ὡς οἱ τεχνικοί φασι, συλλαβὴ ἀντὶ ὅλου ποδὸς παραλαμβανομένη, ἢ ποὺς ἀντὶ ὅλης συζυγίας· συζυγία δέ ἐστι δύο ποδῶν διαφόρων σύνταξις· διποδία [30] δὲ δύο ποδῶν τῶν αὐτῶν σύνταξις. θ'. Μεταξὺ γάρ· οὕτω καὶ Διονύσιος ἐν τῷ περὶ συνθέσεως ὀνομάτων φησίν· [31] „ἡ γάρ τοι τῶν πολιτικῶν λόγων ἐπιστήμη μουσική τίς ἐστι τῷ ποσῷ διαλλάττουσα τῆς [32] ἐν ᾠδαῖς καὶ ὀργάνοις, οὐχὶ τῷ ποιῷ· καὶ γὰρ [33] ἐν ταύτῃ καὶ μέλος ἔχουσιν αἱ λέξεις, καὶ ῥυθμὸν καὶ μεταβολὴν καὶ πρέπον· ὥστε καὶ ἐπὶ ταύτης τέρπεται [34] μὲν ἡ ἀκοὴ τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς, ἀσπάζεται δὲ [35] τὰς μεταβολὰς, ποθεῖ δὲ ἐπὶ πάντων τὸ οἰκεῖον.“ ί. Οὐ γὰρ ἥ γε ἑτέρα· τουτέστιν ἡ κατὰ συλλαβήν· καὶ γὰρ δύο συνθῆκαί εἰσιν, ἡ μὲν μία συλλαβῶν, ἡ δὲ ἑτέρα λέξεων. ιά. Ἐν μέντοι ποιήσει· ὡς [36] γὰρ αὐτὸς ἐν τῷ περὶ σεμνότητός φησι, πάνυ

---

28 Ald. Par. καταληπτικοῖς. [Ald. καταλυπτ.] T. VII. καταληπτοῖς. 29 T. VII. νθ. 30 διποδία — σύνταξις. Ven. om. 31 p. 126. Schaef. 32 Ald. Par. τῷ. Mon. 8. τοῖς. Par. 2977. τῆς ut Dionys. 33 Ald. καὶ ἐν ταύτῃ καὶ γάρ. corr, ex Par. T. VII. 34 Par. 2977. τρέπεται. — Sch. min. Οἰκεία τις εἶναι· καὶ γὰρ τὴν συνθήκην εἶπε δεῖν ἐξ ἰάμβων καὶ τροχαίων συνεστηκέναι. Ὅπερ ἔφην· τὸ ὅπερ ἔφην, ὑπέρβατόν ἐστιν. Τοιαύτην ε. δ. τ. ἀνάπαυσιν· εἰς ἴαμβον καταλήγουσαν ἢ τροχαῖον. Ἡ κατὰ τοὺς πόδας· τὴν κατὰ τὰς συλλαβὰς λέγει· καὶ δύο γὰρ συνθῆκαί εἰσιν, ἡ μὲν μία συλλαβῶν, ἡ δὲ ἑτέρα λέξεων· οἷον ἂν οὖν· ἰδοὺ συλλαβῶν· ἄνδρες ἀδελφοί· ἰδοὺ τῶν λέξεων. 35 δὲ T. VII. om. 36 cfr. T. VII ξζ.

ἡδονῆς τῶν ἀκροατῶν ἡ ποίησις στοχάζεται, διὸ καὶ ὁ ποιητὴς τούτων ἐπιμελεῖται, δι᾽ ὧν θέλξει.

## Περὶ εὐκρινείας.

Ἡ δὲ εὐκρίνεια ἔχει μέν τινα καὶ φύσει σαφηνείας ἐργαστικά· καὶ τὰ λοιπά.

Ἐπίκουρός ἐστι· σπεύδων [1] γὰρ ὁ λέγων παῦσαι τὸν ἀκροατὴν ἐπιφέρει τῷ ζητουμένῳ πολλάκις [2] ἕτερον ζητούμενον· [3] ἐνίοτε δὲ καὶ τρίτον, πρὶν ἀποδεῖξαι τὸ πρότερον, ἃ καὶ διαταράττει τὸν ἀκροατὴν καὶ συγχεῖ τὸν λογισμόν· ἀφανισθείσης οὖν ἐντεῦθεν τῆς καθαρότητος ἀναφανεῖσα ἡ εὐκρίνεια θεραπεύει τὴν συμβᾶσαν αὐτῇ κακίαν καὶ τοῦτο δρᾷ, ὅπερ ἐκείνη ποιεῖν ἐβούλετο, λέγω δὴ σαφῆ τὸν λόγον. β΄. Καὶ τὸ πλεῖστόν γε· τὸ [4] πλεῖστον μὲν ἔχει περὶ τὴν μέθοδον, οὐ μὴν ἀπο- 388
ρεῖ καὶ ἰδίων, δι᾽ ἃ δὴ καὶ ἀντιδιαστέλλεται τῇ καθαρότητι, ἐπεί τοί γε μέρος ἂν [5] ἦν αὐτῆς, εἰ τὸ πᾶν εἶχε περὶ τὴν μέθοδον· δοκεῖ μέντοι περιττὴ εἶναι ἡ εὐκρίνεια ἐῤῥωμένης οὔσης τῆς καθαρότητος· διορθοῦταί γε μὴν ἡ εὐκρίνεια τά τε ὑπερβατὰ καὶ τὰς ἐπεμβολὰς καὶ περιβολάς, καὶ ἁπλῶς πάντα τὰ ἀσαφῆ ποιοῦντα τὸν λόγον ταῖς ἐπαναλήψεσι καὶ ταῖς καταστάσεσι καὶ ταῖς προδιορθώσεσιν ἢ ἐπιδιορθώσεσιν. γ΄. Καὶ ἀναστρέφει τὴν τάξιν· ἔδει [6] γὰρ εἰπεῖν „πρῶτον

1 T. VII. α. 2 πολλάκις Mon. om. 3 T. VII. καὶ τούτων ἀναποδείκτων ὄντων ὑπὸ τῆς ἀκολουθείας [sic] τοῦ λόγου καταναγκαζόμενος αὖθις ἐπιφέρει τοῖς ἀναποδείκτοις τρίτον ἀμφισβητούμενον, ἃ διαταράττει. 4 T. VII. καὶ ἡ εὐκρίνεια ἔχει, φησί, τὸ πλεῖστον περὶ τήν. 5 ἂν ex T. VII. recepi. 6 T. VII. ε. — de fals. leg. p. 342. — Par. 2977. add.: Πρῶτον τῇ τάξει τὸ προσετάξατε αὐτῷ ἦν, καὶ τοῦτο πρῶτον εἰπεῖν ἔδει τοῦδε τοῦ· αὐτοῖς ὧν ἀπήγγειλεν· ὁ δὲ Δημοσθένης δεινότερον μέν, ἀλλὰ καὶ

μὲν ὧν προσετάξατε, εἶτα ὧν ἔπεισεν, εἶτα ὧν ἀπήγγειλεν, ἀλλ᾽ ἐπειδὴ τοῦτο μέγιστον ποιεῖται τοῦ ἐγκλήματος σημεῖον, τὸ τὰ ψευδῆ ἀπαγγεῖλαι τοῖς Ἀθηναίοις, ὅτι σωθήσονται Φωκεῖς, ἀπολοῦνται δὲ Θηβαῖοι, διὰ τοῦτο [7] τοῦ χρησίμου ἕνεκεν [8] προέταξεν αὐτὸ, [9] καὶ τῇ ἀταξίᾳ ὡς τάξει ἐχρήσατο. [10] δ΄. Ἦ γὰρ ἂν ἀσαφές· τὸ κατασκευαζόμενον ἦν, τὸ διαβαλεῖν κακόνουν ὄντα τῇ πόλει Χαρίδημον· κατασκευάζει δὲ [12] τὸ κινδυνεύειν στερηθῆναι Χεῤῥοννήσου [13] τὴν πόλιν διὰ τοῦ ψηφίσματος· [14] ὁρῶν γὰρ [15] ὁ ῥήτωρ στρατηγὸν ἐπίσημον ὄντα τὸν Χαρίδημον καὶ ἐπίδοξον τὴν πόλιν εὐεργετήσειν, [16] καὶ δεδιὼς μὴ τοῦ νομίμου, ᾧ ἴσχυε, προτιμηθῇ τὸ συμφέρον, ὃ [17] προσεδόκων ἔσεσθαι Ἀθηναῖοι διὰ Χαριδήμου, ἐξεῦρεν ἑτέραν ὑπόθεσιν ἐκ τῆς οἰκείας δεινότητος, ἣν ἐπιπλέκων ταράττει τὸν ἀκροατὴν, φάσκων γεγράφθαι τὸ ψήφισμα ἐπὶ Χεῤῥοννήσῳ [18] καὶ τῇ ταύτης ἀφαιρέσει. ε΄. Ἀλλὰ [19] καὶ διὰ τῶν ἄλλων, τουτέστιν ἐννοίας, σχήματος, λέξεως· τὰ γὰρ προειρημένα μέθοδοί εἰσιν εὐκρινεῖς. [20] ς΄. Πολλάκις δέ. συνειδὼς [21] γὰρ ἑαυτῷ ὁ ῥήτωρ κατὰ μὲν τὸ παρά-

---

σαφέστερον ἐποίησε τὸν λόγον, τῷ μὴ τόδε τὸ προστάξατε τοῦδε τοῦ ὧν ἀπήγγειλε πρῶτον εἰπεῖν, ἀλλὰ τόδε αὐτὸ δηλονότι τὸ ἀπήγγειλεν. 7 Par. 2977. τούτου. 8 Par. 2977. 2916. ἕνεκα. Mon. ἕνεκεν τοῦ χρησ. 9 Par. αὐτῷ. 10 T. VII. add.: ἀκολούθως δ᾽ ἐπήγαγε τὸ ὧν ἔπεισε· συγγενὲς γὰρ τῷ ἀπαγγεῖλαι τὸ πεῖσαι τοὺς Ἀθηναίους, καὶ οὐχ, ὥς τινες ἐξηγοῦνται, τὸν Φίλιππον. 11 T. VII. ῃ. 12 δὲ ex T. VII. recepi. — c. Aristocr. p. 631. sqq. 13 Ald. T. VII. Χεροννήσου. Par. Χεῤῥονήσου h. l. et sub litt. ς. 14 T. VII. add.: τοῦ γραφέντος Χαριδήμῳ. 15 Mon. δέ γε. 16 T. VII. εὐεργετῆσαι. 17 Ald. et Par. ᾧ. scripsi ὃ. Ald. προσεδόκουν. Par. προσεδόκων. T. VII. ᾧ προσεδόκουν ἕπεσθαι. 18 Ald. Χεροννήσῳ. Mon. Χεῤῥοννήσου. 19 T. VII. ἄλλων [Mon. 8. ἄλλην. Par. 2977. ἀλλὰ] ἐννοίας, σχ. 20 Ald. εὐκριβεῖς. T. VII. add.: ὡς ἐφεξῆς αὐτὸς ἐρεῖ ἐν τῷ περὶ μεθόδου. 21 T. VII. ιδ. Est etiam apud

νομον μάλιστα ἰσχύοντι, κατὰ δὲ τὸ ἀνάξιον ἢ μὴ τὸν Χαρίδημον εἶναι σαθροτέρῳ ὄντι, συναράμενος γὰρ ἦν Ἀθηναίοις ὁ Χαρίδημος ἐν ταῖς περὶ Χεῤῥοννήσου [22] συνθήκαις πρὸς Κερσοβλέπτην καὶ Βηρισάδην καὶ Ἀμάδοκον. [23] διὸ καὶ στρατηγὸν [24] αὐτοκράτορα τῶν τε νήσων καὶ τοῦ [25] Ἑλλησπόντου καὶ Χεῤῥοννήσου χειροτονήσαντες ἐξέπεμψαν Ἀθηναῖοι· ταῦτα τοίνυν ὁ ῥήτωρ διασκοπούμενος [26] καὶ τεχνικῶς ἅπαντα μεθοδεύων πρώτους ἔταξε τοὺς περὶ τοῦ παρανόμου λόγους· καὶ τὸ δεινότερον ἐπὶ τὴν τῶν δικαστῶν βούλησιν μετήνεγκε τὴν αἰτίαν. ζ. Καὶ μὴν καὶ αἱ συμπληρώσεις· αἱ συμπληρώσεις ἐν ταὐτῷ [27] καὶ κατ' ἔννοιαν καὶ κατὰ μέθοδον ποιοῦσι [28] τὴν σαφήνειαν· μέθοδος μὲν γὰρ εὐκρινείας καὶ [29] τὸ διαχωρίζειν καὶ τάττειν [30] τί πρῶτον καὶ τί δεύτερον· [31] ἔννοια δὲ τὸ εἰς κατάστασιν καὶ ἀρχὴν ἄγειν τὸν λόγον, ὅπερ [32] ἡ συμπλήρωσις ἐργάζεται· ὁ γὰρ [33] συμπληρώσας διάνοιαν ἀρχὴν ἑτέρας ἐπιφέρει. [34]

**Μέθοδοι δὲ εὐκρινείας αἵ τε προειρημέναι, καὶ τὰ λοιπά.**

Τά γε εὐκρινοῦντα· εἶπε [35] γάρ, ὅτι συγχεῖ τὴν τῶν πραγμάτων τάξιν ὁ ῥήτωρ καὶ τὴν φυσικὴν ἀκολουθίαν, καὶ βλάψας τὴν τάξιν διὰ τῆς εὐκρινείας ἐπανορθοῖ τὸ πταισθέν· β. Φανερὸν δέ· ἐκεῖ [36] γάρ φησιν, ὅτι ἐν μὲν τῇ πανηγυρικῇ ἰδέᾳ συγχέαι τὴν τῶν

---

Sicel. 22 Ven. Par. 2916. *Χεῤῥονήσου.* Ald. Mon. *Χεροννήσου.* Sicel. constanter *Χεῤῥοννήσου.* 22 Ald. *Ἀμμάδοκον.* T. VII. *Ἀμαδ.* 24 Mon. Par. 2916. *στρατ. καὶ αὐτ.* 25 T. VII. *τῆς.* 26 Ald. Par. *σκοπούμενος.* T. VII. *διασκ.* 27 Ald. *αὐτῷ.* Par. T. VII. *ις. ταὐτῷ.* — tum T. VII. *κατὰ ἐνν.* omisso praec. *καί.* 28 *ποιοῦσι τὴν σαφ.* T. VII. om. 29 *καὶ* T. VII. om. 30 T. VII. *τάξαι.* 31 T. VII. add.: *ἀπαιτεῖν χρὴ τοὺς ἀκούοντας, ὡς προεῖπεν.* 32 T. VII. *ὥσπερ.* 33 *ὁ γὰρ — ἐπιφέρει* T. VII. om. 34 Ald. *ἐπιφεύει.* 35 T. VII. *κα.* 36 T. VII. *κβ-*

πραγμάτων τάξιν ἀδύνατον, διὰ τὴν τῶν γινομένων φύσιν, τὰ μὲν πρῶτα, τὰ δὲ δεύτερα καὶ τρίτα καὶ πολλοστὰ τάττουσαν· καὶ ἐν[37] συμβουλευτικῇ ὁμοίως, διὰ τὸ χρῆναι τὸν συμβουλεύοντα περὶ τοῦ κατεπείγοντος πρῶτον ποιεῖσθαι τοὺς λόγους· ἐν δὲ τῇ δικανικῇ πρὸς τὴν τοῦ ῥήτορος βούλησίν τε καὶ τέχνην καὶ ἡ τῶν πραγμάτων γενήσεται τάξις. γ΄. Οὐ μὴν ὅγε ῥήτωρ ὡς[38] ἐν τῷ τῆς παραπρεσβείας Αἰσχίνου μέλλοντος ἀντιτιθέναι, ὅτι οὐκ ἦσαν σύμμαχοι Φωκεῖς, ἀλλὰ καὶ πολλὰ τὴν πόλιν ἠδίκησαν, προλαμβάνων τὴν ἀντίθεσιν ὁ Δημοσθένης τὴν λύσιν[39] ἐργάζεται συνιστῶν τὴν ποιότητα τῶν Φωκέων, ὅτι καὶ σύμμαχοι καὶ εὐεργέται τοῦ δήμου· φησὶ γάρ,[40] „φέρε δή μοι τὴν συμμαχίαν τῶν Φωκέων," ἵνα ὡς ὑπὲρ οἰκείων ἀγανακτήσωσιν οἱ δικασταί· καὶ ἵνα ἡ ἔγγραφος ἀναγινωσκομένη συμμαχία τὸν[41] Αἰσχίνου λόγον ἐλέγχῃ.[42] δ΄. Ὁ δὲ περὶ ἀντιθέσεως περὶ τούτου ἐρεῖ ἐν εἰκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ περὶ μεθόδου δεινότητος· περὶ τοῦ προτείνειν τὰς τοῦ ἐναν-
389 τίου προτάσεις. ε΄. Καὶ ὁ μερισμός· μερισμός ἐστιν,[43] ὅταν προτάξαντες τὸν „μὲν" σύνδεσμον ἐπαγάγωμεν[44] τὸν „δέ." ἰστέον δὲ, ὡς[45] ἡ μὲν διὰ βραχέων ἀνταπόδοσις τοῦ „δὲ" καθαρὸν καὶ εὐκρινῆ τὸν λόγον ποιεῖ, ἡ δὲ διὰ μακρῶν περιβάλλει. ϛ΄. Πρῶτον μὲν τόδε· τοῦτο τῆς ἀπαριθμήσεως· τὸ δὲ „ἔδει μὲν,[46] ὦ Ἀθηναῖοι," τοῦ μερισμοῦ ἐστι· πλὴν ὅτι καὶ ἐν τῇ ἀπαριθμήσει ἐνίοτε, ὡς ἐνταῦθα καὶ ὁ μερισμὸς συνεμφαίνε-

---

37 Ven. ἐν μέν. 38 T. VII. κδ. 39 T. VII. τὴν λύσιν ὁ Δημοσθ. 40 p. 360. 41 Ald. Par. τοῦ. T. VII. τόν. 42 T. VII. add.: καὶ ἐν τῷ πρὸς Λεπτίνην προλύει τοῦ Λεπτίνου ἀντίθεσιν, ὥς φησι Μένανδρος· καὶ ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν. [p. 15.] ἄξιον δὲ ἐνθυμηθῆναι καὶ λογίσασθαι. 43 T. VII. κη. 44 Ald. ἐπανάγωμεν. 45 ὡς Ald. om., est in Par. 46 de Chersonn. init.

νεται. ζ. Τὸ μὲν οὖν τὴν Φιλίππου.[47] ἐνταῦθα δι' ὅλου[48] τοῦ χωρίου τῇ καλουμένῃ μεστώσει[49] χρησάμενος ὁ ῥήτωρ ἐπεμβολάς[50] τε συμπλέξας ἐπεμβολαῖς, εἰκότως ἐδεήθη τοῦ εὐκρινῆσαι[51] τὸν λόγον αὐτῷ[52] δυναμένου σχήματος[53] τῆς ἐπαναλήψεως, καὶ ταύτης οὐ μιᾶς, ἀλλ' ἤδη καὶ[54] δευτέρας διὰ τὸ μῆκος τῶν ἐπεμβολῶν· εἰρηκὼς γάρ, „ταῦτα μὲν[55] οὖν παραλείψω," καὶ πάλιν κατασκευάσας, αὖθις ἐπανέλαβεν εἰπών· „τούτων[56] οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν," καὶ οὕτως τὸ ἐπαγόμενον τῇ προτέρᾳ προτάσει ἀπέδωκε.[57] μέστωσις[58] δέ ἐστι λόγος πλειόνων καὶ μακροτέρων ἐννοιῶν ἐπεμβολὰς[59] περιέχων. η. Τῆς προτάσεως· ἡ πρότασις ἦν τὸ μὴ καλὸν ἡγεῖσθαι τὴν Φιλίππου ῥώμην διεξιέναι. θ'. Ἐπεὶ αἵ γε ἐμφάσεις· πολὺ μὲν παρὰ τῷ ῥήτορι τὸ κατ' ἔμφασιν σχῆμα, οἷ-

---

47 Ol. II. p. 18.— T. VII. λβ. Est etiam apud Sicel. 48 Ald. διόλου. T. VII. Sic. δι' ὅλου. 49 Mon. μεταστάσει. 50 Sic. ἐπεμβολήν. 51 T. VII. διευκρινῆσαι. 52 Par. 2977. Mon. αὐτοῦ. 53 Mon. χρήματα. Sch. min. Σχῆμα ἐπαναληπτικόν, οἷα ἔχει καὶ ὁ θεολόγος· ταῦτα μὲν οὖν παιζέτωσαν Ἑλλήνων παῖδες καὶ δαίμονες. Ἕτερον προθῆς· ἡ πρότασις ἦν, τὸ μὴ καλὸν ἡγεῖσθαι τὴν Φιλίππου ῥώμην διεξιέναι. Ἀνάγκη ἐπαναλαβεῖν· καὶ ὁ θεολόγος μεστώσας τὸν λόγον τοῖς πνεύμασιν ἐπανέλαβεν εἰπών· τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος καὶ τὰ ἑξῆς. Γινώσκειν γε χρή· ὑπέρβατον τοῦτο· τὸ γὰρ ἀκόλουθον, καὶ γὰρ γινώσκειν γε χρή, ὅτι λόγος σαφής. Μεστὸν ποιεῖ τὸν λόγον· τί ἐστι τὸ μεστώσας, εἴρηται πρὸ μικροῦ. 54 Mon. Par. 2977. καὶ om. 55 μὲν ex T. VII. recepi. 56 Ald. τοῦτον. Sic. τούτων, ut Dem. Ol. II. p. 18. Mon. Par. 2977. ὑπὲρ τούτων. 57 T. VII. add.: ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, καὶ καθόλου ἔνθα τῇ καλουμένῃ μεστώσει κέχρηται, καὶ [Sic. καὶ om.] τὰ τὴν εὐκρίνειαν ποιοῦντα παραλαμβάνει [Sic. λαμβάνει] κακίαν λόγου τὴν ἀσάφειαν ἐγνωκώς. 58 Sic. μεστότης. 59 Sic. ἐπεμβολὴν ἔχων.

ον, „πατὴρ οὐκ ἐρῶ, τίς[60] ἢ πόθεν·“ ἔοικε δὲ ταῖς ἐμφάσεσι καὶ τὰ καλούμενα αἰνίγματα, ἤτοι γρῖφοι· ἐσχηματισμένα δέ εἰσιν ἅπερ Ἑρμογένης ἐν ταῖς εὑρέσεσιν εἴρηκε· καὶ Σοφοκλῆς ἐν Οἰδίποδι σχηματίζων τὸν περὶ Ἰοκάστης λόγον φησί·

γυνὴ δὲ μήτηρ[61] ἥδε τῶν κείνου[62] τέκνων·

τὸ οὖν[63] ἐν τοῖς τοιούτοις πᾶσιν ἀσαφὲς τέχνης καὶ ἀρετῆς ἐστι λόγου, ἀλλ᾽ οὐ κακίας· κακία δὲ γίνοιτ᾽ ἂν, ὅταν ἐξ ἀπειρίας τοῦ λέγοντος ἡ ἀσάφεια συμβαίνῃ· οὐ δεῖ δὲ θαυμάζειν εἰ τὸ μὲν ἀντικείμενον τῇ καθαρότητι ἡ περιβολὴ οὐ κακίζεται· τὸ δὲ ἀντικείμενον τῇ εὐκρινείᾳ εἰς κακίαν πίπτει· ἡ μὲν[64] γὰρ ἔσχεν ἐπικουροῦσαν τὴν εὐκρίνειαν· καὶ ἔνθα τι[65] κατὰ περίστασιν ἔπαθεν, εὐπόρησε τῆς εὐκρινείας ἀνακοπτούσης τὴν βλάβην· ἡ δὲ[66] εὐκρίνεια ἅτε μηδεμίαν ἔχουσα βοήθειαν, εἰ πάθοι τι μόνον ὑπεναντίον, εὐθὺς ἐπὶ τὴν σύγχυσιν καταφέρεται, ἥτις ἐστὶ[67] κακία λόγου.

## Περὶ σεμνότητος.

Ἔννοιαι τοίνυν εἰσὶ σεμναὶ μάλιστα μὲν αἱ περὶ θεῶν· καὶ τὰ λοιπά.

Ἔννοιαι τοίνυν· τὰς[1] τῆς σεμνότητος ἐννοίας[2] εἰς τέσσαρας τρόπους[3] διεῖλε, καὶ πρώτας μὲν εἶναί φησι τὰς περὶ θεῶν ὡς περὶ θεῶν λεγομένας, ὁποῖαί εἰσιν αἱ[4] παρὰ τῷ Πλάτωνι, καὶ σχεδὸν πᾶσαι αἱ σπανιώ-

---

60 In Par. τίς bis exstat. 61 Ald. Par. θ᾽ ἥδε. delevi θ᾽. — Oed. R. 921. ubi Musgr. nostrum locum laudat. 62 Ald. ἐκείνου. Par. κείνου, 63 Par. τὸ ἐν οὖν τοῖς τοιούτοις τοῖς πᾶσιν. 64 T. VII. λζ. 65 Ald. τί. T. VII. ἄν τι. 66 Mon. τε. 67 T. VII. ἐστὶ om.

1 T. VII. α. 2 Mon. αἰτίας. 3 Ald. τόπους. T. VII. τρόπους. 4 Ven. αἱ Πλατωνικαὶ σχεδὸν πᾶσαι.

νιώτατα προσαπτόμεναι τοῦ μυθώδους, καὶ αὗται μετὰ δή τινος βασάνου φιλοσοφωτάτης, διόπερ [5] τὰς ἐν Δηλιακῷ [6] Ὑπερίδου πόῤῥω τούτων ἱστάναι φησί· [7] βουλόμενος γὰρ ἐκεῖνος ἐξ ἀρχαίου [8] δεῖξαι τοῖς Ἀθηναίοις τὰ ἐν Δήλῳ ἱερὰ προσήκοντα πολλῷ κέχρηται τῷ μύθῳ λέγων οὕτω· „λέγεται γὰρ τὴν Λητὼ κύουσαν τοὺς παῖδας ἐκ Διὸς ἐλαύνεσθαι ὑπὸ τῆς Ἥρας κατὰ γῆν καὶ κατὰ θάλασσαν· ἤδη δὲ αὐτὴν βαρυνομένην καὶ ἀποροῦσαν εἰς τὴν γῆν [9] ἐλθεῖν τὴν ἡμετέραν καὶ λῦσαι τὴν ζώνην ἐν τῷ τόπῳ, ὃς νῦν [10] ζωστὴρ καλεῖται“· δευτέρας δὲ τάττει σεμνότητος ἐννοίας τὰς περὶ τῶν φυσικῶν πραγμάτων, οἷαί εἰσιν αἱ τῶν μετεώρων ὑποθέσεις· [11] τρίτας δὲ τὰς περὶ ψυχῆς καὶ τῶν ἀρετῶν καὶ τῶν ἀνθρωπίνων πραγμάτων· τετάρτας δὲ τὰς περὶ μεγάλων καὶ λαμπρῶν πράξεων· αἷς πολὺ τὸ ἔνδοξον πρόσεστι· [12] τῶν τοίνυν πρώτων ἐννοιῶν οὐδαμῶς οἱ ῥήτορες ἐφάπτονται, ἵνα μὴ ὁ [13] περὶ τούτων λόγος εὐκαταφρόνητος γίνηται· καὶ ἄλλως ὁ ῥήτωρ ἐκεῖνα σπουδάζει λέγειν, ἃ τὴν ἀρχὴν ὁ πολὺς οἶδεν ἄνθρωπος, αἱ δὲ πρῶται ἔννοιαι οὐ τοιαῦται. β΄. Τὸ δὲ αἴτιον· οὐ γὰρ θεωρεῖν [14] τὸν Δηλιακὸν νῦν ἡμῖν ὁ σκοπός· ἡ μέντοι αἰτία [15] ἐστὶν, ὅτι περὶ τῶν πατρίων τοῦ ἱεροῦ διαλαμβάνει καὶ τῆς γενέσεως τῶν θεῶν· τὰ δὲ τοιαῦτα ἀνθρωποπαθῶς εἴρηται τοῖς παλαιοῖς, ὡς τῷ Ἡσιόδῳ ἡ θεογονία· ἠναγ- 390
κάσθη οὖν ὁ Ὑπερίδης τῇ ὕλῃ τῶν πραγμάτων χρήσα-

5 διόπερ Mon. om. 6 Mon. ἐνδηλητικήν. 7 T. VII. φησίν. 8 ἐξ ἀρχαίου Ven. ponit post ἐν Δήλῳ. 9 T. VII. χώραν. Ven. ἐλθεῖν εἰς τὴν χώραν. 10 νῦν Mon. om. 11 ὑποθέσεις ex T. VII. recepi. 12 πρόσεστι Mon. om. Sqq. T. VII. non habet. 13 Ald. μή σε περί. 14 T. VII. γ. θεωρεῖ [Mon. θεωρεῖν] omissis νῦν ἡμῖν ὁ σκοπός. 15 T. VII. add.: τοῦ μυθικῶς τὸν Ὑπερίδην πολλὰ ἐν τῷ Δηλιακῷ εἰπεῖν αὕτη, ὅτι [sic].

σθαι, καὶ παραβῆναι τὴν τέχνην διὰ τὴν ὕλην τῆς ὑποθέσεως, καὶ ὁ Αἰσχίνου Δηλιακὸς ὁμοίως ἔχει [16] καὶ εἰ νοθεύεται. γ΄. Ὁ ἥλιος ἀπελαυνόμενος· τοῦτο ἐν τῇ δευτέρᾳ [17] φησὶν ὁ Ἡρόδοτος, βουλόμενος δεῖξαι τὴν αἰτίαν τῆς τοῦ Νείλου ἀναβάσεως· φησὶν οὖν, ὅτι ὁ ἥλιος χειμῶνος πρὸς τὰ νοτιώτερα καὶ τὰς ἀρχὰς τοῦ Νείλου πορευόμενος καὶ κατὰ κορυφὴν αὐτῶν γινόμενος ἕλκει ἐφ᾽ ἑαυτὸν τὸ ὕδωρ, καὶ τηνικαῦτα ἐλάττων ἑαυτοῦ ὁ ποταμὸς ῥεῖ ἢ τοῦ θέρους. δ΄. Καὶ ὅτι ἐπικλύσει· [18] τῆς γὰρ γῆς πολλὰς ἐχούσης, ὥς φασι, ῥωχμὰς καὶ διασφαγὰς τὸ ὕδωρ εἰσδυόμενον τίκτει πνεῦμα, εἶτα τὸ πνεῦμα στενοχωρούμενον ποιεῖ τὴν κίνησιν δι᾽ ἑτέρου τόπου, καὶ οὐχ ὅθεν τὸ ὕδωρ εἰσφορεῖται διαφορούμενον. ε΄. Νόμος ἐστίν· ἐν τῷ κατὰ Ἀριστογείτονος [19] Δημοσθένης φησίν, ὅτι „νόμος ἐστὶν εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δ᾽ ἀνθρώπων σοφῶν, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἀδικημάτων, πόλεως δὲ συνθήκη κοινή, καθ᾽ ἣν πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει.“ ϛ΄. Οἶον Ἴακχος· τὰ περὶ τοῦ Ἰάκχου Ἡρόδοτός φησιν ἐν τῇ ὀγδόῃ· [20] ὡς τοῦ πεζοῦ στρατοῦ τοῦ Ξέρξου τὴν Ἀττικὴν δῃοῦντος Ἀθηναίων ἔρημον οὖσαν, Ἀθηναῖός τις τοὔνομα Δίκαιος φυγὰς παρὰ τοῖς Μήδοις ὢν λέγεται ἰδεῖν κονιορτὸν χωροῦντα ἀπ᾽ Ἐλευσῖνος ὡς ἀνδρῶν μάλιστά που τρισμυρίων· ἀποθαυμάζειν τε τὸν κονιορτὸν αὐτὸν καὶ τὸν Λακεδαιμόνιον Δημάρατον συνόντα αὐτῷ τίνων ποτὲ εἴη ἀνθρώπων, καὶ δὴ φωνῆς ἀκούειν, καὶ τὴν φωνὴν τὸν μυστικὸν Ἴακχον εἶναι φαίνεσθαι, καὶ τὸν Δημάρατον ἀμύητον ὄντα τῶν ἐν Ἐλευσῖνι ἱερῶν, τί ἂν εἴη τοῦτο, φάναι, τὸ φθεγγόμενον· τὸν δὲ εἰπεῖν ὅτι τὴν ἑορτὴν ταύτην

---

16 ἔχει T. VII. om. 17 L. II. 97. 18 Ald. ἐπὶ κλύσει. 19. Ald. Ἀριστογείτωνος p. 774. 20 VIII. 65. ubi Wessel. nostri schol. meminit.

ἄγουσιν Ἀθηναῖοι [21] ἀνὰ πᾶν ἔτος τῇ μητρὶ καὶ τῇ κόρῃ, καὶ τὴν φωνὴν, ἧς ἀκούεις, ἐν ταύτῃ τῇ ἑορτῇ ἰακχίζουσι· καὶ οὐκ ἔστιν ὅπως οὐ μεγάλη τις ἔσται βλάβη τῇ βασιλέως στρατιᾷ· ἐκ δὲ τοῦ κονιορτοῦ καὶ τῆς φωνῆς λέγεται γενέσθαι νέφος, καὶ μετάρσιον γενόμενον [22] ἐκφέρεσθαι ἐπὶ Σαλαμῖνος ἐπὶ τὸ στρατόπεδον τῶν Ἑλλήνων· καὶ οὕτως αὐτοὺς μαθεῖν, ὅτι τὸ ναυτικὸν τοῦ Ξέρξου ἀπολεῖσθαι μέλλει.

**Μέθοδοι δὲ σεμναὶ αἱ κατὰ ἀπόφανσιν καὶ χωρὶς ἐνδοιασμοῦ ἐξ ἀφηγήσεως, καὶ τὰ λοιπά.**

Τοῦ πολιτικοῦ τε· πολιτικὸν [1] μὲν γὰρ τὸ μὴ περὶ τῶν θείων εἰδέναι σαφῶς προσποιεῖσθαι· φιλοσοφίας γὰρ ἴδιον τὸ τοιοῦτον, πιθανὸν δὲ καὶ ἠθικὸν τὸ μὴ ἀποφαίνεσθαι, ἀλλ᾽ ἐνδοιάζειν, περὶ ὧν οὐκ ἀνάγκη τοῖς ῥήτορσιν [2] εἰδέναι. β΄. Ὁ μὲν δὴ μέγας· [3] τοιαῦτα καὶ ἐν τῇ θείᾳ γραφῇ τὰ περὶ τοῦ ὄφεως καὶ τῆς ἀπάτης αὐτοῦ. γ΄. Διὰ τῶν εὐζώνων· [4] δι᾽ εὐτελῶν ἀλληγορίαι εἰσίν· ὡς Ἀριστοφάνης [5] ἐν τῷ δράματι τῆς εἰρήνης διαπλάττει [6] τὴν ἄνοδον τοῦ κανθάρου πρὸς τὸν Δία τῆς εἰρήνης ἕνεκα· καὶ πάλιν παρὰ Πλάτωνι ἐν συμποσίῳ ὁ αὐτὸς κωμικώτερον πεποίηται τοὺς περὶ ἔρωτος λόγους διεξιὼν, καὶ τὴν [7] σύζευξιν τοῦ ἄῤῥενος καὶ τοῦ θήλεος. [8] δ΄.. Ἄλλης δή τινος· τουτέστιν εὐτελείας ἢ ἀφελείας· ἰστέον δὲ, ὅτι διορθοῦνται [9] τὴν εὐτέλειαν αἱ ἀντιπτώσεις καὶ ἀναστροφαί· [10] οἷον ἐγὼ ἔχω πατέρα· τοῦτο [11] εὐτελὲς, κοινὸν γάρ· εἰ δὲ

21 Par. ἀναθηναῖοι. 22 Ald. γινόμενον. Par. γενομ.
1 T. VII. ι. 2 Par. T. VII. τοὺς ῥήτορας. 3 Plat. Phaedr. p. 246. e. 4 Ald. εὐζώων. 5 T. VII. ια. 6 Mon. διαπράττει. 7 Ald. τὴν om., est in Par. et T. VII. 8 Ald. Mon. θήλεως. Parr. θήλεος. 9 T. VII. ιγ. 10 Ald. ἀντιστροφαί. Par. T. VII. ἀναστροφαί. Mon. αἱ om. 11 T. VII. τοῦτο δὲ εὐτελές ἐστι.

*λέγεις, ἐμοί*[12] *ἐστι πατὴρ, ἐκφεύξῃ*[13] *τὴν εὐτέλειαν διὰ τῆς ἀντιπτώσεως· κατὰ δὲ ἀναστροφήν·*[14] *οἷον τῷ ἀγῶνι τῶν Πυθίων· τοῦτο κοινὸν καὶ εὐτελές· ἀλλὰ Κριτίας ἀναστρέψας εἶπε, τῷ τῶν Πυθίων ἀγῶνι.*[15] *έ. Καὶ μὴν καὶ τὸ δι' ἐμφάσεων· καὶ ὁ θεολόγος, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος. ς'. Καὶ ἀνέπτυξε· τουτέστιν ἡρμήνευσε τὴν μέθοδον τῆς ἐμφάσεως καὶ ἐδήλωσεν ἐμφαντικῶς ἀνωτέρω εἰπών· περὶ θεοῦ γὰρ ἠβούλετο λέγειν, ὃν εὑρεῖν μὲν ἤτοι νοῆσαι χαλεπὸν, εὑρόντα δὲ λέγειν ἀδύνατον· καὶ ὁ θεολόγος οὗτος ἀνέπτυξε λέγων φυτῶν ἀθανάτων γεωργὸν, θείων ἐννοιῶν ἴσως. ζ. Ἑτέρου δέ τινος· ἀντὶ τοῦ δεινότητος, ὡς ἐν τοῖς ἐσχηματισμένοις ζητήμασιν.*[16] *ή. Ἡ πλα-*
391 *τεῖα καὶ διογκοῦσα· τουτέστιν ἡ διανοίγουσα τὸ στόμα, ἢ*[17] *διὰ τῶν μακρῶν καὶ τοῦ ά. πλείονα γὰρ χρόνον ἐπέχει καὶ ἐμβραδύνει τὰ μακρὰ φωνήεντα*[18] *ἐν τῇ προφορᾷ· δύο γὰρ χρόνους ἔχει*[19] *ἑκάτερα. χαίρει δὲ ἡ σεμνότης τῇ*[20] *χρονίᾳ καὶ μετὰ μελλήσεως γινομένῃ προφορᾷ· στομφάζειν δέ ἐστι τὸ διὰ τοῦ στόματος βάζειν τουτέστιν τῷ πλατεῖ καὶ ὄγκον ἔχοντι στόματι λέγειν· καὶ ὁ Ἀριστοφάνης ἐν ταῖς νεφέλαις περὶ τοῦ Αἰσχύλου*[21] *φησὶ, στόμφακα κρημνοποιόν·*[22] *Ὁ γὰρ Θεόκριτος· τὰ ἔπη τοῦ Θεοκρίτου ταῦτ' ἐστι.*[23]

*Παύσασθ' ὦ δύστανοι, ἀνήνυτα κωτίλλοισαι*[24]

---

12 T. VII. *ἐμοὶ γάρ ἐστιν.* 13 Ald. *ἐκφεύξει.* 14 Ald. *ἀντιστροφὴν* et paullo post: *Κριτίας ἀντιστρέψας.* corr. Par. T. VII. 15 Mon. *τῷ ἀγῶνι τῶν Πυθ.* Par. 2977. *Πυθ. τῷ ἀγῶνι.* 16 T. VII. *ιζ.* addit: *ἐπεὶ καὶ εἷς τρόπος τῶν ἐσχηματισμένων ἐστὶν, ὁ κατὰ ἔμφασιν λεγόμενος.* [Par. 2977. *ἔμφ. λεγόμ.* om.] 17 Par. 2977. *ἤ.* 18 Par. 2977. *τῶν φωνηέντων τῇ προφ.* 19 Par. 2977. *ἐπέχει.* id. et Par. 2918. *ἑκάτερον.* 20 *τῇ.* Par. 2977. 21 Par. *Αἰσχίλου.* 22 Ald. *κρημνοποιεῖν.* Par. *κρημνοποιόν.* Nub. 1371. 23 Id. XV. 88. 24 Ald. *κωτύλλοισαι.*

Τρυγόνες· ἐκκναισεῦντι [25] πλατειάσδοισαι ἅπαντα;

τὸ δὲ ἐκκναισεῦντι τὸ διαλέγονται δηλοῖ, καὶ τῶν κωμικῶν τις περί τινος ἀλαζόνος στρατιώτου φησί· καὶ γὰρ μετὰ καλὰ γέγονα καὶ μεταίχμια, [26] καὶ μετὰ Μενοίτα καὶ μετὰ Περδίκκα πάλιν, καὶ νή [27] γε μὰ Δία τρίτον ἔτος μετὰ Κινησίαν, ἃ πρὸς ἑκάστην τὴν τελευτὴν προσθεὶς ἐπέραινεν ὀνόματα πλατύτατα [28] ἐξειργασμένος. [29]. ι. Κατὰ μόνας· ἀντὶ τοῦ μὴ συμπλεκόμεναι τῷ ῑ ἢ τῷ ῡ. ια. Συστέλλει γάρ· ὅλως πάντα τὰ φωνήεντα πλὴν τοῦ ῑ καὶ ταῦ ε̄ τοῖς σεμνοῖς συμβάλλεται λόγοις. σεσηρέναι δέ ἐστι τὸ εἰς μῆκος ἀλλὰ μὴ [30] εἰς πλάτος ἐκτείνειν τὸ στόμα· ὡς ἐπὶ τῶν γελώντων· οὕτω δὴ καὶ τό·

Ἕκτωρ ἦφι [31] βίηφι πιθήσας ὤλεσε λαόν.

οὐ σεμνὸν ἀλλ᾽ εὐτελές. ιβ. Καὶ μὴν καὶ αἱ τροπικαί. εἰκότως [32] αἱ τροπικαὶ λέξεις ὄγκον ποιοῦσι τῷ λόγῳ. διπλαῖ γάρ πώς εἰσιν ἔχουσαι τό τε κύριον σημαινόμενον καὶ τὸ μεταφορικόν. ιγ. Προβαλλομένους· τοῦτο [33] ἐκ μεταφορᾶς εἴρηται τῶν τὴν ἀσπίδα προβαλλομένων καὶ ἑτοίμων μάχεσθαι, ἢ τῶν προτεινόντων τὰς χεῖρας ἐπὶ [34] τῷ πλῆξαι ἢ δέξασθαί τι διδόμενον ὑφ᾽ ἑτέρων. ιδ. Τραχύνουσι τὸν λόγον· ἀντὶ τοῦ τραχύτητος [35]

---

25 Ald. bis ἐκνεσεῦντι, corr. Par. tum Ald. Par. πλατυάσδοισαι. corr. ex Theocr. 26 Ald. Par. μετ᾽ ἀκμαῖα. Mon. Par. 2916. 2977. μεταγμαῖα. Ven. μεταίχμια. tum Ald. Mon. Parr. tres καὶ μετὰ νύκτα καὶ περδίκκα. [Ald. περδίκα] secutus sum Ven. 27 Ald. -ναί. T. VII. νή. 28 Mon. πλατύτερα. 29 Par. 2918. 2977. Mon. ἐξειλεγμένος. Ven. ἐξηγγελμένος. in Par. 2916. locus hic legi non potest. 30 Par. ἀλλ᾽ οὐκ. 31 in Par. φι erasum est, ita ut relinquatur ἦ. — Il. X. 107. 32 Cfr. T. VII. λ. 33 T. VII. λα. τοῦτο γάρ. 34 T. VII. ἐπὶ τὸ δέξασθαί τι παρεχόμενον ὑφ᾽ ἑτ. προβάλλει γὰρ καὶ προτείνει τοῦ λοιποῦ σώματος τὰς χεῖρας. 35 T. VII. τραχύτητα sine ἰδέαν.

ἰδέαν ἐργάζονται, ἴδιαι γὰρ τραχύτητος[36] αἱ τροπικαὶ λέξεις. ιε΄. Δωροδοκούντων[37] καὶ τὰ ἑξῆς· τὸ ἑξῆς οὕτως ἔχει· τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν τὰ μὲν μὴ[38] προορωμένων, τὰ δὲ τῇ καθ' ἡμέραν ῥαστώνῃ καὶ σχολῇ δελεαζομένων. ις΄. Καὶ παχύτερον· ἀντὶ τοῦ ἀνοητότερον· παχεῖς[39] γὰρ ἐκάλουν τοὺς ἀναισθήτους καὶ ὑώδεις· ὥσπερ λεπτοὺς τοὺς ἀκριβεῖς τε καὶ ὀξεῖς. ιζ. Παρὰ δὲ[40] τοῖς ὑποξύλοις· ὑπόξυλα κυρίως καλεῖται τὰ ἀγάλματα, οἷς ἐκ ξύλων κατεσκευασμένοις ἐπιπολῆς[41] ἐπελήλαται ἄργυρος ἢ χρυσός· κεῖται[42] δὲ ἐπὶ τῶν λαμπρῶν μὲν ἔξωθεν καὶ ἐπιεικῶν, πονηρῶν δὲ τὰ ἔνδον·[43] καὶ Μένανδρος ἐν τῇ Περινθίᾳ[44] φησίν·

Οὐδ' αὐτός εἰμι σὺν θεοῖς ὑπόξυλος.

ἀντὶ[45] τοῦ κίβδηλος καὶ οὐ γνήσιος. Καὶ ὅσοι τῶν ποιητῶν· οὗτοι[46] γὰρ καὶ τὰ τυχόντα πολλάκις τῶν πραγμάτων ἁδρότατα[47] περιφράζουσιν, ὡς Εὐριπίδης μὲν τὸ ῥαίνειν,[48] ἔφη

ἐκ χρυσηλάτων
Τευχέων χερὶ σπείρουσαν ποταμίαν δρόσον.

Πίνδαρος[49] ἐρήμην μὲν τὴν αἰθέρα διὰ τὸ μὴ τρέφειν ζῶα, ἀμπέλου[50] δὲ καχλάζουσαν δρόσον τὴν οἴνου πλή-

---

36 T. VII. τῆς ἰδίας, ἣν καλεῖ τραχύτητα. 37 pro cor. p. 241. 38 Par. οὐ. 39 Ald. παχὺς. 40 δὲ Ald. om. est in Par. 41 Ald. ἐπιπολλοῖς. 42 T. VII. ε. 43 T. VII. addit: Αἰσχύλος ἐν Πέρσαις μέμνηται, καὶ Διογενιανὸς ἐν τῇ λέξει τούτου, καὶ Διονύσιος ἐν τῇ ἐκλογῇ τῶν ὀνομάτων, ὅτι Μέν. 44 Ald. Par. Περιηθέᾳ. correxerunt multi, quos enumerat Meineke Men. p. 142. T.VII. Περινθίᾳ. 45 T. VII. οἷον κίβδ. κ. ὀ. γν. οὐδὲ ἀληθὲς ἀπὸ τῶν ξυλίνων καὶ περιηργυρωμένων σκευῶν [Mon. σκευασθέν]. 46 T. VII. λζ. 47 Ald. ἁδρότητα. 48 Eur. Andr. 165. ῥαίρειν. — Ald. Par. περισπείρουσα sine χερί. T. VII. χερὶ περισπείρουσα. Ven. χερὶ σπείρουσαν, ut Eurip. 49 Ol. I. 10. XIII. 126. 50 Ol. VII. 3.

θουσαν φιάλην· εὐωνύμων δὲ πατέρων ἄωτον[51] τὸν Θήρωνα, τὸ δὲ ἀρετὴν ἀσκεῖν δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο[52] πασᾶν· ἕκαστον γὰρ τούτων πολλῆς τῆς τροπῆς καὶ περιφράσεως γέμει· τοῦτο δὲ τραγικοῖς μὲν καὶ διθυραμβοποιοῖς ἐργάζεσθαι συγγνώμη, τοῖς μὲν ἡρωϊκὰς ὑποθέσεις, τοῖς δὲ πράξεις ἐνδόξους ἐπὶ λύρας ἐκλεγομένοις· τοῖς δὲ τὸν πολιτικὸν μετιοῦσι λόγον ἀπρεπὲς τοσοῦτον ἐκ τοῦ κατὰ φύσιν ἐκτρέπειν[53] τὸν λόγον, διόπερ καὶ ὁ θεῖος Πλάτων ἐν τοῖς περὶ ἔρωτος λόγοις πεποίηκε τὸν Σωκράτην πρὸς ἑαυτὸν ἐπισημαινόμενον ὡς διθυραμβώδη[54] φθεγγόμενον, εἰρηκότα περὶ τοῦ ἀτόπου ἐραστοῦ·

Ὡς λύκοι ἄρν' ἀγαπῶσ',[55] ὣς παῖδα φιλεῦσιν ἐρασταί.

πλὴν καὶ παρὰ τοῖς ποιηταῖς οἱ παραιτησάμενοι τὰ τραχύνοντα πέρα τοῦ δέοντος τὸν λόγον λίαν εὐδοκιμήκασιν. ὧν εἷς ὁ Εὐριπίδης· τὰς γὰρ σεμνὰς ἐννοίας περικαλύψας λέξεσιν ἁπαλαῖς[56] ἅπαν τὸ θέατρον ἐμέστω-

---

51 ἄωτον Ald. Par. om., Ven. ἀώρατον. Mon. Par. 2916. 2977. ἄσωτον. Pind. Ol. II. 11. ἄωτον. 52 Ald. T. VII. ἀπὸ. — Ol. I. 21. 53 Ald. ἐκπρέπειν. T. VII. ἐκτρέπειν. 54 ὡς διθυραμβ. Mon. per lac. om. 55 T. VII. αἶγ' [Ven. ἄρνα] ἀγαπῶσιν et φιλοῦσιν. — Phaedr. p. 241. d. Post ἐρασταὶ T. VII. addit: λέγει πρὸς Φαῖδρον ἔτι παρακαλοῦντα περὶ τοῦ αὐτοῦ διεξιέναι· „οὐκ ᾔσθου οὖν, ὦ μακάριε, ὅτι ἤδη φθέγγομαι, ἀλλ' οὐκέτι διθυράμβους καὶ ταῦτα ψέγων. Τί γὰρ ἂν εἴπωσιν οἱ τὰ τοιαῦτα ληροῦντες, ἐπεὶ καὶ οἱ τραγῳδοποιοὶ πάσης ἂν ἀπολογίας ἐξεκλείσθησαν, εἰ μὴ τὴν ἀρχὴν ἐξῆν αὐτοῖς ἀδιαφόρως χρῆσθαι ταῖς ἐννοίαις, πλὴν καὶ παρ' αὐτοῖς οἱ παραιτ. τὰς τραχυνούσας. — Sch. min. ψυχρεύονται, ψυχρολογοῦσι, ματαιολογοῦσι. Ἐκτραχηλίζουσιν ἀντὶ τοῦ ἀποῤῥίπτουσιν· ἡ μεταφορὰ δὲ ἐλήφθη ἀπὸ τῶν ἱππευόντων, εἶτα πιπτόντων· ἔστι δὲ σεμνῆς ἐννοίας τοῦτο. Τραγῳδίαι, ἐλεεινολογίαι, οἷα τὰ Εὐριπίδου καὶ Σοφοκλέους, οὗτοι γὰρ τραγικοί. ὑπὲρ μέντοι τούτων. τῶν ὑποξύλων ῥητόρων. 56 Ald. ἀπλαῖς. T. VII. ἁπαλαῖς.

σεν ἡδονῆς. ιή. Ἥ τε ὀνομαστική· ὡς παρὰ τῷ Θουκυδίδῃ ἀπὸ τοῦ μέλλειν[57] ἡ μέλλησις, καὶ ἀπὸ τοῦ κωλύειν ἡ κώλυσις καὶ κωλύμη,[58] καὶ ἀπὸ τοῦ
392 πρεσβεύειν ἡ πρέσβευσις. μετοχικὰ δέ ἐστι τὸ[59] σωφρονῶν, πολιορκῶν, εὐεργετῶν· ἀντωνυμικὰ δὲ ἡμέτεροι, σφέτεροι· ἁρμόζει δὲ τὰ ὀνόματα μᾶλλον ἢ τὰ ῥήματα τῷ σεμνῷ λόγῳ· διότι τὰ μὲν ὀνόματα οὐσίαν σημαίνει, τὰ δὲ ῥήματα ἐνέργειαν· ὅσῳ τοίνυν οὐσία κυριώτερον ἐνεργείας, τοσούτῳ καὶ τὰ ὀνόματα τῶν ῥημάτων· ἢ οὕτως, ὀνομαστικήν φησιν,[60] ὅταν τὸ ῥῆμα εἰς ὄνομα καὶ ῥῆμα διαλύηται· οἷον ἀντὶ τοῦ ἔγραψε γραφὴν ἐποιήσατο, ἢ γραφῇ ἐχρήσατο, ἢ γραφὴ αὐτῷ γέγονε, καὶ τὰ τοιαῦτα· ἢ ὀνόματα μὲν λέγει τὰ προσηγορικά, οἷον τὸ τόλμα· ὀνομαστικὰ δὲ τὰ ἐπίθετα· οἷον τὸ ἀλόγιστος· τὸ δὲ διὰ μετοχῶν τοιοῦτον ἂν εἴη· ὅταν ἔχωμεν δύο ἢ τρία ἢ καὶ πλείω ῥήματα, δυνάμεθα πάντα πλὴν τοῦ τελευταίου ποιεῖν μετοχάς· οἷον ἀντὶ τοῦ εἰπεῖν ὁ δεῖνα ἠγωνίσατο καὶ ἐνίκησε καὶ ἐστεφανώθη, δυνάμεθα οὕτω προενεγκεῖν,[61] ὁ δεῖνα ἀγωνισάμενος καὶ νικήσας ἐστεφανώθη· τὸ δὲ καὶ δι᾽ ἀντωνυμιῶν εἴη ἂν καὶ αὐτὸ τοιοῦτον, οἷον οἱ Πυθαγόρειοι περὶ αὐτοῦ τοῦ Πυθαγόρου οὐκ ἔλεγον, ὡς ὁ Πυθαγόρας ἔφη τόδε, ἀλλ᾽ αὐτὸς ἔφη, τὸ αὐτὸς σεμνότερον τοῦ κυρίου ὀνόματος οἰόμενοι· ὡσαύτως κἂν Ἀχιλλεὺς περὶ Πατρόκλου πεσόντος λέγῃ· „ποθῶ τὴν κεφαλὴν ἐκείνην," σεμνότερον ἂν ποιεῖ τὸν λόγον, ἢ εἰ λέγοι, ποθῶ τὴν Πατρόκλειαν κεφαλήν· τὸ γὰρ ἐκείνην ἐμφαντικόν ἐστι μεγέθους τι-

57 Par. 2977. 2916. μέλλω. Mon. μεγάλου. tum Mon. Par. 2916. μέλησις. Thuc. I. 69. 58 Thuc. I. 92. Ven. κώλυμα. 59 τὸ Par. T. VII. om. 60 φησὶν Ald. om., est in Par. in quo: ἢ οὕτως ὀνομαστικὴν sqq. usque ad ιθ. manu recentiori ad marg. suppleta sunt, cum prima manu omissa sint. 61 Ald. προσενεγκεῖν, scr. προεν. — v. 20. ἂν Ald. om., est in Par.

νὸς ἀξιώματος. ιθ'. Τόλμα μέν· ἀντὶ τοῦ εἰπεῖν, τὸ μὲν ἀλογίστως τολμᾷν. καὶ προμηθῶς δεῖ μέλλειν καὶ σωφρονεῖν, ὀνομαστικῶς ἐξέδωκε, τόλμα καὶ μέλλησις καὶ τὸ σῶφρον εἰπών. κ'. Εἰ δέ τι ἐν τούτοις· καθὸ μὲν γὰρ ὀνομαστικῶς ταῦτα κεῖται, σεμνότης γίνεται· καθὸ δὲ οὐκ ἐπὶ προσώπου κεῖται, ἀλόγιστος καὶ φιλέταιρος· ἀλλ' ἐπὶ τῆς τόλμης καὶ τῆς ἀνδρείας τέτραπται καὶ τραχεῖά[62] ἐστιν. κά. Οὐ γὰρ τὰ ῥήματα· οὕτω κεῖται ἐν τῷ περὶ στεφάνου· „καὶ ἀκούσεσθε δυοῖν[63] ἢ τριῶν ἡμερῶν οἷς μὲν ἐχθρὸς ἥκει φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος τοὐναντίον ἐχθρόν“· οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, μάλα[64] σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ[65] συμφέρειν· συμφέρει δὲ Φιλίππῳ καὶ Φωκεῦσι καὶ ἡμῖν ὁμοίως ἅπασι, τῆς ἀναλγησίας καὶ τῆς βαρύτητος τῆς τῶν[66] Θηβαίων ἀπαλλαγῆναι.“ ὀνομαστικῶς οὖν εἶπεν οἷς φίλος[67] καὶ οἷς ἐχθρὸς ἀντὶ τοῦ οὓς[68] φιλεῖ καὶ οὓς ἐχθαίρει.

Σχήματα δὲ σεμνά, ἅπερ καὶ καθαρά, καὶ τὰ λοιπά.

ά. Εἴ τι[1] καὶ τοιουτότροπον· τὴν ἀφήγησιν λέγει, ἣν εἶπεν ἐν τῇ καθαρότητι· β'. Καὶ μὴν καὶ αἱ ἐπικρίσεις· ἐπίκρισίς ἐστι λόγου ῥηθέντος ἐπικύρωσις καὶ βεβαίωσις. γ'. Εἴτ' ἔννοιαί τινες· καὶ τῇ ἐννοίᾳ[2] γὰρ καὶ τῷ σχήματι σεμναὶ αἱ ἐπικρίσεις, τῷ τε λέγοντι διὰ τὴν ἀνενδοίαστον ἀπόφασιν σεμνότητα χορηγοῦσαι, ὡς δεῖ κρίνειν ἐπισταμένως[3] τὰ δέοντα, καὶ

62 Ald. τραχέα. 63 Par. δυεῖν. — pro cor. p. 237. — T. VII. μα. 64 Ald. ἀλλὰ. Par. T. VII. μάλα. 65 Ald. ταῦτα. T. VII. ταύτας, scr. ταὐτὰ ex Dem. 66 τῶν T. VII. om. 67 Ald. φίλον et ἐχθρὸν, scr. φίλος et ἐχθρός. 68 Ald. οἷς φιλεῖ καὶ οἷς ἐχθ. Par. οὓς.

1 Par. καὶ εἴ τι τοιουτ. 2 T. VII. μγ. 3 Ald. Par. ἐπισταμένῳ. T. VII. ἐπισταμένως.

*τὸν λόγον διὰ τῆς τοιᾶσδε προφορᾶς σχηματίζουσαι.*[4] *δ΄. Λόγῳ δὲ δή·* τοῦτο ἐν τῷ Μενεξένῳ τοῦ Πλάτωνος κεῖται, ἐν ᾧ εἰσάγει τὸν Σωκράτην ἐπιτάφιον ἐκ προσώπου Ἀσπασίας τῶν ἐν Λεχαίῳ ἀποθανόντων διεξιόντα. *ε΄. Αἱ ἀποστροφαί·* ἀποστροφή ἐστιν,[5] ὅταν ἀπὸ τῶν δικαστῶν πρὸς τὸν ἀντίδικον ἀποστρέψῃ τις τὸν λόγον· οἷον „μηδὲν οὖν φιλονείκει Λεπτίνη.“ καὶ πάλιν „οὓς[7] πάντας ἡ πόλις τῆς αὐτῆς[3] ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη·“ κινήσας γὰρ τῇ δόξῃ τῶν παραδειγμάτων τοὺς ἀκούοντας τότε καὶ τὸν ἀντίδικον κέκληκε· ἡ δὲ ὑποστροφὴ καλεῖται ὑπ᾽ ἐνίων καὶ ἐπεμβολή· ὡς τὸ, „ἅπας[9] ὁ τῶν ἀνθρώπων βίος·“ καὶ τὰ ἑξῆς· καὶ τὸ „τοῦ[10] γὰρ Φωκικοῦ συστάντος πολέμου·“ καὶ τὰ ἑξῆς. τό γε μὴν τῆς ὑποστροφῆς σχῆμα καὶ ὑπερβατὸν λέγεται. *ϛ΄. Εἰ οὕτως εἶπε·* τουτέστι χωρὶς τῆς ὑποστροφῆς. *ζ. Ἀλλὰ τοῦτο μέν·* τὸ διακόψαι δηλαδὴ[11] καὶ ἐπεμβαλεῖν· χαίρει γὰρ ἡ γοργότης τοῖς κομματικοῖς· ἀλλὰ γοργὸν μέν ἐστι διὰ τὴν ἐπεμβολήν· σεμνὸν δὲ[12] διὰ[13] τὴν ἔννοιαν· προεῖπε γὰρ ὅτι ὅσα ἐν τῷ καθόλου γενικῶς λέγεται, σεμνὰς ἔχει τὰς ἐννοίας. *η΄. Ὥςπερ γὰρ ἀφορισμός·* τουτέστι πολλὴν ἔννοιαν ἐν ὀλί-
393 γοις ῥήμασι περικλείειν. *θ΄. Γένοιτο δ᾽ ἄν που·* οἷον ἐν τῷ, „πέρας[14] μέν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις ἑαυτὸν καθείρξας τηρῇ·“

4 T. VII. addit: *τὸ δὲ ἐνδοιάζειν ἐν ταῖς ἐπικρίσεσιν ἦθος μὲν προςτίθησι τῷ λόγῳ, τοῦ δὲ τῆς σεμνότητος ἀξιώματος οὐκ ὀλίγον ὑποτέμνεται.* 5 T. VII. *μζ.* et Sicel. 6 in Lept. p. 501. 7 Ald. Par. T. VII. Sic. *οὐ.* Dem. pro cor. p. 297. *οὓς.* 8 Sicel. *αὐτῆς ὁμοίως.* 9 in Aristog. p. 774. 10 pro cor. p. 230. 11 *δηλαδὴ* T. VII. *μη.* om. 12 T. VII. *δὲ αὐτὸ λέγει* [Mon. *αὐτὸς λ.* Sicel. *αὐτὴ ἡ λέξις*] *ἐπειδὴ ἐν τῷ περὶ ἐννοίας σεμνότητος προεῖπεν, ὅτι ἁπλῶς δὲ εἶπεν* [Sic. *εἰπεῖν*] *ὅσα.* 13 Par. *κατά.* 14 pro cor. p. 258.

Συνθῆκαί[1] γε μὴν σεμναὶ αἱ τῆς μὲν συγκρούσεως ἕνεκα τῶν φωνηέντων μὴ μικρολογούμεναι· καὶ τὰ λοιπά.

Ταῦτα Σωτάδειά[2] ἐστιν ἰωνικὰ ἀπὸ μείζονος τετράμετρα βραχυκατάληκτα· τὸ δὲ νέκυες καὶ τὸ α προλι χορεῖοί εἰσιν ἀντὶ τροχαίων· ὅμοια δὲ ταῦτά φησιν εἶναι τῷ πρὸ αὐτῶν, τουτέστι τῷ ἀνωτέρω ῥηθέντι· τὸ σείων μελίην Πηλειάδα δεξιὸν κατ᾽ ὦμον· τὸ δὲ, ἀλλ᾽ ἔχον ὥστε τάλαντα οὕτω μετατίθησι Διονύσιος· ἀλλ᾽ ἔχον ὥστε γυνὴ χερνῆτις τάλαντ᾽ ἀληθὴς, ἥτ᾽ εἴριον ἀμφὶς καὶ σταθμὸν ἔχουσ᾽ ἀνέλκει· ἰσάζουσ᾽ ἵν᾽ ἀεικέα παισὶν ἄροιτο μισθόν· καί φησι τετράμετρα ταῦτα εἶναι προσῳδικὰ, καὶ ὅμοια τοῖς πριαπείοις· ὑπό τινων δὲ ἰθυφαλλικοῖς καλουμένοις τοῖσδε· συμβέβηλος, ὡς λέγεται, τοῦ νέου Διονύσου· κἀγὼ δ᾽ ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω, ἃ πῶς ἂν εἶεν προσῳδικὰ[4] καὶ προσόμοια τοῖς πριαπείοις, ἢ πάλιν πῶς ταῦτα πριάπεια, οὐδαμῶς ἔχω συνορᾷν.

### Ἐνταῦθά εἰσιν ὅλα τὰ μέτρα μετὰ ἀποδείξεων.

Τῷ δὲ ὅλῳ δακτυλικαί· ἰστέον ὅτι, τῶν ποδῶν οἱ μέν εἰσι δισύλλαβοι, οἱ δὲ τρισύλλαβοι, οἱ δὲ τετρασύλλαβοι· καὶ δισύλλαβοι μὲν τέσσαρες, ὧν δίχρονος εἷς ὁ πυῤῥίχιος ἐκ δύο υυ, οἷον λόγος· τρίχρονοι δὲ δύο, ἴαμβος ἐκ υ καὶ –, οἷον λέων· καὶ τροχαῖος ἐκ μακρᾶς καὶ βραχείας, οἷον δῆμος· τετράχρονος δὲ σπονδεῖος ἐκ δύο – – οἷον πηγή· τρισύλλαβοι δὲ ὀκτώ· ὧν τρίχρονος μὲν χορεῖος ἐκ τριῶν υυυ, οἷον Ἕλενος· τετράχρονοι δὲ δάκτυλος ἐκ μακρᾶς καὶ δύο υυ, οἷον ἥλιος· ἀνάπαιστος ἐκ δύο υυ καὶ –, οἷον πολέμων· ἀμφίβραχυς ἐκ υ καὶ –

1 Haec et sqq. usque ad finem hujus sectionis οὐδαμῶς ἔχω συνορᾷν absunt a Par. — v. 4. Ald. κύεσε καὶ τὸ ἀπρολιχορεῖοι. Spectat ad νέκυες — τείχεα προλιπόντες Hermog. p. 92. Ald. 2 Ald. σωτάδια. 3 Il. μ. 433. 4 προσῳδιακά.

καὶ υ, οἷον βοηθός. Πεντάχρονοι[5] δὲ ἀμφίμακρος, ἐκ – καὶ υ καὶ –, οἷον ἡγεμών· βακχεῖος ἐκ υ καὶ δύο –– οἷον νοήμων· παλιμβάκχειος ἐκ δύο –– καὶ υ, οἷον Ἥφαιστος· ἑξάχρονος δὲ μολοττὸς ἐκ τριῶν –––, οἷον Ἡρώδης. τετρασύλλαβοι δὲ δεκαέξ, τετράχρονος μὲν προκελευσματικὸς ἐκ τεσσάρων υυυυ, οἷον φιλόσοφος· πεντάχρονοι[6] δὲ παίων πρῶτος ἐκ – καὶ τριῶν υυυ, οἷον Στησίχορος· παίων δεύτερος ἐκ υ καὶ – καὶ δύο υυ, οἷον Ὀνήσιμος· παίων τρίτος ἐκ δύο υυ καὶ – καὶ υ, οἷον Κλεόβουλος· παίων τέταρτος ἐκ τριῶν υυυ καὶ –, οἷον Ἐπιγένης. ἑξάχρονοι δὲ ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο –– καὶ δύο υυ, οἷον Δημήτριος. ἰωνικὸς ἀπ᾿ ἐλάσσονος ἐκ δύο υυ καὶ δύο ––, οἷον Διομήδης. χορίαμβος ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς, οἷον Εὐφορίων. ἀντίσπαστος ἐκ υ καὶ –– καὶ υ, οἷον Ἀλέξανδρος. διΐαμβος ἐκ βραχείας καὶ μακρᾶς καὶ υ καὶ –, οἷον Ἀνακρέων. διτροχαῖος ἐκ – καὶ υ καὶ – καὶ υ, οἷον Ἀρχέδημος. ἑπτάχρονοι δὲ ἐπίτριτος πρῶτος ἐκ υ καὶ τριῶν –––, οἷον Ἀριστείδης. ἐπίτριτος δεύτερος ἐκ μακρᾶς καὶ υ καὶ δύο ––, οἷον Εὐρυμήδης. ἐπίτριτος τρίτος ἐκ δύο –– καὶ υ καὶ –, οἷον Δημοσθένης. ἐπίτριτος τέταρτος ἐκ τριῶν ––– καὶ υ, οἷον Καλλίξεινος. δισπόνδειος ἐκ τεσσάρων· ––––. ὀκτάχρονος, οἷον Ἡρακλείδης. τούτων οὖν τῶν ποδῶν ὁ μὲν δάκτυλος πάνυ σεμνός ἐστι, διὸ καὶ τὸ ἡρωϊκὸν μέτρον ὑπὸ τούτου κοσμεῖται ὡς ἐπὶ τὸ πολύ· ὁ δὲ ἴαμβος οὐκ ἀγεννὴς[7] διὰ τὸ τὴν βάσιν ἔχειν μακράν. ὁ δὲ τροχαῖος μαλακώτερος καὶ ἀγεννέστερος ὡς πρὸς σεμνότητα καὶ ἀξίωμα λόγου· διὰ τὸ τροχαλὸν ποιεῖν τὸν λόγον καὶ εἰς βραχὺ καταλήγειν· ὁμοίως δὲ καὶ ὁ ἰωνικός· ὁ δὲ ἰωνικὸς[8] ἑκάτερος ἀγεννέστεροι καὶ αὐτοί, ἁβρότεροι γὰρ ἐξ

---

5 Ald. πεντάχρονος. Par. πεντάχρονοι. 6 Par. πεντάχρονοι. Ald. πεντάχρονος. 7 Ald. ἀγενής. Par. ἀγεννής, mox Ald. ἀγενέστερος et ἀγενέστεροι. 8 ὁ δὲ ἰωνικὸς Ald. om., re-

ἀρχαίου οἱ Ἴωνες, ὡς Βακχυλίδης τε ὁ λυρικός φησι, τῶν ἁβροβίων Ἰώνων ἄναξ, καὶ Θουκυδίδης ἐν πρώτῃ· καὶ οἱ πρεσβύτεροι αὐτοῖς [9] τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες. καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον [10] ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. εἰκότως οὖν καὶ τὸ ἐπώνυμον αὐτῶν μέτρον 394 ἐκλυτώτερόν τε καὶ κεκλασμένον καὶ σεμνότητι ἐναντίον ἐστίν· οἱ δὲ παίωνες εἰ [11] καὶ τρεῖς βραχείας ἕκαστος [12] τούτων ἔχει, ἀλλ' ἐπεὶ τοὺς παιᾶνας ᾄδοντες ἐχρῶντο αὐτοῖς οἱ παλαιοί, σεμνοὶ δὲ οὗτοι ὡς εἰς θεοὺς ᾀδόμενοι, διὰ τοῦτο καὶ χρήσιμοι τῇ σεμνότητι· ἡ δὲ σπονδειακὴ συνθήκη μᾶλλον ἐπιτρέπει τῇ σεμνότητι διὰ τὸ τῶν μακρῶν πλῆθος· ὁμοίως δὲ [13] καὶ οἱ ἐπίτριτοι δι' αὐτό. β΄. Συζυγίαι· συζυγίας καλεῖ τὰς τέσσαρας συλλαβάς. δι' ὧν ἐκλάσθη· ὁ γὰρ τροχαῖος κατεσπουδασμένον ἐποίησε τὸν λόγον, καὶ ἐπετράχυνε σεμνῶς καὶ τάξει προϊόντα. γ΄. Εἰ γὰρ μεταθείης· ἰστέον, [14] ὅτι ὁ μὲν πρότερος στίχος τροχαϊκὸς γίνεται [15] οὕτως·

ὡς ὁ πρόσθ' ἵππων ἔκειτο καὶ δίφρου τανυσθείς. [16]

ἔστι γὰρ τετράμετρον βραχυκατάληκτον· λείπει γὰρ ὅλος πούς· [17] ὁ δὲ δεύτερος στίχος χοριαμβικός [18] ἐστιν οὕτως·

αἱματοέσσης κόνιος δεδραγμένος βεβρυχώς.

ἔστι [19] δὲ τετράμετρος καταληκτικός, μιᾶς λειπούσης συλλαβῆς· οὗτος οὖν ἐστιν ὁ ἐπίμικτος. ἐπειδὴ τὸ χοριαμ-

---

cepi ex Par. — Bacchyl. Fr. XLII. ed. Neue. 9 Par. αὐτῆς. — Thuc. I, 6. 10 Ald. ἐν ἔρσει κρώβυλον. 11 Ald. εἰ om., recepi ex Par. 12 Ald. ἕκαστον. Par. ἕκαστος. 13 δὲ Par. om. 14 T. VII. ξ. 15 T. VII, ἐστὶ τροχαϊκός. 16 Il. π, 485. 17 T. VII. ὁ πούς. — v. 23. Ald. κόνοιος. 18 T. VII. ἐστὶν χορ. οὕτως [Ald. Par. οὗτος]. 19 T. VII. συνέστηκε δὲ ὁ χορίαμβος ἐκ τροχαϊκοῦ καὶ ἰαμβικοῦ, καὶ ἔστιν ὁ στίχος τετρ. καταληκτικὸς [Ald. καταληκτὸς, etiam Par. καταληκτικός].

βικὸν τῇ ἰαμβικῇ καταχλεῖδι περατοῦται, ὡς καὶ τὸ ἰωνικὸν τὸ ἀπὸ [20] μείζονος τῇ τροχαϊκῇ· ἁμαρτάνει οὖν ὁ Ἑρμογένης· ἔδει γὰρ ἢ θεῖναι μόνον τὸν πρότερον στίχον καὶ εἰπεῖν μόνον τροχαϊκὸν ἀλλ' οὐ τροχαϊκὸν ἐπίμικτον ἢ τὸν δεύτερον μόνον, καὶ εἰπεῖν χοριαμβικὸν ἐπίμικτον·[21] τὸ μὲν γὰρ χοριαμβικὸν σύνθετον ὂν ἐκ τροχαίου καὶ ἰάμβου ἐπίμικτον γίνεται, ὡς καὶ τὸ ἰωνικόν· συνέστηκε γὰρ καὶ τοῦτο ἐκ σπονδείου καὶ πυῤῥιχίου, τὸ δὲ τροχαϊκὸν οὐδέποτε ἐπίμικτον γίνεται, ἁπλοῦς γάρ ἐστι [22] πούς. δ'. *Ἐπί τινος τῶν οἰκείων*· δακτύλου, σπονδείου, ἐπιτρίτου, πλὴν τοῦ τετάρτου. έ. *Χωρὶς μέντοι*· τὸ γὰρ δακτυλικὸν καταληκτικὸν γινόμενον εἰς τροχαῖον ἐνίοτε καταλήγει, ὡς τὰ τοῦ Ὁμήρου ἔπη· τὰ δὲ εἰς δακτύλους καταλήγοντα ἀκατάληκτά ἐστιν, ὡς τὸ, οὓς τέκετο Ῥέα·[23] καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.[24] ς. *Μηδ' ἁρπασθῇ*· τουτέστι γοργὸς γένηται. ζ. *Τὸν ἀγῶνα*· σεμνὴ ἡ κατάληξις ἡ καὶ τροχαϊκή· ἐπειδὴ ἔσχεν ἐν τῷ τέλει στοιχεῖα τὰ μάλιστα κατὰ τὴν προφορὰν διογκοῦντα τὸ στόμα, τὸ ω̄ καὶ τὸ ᾱ.

## Περὶ τραχύτητος.

Τῶν ποιουσῶν μέγεθος λόγου καὶ ὄγκον ἔφην μετὰ σεμνότητα ποιεῖν τὴν τραχύτητα, καὶ τὰ λοιπά.

*Ἀπαρακαλύπτως*· θαυμαζέτω μηδεὶς ὅτι τὴν μέθοδον ἐπὶ τῆς τραχύτητος τῇ ἐννοίᾳ συνέπλεξε· μία γὰρ αὕτη μέθοδος τραχύτητος, τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς κατὰ ἐπιτίμησιν τὰς τραχύτητας εἰσάγειν. τοῦτο δὲ κατ' [1] ἀνάγκην πεποίηκεν ὁ τεχνικὸς, ἄνευ γὰρ τῆς μεθόδου παραστῆσαι καθαρῶς [2] τραχύτητος ἔννοιαν οὐχ οἷόν τε ἦν·

20 Ald. τοῦ ἀπό. T. VII. τοῦ om. 21 ἐπίμικτον — οὐδέποτε Mon. om. 22 T. VII. ἐστὶν ὁ πούς, ἰωνικὸς δέ· τοῦτό φησιν ὁ Διονύσιος. 23 Il. O. 187. 24 Il. γ. 237.

1 T. VII. ζ. κατά. 2 καθαρῶς Ald. om., est in Par. T. VII.

ὅθεν καὶ ἐπὶ ταύτης τῆς ἰδέας ἀφαιρουμένη ἡ μέθοδος ἀφανίζει τὴν ἔννοιαν. ἐπὶ γάρ[3] τῆς καθαρότητος τυχὸν καὶ τῶν ἄλλων μένει καθαρὰ ἡ ἔννοια, κἂν ἡ μέθοδος μὴ ᾖ καθαρά· [4] ἢ καὶ ἄλλως ἔστιν εἰπεῖν, ὅτι αἱ μὲν ἀπὸ ἐλαττόνων προσώπων πρὸς μείζονα πρόσωπα ἐπιτιμήσεις, τραχύτητος ἔννοιαί εἰσι· τὸ δὲ ἀπαρακαλύπτως καὶ μὴ λεαίνοντα ταύτας εἰσάγειν μεθόδου· ὥστε διῄρηται κἀνταῦθα ἡ ἔννοια καὶ ἡ μέθοδος. β΄. Τῆς Ἀριστογείτονος κρίσεως· ἡ ἐπιστολὴ περὶ ἀφέσεως ἐπιγέγραπται· ἐν ᾗ γέγραπται ὅτι Ἀριστογείτων μὲν τῶν ἁρπαλείων χρημάτων τι λαβὼν ἡθῳώθη, αὐτὸς δὲ ὁ Δημοσθένης ἔφυγε. γ΄. Τὸ γὰρ τῷ τοιούτῳ· τουτέστι[5] τῷ ἀδωροτάτῳ ἐμοί· ἐν δὲ τῇ περὶ τῆς ἰδίας καθόδου ἐπιστολῇ[6] γράφει τοῦτο τῇ βουλῇ καὶ τῷ δήμῳ.[7] δ΄. Τῷ πρὸ αὐτοῦ· πρὸ αὐτοῦ μέν ἐστι τὸ, [8] „ἐμοὶ μὲν ἂν εὖ οἶδ᾽ ὅτι συμφορὰ φανείη, κακία δὲ οὐδεμία·“ τῇ τύχῃ γὰρ ἐνταῦθα δοκεῖ τὴν αἰτίαν τῆς φυγῆς ἀνατιθέναι· μετ᾽ αὐτὸ δὲ[9] τὸ „ἣν τῷ μεταγνῶναι λύσατε·“ πρόςεστι[10] μὲν γὰρ τούτῳ, ὡς αὐτός φησι,[11] τραχύτητός τι διὰ τὸ προςτακτικὸν σχῆμα τὸ, λύσατε· τῷ δὲ δοκεῖν ἱκετεύειν

3 T. VII. μὲν γάρ. 4 T. VII. add.: κἀπὶ τῆς σεμνότητος καὶ τῶν λοιπῶν ὡς ὁμοίως. τὴν δὲ τραχεῖαν ἔννοιαν, εἰ μὴ καθαρῶς [Par. 2916. 2977. καθ. om.] φανερῶς καὶ ἀπαρακαλύπτως εἰσάγοις, ἀλλοποιήσεις αὐτήν· ἐκπίπτει γὰρ εἰς ἕτερον μὴ κατὰ τοῦτον εἰσαγομένη τὸν τρόπον, ἀλλὰ δεῖ ἀπαρακαλύπτως ἐπιτιμᾶν, ὡς τὰ παραδείγματα δείκνυσι τοῦ τεχνικοῦ. — Quae habet Ald. ἢ καὶ ἄλλως — μέθοδος, absunt a T. VII. 5 T. VII. ια. ἀντὶ τοῦ ἀδ. [Mon. τῷ sine τουτέστι vel ἀντί]. 6 Ep. II. p. 1467. 7 T. VII. add.: ἔνθα καὶ σεμνύνεται λέγων, ὅτι μόνος αὐτὸς οὐδὲ τῷ λόγῳ (scr. τῶν λόγων), δι᾽ ὧν ἔπειθε τοὺς ἐντυγχάνοντας ὁ Φίλιππος, οὐδὲ τῶν χρημάτων, δι᾽ ὧν διέφθειρε τοὺς ἐν ἑκάστῃ πόλει γνωρίμους ἡττήθη [p. 1468.]. 8 p. 1469. 9 T. VII. δὲ λέγει. 10 πρόςεστι μὲν γὰρ — — — σχῆμα τὸ, λύσατε Ald. om., inserui ex Par. T. VII. 11 T. VII. φησιν.

καὶ ἐξαιτεῖν ἄφεσιν, κολακικὸς [12] ὁ λόγος καὶ διόρθωσιν ἐπάγει τῷ [13] προειρημένῳ λόγῳ τῷ, „ὑμετέρα δὲ ἀγνωμοσύνη“. Ἰστέον, ὅτι ζητήσεως περὶ τῶν ἁρπαλείων γενομένης χρημάτων γράφει ψήφισμα ὁ Δημοσθένης,
395 ζητῆσαι τὴν ἐξ Ἀρείου πάγου βουλὴν [14] τοὺς μετειληφότας τῶν χρημάτων· ἁλοὺς οὖν ἐπ᾽ αὐτοῖς ὁ ῥήτωρ ἐνεβλήθη εἰς [15] τὸ δεσμωτήριον· τῶν δὲ οἰκείων αὐτῷ γυναικῶν ὡς αὐτὸν ἀφικομένων ἐνδὺς γυναικείαν στολὴν καὶ συνεξελθὼν αὐταῖς ἀπέδρα τοῦ δεσμωτηρίου [16] καὶ ἀπῆλθεν [17] εἰς Τροίζηνα, κἀκεῖθεν εἰς Ἄργος· ὅθεν τῷ [18] δήμῳ τὰς ἐπιστολὰς ἐπιστέλλει ταύτας, πάλιν δὲ κατῆλθεν Ἀθηναίων ψηφισαμένων.

Μέθοδος δὲ τραχύτητος μία τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς κατ᾽ ἐπιτίμησιν, καὶ τὰ λοιπά.

Ψιλῶς κατ᾽ ἐπιτίμησιν· τουτέστι γυμνῶς, ἀναφανδὸν, κατ᾽ ἐπιτίμησιν δέ· ὥσπερ τὸ οὐκ αἰσχύνεσθε. τὸ δὲ ἀλλὰ μὴ ἄλλως πως, ἀντὶ τοῦ μὴ μετὰ παραμυθίας. β΄. Διορωρυγμένοι· ἐπὶ κλεπτῶν γὰρ λέγεται. γ΄. Οἷον ἀταρπός· τὸ γὰρ ρ καὶ τὸ π ἐπενεχθὲν βεβιασμένην ἐποίησε τὴν ἐκφώνησιν τοῦ πνεύματος· πῆ μὲν ἄνω φερομένου πρὸς τὸν οὐρανὸν, πῆ δὲ κλωμένου· προηγούμενον γὰρ τὸ ρ οὐ συγχωρεῖ ἐν τῷ αὐτῷ πνεύματι συνεκφωνηθῆναι τῷ π, ἀλλ᾽ ἀναγκάζει μερίζειν τὸν ἦχον τῆς φωνῆς· ὅθεν καὶ τῶν στοιχείων ἐναλλαττομένων καὶ προτερεύοντος τοῦ π λειοτέρα ἡ λέξις γίνεται, οἷον πρόσωπον· ἐξίσχυσε γὰρ ἐνταῦθα τὸ ρ στοιχεῖον ἐν τῷ ἑνὶ πνεύματι συνεκφωνηθῆναι τῷ π· ὁμοίως δὲ καὶ τὸ ἔμαρ-

πτε

---

12 Ald. κολιακός. 13 τῷ T. VII. om. 14 Ald. μεταβολήν. Par. T. VII. Sicel. βουλὴν, correxit jam Wesseling. ad Diod. Sic. p. 245. 87. 15 T. VII. τῷ δεσμωτηρίῳ. 16 T. VII. τῆς φρουρᾶς. 17 Sic. ἔφυγεν, tum Ven. εἰς Τρυζηνούς. 18 Sicel. καὶ τῷ δ. γράφει τὰς ἐπιστολάς.

πτε κατὰ τὸν αὐτὸν λόγον σκληρὸν καὶ αἱ λοιπαὶ λέξεις διὰ τὴν ἐκφώνησιν τῶν στοιχείων. δ'. Εἶτα Ὀλύνθιοι· ἐν τῷ πρὸς Λεπτίνην.[19] έ. Βουλεύεσθε ὦ Ἀθηναῖοι·[20] τοῦτο οὐκ ἀφ' ἑαυτοῦ φησι Δημοσθένης, ἀλλὰ Τιμοθέῳ τῷ στρατηγῷ περιτίθησι τὴν ἐρώτησιν, διὸ καὶ ὡς παράδειγμα ληφθὲν οὐκ ἔστι τραχύ. ἦν δ' ἂν τραχύ, εἰ ἐν ὑποθέσει παρούσῃ Δημοσθένης ἤ τις ἄλλος ἀφ' ἑαυτοῦ τοῦτ' ἔλεγεν. ς'. Ἐξ ἀνοικείων· ἀνοίκειοι καὶ ἀνακόλουθοι πόδες εἰσὶν οἱ μὴ συγγενεῖς ἀλλήλοις, οἷον πυῤῥίχιος καὶ σπονδεῖος, ἴαμβος καὶ ἰωνικὸς ἀπ' ἐλάσσονος· οὐδεμίαν γὰρ συγγένειαν ἔχουσι πρὸς ἀλλήλους, οἵαν ἔχει δάκτυλος τυχὸν πρὸς ἀνάπαιστον, καὶ πρὸς δάκτυλον σπονδεῖος.

## Περὶ σφοδρότητος.

Ἡ δὲ σφοδρότης ἐννοίας μὲν ἔχει καὶ αὐτὴ τὰς ἐπιτιμητικὰς καὶ ἐλεγκτικάς, καὶ τὰ λοιπά.

Κοινῷ τόπῳ· ὁ γὰρ κοινὸς τόπος φανερὰς ἔχει τὰς λοιδορίας καὶ μετὰ προσώπων τινῶν διαβαλλομένων, τυχὸν κατὰ τυράννων, καθ' ὧν ἂν οἱ ἀκούοντες δέχοιντο ἡδέως. β'. Γραμματοκύφων·[1] οἱονεὶ[2] νοτάριος· καὶ γὰρ ὁ Αἰσχίνης γραμματεὺς[3] ἦν τοῦ δημοσίου. γ'. Ἢ πάλιν τὰς τραχείας· οὐ γὰρ[4] μόνον ἐπιτιμᾷ, ἀλλὰ καὶ λοιδορεῖ. δ'. Τῶν ἀνειμένων· ἤτοι[5] τῶν λεαινουσῶν. έ. Καὶ ποιεῖν ὀνόματα· ὅρα[6] πῶς ἀσφαλῶς ὁ Ἑρμογένης οὐκ εἶπεν ἀποφαντικῶς, ὅτι δεῖ ὀνοματοποιεῖν, οὐδὲ πάντη ἐπιτρέπει· οἶδε γάρ, ὅτι οἱ Ἀτ-

19 Contra Aristocr. p. 656. 20 De Chers. p. 108.

1 Pro cor. p. 297. — litt. β—δ. est in sch. min. 2 Sch. min. οἱ νοτάριοι ἐλέγοντο. 3 Sch. min. νοτάριος. 4 γὰρ sch. min. om. 5 Sch. min. ἤγουν. 6 Est in Par. 2977., Mon. om.

τικισταὶ παντελῶς ἀποτρέπουσι τοῦ ὀνοματοποιεῖν καὶ μόνοις προστάττουσι χρῆσθαι[7] τοῖς γεγραμμένοις ὀνόμασι· τὸ δὲ ἰαμβειοφάγος[8] ἀντὶ τοῦ ὑβριστής. ἰαμβίζειν γὰρ τὸ σκώπτειν ἐστίν. ς'. Ἐν τραχύτητι δέ· ἐπειδὴ[9] κατὰ μειζόνων προσώπων ἐστὶν ἡ τραχύτης, ἐπικίνδυνον τὸ κατ' αὐτῶν ὀνοματοποιεῖν· κατὰ δὲ ἀντιδίκων ἐνδέχεται ἐξεῖναι[10] ὀνοματοποιεῖν. ζ. Ἐπὶ τῶν οὐκ ἐπιδεχομένων· τουτέστι τῶν ὁμολογουμένων. εἰ γάρ τι λέξει τοιοῦτον ὃ λύει, ταχέως ὁ ἀνταγωνιζόμενος αὐτόθεν ἑάλωκεν. η. Φανερόν δέ· ἐκεῖ[11] μὲν γὰρ τὰ προστακτικὰ καὶ τὰ κατ' ἐρώτησιν ἐλεγκτικά· ἐνταῦθα δὲ τὰ κατὰ ἀποστροφὴν δεικτικά. θ. Τὸ κομματικὸν καὶ διαλεκτικόν· οἷον τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτούς; ἐπὶ τὴν εἰρήνην· ἀλλ' ὑπῆρχεν ἅπασιν, ἀλλ' ἐπὶ τὸν πόλεμον· ἀλλ' αὐτοὶ περὶ τῆς[13] εἰρήνης ἐβουλεύεσθε· κομματικὸν γὰρ[14] τοῦτο καὶ[15] διαλεκτικόν· ἐρώτησιν γὰρ καὶ[16] ἀπόκρισιν μιμεῖται·[17] ὡς καὶ[18] ὁ θεολόγος ἐν τῷ ἐπιταφίῳ τὸν μέγαν Βασίλειον καὶ τὸν Ἔπαρχον[19] ἐποίησε διαλεγομένους.

---

7 Ald. προτάττ. Par. 2977. προστ. κεχρῆσθαι ταῖς εἰρημέναις λέξεσι καὶ τοῖς τεταγμένοις ὀνόμασιν, ὥς φησιν Ἰσοκράτης. Nihil amplius. 8 Ald. ἰαμβιοφάγος. — Sch. min. ἰαμβ. ὁ ὑβριστής, τὸ γὰρ ἰαμβ. σκ. ἐστί. 9 T. VII. ε. 10 T. VII. τὸ ἐξεῖναι. 11 T. VII. η. 12 T. VII, ι. 13 T. VII. τῆς om. 14 γὰρ Ald. om., inserui ex Par. T. VII. 15 καὶ Ald. om., est in Par. T. VII. 16 T. VII. γὰρ et interpunctionem post διαλεκτικὸν om. 17 T. VII. addit: ὅθεν δηλονότι καὶ τὰ ἐν τοῖς διαλόγοις κατὰ πεῦσιν καὶ ἀπόκρισιν συνεχῆ συγκείμενα ἐναντίως ἔχει πρὸς λαμπρότητα, ὅνπερ τρόπον καὶ τὰ ἐν τῇ σφοδρότητι κομματικά. 18 Sch. min. καθὼς διαλέγεται ἐν τῷ ἐπιταφίῳ ὁ Ὕπαρχος καὶ ὁ μέγας Βασίλειος. 19 Ald. Ὕπαρχον. Par. Ἔπαρχον.

## Περὶ λαμπρότητος. 396

*Μετὰ τὸν περὶ σεμνότητός τε καὶ τραχύτητος λόγον, καὶ τὰ λοιπά.*

α΄. *Ἡ φαιδρότης δέ.* τὴν τοῦ λόγου φαιδρότητα διττὴν εἶναί φησι, τὴν μὲν ἐν γλυκύτητι καὶ ἀφελείᾳ καὶ τῇ κατ᾽ ἐπιμέλειαν συνθήκῃ θεωρουμένην,[1] ἥτις καὶ λεπτότερον ποιεῖ[2] τὸν λόγον, ὡς ἐπὶ τῶν παρίσων, ὁμοιοάρκτων[3] τε καὶ ὁμοιοτελεύτων, ἃ πολλὰ παρά τε Ἰσοκράτει καὶ Γοργίᾳ· οἷον ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής· καὶ παρὰ Πλάτωνι ἐν συμποσίῳ.[4] Παυσανίου δὲ παυσαμένου. καὶ εὐθὺς ἐπισημαίνεται ὡς ἀλλότριόν[5] τοῦ Πλατωνικοῦ ἀξιώματος· „διδάσκουσι γάρ με ἴσα λέγειν οἱ σοφοί“· τὴν δὲ[6] ἑτέραν φαιδρότητα ἐν λαμπρότητι θεωρεῖσθαί φησι[7] τὴν μέγεθος καὶ ἀξίωμα τῷ λόγῳ περιποιοῦσαν· ὡς τὰ πολύπτωτα καὶ τὰς ἐπαναφοράς· διὰ γὰρ τούτων καὶ τῶν τοιούτων ὁ ῥήτωρ ἄριστα τῷ πολιτικῷ λόγῳ τὸ φαιδρὸν περιτίθησιν οὐ κατὰ τὸν Ἰσοκράτην διόλου ταῖς παρισώσεσι χρώμενος,[8] ἐπιβούλου[9] γὰρ κάλλος τὸ τοιοῦτον· ἀλλὰ διακόπτων αὐτὰς καὶ ἐναλλάττων, ἵνα τό τε προσκορὲς φύγῃ, καὶ τὸ πολιτικὸν κάλλος οὐχὶ τὸ κομμωτικὸν[10] προστιθῇ τῷ λόγῳ. β΄. *Οὐ τῆς ἐν ὡραϊσμῷ·* φαιδρότητος πάλιν ὤφειλεν εἰπεῖν· ἀλλὰ

---

1 Ald. *θεωρησομένην.* Par. T. VII. *θεωρουμένην.* Ven. *συνθεωρουμένην,* omisso praec. *ἐν.* Sicel. *καὶ τ`ν κατ᾽ ἐπιμέλειαν θεωρουμένην ἐν συνθήκῃ.* 2 T. VII. *ποιεῖται.* 3 Ald. T. VII. *ὁμοιάρκτων.* Par. 2977. *καὶ ὁμοάρκτων,* scr. *ὁμοιοαρκτ.* 4 p. 185. C. 5 T. VII. *ἀλλοτρίου.* 6 T. VII. *δ᾽ ἑτ.* 7 T. VII. *φησιν,* tum Mon. *τὸ μέγεθος.* 8 Mon. Par. 2916. *χρώμενον.* 9 Mon. *ἐπιβουλή.* 10 Ald. *οὐχὶ κωμωτικὸν προστ.* Par. *οὐχὶ τὸ κομμωτικὸν περιθῇ.* T. VII. Sic. *ἐπὶ τὸ κομματικὸν περιθῇ τῷ λόγῳ. κάλλος γὰρ λόγου κυρίως ἐστὶν ἡ σύμμετρος καὶ εὐάρμοστος μῖξις τε καὶ χρῆσις τῶν τοῦ λόγου πασῶν ἰδεῶν, ἥνπερ μάλιστα ὁ ῥήτωρ ἐπιτηδεύει* [Sicel. *ἥνπερ — ἐπιτηδεύει* om., Mon. *ὁ ῥήτ. ἐπιτηδ.* om.].

*διὰ τὴν παλιλλογίαν*[11] *οὐκ ἔφη. γ'. Περὶ γὰρ τοῦ ἐναντίου· τουτέστι τῆς γοργότητος. δ'. Ἐλλάμψασθαι· οὕτω φησὶν ἐν τῇ πρώτῃ ὁ Ἡρόδοτος· αὐτοῦ ὢν δὴ τούτου*[12] *ἐσεσόφιστο ἕνεκα, ἵνα τῷ Κροίσῳ ἄχρηστον ᾖ τὸ ἱππικὸν, τῷ δή τοι καὶ ἐπεῖχεν ἐλλάμψασθαι ὁ Λυδός. ε'. Ἐπὶ τούτοις ἐστί· διαφέρει ἡ τετάρτη τῆς σεμνότητος ἔννοια τῆς ἐν λαμπρότητι ἐννοίας, ὅτι ἐκεῖ μὲν αἱ πράξεις παράδοξοί εἰσιν καὶ παρὰ τὴν προσδοκίαν καὶ ἐλπίδα τῶν πολλῶν, ἐνταῦθα δὲ συνήθεις καὶ ἃς ἂν ἄλλος*[13] *ἐποιήσατο· καὶ οὕτως ἐπὶ τούτοις ἐστὶ καὶ ἡ διὰ τῶν λόγων λαμπρότης, ἐφ' οἷς προσδοκᾷ τις λαμπρυνεῖσθαι.*[14] *ς'. Ἐν τῷ περὶ στεφάνου· ἐντεῦθεν δῆλον ὅτι ὁ περὶ τοῦ στεφάνου, εἰ*[15] *καὶ τοῦ δικανικοῦ εἴδους ἐστὶν, ἀλλ' οὖν πολὺ μετέχει τοῦ πανηγυρικοῦ· ἴδιον γὰρ τοῦ ἐγκωμίου τὸ ἀξίωμα καὶ ἡ λαμπρότης.*[16] *ζ. Παρὰ γὰρ τοῖς Ἕλλησι· τὸ οὔ τισιν ἔστιν ἡ διακοπὴ, τὸ δὲ ἀλλὰ πᾶσιν ἡ ὑποστροφή· σημείωσαι δὲ, ὅτι πάντα τὰ ἀξίωμα ἔχοντα πράγματα ἱκανὰ μέντοι πραχθῆναι ἀνθρώπῳ ἢ κατὰ ἀναίρεσιν εἰσαγόμενα ἢ κατὰ ἀποστάσεις, ἢ ἀσυνδέτως*[17] *καὶ μὴ διακοπτόμενα, ἀλλὰ καθόλου διὰ μακρῶν προφερόμενα κώλων*[18] *τὴν λαμπρότητα μάλιστα ἀπεργάζεται.*[19]

11 Par. *παλλιλογίαν.* 12 *αὐτοῦ ὢν δὴ τούτου* Ald. om. T. VII. *ς. ὢν δὴ τούτου.* Adjeci ex Herod. I, 32. *αὐτοῦ,* tum Ald. *σεσόφιστο.* Par. T. VII. *ἐσεσόφ.* 13 T. VII. *ἄλλος ἄν.* 14 T. VII. *ἔργῳ ἐλλάμψασθαι, ὡς ἐν τῇ πρώτῃ Ἡρόδοτος κ. τ. λ.,* quae noster paullo superius posuit. 15 *εἰ καὶ δικανικοῦ ἐστιν* Mon. om. 16 T. VII. add.: *ὥσπερ πολλά ἐστι ταῦτα ἐν τῷ λόγῳ.* — Sqq. *Παρὰ γὰρ τοῖς — σημείωσαι δὲ* T. VII. om. — Sicel. *Οὔ τισιν ἀλλὰ πᾶσι· διέκοψε γὰρ καὶ οὐκ εἴασε, ὑποστρέψας γὰρ ἐκάλυψε τὸ φαιδρὸν καὶ οὐκ εἴασε φανῆναι τὸν λόγον ἄγαν λαμπρὸν, ὅτι πάντα κ. τ. λ.* 17 T. VII. *ἀσυνδέτῳ.* 18 Par. 2977. *λόγων ἢ κώλων.* Par. 2916. Mon. Sicel. *λόγων ἢ* om. 19 T. VII. Sicel. add.: *τὰ γὰρ κομματικὰ κῶλα γοργότητός ἐστιν, οὐ λαμπρότητος.*

*Λέξεις δὲ λαμπραὶ αἴπερ ἐλέγοντο εἶναι καὶ σεμναί, καὶ τὰ λοιπά.*

ά. Ἀποστάσεις· τὸ εἰς ἀρχὴν ἑτέραν δηλαδὴ ἀνάγειν τὸν λόγον· οἷον οὕτως ἐγένετο τόδε καὶ τὰ τοιαῦτα. β΄. Εἰς ἀρχὴν ἀναγάγῃς· τουτέστιν εἰς ἑτέραν ἀρχήν· τὸ δὲ κἂν ἀποστήσῃς, ἀντὶ τοῦ κατὰ ἀπόστασιν εἴπῃς· τὸ δὲ κατ᾽ ἀνάγκην, ἀντὶ τοῦ καταναγκαζόμενος ὑπὸ τοῦ πλαγιασμοῦ. γ΄. Λαμπρὸν δὲ οὐδαμῶς· λαμπρότητα γὰρ μάλιστα χαρακτηρίζει πλαγιασμός. δ΄. Ἢ ποιότητες· ἀντὶ τοῦ τὴν ποιότητα δεικνύουσαι τῶν πραγμάτων καὶ τὸ μέγεθος. έ. Τροχαϊκαῖς[20] συνθήκαις· ταῖς μερικαῖς φησι ταῖς κατὰ[21] μέσας τὰς περιόδους γινομέναις·[22] οὐ γὰρ δὴ ταῖς περατούσαις τὰς περιόδους· αὐτὸς γοῦν ἐπάγει, ὡς λαμπρὸς ἂν γένοιτο λόγος, εἰ ἡ ἀνάπαυσις γένοιτο σεμνή, δηλονότι ἡ πρὸς τῷ τέλει τῆς περιόδου. ς΄. Καὶ τοιαῦται ἀναπαύσεις· ἐκεῖ γάρ φησι δεῖν ἐκφεύγειν τοὺς τροχαίους.[23]

## Περὶ ἀκμῆς.

*Ὅπως μὲν ἡ σεμνότης καὶ μετ᾽ ἐκείνην ἡ τραχύτης, καὶ τὰ λοιπά.*

ά. Ὡς ἐνεδειξάμεθα· ἐν γὰρ[1] τῷ περὶ τραχύτητος εἶπεν, ὅτι καὶ ἡ τραχύτης καὶ ἡ λαμπρότης θεωροῦνται μὲν καθ᾽[2] ἑαυτὰς ἑκατέρα, εἰσὶ δὲ καὶ τῆς ἀκμῆς ἐργαστικαί. β΄. Διῆρται· τουτέστι δίαρμα καὶ ὄγκον ὁ λόγος ἔχει διὰ μακροτέρων τῶν λόγων ἐξενεχθείς. γ΄ Τῶν τοιούτων ὀνομάτων· τῶν τροπικῶν δηλονότι. ἐξ ἀποστάσεως γάρ, τουτέστιν ἀσυνδέτως καὶ οἷον ἀφεστηκὸς τοῦ προλεχθέντος λόγου καὶ διῃρημένου. δ΄. Καὶ 397
πλέον ἔχει τι· λαμπρότητα δηλονότι. έ. Ἐξ ἐπεμβολῆς· ἐπεμβολή ἐστι τὸ ἔξωθεν ἐπεμβάλλειν τὸν λόγον

20 Ald. τροχαϊκῶς. 21 Ald. κακά. 22 T. VII. add.: ἀποθέσεσι τῶν κώλων. 23 Ald. τραχαίους.

1 T. VII. α. 2 T. VII. καὶ καθ᾽.

μὴ τῇ φύσει τοῦ πράγματος προσδοκώμενον. ϛ΄. Πάνυ τοι[3] τὸ ἀποστατικόν· οὐ γὰρ εἰς ἀρχὴν ἀνήγαγε τὸν λόγον ὥσπερ ἐπὶ τοῦ[4] τοσοῦτον ὑπειπών. ζ. Εἴ που τις ἀποστροφή· τὸ ἑξῆς εἰ ἀποστροφή τις καὶ ἦθος ἔχει. η. Πῶς ὑμῖν· σφοδρὸν γὰρ καὶ ἠθικόν.

### Ἀπορήσειε δ' ἄν τις ἐκ τούτων εἰκότως, καὶ τὰ λοιπά.

Ἀπορήσειε δ' ἄν τις· ἐδίδαξεν ἀνωτέρω, ὅτι ἐκ τραχύτητος καὶ σφοδρότητος ἐννοιῶν καὶ κώλων λαμπρότητος συνίσταται ἡ ἀκμή· εἶτα εὑρὼν τὸ „μέχρι τούτου Λασθένης“[5] οὐ μόνον ἐκ τούτων συνεστηκὸς, ἐκ τραχύτητος λέγω καὶ σφοδρότητος ἐννοιῶν, ἐπειδὴ κατὰ προσώπων λέγει καὶ κώλων λαμπρότητος, οἷα μακρῶν ὄντων, καὶ διὰ ταῦτα ἀκμαῖον ὂν, ἀλλ' ἔτι καὶ ἐξ ἐννοίας λαμπρότητος, καθ' ἣν πέποιθεν ὁ λέγων· συμμιγοῦς οὔσης τῇ[6] τραχείᾳ καὶ σφοδρᾷ ἐννοίᾳ, ἐξ ἧς λαμπρᾶς ἐννοίας οὐκ ἐγίνετο ἡ ἀκμή· φησὶν ὅτι ἐνταῦθα προϋπόκειται μὲν ἡ ἀκμὴ ἐκ τραχείας καὶ σφοδρᾶς ἐννοίας γενομένη καὶ κώλων λαμπρῶν· ἐπέρχεται δὲ πάλιν ἔξωθεν ἔννοια λαμπρὰ καὶ μίγνυται τῇ ἀκμῇ· καὶ θεωρεῖται τὸ „μέχρι τούτου Λασθένης“. καὶ τὸ „ἀλλ' ὁ τὴν Εὔβοιαν“[7] συγκείμενον ἔκ τε ἀκμῆς καὶ λαμπρότητος, καί τοι τῆς ἀκμῆς μὴ ἐξ ἀκμῆς καὶ λαμπρότητος συγκειμένης, ἀλλ' ἐξ ὧν εἴρηται πολλάκις· ὥστε τὸ „μέχρι τούτου Λασθένης“ οὐκ ἔστιν ἁπλῶς ἀκμὴ, ἀλλ' ἀκμὴ ἐξ ἀκμῆς καὶ[8] λαμπρότητος· φησὶν οὖν, ὅτι εἰ καὶ ἀκμὴ ἔχει πολλὰ τῶν ἰδίων λαμπρότητος, καὶ διὰ τοῦτο ἂν λέγωμεν ἐνταῦθα μεμίχθαι λαμπρότητα καὶ ἀκμὴν, οὐδὲν ἧττον ἀκμαῖος[9] ἁπλῶς ἔσται ὁ λόγος· ἡ γὰρ ἀκμὴ περιέχει καὶ τὴν λαμ-

---

3 Par. τι. Est hoc in sch. min. 4 τοῦ Ald. om., recepi ex Par. et sch. min. 5 Pro cor. p. 241. 6 τῇ Ald. om., est in Par. 7 Ald. Εὔβειαν. Pro cor. p. 248. 8 καὶ Par. om. 9 Ald. ἀκμαῖον.

πρότητα· καὶ οὐ δεῖ λαμπρὸν καὶ ἀκμαῖον ποιεῖν αὐτὸν, φύσει γὰρ ἀεὶ ἐν τῷ ἀκμαίῳ λόγῳ μέμικται ἀκμὴ καὶ λαμπρότης· ἀλλὰ τοῦτο εἰδέναι δεῖ, ὅτι εἰ μὲν περὶ τῆς ἁπλῶς ἀκμῆς ἐλέγομεν, ὅτι σύγκειται ἐκ σφοδρότητος καὶ λαμπρότητος, οὐκ ἔδει τηνικαῦτα λέγειν ἀκμαῖον καὶ λαμπρὸν εἶναι τὸν λόγον· περιέχει γὰρ ἐνταῦθα ἡ ἀκμὴ τὴν λαμπρότητα, ὥσπερ οὐδὲ ἀκμαῖον καὶ σφοδρὸν ἔδει λέγειν· νῦν δὲ περὶ τοιαύτης ἀκμῆς λέγομεν τῆς „μέχρι τούτου Λασθένης", ἥ τις σύγκειται μὲν ἐξ ὧν καὶ ἡ ἁπλῶς ἀκμή. πρὸς δὲ τούτοις καὶ ἐξ ἐννοίας λαμπρότητος. ὥστε μέμικται ἐνταῦθα ἡ ἁπλῶς ἀκμὴ καὶ ἡ λαμπρότης. β΄. Ὥστε φαίη τις ἄν· ἀντίθεσις καὶ τοῦτό ἐστι λέγοντός τινος, ὅτι τί χρὴ λέγειν μεμίχθαι λαμπρότητα ἐνταῦθα καὶ ἀκμὴν, λόγος γὰρ ἀκμαῖος οὐκ ἂν γένοιτο δίχα τῶν τῆς λαμπρότητος ἰδίων. δεῖ δὲ λέγειν ἀκμαῖον ἁπλῶς εἶναι τὸν λόγον, ἐπείπερ ὁ ἀκμαῖος ἐν ἑαυτῷ περιέχει καὶ τὴν λαμπρότητα. φησὶν οὖν, ὅτι οὐ τοῦτο λέγω, ὅτι λαμπρότης καὶ ἀκμὴ συνελθοῦσαι ποιοῦσιν ἀκμὴν, ἡ γὰρ ἀκμὴ καθ' αὑτὴν οὐχ ὑφέστηκεν, ἀλλ' ἐκ [1°] σφοδρότητος καὶ λαμπρότητος καὶ τραχύτητος σύγκειται· ὥστε οὐχ ἁπλῶς δεῖ λέγειν ἐκ λαμπρότητος καὶ ἀκμῆς τὴν ἀκμὴν συνεστάναι, ἀλλὰ λαμπρὸν ἐν ταὐτῷ καὶ ἀκμαῖον εἶναι τὸ „μέχρι τούτου Λασθένης". λαμπρὸν μὲν διὰ τὴν λαμπρὰν ἔννοιαν, ἀκμαῖον δὲ διὰ τὰς τῆς σφοδρότητος καὶ τραχύτητος ἐννοίας, καὶ τῆς λαμπρότητος τὴν μακροκωλίαν, ἐξ ὧν ἡ ἀκμὴ συνέστηκεν. γ΄. Ἀντακολουθοῦσι· τουτέστιν ἀντιστρέφουσιν. δ΄. Ἀπὸ τῶν κατ' ἄνδρα· τουτέστι τῶν προδοτῶν. ε΄. Καὶ τῶν ἐπαναφορῶν· εἰ γὰρ ἁπλῆ οὖσα ἡ ἐπαναφορὰ κάλλος ποιεῖ τῷ λόγῳ, πολλῷ μᾶλλον διπλῆ κατὰ συζυγίαν γενομένη· τὸ γὰρ μέχρι καὶ μέχρι καὶ ἕως καὶ ἕως κατὰ συζυγίαν τὴν ἐπαναφορὰν ἔχει.

---

10 Ald. ἀλλὰ, scr. ἀλλ' ἐκ.

*Ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανιτέον ὅτι λαμπρὰ μὲν διὰ ταῦτα ἡ ἔννοια, καὶ τὰ λοιπά.*

Τὰ δ'[11] ἑξῆς δῆλα μέν· μέθοδος καὶ τὰ λοιπά.
398 β'. Ταῖς συμπλοκαῖς· τουτέστι τοῖς συμπλεκτικοῖς συνδέσμοις. γ'. Περιβεβλημένως· διὰ μακροῦ γὰρ ἡ ἀπόδοσις, ὅπερ ἴδιον περιβολῆς.

## Περὶ περιβολῆς ἐν ταὐτῷ καὶ μεστότητος.

*Μετὰ τὸν περὶ σαφηνείας λόγον ὑποθέμενοι περὶ μεγέθους εἰπεῖν καὶ ὄγκου καὶ ἀξιώματος τοῦ ἐν λόγῳ, καὶ τὰ λοιπά.*

Τά τε γὰρ ἄλλα· ποῖα;[1] ὅτι τὴν τοῦ λόγου ὑπτιότητα διανίστησιν, ὅτι ἐννοίαις πλεονάζει, ὅτι ἀσφάλειαν τῷ λόγῳ περιποιεῖ τῇ τῶν ποιοτήτων καὶ τῶν αἰτιῶν[2] προσθήκῃ. β'. Ὅταν ἤτοι ἔξωθέν τι· τὸ γὰρ[3] ψιλῶς αὐτὸ λέγειν τὸ πρᾶγμα καὶ μηδὲν ἔξωθεν ἐφέλκεσθαι, τοῦτο τῆς καθαρότητος. ἴδιον ἄρα τῆς περιβολῆς τὸ τὰ ἔξωθεν τοῦ πράγματος πολυπραγμονεῖν. γ'. Γένος εἴδει· τὸ μὲν γὰρ γένος ἐστὶν „ὁ συκοφάντης“.[4] εἶδος δὲ τὸ „τοῦτο δὲ καὶ[5] φύσει κίναδος[6] τἀνθρώπιόν ἐστι“. δ'. Θαυμάζειν δὲ οὐ χρή· ἐν τῷ περὶ εὐκρινείας λόγῳ φησὶν, ὅτι τὰ κατὰ ἄθροισιν καὶ μερισμὸν καὶ ἀπαρίθμησιν σχήματα τῷ μὲν ἐφέλκεσθαι ἄλλα νοήματα περιβάλλει τὸν λόγον, τῷ[8] δὲ εὐθὺς ἀρχομένου τοῦ λέγοντος φαίνεσθαι τοῖς ἀκούουσιν, ὅτι ἕπεται καὶ ἄλλο

11 Par. δέ. 1 T. VII. β. et Sicel. 2 T. VII. Sicel. ἐννοιῶν. Mon. ad marg. αἰτιῶν. 3 T. VII. ε. ς. 4 Pro cor. p. 307. Sch. min. καινοπρεπὲς σχῆμα, ἐπεὶ ἔξωθεν τοῦ Αἰσχίνου σχῆμά ἐστι τὸ πονηρὸν καὶ τὸ συκοφάντης καὶ τὰ ὅμοια· ὁ γὰρ Αἰσχίνης εἶδος, τὸ δὲ πονηρὸν καὶ τὰ λοιπὰ γένος. 5 καὶ Ald. om., est in Par. T. VII. 6 Ald. Par. T. VII. κίναιδος, scr. κίναδος. 7 T. VII. ι. et Sicel. 8 T. VII. τό.

τι νόημα,[9] τὴν εὐκρίνειαν ἐργάζεται· [10] καλῶς δὲ τὸ δοκοῦσά πως· οὐ γὰρ ἄντικρυς αὐτῇ ἐναντιοῦται, ἀλλὰ κατὰ συγγένειαν τῆς καθαρότητος ἡ πρὸς τὴν ἐπιβολὴν ἐναντίωσις τῆς εὐκρινείας γίνεται· οὐ γὰρ οὕτως ἐστὶ, καὶ ἡ ψυχὴ γὰρ καὶ τὸ σῶμα ἐναντία ὄντα ἀλλήλοις συνυπάρχουσιν. ς΄. Μετά γε Ὅμηρον· παραχωροῦσιν Ὁμήρῳ πάντες ὅσοι τὰς λογικὰς μετῆλθον τέχνας, ἅτε[11] ἐξ αὐτοῦ τὰς ἀρχὰς εἰληφότες καὶ τὰ σπέρματα τῶν ὑποθέσεων. ζ. Καὶ τῷ περιττῷ καὶ μεστῷ· αὐτῇ τῇ περιβολῇ λέγει. ή. Τὸ λεπτόν· τουτέστι τὴν εὐτέλειαν καὶ ἀφέλειαν, ἥ τις ἐστὶν ἐναντία τῇ σεμνότητι. Χάριν δὲ καὶ ἡδονὴν τὴν γλυκύτητα λέγει, τόλμαν δὲ τὸ τραχὺ καὶ σφοδρὸν, τολμηρὸν γὰρ ἡ καταφορά· ἀκόσμητον δὲ λόγον τὸν τῆς τραχύτητός φησι. τὸ δὲ πιθανὸν οὐκ ἰδέα λόγου ἐστὶν, ἀλλ᾽ ἀρετὴ, ἣν ἐργάζονται ἀφέλεια καὶ ἀλήθεια, καὶ γλυκύτης καὶ ἐπιείκεια· οἱ γὰρ ἠθικοὶ καὶ ἐνδιάθετοι λόγοι πείθουσιν ἑτοιμότερον τοὺς ἀκούοντας. θ΄. Λαμπρότητι δέ· τῆς μὲν γὰρ λαμπρότητος μακρὰ τὰ κῶλα· τῆς γοργότητος δὲ τὰ[12] κομματικά. ί. Ὃ[13] δὴ σμικρότατον· σμικρότατον γάρ, οὐ[14] μέγα ἡ εὐκρίνεια καταμίγνυται περιβολῇ, ὅπου γε καὶ καθαρότης ἡ ἄντικρυς ἐναντία περιβολῇ μίγνυται αὐτῇ· ἔστι δὲ ἐκεῖνο[15] τούτου τε καὶ τῶν ἄλλων μίξεων ἔλαττον.

**Ἐπάνειμι δὴ πάλιν ἐξ ἀρχῆς ἐπὶ τὸν τῆς περιβολῆς λόγον, καὶ τὰ λοιπά.**

*Δύναται δὲ καὶ αὔξεσθαι*· ἕκαστα γὰρ τῶν περιστατικῶν μορίων εἴτις διὰ πλειόνων ἐξεργάζεσθαι

---

9 Par. νόσημα, tum T. VII. καλῶς τήν. 10 T. VII. add.: καὶ τοῦτο μάλιστα τοῦ ἀκριβοῦς ἐπιστήμονος ἔργον, ἡ τῶν δοκούντων ἐναντίων εὔκαιρός τε καὶ σύμμετρος λέξις, ἣν μετὰ Ὁμήρου ὁ τεχνογράφος τῷ ῥήτορι προσνέμει. 11 T. VII. ιδ. ἅτε καί. 12 Par. τὰ om. 13 Ald. ἤ. Par. ὅ. 14 Par. καὶ οὐ μέγα. 15 Ald. ἐκεῖνος.

βούλοιτο πολὺ πλάτος ποιεῖ τῷ λόγῳ. β΄. Ἀλλὰ καὶ ἐπιχειρῶν· ἀπὸ μὲν τοῦ ὁμοίου, ὡς τὸ, ὥσπερ γὰρ οἰκίας[16] οἶμαι καὶ πλοίου· ἀπὸ δὲ τοῦ ἐναντίου, καὶ γὰρ[17] ἄλογον ἂν ἦν, εἰ μίαν μὲν πόλιν ἀπώλεσεν καὶ ἑξῆς· ἀπὸ δὲ τοῦ[18] γένους καὶ τοῦ εἴδους καὶ τοῦ ὅλου εἴρηται· ἔτι δὲ ἀπὸ τοῦ ὅλου· ἐστὶ καὶ τοῦτο ἐν τῷ πρὸς Λεπτίνην, οὐ γὰρ εἰ μὴ χρήματα ἀπόλλυτε[19] μόνον σκεπτέον, ἀλλ᾽ εἰ καὶ δόξαν χρηστὴν, περὶ ἧς μᾶλλον σπουδάζετε ἢ περὶ χρημάτων. ἀπὸ δὲ τοῦ ἴσου, ὡς ἐν τῷ κατὰ Μειδίου.[20] εἶτα τὸν μὲν χορευτὴν οὐδ᾽ ὁ προσκαλέσας κατὰ τὸν νόμον ἀζήμιος ἔσται, τὸν δὲ χορηγὸν αὐτὸν οὐδ᾽ ὁ συγκόψας παρὰ πάντας τοὺς νόμους οὕτω φανερῶς δώσει δίκην; γ΄. Προσλήψεις εἰσί· προσλήψεις μέν φησι τὰς περιβολὰς, δι᾽ ὧν οἷόν τε πολλήν τινα τοῖς πράγμασιν[21] αὔξησιν περιβάλλειν. πίστεις δὲ μᾶλλον αὐτὰς εἶναί φησι, διότι τοῖς τοιούτοις τόποις[22] ἐν τῷ δέοντι κεχρημένοι οἱ ῥήτορες πείθουσι τοὺς ἀκροωμένους· τῶν δὲ πίστεων αἱ μὲν εἰσιν ἄτεχνοι, νόμοι, μαρτυρίαι, συνθῆκαι, ὅρκοι, βάσανοι, καὶ ὅσα ἔγγραφα, αἱ δὲ ἔντεχνοι, τῶν δὲ ἐντέχνων εἴδη τρία, αἱ μὲν γάρ εἰσι λογικαί τε καὶ πρακτικαὶ, αἱ δὲ ἠθικαὶ, αἱ δὲ παθη-
399 τικαί. Λογικὴ μὲν οὖν πίστις ἐστὶ λόγος αὐτοῦ τοῦ πράγματος, περὶ οὗ ὁ λόγος,[23] τὰς ἀποδείξεις δι᾽ ἐπιχειρημάτων ποιούμενος.[24] ἠθικὴ δὲ πίστις ἐστὶ λόγος ἀπὸ τῆς τοῦ προσώπου ποιότητος τὴν πίστιν παρεχόμενος.

---

16 Ald. οἰκείας οἶμαι καὶ πλείου. — Ol. II. p. 21. 17 in Lept. p. 481. 18 τοῦ Ald. om., est in Par. 19 Ald. ἀπόλλυται. Par. ἀπόλλυτε, ut Dem. p. 459. 20 p. 532. — T. VII. λα. 21 T. VII. λβ. πράγμασι τὴν αὔξ. 22 τόποις T. VII. post κεχρημένοι ponit. 23 T. VII. λόγος ἐστί. Mon. αὐτοῦ τοῦ πρ. περὶ οὗ ὁ λόγος om. 24 T. VII. inserit: ἐπιχείρημα δέ ἐστι λόγος πρὸς πίστιν τοῦ ὑποκειμένου ζητήματος παραλαμβανόμενος.

παθητικὴ δὲ, λόγος εἰς πάθος,[25] ὅπερ ὁ λέγων βούλεται, τὸν ἀκροατὴν ἐκτρέπων καὶ ἄνευ τῆς τῶν πραγμάτων ἀποδείξεως, οἷον ὀργὴν, φθόνον, ἔλεον, εὔνοιαν. δ'. Ἀλλὰ καὶ τὰ ἐκβάντα ἄν· ἐν τῷ περὶ τοῦ στεφάνου κεῖται τὸ ἐπιχείρημα, οἷον „ἆρα οἴεσθε,[26] ὅτι νῦν μέν ἐστι στῆναι καὶ συνελθεῖν καὶ ἀναπνεῦσαι; πολλὰ μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν[27] τῶν εἰς σωτηρίαν τῇ πόλει. τότε δὲ οὐκ ἄξιον εἰπεῖν ὧν[28] γε μηδὲ πεῖραν ἔδωκε θεοῦ τινος εὔνοια". [29] έ. Τὸ δὲ ἑξῆς συνῆπται·[30] τὸ ἐνταῦθ'[31] ἐγίνοντο οἱ ὅρκοι. ς'. καὶ τὸ δι' ἐπικρίσεως· τουτέστι σεμνὸν τὸν λόγον ἐποίησε· σεμνότητος γὰρ ἡ ἐπίκρισις.

Λέξις δὲ καθ' ἑαυτὴν ἰδία περιβολῆς, καὶ τὰ λοιπά.

Ἐκ παραλλήλου· τουτέστιν ἐκ διπλασιασμοῦ· ταύτην δὲ τὴν μέθοδον ὁ Τιβέριος ἐν τοῖς σχήμασι τῆς λέξεως τίθησι λέγων,[1] ὅτι ἐπιμονή ἐστιν, ὅταν πλείω τις[2] ῥήματα ἀλλήλοις ἐπιβάλλῃ· ὡς ἐν τῷ ὑπὲρ Φορμίωνος ὁ Δημοσθένης·[3] „ἄγεις, ἐλαύνεις, διώκεις, συκοφαντεῖς", καὶ παρὰ τῷ Αἰσχίνῃ,[4] „ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ". β'. Τό γ' ἡμῖν δοκοῦν· καὶ τί εἴρηκεν; ὅτι περιβολῆς ἴδιαι λέξεις οὐκ εἰσὶ κατά γε ἐμέ. γ'. Ταῖς γὰρ ἐπιμοναῖς· ἐπὶ μὲν γὰρ τῶν ἐνδόξων πραγμάτων ἐπιμένομεν, ἀπὸ[5] δὲ τῶν αἰσχρῶν ταχὺ ἀπαλλαττόμεθα. δ'. Οὐ φαῦλον συγχωρῆσαι· του-

---

25 Ald. πάντας. Par. πάθος. 26 p. 293. 27 Ald. ἔδωσαν. 28 T. VII. λδ. ᾶ γε. 29 T. VII. ἔννοια, καὶ τὸ προβάλλεσθαι [Par. 2916. τῷ προβαλέσθαι] τὴν πόλιν ταύτην τὴν συμμαχίαν, καὶ σύ γε κατηγορεῖς. 30 Par. ἐπισυνῆπται. 31 Par. ἐνταῦθα.

1 p. 51. ed. Boiss. — Est T. VII. με. 2 τις Ald. om., recepi ex Par. T. VII. et Tiberio. 3 p. 960. 4 p. 588. Reisk. 5 Ald. et Par. ἐπὶ, scr. ἀπό.

τέστιν οὐκ ἄτοπον. έ. Πρῶτον μὲν ὦ Ἀθηναῖοι·[6] τοιοῦτον καὶ τὸ τοῦ θεολόγου· πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους. ϛ΄. Καὶ τὰ καθ' ὑπόθεσιν· διότι λαμβάνει τὸ μὴ ὂν ὡς ὄν. ζ. Ἀλλ' οὖν ὅ γε πλαγιασμός· ἐνταῦθα[7] τὸ σχῆμα τῶν κώλων τούτων πλαγιασμὸν καλεῖ,[8] ἐν δὲ τῷ περὶ σχημάτων γοργότητος ἐπιτρέχον αὐτὸ ὀνομάζει· τοῦτο δὲ[9] ἐπιδρομὴν Οὐλπιανός φησιν·[10] ἐπεὶ εὐθὺς ἐνταῦθα· τὸ[11] μὲν γὰρ κῶλον διὰ λέξεων κοινῶν ἐξενεχθὲν[12] καθαρόν ἐστιν. ἡ δὲ ἔννοια γένος εἴδει[13] περιλαβοῦσα περιβέβληται· γενικὸν μὲν γὰρ ἡ συμφορὰ, εἰδικὸν δὲ ἡ παρὰ τῶν νόμων ἀτιμία, ἣν ὑπεῖχε διὰ τὴν ἀστρατείαν[14] ὁ Σαννίων. καὶ ἄλλως, ὅτι κατ' αὔξησιν εἴρηται περιβλητικόν ἐστι κατ' εὔνοιαν. τὴν γὰρ ἀτιμίαν αὔξων συμφορὰν ἐκάλεσεν. θ΄. Τῶν δὲ ἄλλων ἰδεῶν· ἡ μὲν λαμπρότης οὐχ ἁρμόττει· διότι παρὰ τοῖς ἰδιώταις οὐχ οἷόν τε ἔνδοξα πράγματα γίνεσθαι, ἀλλ' οὐδὲ ἡ τραχύτης, διότι μετὰ μειζόνων προσώπων οὐκ ἂν χρήσαιτο καταφορᾷ ἰδιώτης. διὰ δὲ τὰ αὐτὰ οὐδὲ ἡ ἀκμὴ ὡς ἐκ τούτων συγκειμένη. ί. Ἐπιφοράν· τουτέστι καταδρομήν. ιά. Οὐ μὴν οὐδὲ ἐνταῦθα· καὶ[15] γὰρ ἐν τοῖς δημοσίοις ἀγῶσι τῇ μὲν σεμνότητι[16] σπανιώτερον χρησόμεθα, διότι οὐ πολλαχοῦ τοῦ λόγου περὶ θείων ἢ μετεώρων ἢ

---

6 pro cor. init. 7 T. VII. μθ. et ν. — Mon. praefigit σημείωσαι, quod Par. 2916. 2977. om. 8 T. VII. καλεῖ πλαγ. 9 Par. δ'. 10 T. VII. φησι· δῆλον οὖν καὶ ἐντεῦθεν, ὅτι μίγνυται ἀλλήλοις τὰ σχήματα. 11 Ven. τὸ δὲ κέχρηται συμφορᾷ που ἐστὶ καθαρὸν πλὴν τοῦ κώλου. 12 ἐξενεχθὲν Ald. Par. om., recepi ex Ven., Mon. Par. 2916. 2977. ἐνεχθέν. 13 Mon. εἴδη. Ven. γένος. εἴδη δὲ, tum Ald. Par. περιβαλοῦσα. T. VII. περιλαβοῦσα. 14 T. VII. ἀστρατίαν ὁ Στράτων; recte Σαννίων vid. or. in Mid. p. 533. — Sqq. absunt a T. VII. 15 T. VII. τὸ. 16 τῇ μὲν σεμνότητι T. VII. om.

ἐνδόξων πραγμάτων ὁ ῥήτωρ διαλέξεται, ἀλλ' ἐπ' ἐλάχιστον· ταῖς δ' αὖ [17] ἐπιτιμητικαῖς τῶν ἰδεῶν οὐκ ἐπὶ τὸ πολὺ [18] χρηστέον διὰ τὸ μὴ λίαν τραχὺ καὶ φιλαίτιον τοῦ [19] λέγοντος φαίνεσθαι τὸ ἦθος, σκληρὸν γὰρ καὶ φιλαπεχθήμον τό γε τοιοῦτον, οὐ μὴν οὐδὲ τῇ ἀκμῇ πλεονάσει διὰ ταῦτα· κοινωνεῖ γάρ, ὡς ἔγνωμεν, τραχύτητι καὶ σφοδρότητι κατὰ τὰς ἐννοίας· διὸ δὴ πάντων μάλιστα τὴν περιβολὴν ἠγάπησεν ὁ ῥήτωρ, ὡς μέγεθός τε περιποιοῦσαν τῷ λόγῳ καὶ τῶν ὁμοειδῶν ἀποφεύγουσαν τὸ δύσχρηστον.

Ἀλλ' ὅθεν ἐξέβημεν πάλιν ἐπανιτέον ἐπὶ τὰ σχήματα τῆς περιβολῆς, καὶ τὰ λοιπά.

Τὸ ἐπιτρέχον· ἐπιτρέχον μὲν καλεῖται τὸ [20] σχῆμα διὰ τὸ τὰς ἐννοίας ἔχειν ὥσπερ ἐν δρόμῳ ἠρτημένας ἀλλήλων· ἐκ τοῦ παρασυναπτικοῦ δέ, ἐπειδὴ εὐθὺς τῇ πρώτῃ προτάσει συνῆπται ἡ αἰτία. τοῦτο [21] δὲ τὸ ἐπιτρέχον καὶ κατ' ἐπιδρομὴν καλεῖται, ἀπὸ ἐννοίας μεταπηδῶν εἰς ἔννοιαν· οἷον, [22] „ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν, Μεγάροις ἐπεβούλευσε πρώην". β'. Ἐπειδὴ γὰρ ἡ [23] ἐκκλησία· ὡρισμέναι [24] ἦσαν ἐκκλησίαι κατὰ πρυτανείαν ἑκάστην τέσσαρες. δέκα 400 δὲ οὐσῶν Ἀθήνησι φυλῶν ἐπρυτάνευον αἱ μὲν πρῶται λαχοῦσαι φυλαὶ τέσσαρες ἀνὰ [25] τριάκοντα ἓξ ἡμέρας, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ τριάκοντα πέντε· μετὰ οὖν τὰς ὡρισμένας τοῦ δήμου συνόδους ἐν ταῖς ἐκκλησίαις εἴ τι ἀναγκαῖον ἐμπέσοι πρᾶγμα, περὶ οὗ τὸν δῆμον ἐχρῆν συνελθόντα γνῶναι, σύγκλητος ἐγένετο ἐκκλησία· προκατακε-

17 Ald. Par. ἂν. T. VII. αὖ. 18 T. VII. ἐπὶ πολύ. 19 Par. 2977. τὸ ἦθος φαίν. τοῦ λέγ. 20 T. VII. νε. τὸ om. 21 τοῦτο δὲ — ἐπεβούλευσε T. VII. ad verbum non habet. 22 Phil. III. p. 118. 23 ἡ Ald. om., est in Par. 24 Ven. ὡρ. γάρ. 25 Mon. ἀπὸ h. l. et paullo post.

*χρῆσθαι οὖν ἔστι τὸ ἤδη[26] τὰς ὡρισμένας ἐκκλησίας παρεληλυθέναι. γ'. Ὥσπερ ἐν στροφῇ· στροφὴ[27] καὶ ἀντίστροφος καὶ ἐπῳδὸς συστήματα μέτρων ἐστὶν ἐν λυρικοῖς ποιήμασιν· ἡ μὲν οὖν στροφή ἐστιν ἡ πρώτη τιθεμένη περίοδος ἐκ δύο ἢ πλειόνων κώλων ὁμοίων ἢ ἀνομοίων συγκειμένη, ὡς παρὰ Ἀλκμᾶνι·*[28]

Μῶσ' ἄγε, Καλλιόπα, θύγατερ Διὸς,
Ἄρχ' ἐρατῶν ἐπέων· ἐπὶ δ' ἱερὸν[29]
Ὕμνον καὶ χαρίεντα τίθει χορόν.

*αὕτη γὰρ ἡ στροφὴ ἐκ τριῶν ἐστι κώλων δακτυλικῶν ἰσομέτρων συγκειμένη· ἐξ ἀνομοίων δέ, ὡς τόδε·*

Μῶσ' ἄγε, Μῶσα λίγεια, πολυμμελὲς[30]
Αἰὲν, ἄειδε μέλος νεοχμὸν,
Ἄρχε[31] παρθένοις ἀείδεν.

*ἀντίστροφος[32] δέ ἐστιν ἡ μετὰ τὴν πρώτην στροφὴν τιθεμένη περίοδος, ἴση καὶ ὁμοία τῇ πρὸ αὐτῆς στροφῇ κατά τε τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν κώλων·*[33] *ἐπῳδὸς δέ ἐστι τρίτη πε-*

---

26 Ald. εἴδη. 27 T. VII. νθ. 28 Par. 2916. Ἀλκιμᾶνι. 29 Ald. δι' ἐρόν. T. VII. δ' ἱερόν. Welcker. in Alcm. Fragm. nr. 4. ex Hephaest. p. 22. recepit ἵμερον. 30 Fr. I. apud Welck. Ald. πολυμελὲς ἀεὶ δὲ μέλος. Mon. Par. 2916. πολυμελές. Ven. πολυμμελὲς, tum Par. 2918. ἀεὶν ἄειδε. T. VII. αἰὲν ἄειδε. conjunxi πολυμμελὲς αἰὲν, ut Il. N. 22. ἄφθιτα αἰεί. Fortasse autem scribendum: καινὸν ἄειδε μέλος, νεοχ. etc. 31 Ald. ἄρχαι [Par. ἄρχε] παρθένοις. Mon. ἄρχὲ πάρ σ' ἔνοις. Par. 2916. νεωχμὸν ἄρχ' ἐπ' ἀρσένοις. Par. 2977. ἄρχ' ἐπ' ἄρσενας. In ultimis vv. omnes consentiunt: καὶ ἄειδε, scripsi ἀείδεν. 32 T. VII. ἀντιστροφή. 33 T. VII. add.: ὅσων γὰρ κώλων ἡ στροφὴ, τοσούτων καὶ ἡ ἀντίστροφος. ἀριθμῷ γὰρ κοινωνοῦσιν ἀλλήλαις καὶ μέτρῳ, μόνῃ δὲ διαφέρουσι τῇ τάξει [Ven. ὅσων — τῇ τάξει om.]. Ὠνομάσθησαν δὲ οὕτω διὰ τὸ τοὺς χοροὺς στρεφομένους καὶ ἀντιχορεύοντας ἀλλήλοις περὶ τοὺς χοροὺς ἢ τοὺς βωμοὺς ἢ τοὺς ναοὺς ἢ τὰς ὀρχήστρας ᾄδειν τὰ τοιάδε μέλη, τὴν δὲ οὐρανίαν [Mon. οὐρανίων] καὶ τὴν τῶν πλανητῶν κίνησιν ἐναντίαν οὖσαν ἀπομιμου-

ρίοδος τῇ στροφῇ καὶ ἀντιστρόφῳ ἐπιλεγομένη, ἀνόμοιος τῷ πλήθει καὶ μεγέθει τῶν κώλων συναμφοτέραις.[34] ᾔδετο δὲ ἱσταμένων τῶν χορῶν, ἐν[35] ἐκείναις γὰρ ἐκινοῦντο. δ΄. *Καὶ αἱ παρισώσεις*· ἡ πάρισωσις γίνεται κατ' ἀρχὴν καὶ τέλος· κατ' ἀρχὴν μὲν οἷον προσήκει προθύμως· ὃ καὶ ὁμοιόαρκτον λέγεται· κατὰ δὲ τὸ τέλος, οἷον ἐθέλειν ἀκούειν, ὅ ἐστιν ὁμοιοτέλευτον. ε΄. *Κατὰ ἄρσιν καὶ θέσιν*· ἄρσις καὶ θέσις[36] κυρίως μὲν ὀνομάζεται παρὰ[37] τοῖς μουσικοῖς ἐπὶ τῶν τοῦ ποδὸς κρουμάτων ἄνω ἢ κάτω τὴν ὁρμὴν λαμβάνοντος.[38] παρὰ δὲ τοῖς[39] ῥήτορσι τὸ κατὰ ἀπόφασιν καὶ κατάφασιν σημαίνει.[40] ς΄. *Καὶ ἐν τῷ περὶ καθαροῦ λόγου*·[41] εἶπε γὰρ ἐν τῷ περὶ σχημάτων καθαρότητος, ὅτι δεῖ κατὰ[42] βραχέα τὰς ἐννοίας ἀναπαύειν ἐφ' ἑαυτῶν περιγραφομένας, καὶ ὅτι πᾶν ὅπερ ἀπήλλακται περιβολῆς σχῆμα καθαρὸν ποιεῖ τὸν λόγον.

## Περὶ ἐπιμελείας καὶ κάλλους.

**Μετὰ τὸν περὶ σαφηνείας τε καὶ ἀξιώματος τοῦ κατὰ μέγεθος λόγον, καὶ τὰ λοιπά.**

*Ἀγλευκὴς*, τουτέστιν[1] ἀηδὴς, ἄμοιρος ἡδονῆς, ἄχαρις,[2] μεταφορικῶς ἀπὸ[3] τοῦ γλεύκους. β΄. *Τὸ ἀμε-*

μένους ἐν ῥυθμῷ. ἐπῳδός δέ ἐστι περίοδος τρίτη [Ven. τρίτη om.] ἐν τριάδι τῇ στρ. 34 T. VII. ἢ συναμφοτέροις. tum Ald. ᾔδετο. 35 T. VII. καὶ ταύτῃ τὸ ἑδραῖον τῆς γῆς ἀπομιμουμένων [Par. 2977. ἀπομιμουμένου]. 36 T. VII. ξβ. add. ὡς καὶ ἀνωτέρω εἴρηται. 37 Mon. περί. 38 Mon. λαμβάνω. Ven. λαμβανόντων. 39 T. VII. τῷ ῥήτορι. 40 Ald. σημαίνειν. 41 Mon. et Ven. haec om. Sunt in Par. 2916. 2977. et Sicel. 42 Ald. Par. 2916. 2977. Sic. κατά. Par. τά.

1 T. VII. α. et β. γ. et Sicel. Ven. Παρὰ δὲ τῷ ῥήτορι τὸ κατὰ ἀπόφασιν σημαίνει, εἴπερ μὴ ἀγλευκὴς γενήσεσθαι μέλλοι. Ἄχαρις καὶ ἀκόσμ. 2 T. VII. Sicel. add. καὶ ἀκόσμητος. 3 T. VII.

λές· εἶπε γάρ, ὅτι ἡ ἄῤῥυθμος[4] καὶ ἀνακόλουθος συνθήκη ἁρμόττει σφοδρότητι[5] καὶ τραχύτητι· καλῶς δὲ εἶπε κατὰ τὴν σύνταξιν· τῷ μὲν γὰρ μεγέθει καθολικῶς ἐναντίον τὸ εὐτελὲς, τῷ δὲ κάλλει κατὰ μόνην τὴν σύνταξίν τε[6] καὶ σύνθεσιν. γ'. Κάλλος τοίνυν· ὥσπερ[7] ἐπὶ τῶν σωμάτων ὁρῶμεν τὰ μὲν αὐτῶν τῇ φύσει καλὰ, τὰ δὲ τῇ ἐπιμελείᾳ καὶ τῷ φαινομένῳ, οὕτω[8] καὶ ἐπὶ τῶν λόγων οἱ μὲν ἐκ συμμετρίας τινὸς ἔχουσι τὸ κάλλος, οἱ δὲ ἐξ ἐπιμελείας· ὅθεν καὶ ἐπὶ τοῦ κομμωτικοῦ[9] ἔννοιαν καὶ μέθοδον οὐχ εὑρίσκομεν· περὶ γὰρ τὴν λέξιν ἔχει τὴν ὅλην ὑπόστασιν, ὡς[10] ἐπιπολάζον τῷ σώματι καὶ τῆς ὅλης ἐπιφανείας ἁπτόμενον· τὸ γὰρ ἀληθινὸν ἐφικνεῖται τοῦ βάθους καὶ τὴν πλείστην δύναμιν ἔχει περί τε τὴν[11] μίξιν τῶν ἰδεῶν καὶ τὴν ἔννοιαν αὐτὴν καὶ τὴν μέθοδον. δ'. Κάλλος ἐστίν· οὕτω τινὲς ὡρίσαντο τὸ ἐν σώματι ἀληθινὸν κάλλος· συμμετρία ὁμοιομερῶν τε καὶ ὀργανικῶν μετά τινος εὐχροίας διὰ παντὸς τοῦ σώματος διηκούσης. ὅθεν καὶ[12] τὸν ὅρον τοῦτον ὁ τεχνικὸς εἰς τὸ

τοῦ

---

Sic. τὸ γὰρ γλεῦκος πολλὴν ἔχον τὴν γλυκύτητα δοκεῖ χαρίεν εἶναι πρὸς τὴν πόσιν. 4 Mon. ἄρυθμος. 5 Sic. τραχύτητι καὶ σφοδρότητι. 6 τε T. VII. Sic. om., tum T. VII. καὶ τὴν σύνθ. 7 T. VII. Sic. κάλλους λέγει νῦν οὐ [Sic. ὁ] τοῦ ἀληθινοῦ καὶ γινομένου κατὰ κρᾶσιν καὶ μῖξιν τῶν ἰδεῶν, καὶ τοῦ φαινομένου καὶ κομματικοῦ, καθάπερ ἐπί. 8 T. VII. Sic. τὸν αὐτὸν δή που [Par. 2977. δὴ om.] τρόπον. 9 T. VII. Sic. κομματικοῦ μέθοδον καὶ ἔνν. 10 Sic. ὥσπερ. 11 T. VII. Sic. περὶ τὸ τὴν ἔννοιαν καὶ μέθοδον. Tum Par. 2977. Sicel. addit: τοῦτο γὰρ κυρίως ἂν εἴη λόγου κάλλος τὸ γινόμενον ἐκ τῶν ποιούντων τὰς ἰδέας αὐτοῦ πάσας, οἷον ἐννοιῶν μεθόδων λέξεων καὶ τῶν λοιπῶν [Mon. Par. 2916. haec om.]. 12 καὶ ὁ τεχνικὸς λαβὼν μετήνεγκε τὸν ὅρον καὶ ἐπὶ τοῦτο τὸ κάλλος τὸ περὶ τοὺς λόγους γινόμενον, οὐ κομματικὸν, ἀλλ' ἀληθινὸν [Mon. οὐκ ἀναλογεῖ κομματικόν].

τοῦ λόγου κάλλος μετήνεγκεν. έ. Ἀλλὰ μὴ χύδην·[13]
ἀναρμόστως καὶ συγκεχυμένως· ὅπερ πάσχουσιν ἔνιοι[14]
τῶν φύσει μὲν ὀξυτέρᾳ[15] κεχρημένων, ἥκιστα δὲ τοῖς
ἐπιστημονικοῖς λόγοις ποδηγετῆσαι τὴν φύσιν ἐξισχυόν-
των. ϛ΄. Τοῦ Λυσίου ἐρωτικοῦ· ἐν γὰρ τῷ περὶ
ἔρωτος Πλάτων ἄλλους τε καὶ τὸν Λυσίαν εἰσάγει διεξι-
όντας περὶ τοῦ ἔρωτος. τὸ δὲ ἀποτετορνεῦσθαι, ἀντὶ τοῦ
κατεσκευάσθαι καὶ εἰς κάλλος ἀπεξέσθαι μεταφορικῶς
ἀπὸ τῆς τορείας. θ΄. Ἀναβεβλήσθω· πρὸς γὰρ τῷ τέ- 401
λει τοῦ δευτέρου βιβλίου περὶ χαρακτήρων τῶν ῥητόρων
διδάξει. ή. Ἔξωθεν κομμωτικός· ἰστέον ὡς[16] τοῦτο
διαβάλλοντες οἱ κριτικοὶ[17] ὡς πλεονάζον ἐν τῷ λόγῳ τοῦ
θεολόγου πορνικὸν εἰρήκασιν, ὡς αὐτὸς ἐκεῖνος ἐν τῷ
συντακτηρίῳ φησίν· οὐδὲ τῶν πορνικῶν, ὥς τις ἔφη
διασύρων ἡμᾶς τῶν πόρνων καὶ λόγον καὶ τρόπον. τὸ δὲ
ἐπισημαίνεσθαι ἀντὶ τοῦ ἐπαινεῖν καὶ κροτεῖν.

Λέξις τοίνυν καλὴ πᾶσα ἥπερ καὶ καθαρά· αἱ γὰρ τραχεῖαι καὶ τροπικαὶ, καὶ τὰ λοιπά.

Ἐναργεῖς μέν· ἀντὶ τοῦ σημαντικώτεραι· τὸ δὲ ἄλλο τι ἔφη, ἀντὶ τοῦ καὶ ὄγκον ἔχουσαι καὶ δίαρμα καὶ ὕψος, ὡς ἐν τῷ περὶ λέξεως καθαρότητος ἔφη. β΄. Ὡς ἐν τοιούτῳ κάλλει· τῷ κομμωτικῷ δηλαδή. γ΄. Ἀλλὰ τὴν μὲν αἰτίαν· Ἰσοκράτους[18] μαθητὴν εἶναι λέγουσιν Ἀνδροτίωνα, καὶ ἦν, ὥς φησιν ὁ ῥήτωρ,[19] τεχνίτης τοῦ λέγειν· ἐπετήδευσεν οὖν ὁ Δημοσθένης κεκαλλωπισμένον ἐργάσασθαι[20] τὸν κατ' Ἀνδροτίωνος, ἀντιφιλοτιμούμενος πρὸς Ἰσοκρατικὸν[21] ῥήτορα παρίσοις

13 Haec sunt apud Sicel. 14 Sicel. ἔνι. 15 Ald. ὀξυτέειᾳ. 16 ὡς Par. om. 17 Par. αἱρητικοί. — v. 14 Ald. συνταρκτηρίῳ. v. 15. διασόρων. v. 17. τραχεῖναι. 18 T. VII. κβ — κζ. 19 ῥήτωρ Mon. om. — Dem. c. Androt. p. 594. 20 Par. 2977. ποιῆσαι. Mon. ἐρίσεσθαι. Par. 2916. ἐργάσασθαι. 21 Ald. Par. Ἰσοκράτην. T. VII. Ἰσοκρατικόν.

χρώμενον[22] κατὰ ζῆλον τοῦ διδασκάλου.[23] δ'. Διακόπτει[24] μὲν οὖν· ἡ μὲν παρίσωσις οὕτως ἂν γένοιτο.[25] τὸ μὲν γὰρ πολλὰ[26] ἀπολωλεκέναι κατὰ τὸν πόλεμον τῆς ἡμετέρας[27] ἀμελείας ἄν τις θείη, τὸ δὲ μὴ πάλαι τοῦτο πεπονθέναι τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέτημα[28] ἂν θείη· πάρισον γὰρ τὸ μὲν ἀπολωλεκέναι τῷ πεπονθέναι· τὸ δὲ θείη τῷ θείη· ἡ δὲ ἐπεμβολὴ διέκοψε τὴν παρίσωσιν. ε'. Ἐπιβουλὴ τοῦ λόγου· πανταχοῦ ὁ τεχνογράφος ἐπιβεβουλευμένον καλεῖ λόγον τὸν τῷ ἐπιτετηδευμένῳ κάλλει κεχρημένον· τὸ γάρ τοι διόλου κεχρῆσθαι ταῖς[29] παρισώσεσιν ἐκπρεπῆ μὲν, οὐ μὴν πιθανὸν ποιεῖ τὸν λόγον. οὐ γὰρ οὕτω πείθονται οἱ δικασταὶ τῷ ἐπιτηδεύοντι καλλωπίζειν τὸν λόγον καὶ τεχνίτῃ τοῦ λέγειν, ὡς τῷ κατὰ φύσιν λέγοντι· Γοργίας[30] μὲν οὖν καὶ Πῶλος σφόδρα τοῦ κάλλους πεφροντικότες παντοδαπῶν παρισώσεων πληροῦσι τοὺς λόγους, Ἰσοκράτης δὲ ἐπ' ἔλαττον, ὁ δ' αὖ Δημοσθένης ὡς σφοδρότερος[31] τεχνίτης φεύγει κεχρῆσθαι ταύταις προσκόρως.[32] ς'. Ἐπεὶ καὶ τὸ

22 T. VII. ἐπιχρώμενον. 23 T. VII. add.: ταῦτα καὶ Μένανδρός φησι διαιρῶν τὸν κατ' Ἀνδροτίωνος [καὶ et φησὶ Mon. om.]. 24 Litt. δ—ς. habet Sicel. et T. VII. 25 T. VII. Sicel. γένοιτο. Ald. Par. ἐγένετο. 26 πολλὰ ex T. VII. Sic. recepi, est Dem. Ol. I. p. 12. 27 T. VII. ὑμετέρας. 28 Sicel. εὐεργέτημ' ἂν ἐγὼ θείην, ut Dem. Tum T. VII. Sic. pergit: αὕτη ἐστὶν ἡ παρίσωσις, ἡ δ' ἐπεμβολὴ [Mon. ἐπιβολὴ] αὕτη. πεφηνέναι τέ τινα ὑμῖν συμμαχίαν τούτων ἀντίῤῥοπον, ἂν βουλώμεθα χρήσασθαι. Par. 2916. 2977. add.: Τὸ γὰρ ἀπολωλεκέναι καὶ πεπονθέναι καὶ πεφηνέναι καὶ τὰ λοιπὰ πάρισά ἐστι ταῦτα· ἔστι πάρισα καὶ τὸ θείην καὶ θείην. — Τὸ κλέμμα καὶ δωροδόκημα, τὸ μα καὶ μα ἐστὶν ἡ παρίσωσις. 29 T. VII. Sic. ταῖς κατ' ἀρχὴν ἢ τέλος τῶν κώλων κεχρῆσθαι παρ. 30 T. VII. Sic. διόπερ Γοργ. μὲν καὶ Πῶλος [Ald. Παῦλος]. Cfr. Spengel. συναγ. τεχν. p. 87. 31 T. VII. Sicel. σφόδρα. 32 Sic. et Ven. διακόρως. Sch. min. ἐναλλάττει δὲ τὰς συλλαβάς· καταλήξεων τῶν ἐπὶ τέλους

ταῦτα· ἡ παρίσωσις ἐνταῦθα [33] οὕτως ἂν γένοιτο· ταῦτα ἐμοῦ τότε γράψαντος καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ [34] ζητοῦντος. ζ. Ὁ δ᾽ Ἰσοκράτης· ὡς [35] οὐ πρὸς ἀγῶνα ἀλλὰ πρὸς ἐπίδειξιν γράφων λόγους, [36] καὶ ἀντισοφιστεύων Λυσίᾳ καὶ γοργιάζων. η. Δι᾽ ὅλων ἴσοις· ἕκαστον γὰρ τῶν τριῶν κώλων [37] συλλαβῶν ἐστὶν ἐννέα· τὸ μὲν πρῶτον ἄχρι τοῦ διδόμενα· τὸ δὲ δεύτερον ἄχρι τοῦ εἶναι· τὸ δὲ τρίτον ἄχρι τοῦ ἀποδοῦναι. θ. Σχεδὸν γὰρ οὐδ᾽ ὅλως· πῶς γὰρ ὁ μὴ παθαινόμενος, [38] ἀλλ᾽ οἴκοι σοφιστεύων καὶ διδάσκων ῥητορικὴν καὶ τὸν ἐκ τῆς ἀκοῆς θηρώμενος ἔπαινον χρήσαιτ᾽ ἂν τῇ ἀποστροφῇ.

*Αἵ τε οὖν παρισώσεις καλλωπίζουσιν, καὶ τὰ λοιπά.*

Εἰ δ᾽ ἔχει τι καὶ ἐναργείας· ὁ Τιβέριός φησιν,[1] ὅτι ἐνάργεια γίνεται κατὰ μὲν ἔννοιαν, ὅταν μὴ μόνον

---

ἐναλλαγήν φησι. Ἐπιβουλή· ῥᾳδιουργία. Ἐπηγγελκότα· ἀλλά εἰσι παρισώσεις εἰς τὴν ἀρχὴν, καὶ ἄλλα εἰς τὸ τέλος. Κεκωλυκότα· ὅρα πῶς νῦν ἐν τῷ τέλει πᾶσαι αἱ συλλαβαὶ αἱ παρισοῦσαι κεῖνται. Τὸ ζητοῦντος καὶ γράψαντος πάρισά εἰσιν. Ibid.: Σημείωσαι, ὅτι ἐν ἑκατέροις τοῖς ῥητοῖς αἱ παρισοῦσαι συλλαβαὶ ἐνηλλαγμένως κεῖνται, καὶ οὐ κατὰ τὸ τέλος τῶν κώλων πᾶσαι, ἀλλ᾽ αἱ μὲν αὐτῶν κατὰ τὸ τέλος, αἱ δὲ κατὰ τὸ μέσον. — Adjicio ex Sic. et T. VII. litt. κε. quam Plan. om. Σημείωσαι [Sic. σημείωσαι om.] ὅτι σφόδρα ἐστὶ τοῦ πιθανοῦ πόῤῥω ὁ κεκαλλωπισμένος λόγος, ἐπειδὴ οὐχ οὕτω πείθονται οἱ δικασταὶ τῷ ἐπιτηδεύοντι καλλωπίζειν τὸν λόγον καὶ τεχνίτῃ τοῦ λέγειν, ὡς τῷ κατὰ φύσιν λέγοντι. 33 ἐνταῦθα T. VII. Sic. om. 34 Ald. Par. τὸ Φιλίππου. Sic. τὸ τοῦ Φιλίππου. Mon. τῷ Φιλίππῳ. Par. 2916. τὸ Φιλίππῳ. 35 ὡς T. VII. Sic. om. 36 T. VII. Sic. πλείους λόγ. καὶ ἀντιπολιτευόμενος καὶ ἀντισ. 37 Ald. κώτων. 38 Sch. min. Τί λέγεις Ἑρμόγενες, ὁ γὰρ Ἰσοκράτης οὐκ ἐπαθαίνετο, ἀλλ᾽ ἐπανηγύριζε καὶ διὰ τοῦτο κάλλους ἐφρόντιζε.

1 T. VII. λστ. — Locus hic abest a Tiberio nostro.

*λέγῃς τόπον, ἀλλὰ καὶ τὰ [2] παρακολουθοῦντα τῷ τόπῳ σημεῖα, οἷον ἐν τῷ περὶ Ἁλονήσου· [3] „καίτοι Χεῤῥονήσου[4] οἱ ὅροι εἰσὶν, οὐκ ἀγορὰ, ἀλλ᾽ ὁ βωμὸς τοῦ Διὸς τοῦ ὁρίου· καὶ ποῦ ὁ βωμός; ὅς [5] ἐστι μεταξὺ Πτελεοῦ καὶ Λευκῆς Ἀκτῆς·“ εἶτα πάλιν ἄλλο σημαντικόν· „οὗ ἡ διωρυχὴ[6] Χεῤῥονήσου ἔμελλεν ἔσεσθαι·“ καὶ ὅταν ὥς ἐν εἰκόνι προάγῃς τὸν λόγον· ὡς ἐν τῷ κατὰ Μειδίου φησὶν, [7] „ἰσχυρός τις ἦν, μέλας·“ κατὰ δὲ τὸ σχῆμα ἐνάργεια γίνεται, ὅταν καθ᾽ ὑπόθεσιν λέγωμεν, ὡς ἐν τῷ πρὸς Λεπτίνην· [8] „φέρε ἂν δὲ δὴ πέμψας εἰς ἡμᾶς ὁ Λεύκων ἐρωτᾷ,“ καὶ τὰ ἑξῆς· καὶ αἱ πλάσεις ἐναργείας εἰσὶν, ὡς ἐν τῷ κατ᾽ Αἰσχίνου· [9] „καὶ γὰρ ὡς ἀληθῶς ἔσται τις λόγος περὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε. Ἀθήνηθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον τουτονὶ, Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης·“ κατὰ δὲ λέξιν*
402 *ποιεῖ ἐνάργειαν τὰ πληκτικὰ τῶν [10] ὀνομάτων καὶ τὰ [11] σημαντικὰ, οἷον· „ὁρᾶτε [12] ὡς σαφῶς διορίζεται καὶ δηλοῖ·“ καὶ πάλιν· „ἀκούετε, [13] ὦ Ἀθηναῖοι, τοῦ νόμου τοῦ λέγοντος σαφῶς·“ κατὰ δὲ ἄλλους καὶ τὰ δεικτικὰ σχήματα ἐναργῆ, οἷον· „προπύλαια ταῦτα·“ [14]*

---

2 τὰ T. VII. om. 3 p. 86. Ald. Par. τῆς Ἁλονήσου. T. VII. περὶ Ἁλοννήσου. 4 Ald. Par. Χεῤῥονήσου. h. l. et paullo post T. VII. Χεῤῥοννήσου. 5 Mon. οὐ. 6 Mon. διοῤῥυχί. 7 p. 537. φησὶν T. VII. om. 8 p. 468. 9 de fals. leg. p. 412. 10 τῶν ὀνομάτων καὶ τὰ σημαντ. T. VII. om. 11 τὰ abest a Par. 12 de cor. p. 239. 13 Boisson. in editione Tiberii p. XI. locum oratoris prorsus similem invenisse se negat, unde suspicatur, Tiberium memoriter scribentem respexisse Ctesiphonteam p. 267. ἀκούεις, Αἰσχίνη, τοῦ νόμου λέγοντος σαφῶς, vel Aristocraticam p. 640. ἠκούσατε μὲν τοῦ νόμου ἄντικρυς, ὦ ἄνδρες Ἀθηναῖοι, λέγοντος. 14 περὶ συντάξ. p. 174. vel Androtion. p. 617. — Harpocr. s.v. προπύλαια ταῦτα, addit: Δημοσθένης Φιλιππικοῖς. ubi Vales. locum nostrum laudat.

β'. Τὸ τῆς ἐπιβουλῆς· τουτέστι τῆς περιεργείας, ὅθεν καὶ ἐπιβεβουλεῦσθαί φησι τὸ περιειργάσθαι [15] ἀπὸ μεταφορᾶς τῶν καλλωπιζομένων γυναικῶν καὶ ἐπιβουλευουσῶν τῇ τῶν θεωμένων αὐτὰς σωφροσύνῃ. γ'. Ἐκ συμφθάρσεως· τὴν ἀρίστην παρὰ τῷ ῥήτορι τῶν ἰδεῶν ἕνωσίν τε καὶ σύγκρασιν [16] σύμφθαρσιν ἐκάλεσεν, ἀπὸ μεταφορᾶς τῶν διαφόρων σιτίων, ἅπερ ἐν τῇ γαστρὶ πρότερον ἀλλοιοῦται καὶ τὴν οἰκείαν μεταβάλλει ποιότητα, εἶθ' οὕτως ἕνα χυμὸν κατ' ἐπικράτειαν γεννῶσι θρεπτικὸν τοῦ σώματος καὶ σωτήριον. δ'. Ὡς ἐν τῷ περὶ τῆς περιβολῆς. τὸ [17] παρὰ μὲν γὰρ τὰς τῶν χορηγιῶν δαπάνας καὶ τὰ ἑξῆς. ε'. Τὴν τοῦ διαπράξασθαι· εἰπὼν γὰρ τὸ τὴν, ὑπερέθετο προσθεῖναι τὸ δόξαν. ϛ'. Καὶ τὸ πολύπτωτον· πολύπτωτόν [18] ἐστι μεταβαῖνον ἀπὸ πτώσεως εἰς πτῶσιν· ἡ γὰρ μεταβολὴ τῆς φράσεως κάλλος καὶ ἡδονὴν ἐργάζεται, ὡς καὶ ἡ ἐκ ποικίλων χρωμάτων γραφή. ζ'. Οὗτοι γάρ· οἱ ῥήτορες.

**Κῶλα δὲ κεκαλλωπισμένα φύσει μὲν τὰ μετρίως μακρότερα εἰ τῇ συνθήκῃ διεστήκει, καὶ τὰ λοιπά.**

Ὅ γε μὲν περὶ ἀτελείας· ἠθικώτερον [19] γὰρ μᾶλλον καὶ δι' ἐπιμελείας τε καὶ κάλλους πεπλεγμένον Ἀψίνης τε καὶ Ἀσπάσιος ἀπεφήναντο τὸν πρὸς Λεπτίνην, τραχύτητος δὲ καὶ σφοδρότητος ἄμοιρον, διά τε τὸ πρὸς ἔνδοξον πρόσωπον ὑπὲρ ἀδόξου τοῦ Κτησίππου ποιεῖσθαι τοὺς λόγους, καὶ διὰ τὸ ἐξήκειν αὐτῷ τὸν χρόνον [20] τῆς γραφῆς, ἣν ἐγράψατο πρότερον Βάθιππος [21]

---

15 Ald. Par. περιεργάσθαι, scr. περιειργάσθαι. 16 Par. κρᾶσιν. manus serior inscripsit συγ. 17 cfr. T. VII. μα. 18 cfr. T. VII. μγ. 19 T. VII. μστ. 20 T. VII. excepto Ven. τὸν τῆς γραφῆς χρ. 21 Ven. Βάφιππον. cfr. in Lept. p. 501.

Ἀφεψίωνος πατὴρ τὸν Λεπτίνου νόμον· ἔτι μὴν [22] διὰ τὸ συμφέρειν τῷ δήμῳ τὸν νόμον ἐπὶ τοὺς πλουσίους μετάγοντα τὰς λειτουργίας, ὥστε καὶ πρὸς ὀργὴν ἔτρεψεν ἂν τὸν [23] ἀκροατὴν, εἰ πρὸς καταφορὰν ἐχώρησεν ὁ ῥήτωρ τοῦ τὰ λυσιτελοῦντα νομοθετοῦντος· εὐθέως γοῦν ἐκ προοιμίων διὰ τῶν ἐξ ἐπιπλοκῆς βραχείας πεπλεγμένων κώλων τὴν περὶ τοῦ δικαίου τέθεικεν ἀντίθεσιν, καθ' ἣν σαθρότερος ἦν ὁ τοῦ [24] Λεπτίνου νόμος· τῷ γὰρ συμφέροντι μᾶλλον ἔῤῥωτο· ἰσχυρὰν δὲ αὐτὴν δῆθεν ἐπιδεῖξαι βουλόμενος ἐπήνεγκεν ὡς εἰδὼς ἀκριβῶς, καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ· καίτοι [25] δῆλον ὅτι τοῖς σαθροτέροις ἐπ' ἐλάχιστον οἱ ῥήτορες χρῶνται. β'. Καὶ μέτρου γε τοῦ οἰκείου· ἐν ταῖς ἄλλαις ἰδέαις περὶ τῶν οἰκείων ἑκάστῃ ποδῶν εἰρηκὼς ἐνταῦθα οὐ λέγει, τίνες εἰσὶν οἱ τοῦ κάλλους· οὐ γάρ εἰσιν ἴδιοι τοῦ κάλλους, ἀλλ' εἰ μὲν σεμνότητα τυχὸν ἐργαζόμεθα, δεῖ δὲ ἡμῖν καὶ κάλλους, τοὺς τῇ σεμνότητι οἰκείους πόδας ποιήσομεν· εἰ δὲ ἀφέλειαν σὺν κάλλει, τοὺς τῆς ἀφελείας· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· γ'. Μέτρου πλησίον· δυνατὸν [26] γὰρ καὶ πεζὸν λόγον μεθόδῳ τινὶ τῷ δοκεῖν ἔμμετρον εἶναι καὶ πάλιν ἔμμετρον τῇ διακοπῇ τῶν νοημάτων τῷ φαινομένῳ ποιῆσαι πεζόν· οἷον ὃ ἐγὼ [27] λέγω ἐπὶ τῶν ἐμμέτρων ποιημάτων, ὅταν μὴ ἀποδοθῇ τὸ μέτρον τῇ ἑξαμετρίᾳ, συναρπάζεται τῷ δοκεῖν ἐκ τῆς διακοπῆς ὁ ποιητικὸς ῥυθμὸς, ὡς ἔχει τό· [28]

Φεῦγε μάλ' εἴ τοι [29] θυμὸς ἐπέσσυται, οὐδέ σ' ἔγωγε

---

22 ἔτι μὴν — τὸν νόμον Mon. om. 23 Ald. αὐτόν, T. VII. ἂν τόν. 24 τοῦ T. VII. om. 25 Ald. καὶ τό. Par. καί τοι. T. VII. καίτοι. tum Ald. Par. Mon. δηλονότοι. Par. 2977. Ven. δῆλον ὅτι. 26 T. VII. να. — νη. 27 ἐγὼ T. VII. om. 28 Il. α, 173. 29 Ald. τι. Par. τοι. Mon. ἤτοι.

*Λίσσομαι*[30] *εἵνεκ᾽ ἐμεῖο*[31] *μένειν, παρ᾽ ἔμοιγε καὶ ἄλλοι*
*Οἵ κε με*[32] *τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.*

καὶ μέχρι μὲν τούτου τοῦ ἔπους οὐκ ἐμφαίνεται τὸ μέτρον, ὑπερέβη γὰρ τὰ μέτρα τοὺς πόδας· σκόπει δὲ τοῦ λοιποῦ, πῶς διὰ τὴν ἰσομοιρίαν τῶν κώλων ὁ ποιητικὸς ἔῤῥωτο ῥυθμός·

*Ἔχθιστος δέ μοι ἐσσὶ διοτρεφέων βασιλήων·*
*Αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχη τε.*

ἀλλ᾽ ὡς ἐμποδίζει τῷ ἐμμέτρῳ λόγῳ τὰ κῶλα μὴ κατὰ τὸν προειρημένον λαμβανόμενα λόγον, τὸν αὐτὸν τρόπον καὶ τὸν πεζὸν δείκνυσι δοκεῖν[33] ἔμμετρον ὁ πλεονασμὸς τῶν ποδῶν, καὶ μάλιστα, ὅταν τοῖς ὀνόμασι 403
συναρπασθῇ τὰ[34] κῶλα· τοῦτο δὲ πολὺ[35] παρὰ τῷ Ἰσοκράτει· μέλει[36] γὰρ διαφερόντως αὐτῷ τοῦ κάλλους.[37]

*Διὰ πλειόνων δὲ μέλλων ἀκριβολογεῖσθαι περὶ τούτων παραιτοῦμαι μηδένα δυσχεραίνειν τῇ λεπτολογίᾳ, καὶ τὰ λοιπά.*

α. Οἰκείως ἔχοιεν· δεῖ γὰρ[38] ἐν τῇ τοιαύτῃ συνθήκῃ[39] τοὺς ἰσοχρόνους ὡς ἐπὶ τὸ πολὺ[40] πλεονάζειν πόδας, οἷον σπονδείους καὶ δακτύλους καὶ ἀναπαίστους,[41] καὶ ἔτι ἰάμβους τε καὶ τροχαίους καὶ χορείους·

---

30 Ald. et Par. *λίσσομ᾽*. 31 Ald. *ἕνεκ᾽ ἐμοῖος*. 32 Ald. *καί με*. 33 T. VII. *τῷ δοκεῖν*. 34 T. VII. *καὶ τά*. 35 πολὺ Mon. om. 36 Ald. Par. 2977. *μέλλει* Mon. *μεγάλα*. 37 Addo T. VII. *νβ*. *Σημείωσαι, ὅτι κακία ἐστὶ τὸ μέτρον ἐν πεζῷ λόγῳ, ἀρετὴ δὲ μάλιστα ἐν κάλλει τὸ ἐγγίζειν μέτρῳ τὴν φράσιν.* 38 T. VII. *νγ*. 39 *συνθήκῃ* Mon. om. 40 Mon. *ἐπὶ πολύ*. Par. 2977. *ἐπὶ τὸ πλεῖστον*. Sch. min. *Δυσχεραίνει τῇ λεπτολογίᾳ· προδιόρθωσις τὸ σχῆμα. Μὴ ἀναρμοστοῦντες· ἴδιον γὰρ τραχύτητος τὸ ἀνάρμοστον καὶ ἀνακόλουθον τῶν ποδῶν. Τὰς μικράς· τὰς βραχείας.* 41 *καὶ ἀναπαίστους* T. VII. et Sic. om. ita legens: *δακτύλους, ἰάμβους τε καὶ τροχαίους, οὗτοι γὰρ*

ἀνάρμοστοι δὲ οἱ ἐναντίως ἔχοντες, σπονδείῳ πυῤῥίχιος, μολοττῷ χορεῖος· εἰ τοίνυν διὰ τῶν ἀναρμόστων ἡ σύνθεσις γίνοιτο,[42] τραχύνει τὸν λόγον· διὸ[43] καὶ ἀνωτέρω τὸ ἰωνικὸν ὡς ἐκλυτώτερον ἐξέβαλε τοῦ σεμνοῦ λόγου· ἐκ γὰρ ποδῶν ἀναρμόστων[44] ἀλλήλοις οἱ ἰωνικοὶ σύγκεινται, τρία[45] οὖν δεῖ ταῦτα ἔχειν τὸν τοῦ κάλλους ῥυθμὸν, λειότητα φωνηέντων,[46] ἀλλὰ μὴ σύγκρουσιν· πόδας συγγενεῖς[47] ἀλλήλοις, μέρη λόγου μὴ ἰσοσύλλαβα, μηδὲ ἰσόχρονα,[48] μηδὲ ἰσότονα· τοῦτο[49] γάρ φησι καὶ Διονύσιος,[50] ὅτι δεῖ μιγνύειν βραχέσι μακρὰ καὶ πολυσυλλάβοις[51] ὀλιγοσύλλαβα, τοῦτο γὰρ ἡδέως[52] διατίθησι τὴν ἀκοήν. β. Οὐχ[53] αἱ βεβηκυῖαι· βεβηκυίας[54] λέγει τὰς εἰς πόδα[55] τέλειον καταληγούσας,

---

ὁμόχρονοι. ἀνάρμ. 42 T. VII. et Sic. γένοιτο. 43 T. VII. et Sic. διόπερ. 44 Mon. εὐαρμόστων. Ald. et Par. addunt καὶ συγγενῶν, quod ejeci cum T. VII. et Sic. — Post σύγκεινται Par. 2977. addit: Ἵνα ὦσιν οἱ πόδες συγγενεῖς ἀλλήλοις, ὡς ὁ ἴαμβος καὶ ὁ τροχαῖος, τρίχρονος γὰρ ἑκάτερος, καὶ ὅτι βραχὺς, καὶ ὁ δάκτυλος πάλιν καὶ ἀνάπαιστος καὶ οἱ ὅμοιοι. — Sequitur in T. VII. νδ. et apud Sicel.: Οἰκείως ἔχοιεν, τουτέστι συγγενεῖς ὦσιν, οἷον ὥσπερ ὁ σπονδεῖος συγγενής ἐστι δακτύλῳ, ὁ δάκτυλος ἀναπαίστῳ, ὥς φασιν οἱ μετρικοί. 45 T. VII. νε. Sic.: Τρία [Sic. τρία om.] ἔχειν δεῖ, φησὶν, τὸν τοῦ κάλλους. 46 Sic. φωνῆς. 47 Mon. συγγενές ἐστι δακτύλῳ τῷ ἀναπαίστῳ ἀλλήλους μέρει λ. 48 T. VII. ἰσότονα, μηδὲ ἰσόχρονα. 49 T. VII. νς. Sic. Αὕτη ἡ ποικίλη. [Sicel. αὕτη γὰρ μάλιστα ἐπιμελής τε, αὕτη ἡ ποικ.] τοῦτο δὲ καὶ Διονυσίῳ ἐν τῷ περὶ συνθέσεως ὀνομάτων εἴρηται, ὅτι δεῖ μίξει χρῆσθαι μιγνύοντα βράχεσι μ. 50 de comp. p. 184. Schaef. 51 T. VII. ὀλιγοσυλλάβοις πολυσύλλαβα. 52 Mon. ἰδίως. 53 Praecedit in T. VII. νζ. et apud Sic.: Τουτέστιν αἱ εἰς κῶλον πληροῦν τὴν διάνοιαν ἀπαρτίζουσαι, καὶ λέξιν μακροτέραν τε καὶ μακροκατάληκτον, ὡς ἐκεῖνο, ὥστ᾽ ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος αἵρεσιν γενέσθαι. [Sic. γνῶσιν γεν. καὶ αἱρ.] 54 Sic. βεβ. δέ. 55 Ald. πόδας.

μὴ περιττευούσης ἑτέρας συλλαβῆς μετὰ τὸν πόδα·[56] ἢ τὰς εἰς κῶλον πληροῦν τὴν διάνοιαν ἀπαρτιζομένας, καὶ λέξει ἐπιμήκει τε καὶ μακροκαταλήκτῳ, ὡς τὸ λειτουργίας. γ'. Τό γε μὴν ἐπιφερόμενον· εἰς γὰρ δισύλλαβον λέξιν κατέληξε τὸ[57] λόγῳ. δ'. Ἐάσω·[58] τὸ ἐάσω, Ἑρμόγενες, οὐ βραχείᾳ παραλήγεται, ἀλλὰ μακρᾷ συλλαβῇ, καὶ εἰ βούλει, τοὺς γραμματικοὺς ἐρώτα. ε'. Καὶ χρήσιμοί γε· οἱ ἀνηρτημένοι[59] καὶ μικροὶ καὶ εὐειδεῖς καὶ μὴ τελέως περατοῦντες τὴν διάνοιαν ῥυθμοί, βραχεῖαν δέ τινα διανάπαυσιν[60] ποιούμενοι τῆς ἐννοίας, διὰ μακροτέρων τε κώλων ἐξαγόμενοι καὶ λέξεων βραχυτέρων καὶ εἰς βραχεῖαν συλλαβὴν λήγοντες ἢ παραλήγοντες οἰκεῖοί εἰσι τῷ περικαλλεῖ λόγῳ, ὥσπερ οἱ διὰ πάντων ἐναντιούμενοι τούτοις τῷ μεγαλοπρεπεῖ καὶ ἀξίωμα ἔχοντι λόγῳ προσήκουσιν.[61] ϛ'. Ἐπεὶ τοῦ χάριν· ἐντεῦθεν δείκνυται, Ἑρμόγενες, ὅτι πάνθ' ὅσα λέγεις περὶ ποδῶν, ἀπίθανα λέγεις· καὶ γοῦν ἐπειδήπερ αὐτὸς ἐρωτᾷς, τοῦ χάριν οὐκ εἶπον ὡμολόγησα συνειπεῖν, ἀλλ'

---

56 T. VII. Sic. pergunt: ἀπηρτίσθη γὰρ ἡ ἀνάπαυσις εἰς μακρὸν λόγου μέρος· τετρασύλλαβος γὰρ ἡ λέξις τὸ λειτουργίας. [Mon. πόδα τέλειον — — ἀνάπαυσις εἰς μακρὸν om.] Sch. min. *Πλείστῳ χρήσεται·* κατέληξε τῷ λόγῳ, ὁ γὰρ λόγος μέρος λόγου ἐστὶ δισύλλαβον. *Βραχύτερόν τι·* ἴδιον γὰρ τραχύτητος τὸ ἀνάρμοστον καὶ ἀνοίκειον τῶν ποδῶν. *Αἵρεσιν γενέσθαι·* τὸ γὰρ γενέσθαι καὶ τρισύλλαβον, καὶ μακρὰς ἔχει δύο. *Λειτουργίας·* ἵνα ἔχῃ μακρὰς πολλὰς εἰς τὸ τέλος, ὡς ἐνταῦθα τὰς λειτουργίας, καὶ ὁ θεολόγος, λύσων μὲν πάντα σύνδεσμον ἀδικίας τὸ ἄς. 57 Par. τῷ. 58 Par. 2977. ἐάσω. ἰδοὺ κατέληξεν εἰς τὴν σω συλλαβήν· ἔστι δὲ τὸ α βραχὺ κατὰ τὸν τεχνικόν, ἢ μᾶλλον εἰπεῖν τοῦ α κώλου τὸ τέλος μακρὰν μὲν τὴν λήγουσαν ἔχει, βραχεῖαν δὲ τὴν παραλήγουσαν, φημὶ τὸ τὴν δωρεάν. 59 T. VII. ξζ. 60 Ald. Par. δι' ἀνάπαυσιν. T. VII. διανάπ. 61 Par. 2977. πρέπουσιν.

ὡμολόγησα συνερεῖν, ἐγώ σοι λέγω, ὡς εἴπερ εἶπεν, ὡμολόγησα συνειπεῖν,[62] σολοικισμὸν πάντως ἐποίει· καὶ γὰρ τὰ ῥήματα ταῦτα τὸ ἐλπίζω δηλαδὴ καὶ προσδοκῶ καὶ μέλλω καὶ ὄμνυμι καὶ ἀπειλῶ καὶ ὑπισχνοῦμαι καὶ ὁμολογῶ καὶ ἐγγυῶμαι καὶ ὅσα ἁπλῶς τὸ ὑπισχνοῦμαι καὶ ἐλπίζω σημαίνουσιν, ἀπαρεμφάτῳ ἀεὶ συντασσόμενα, οὐδέποτε ἀορίστου ἀπαρεμφάτῳ συντάσσονται, ἀλλ' ἤτοι ἐνεστῶτος ἢ μέλλοντος πρώτου ὡς ἐπὶ τὸ πλεῖστον· εἰ τοίνυν εἶπεν ὁ Δημοσθένης, ὡμολόγησα[63] συνειπεῖν, ἐπειδὴ τὸ ὡμολόγησα τὸ ὑπεσχέθην σημαίνει, σολοικισμὸν πάντως ἐποίει, τὸ γὰρ εἰπεῖν ἀορίστου ἐστί· καλῶς οὖν εἶπε συνερεῖν, ἐπειδὴ τὸ ἐρεῖν μέλλοντος πρώτου ἐστί. ζ. *Τοῦ ἐπιθέτου κάλλους*· τουτέστι τοῦ κομμωτικοῦ· ἐπίθετον γὰρ κάλλος τὸ ἐξ ἐπιτριμμάτων φαμέν. η. *Ὁ δὲ λεγόμενος ὡραῖος*· πολλὰ[64] γὰρ σημαινόμενα τοῦ κάλλους· τὸ μὲν γάρ ἐστιν ἀληθινὸν, ὃ ἐκ τῆς μίξεως γίνεται πασῶν τῶν ἰδεῶν,[65] τὸ δὲ φαινόμενον, ὃ ἐκ τῆς συνθήκης καὶ τῆς περὶ τὴν λέξιν ἐπιμελείας, τὸ δὲ ὡραῖον, ὃ ἐκ τῆς ἐννοίας τῆς ἀνειμένης γίνεται·[66] ὃ μᾶλλον ἐν γλυκύτητί ἐστι καὶ ἀφελείᾳ· καὶ τοῦτο[67] ἐν τῷ περὶ ἐκείνων λόγῳ φανεῖται σαφέστερον.

---

62 Sch. min. ἄλλον γὰρ ῥυθμὸν ποιεῖ τὸ συνερεῖν, καὶ ἄλλον τὸ συνειπεῖν. *Βεβηκότος ῥυθμοῦ*: ῥυθμὸς τὸ κεκαλλωπισμένον. — v. 7. Ald. συντάσσοται. [sic.] 63 ὡμολόγησα Ald. om., recepi ex Par. 64 T. VII. οβ. et Sicel. 65 πασῶν τῶν ἰδεῶν Sicel. om. 66 Mon. γνώμης. 67 Ald. et Par. τούτῳ. T. VII. Sic. τοῦτο.

## ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΠΕΡΙ ΙΔΕΩΝ.[1]

### Περὶ γοργότητος.

Καλὸς μὲν οὖν ἅμα ὄγκῳ καὶ ἀξιώματι λόγος καὶ ἔτι σαφὴς ὅπως γίνεταί· καὶ τὰ λοιπά.

α΄. Περὶ δὲ ὀξύτητος· ἡ ὀξύτης ἡ αὐτή ἐστι τῇ δριμύτητι. β΄. Ἀλλ᾽ ἥγε λέξις· ἡ μὲν γὰρ διὰ βραχέων συμβάλλεται τῇ γοργότητι, οἷον λόγος· ἡ δὲ διὰ 404
μακρῶν ἐναντιοῦται, οἷον Πηλεύς. γ΄. Διὰ τοῦ τμητικοῦ· τμητικόν φησι τύπον[2] τὸν διὰ τῆς[3] βραχύτητος τῶν κώλων καὶ τῶν ταχειῶν ἐννοιῶν τέμνειν δοκοῦντα τὸν λόγον καὶ εἰς μικρὰ[4] διαιρεῖν· τὸ γάρ τοι[5] τεμνόμενον πρόδηλον ὡς τῆς οἰκείας ὁλότητος ἀφαιρεῖταί τι[6] δ΄. Ἀλλὰ τὸ τοῦ Κεφάλου· τὸ χωρίον[7] τοῦτο μεθώδευται μὲν γοργῶς διὰ τὸ βραχείας[8] τὰς ἀπαντήσεις ἔχειν· σχῆμα δὲ ἐπιδέχεται τὸ κατὰ συνδρομὴν ἤτοι[9] συγχώρησιν, διότι συγχωρεῖ τῷ λόγῳ τῶν ἐναντιουμένων εὐθὺς ἐν ἀρχῇ· δυνατὸν γὰρ ἦν καὶ μεθοδεύσαντα γοργῶς μὴ χρήσασθαι τῷ κατὰ συνδρομὴν, ἀλλὰ δι᾽ ἐναντιώσεως ἀπαντῆσαι· οἷον μὰ Δία· ὁ γὰρ Ἀριστοφῶν ἡμῖν[10] κρειττόνων ὑπάρχει παράδειγμα πολιτευμάτων· ἰστέον[11] γὰρ ὡς Ἀριστοφῶν μὲν κατηγορηθεὶς ἑβδομη-

---

1 Titulum recepi ex Par. In Ald. περὶ γοργότητος· τόμος β. 2 T. VII. ς. — Par. 2977. τόπον. 3 τῆς Ald. om., est in Par. et T. VII. 4 Mon. μακράν. 5 Ald. τε. T. VII. τοι. 6 τι T. VII. om. Id. add.: εἰ δὲ τὸ κῶλον ἑκκαίδεκα μετρεῖσθαι συλλαβαῖς ἔφαμεν, πρόδηλον, ὡς τὰ τούτου τραχύτερα τέτμηται καὶ καθόλου τὰ κομματικὰ καὶ ἀσύνδετα. 7 T. VII. η. 8 Ven. Ven. βρ. εἶναι καὶ τραχείας τὰς ἀπ. 9 Ald. εἴτι. Par. T. VII. ἤτοι. 10 Par. 2977. ὑμῖν. 11 Par. 2977. σημείωσαι, ὅτι ὁ Ἀρ. κατηγορ.

κοντάκις ἀπέφυγε τὰς [12] κατηγορίας, ὁ δὲ Κέφαλος πολιτευόμενος οὐδέποτε κατηγορήθη. [13] ε. Ἐν τῷ περὶ δεινότητος· καὶ [14] μὴν ἐκεῖσε ἐλθὼν Ἑρμογένης οὐδὲν εἴρηκε· τὸ δὲ κακοδαιμονοῦσιν ἀντὶ τοῦ ἀχάριστοί εἰσιν. ς. Καὶ [15] μέθοδοι· ἐπειδὴ προεῖπε μίαν εἶναι [16] μέθοδον, προσέθηκε δὲ τὴν ἀποστροφὴν, διὰ τοῦτο εἶπεν, ἢ καὶ μέθοδοι· [17] ζ. Συμπλοκαί· συμπλεκτικὸς γὰρ σύνδεσμος κατ' ἐξαίρετον ὁ καί. η. Εἰ δὲ πολλαί· τὰ τοιαῦτα [18] χωρία δοκοῦσι μὲν ἔμφασιν ἔχειν τοῦ τμητικοῦ λόγου τῷ ταχέως ἀφ' ἑκάστου τῶν πραγμάτων ἀπαλλάττεσθαι τὸν ῥήτορα· γοργότητος δὲ μετέχουσι τῷ τὰ πλείονα τῶν κώλων κοαμωτικώτερα [19] εἶναι, περιβολῆς δὲ γέμουσι τῷ τε ἐφέλκεσθαι πολλὰ νοήματα καὶ διὰ μερισμῶν ἐξετάζεσθαι διὰ μακροῦ τε τὴν ἀπόδοσιν [20] ἔχειν τῆς ἐρωτήσεως.

Σχήματα μὲν γοργότητος ταῦτα· καὶ τὰ λοιπά.

Τὰ κατὰ συστροφὴν, τουτέστι περιοδικῶς. β. ὁ γὰρ Μεσσήνην· [20] πολλὰ μὲν πράγματα ἔχει ἐνταῦθα, συνεσφιγμένα δὲ καὶ σύντομα· ὡς μὴ δοκεῖν εἶναι πολλά. γ. γένη γὰρ εἴδεσιν· ἐνταῦθα [21] γένος μὲν ἡ ἀδικία, εἴδη δὲ ταύτης ἡ παρασπόνδησις καὶ [23] ἡ λύσις τῆς εἰρήνης· καὶ ὅλον μὲν ἡ Εὔβοια, μέρη δὲ ὁ Ὠρεὸς, ὁ Πορθμὸς, καὶ ἀόριστον μὲν αἱ Ἑλληνίδες πόλεις, ὡρι-

---

12 Par. 2977 τῆς. 13 Par. 2977. add.: ταῦτα δὲ γοργότητός εἰσι παραδείγματα. Sch. min. μηδεμίαν γραφὴν φυγεῖν· τὸ μηδέποτε κατηγορηθῆναι. 14 Sch. min. ἐκεῖσε γὰρ ἐλθ., Ἑρμόγενες, οὐδὲν εἴρηκας, ὥσπερ ἐπιλελησμένος. 15 Par. ἢ καί. — T. VII. ι. et sch. min. 16 Mon. τὴν αὐτὴν μέθοδον. Sqq. usque ad μέθοδοι id. om. 17 Par. 2977. μέθοδον. 18 T. VII. ιδ. 19 T. VII. κομματικώτερα. 20 T. VII. ἀνταπόδοσιν. 21 Ald. et Par. Μεσήνην. Phil. II. p. 69. 22 T. VII. ιδ. fine. — Pro cor. p. 248. 23 καὶ Ven. om.

σμένον δὲ Βυζάντιον, Ὠρεὸς, Ἐρετρία· ἔστι δὲ καὶ ἄλλα περιβλητικὰ ἐν αὐτῷ, [24] οἱ δύο μερισμοὶ, καὶ ἡ διὰ μακροῦ ἀπόδοσις. δ'. Καὶ σπουδαῖα νομίζων· [25] διὰ γὰρ τοῦ καὶ καὶ [26] καὶ συνδέσμου ἔτεμεν ἀμφότερα. ε'. Καὶ πρὸς ὅντινα· τουτέστι πρὸς ὑπερέχοντα πρόσωπα ἢ ἴσα ἢ καταδεέστερα, ἔνδοξά τε ἢ ἄδοξα ἢ ἀμφίδοξα· τὸ δὲ πῶς, διὰ ποίων ἐπιχειρημάτων τὰς κατασκευὰς ἐργαστέον. ς'. Λέξις μὲν γάρ· βραχεῖαν λέξιν φησὶ [27] τὴν ἐξ ὀλίγων συλλαβῶν συνεστῶσαν ἢ τὴν διὰ βραχέων φωνηέντων, ὃ καὶ μᾶλλον· οἰκειότατος [28] γὰρ ὁ πυῤῥίχιος τῇ γοργότητι. ζ'. Τοιάδε ἢ τοιάδε· [29] τουτέστι καὶ δισύλλαβος καὶ τρισύλλαβος λέξις [30] γοργότητος ἂν γένοιτο, πλὴν [31] αἱ βραχύτεραι ἐπιτηδειότεραι. η'. Ἔνθα ἐπείγεσθαι· οἷον [32] παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ·

Θᾶττον ἢ μ' ἐχρῆν προβαίνων [33] ἱκόμην δι' ἄστεος.
Ἐπὶ σέ σύγγονόν τε τὴν σὴν ὡς θανοῦντας [34] αὐτίκα.

τροχαϊκὸν γάρ ἐστι τετράμετρον καταληκτικόν. [35] θ'. Καὶ παρὰ τῷ Μενάνδρῳ· [36] ἐν γεωργῷ· [37]

Ἐμβεβρόντησαι γελοῖον, ὃς κόρης ἐλευθέρας

---

24 Ald. ἑαυτῷ. Par. ἐν αὐτῷ. 25 Phil. IV. init. 26 καὶ καὶ in Par. erasa sunt. 27 T. VII. ις'. et Sicel. φησὶ om. 28 Par. Mon. οἰκειότητος. 29 Schol. hoc est etiam in Codd. Parr. voluminis VII. abest a Mon. 30 Ald. λέξεις. 31 Ald. πελὴν. 32 T. VII. ιη'. et Sicel. — Eur. Or. 719. et 721. Pors. 33 Siceliotae cod. Vind. προβαίνειν, tum Ald. ἡκόμην. Par. T. VII. Sic. ἱκόμην. 34 Eur. κτενοῦντας. 35 T. VII. Sic. add.: καὶ παρὰ Ἀρχιλόχῳ ἐν τετραμέτροις. Γλαῦχ' ὅρα κ. τ. λ. 36 Ven. et Mon. haec om. — Sic. σημείωσαι δὲ καὶ τὸ τοῦ Μενάνδρου. 37 p. 36. ed. Mein. Quod Grotius versus apud Schol. confuse extare dicit, id ita intelligendum, versus non distinctos esse.

*Εἰς ἔρωθ'* [38] *ἥκων σιωπᾷς καὶ* [39] *μάτην ποιουμένους*
*Περιορᾷς γάμους σεαυτῷ·* [40]

*ι. ὁ δὲ Ἀρχίλοχος·* [41]
*Γλαῦχ' ὅρα, βαθὺς γὰρ ἤδη κύμασιν ταράσσεται.*

## *Περὶ ἤθους.*

*Σαφὴς μὲν δὴ καὶ ἀξιωματικὸς καὶ ἔτι αὖ καλός τε καὶ γοργὸς ὅπως γίνεται λόγος, καὶ τὰ λοιπά.*

*Ἕποιτο δ' ἄν·* τὸ ἦθος [1] γενικόν ἐστιν ὄνομα [2] κατὰ διαφόρων κατηγορούμενον· ἦθος μὲν γὰρ λέγεται καὶ τὸ τοῖς ὑποκειμένοις προσώποις ἁρμόττον, καὶ τοῦτο πάλιν, περὶ οὗ νῦν διδάσκει, ὅτι ἰδέα ἐστὶ γινομένη ἐξ ἐπιεικείας καὶ ἀφελείας καὶ τοῦ ἀληθοῦς καὶ ἐνδιαθέτου καὶ βαρύτητος· εἰ δὲ καὶ ἐν τῇ ἀπαριθμήσει τῶν ἰδεῶν ἰδίᾳ καὶ καθ' ἑαυτὴν ἔταξε τὴν ἀλήθειαν, ἐνταῦ-
405 θα δὲ ὑπὸ τὸ ἦθος αὐτὴν ἀνάγει, θαυμαζέτω μηδείς· ἐκεῖ μὲν γὰρ τῇ συνηθείᾳ τῶν πολλῶν ἠκολούθησεν, ἐνταῦθα δὲ τὴν ἀκριβεστέραν διδασκαλίαν παρέδωκε. τὸ μέντοι ἐγκαταμιγνύμενον πανταχοῦ ἦθος τριχῶς φασι γίνεσθαι, [3] ἢ γὰρ μειοῦμεν τὸ ὑποκείμενον πρᾶγμα καὶ ποιοῦμεν τὴν ἐπιείκειαν, ὡς ὅταν τὴν χορηγίαν μανίαν ὀνομάσωμεν, καθὰ καὶ ὁ Δημοσθένης, [4] „μανία γὰρ," φησὶ, „τὸ ὑπὲρ δύναμίν τι ποιεῖν." ἢ [5] ἐξισοῦμεν τοῖς εὐτελέσι πράγμασι [6] τοὺς λόγους, καὶ ποιοῦμεν ἀφέλειαν, ὡς πολλὰ τῶν Ἀνακρέοντος καὶ Θεοκρίτου ἐν βουκολι-

---

38 Par. 2916. 2977. ἔρωτα. Sic. ἔωθ'. 39 Sic. ὡς μάτην ποθουμένης omissis sqq. 40 T. VII. Sic. add.: τετράμετρον καταληκτικόν. 41 Fr. XIII. ed. Gaisf. κύμασιν. Ald. T. VII. κύμασι.

1 T. VII. β. usque ad καὶ βαρύτητος. 2 ὄνομα Mon. om. — tum T. VII. κατηγ. κατὰ διαφόρων. 3 T. VII. α. 4 in Mid. p. 536. 5 Sequitur in T. VII. ἢ ὑπερβάλλομεν [Par. 2977. ὑπερβάλλωμεν] — — καὶ θεοί. 6 T. VII. πράγμασιν ἐξισοῦμεν τ. λ.

λοῖς·[7] ἢ ὑπερβάλλομεν καὶ ποιοῦμεν τὸ ἐνδιάθετον ἀληθές, ὡς ἔχει τὸ „Ἀνδροτίων ὦ γῆ καὶ θεοί·“[8] ἐξ αὐτῶν δὲ τούτων[9] γίνεται ἥ τε γλυκύτης καὶ ἡ βαρύτης· ἐπίτασιν γὰρ δεχομένη[10] ἡ μὲν ἀφέλεια ποιεῖ τὴν γλυκύτητα, ἡ[11] δ᾽ αὖ ἐπιείκεια καὶ ἡ ἀφέλεια τὴν βαρύτητα· αὕτη γὰρ μόνη οὐκ ἔχει ἰδίαν ὑπόστασιν· διὸ οὐδὲ[12] ἀναπληροῖ τὸ ἦθος. β. Λέγω γὰρ ἦθος· βούλεται[13] ὁ Ἑρμογένης διαφορὰν ἤθους εἶναι· τὸ μὲν γὰρ ἦθος, περὶ οὗ νῦν διδάσκει, ἰδέα ἐστὶν, ὥσπερ σαφήνεια μετὰ τῆς τῶν ἄλλων ἰδεῶν συμπλοκῆς λόγον ἀποτελεῖν δυναμένη·[14] ἕτερον δέ ἐστιν ἦθος τὸ ἁρμόττον τῷ ὑποκειμένῳ προσώπῳ, ὃ δι᾽ ὅλου τοῦ λόγου δεῖ τηρεῖν· ὡς ἐν ταῖς ἠθοποιΐαις καὶ ταῖς Θουκυδίδου δημηγορίαις καὶ τοῖς Μενάνδρου δράμασιν[15] ἔγνωμεν.[16] γ΄. Ἀληθὲς καὶ ἐνδιάθετον· ἠθικὸν[17] γὰρ τὸ δοκεῖν τινα ἀληθεύειν, ὅ ἐστιν ἐν ἰδιωτικοῖς λόγοις· ἐνδιάθετον δὲ εἶπεν, ἐπειδὴ τὸ μὲν τοῦ λόγου ἐστὶν ἐνδιάθετον, τὸ

7 Ald. βουκολικοῖς. 8 In Androt. p. 618. 9 Ald. τούτω. 10 Mon. λεγομένη. tum T. VII. ἡ ἀφέλ. ποιεῖται. 11 T. VII. καὶ πάλιν αὖ ἡ ἐπ. τὴν βαρύτητα, ἤτοι καὶ ἡ ἀφ. 12 T. VII. οὔτε. Par. 2977. διὸ om. 13 T. VII. ε. 14 Ald. δυναμένους. 15 Mon. γράμμασιν. 16 Post ἔγνωμεν Par. 2977. add.: τὸ αὐτὸ λέγει, ὅτι δι᾽ ὅλου τοῦ λόγου, ἵνα πως ἐμφαίνῃς τὸ ἦθος τὸ σὸν ἢ τῶν προσώπων. Sch. min. Τοῦτο λέγει ὅτι τὸ ἦθος ἑαυτοῦ ὁ ῥήτωρ ἐκφαίνει ἐν τῷ λόγῳ, ἢ τὸ τῶν μιμουμένων προσώπων. Σώματος χρῶμα· τὸ γὰρ εἶναί τινα εἴτε λευκὸν, εἴτε μέλαν δι᾽ ὅλου τοῦ σώματος χωρεῖ. Ἐγκαταμίγνυσθαι· τὸ ἦθος δηλαδὴ τῶν προσώπων ὀφείλει ἐγκαταμίγνυσθαι τῷ λόγῳ. Πανταχοῦ· ὡς ἔχει τό· σὺ δὲ ὅμοιος αὐτοῖς, Αἰσχίνη, ὁ δὲ ἀδελφὸς ὁ σός. Ἰδίως ὀνομασθεῖσιν· οἷον γεωργοὶ, λύχνοι. Τοῦτο δέ· ἡ ἰδέα, τὸ ἦθος. Τὰ εἴδη αὐτοῦ· ἐπιείκειαν καὶ τὰς λοιπὰς ἰδέας. ibid. ἐπιείκεια, ἀφέλεια, ἐνδιάθετον, βαρύτης. Ὅλου ποτὲ λόγου· σφοδρότητος, λαμπρότητος ἀκμῆς καὶ περιβολῆς. 17 T. VII. ζ.

δὲ προφορικόν· ἠθικὸν οὖν, φησὶν, ἐστὶ τὸ δοκεῖν τἀληθῆ φρονεῖν· καὶ οὕτω διακεῖσθαι τῇ ψυχῇ [18] ὡς σπουδάζειν ἀληθῆ λέγειν. δ'. Ἀλλὰ δεῖ αὐτῇ· αἱ γὰρ [19] ἐπιεικεῖς ἔννοιαι μετὰ εἰρωνείας [20] ἐξενεχθεῖσαι βαρύτητα ποιοῦσιν ἐν λόγῳ· μεμιγμένου καὶ τοῦ ἐνδιαθέτου· οἷον ἐν τῷ κατὰ Μειδίου· ἐμοὶ δὲ, ὅς [21] εἴτε τις, ὦ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν, μανία [22] γὰρ ἴσως ἐστὶ τὸ ὑπὲρ δύναμίν τι ποιεῖν.

### Τῶν πραγμάτων

τὰ μὲν σεμνὰ

| | | |
|---|---|---|
| Σεμνὰ τῷ λόγῳ τηρούμενα σεμνότητα ποιεῖ. | αὐξανόμενα δὲ σεμνότερα γίνεται. | μειούμενα δὲ ἐπιείκειαν ποιεῖ. |

τὰ δὲ εὐτελῆ.

| | | |
|---|---|---|
| εὐτελῆ [23] τῷ λόγῳ τηρούμενα ἀφέλειαν ποιεῖ. | μειούμενα δὲ ἔτι ἀφελέστερα γίνεται. | αὐξανόμενα δὲ ἀλήθειαν [24] ποιεῖ. |

### Περὶ ἀφελείας.

Ἔννοιαι τοίνυν εἰσὶν ἀφελείας ἁπλῶς μὲν εἰπεῖν αἱ καθαραὶ καὶ τὰ λοιπά.

Ἰστέον, ὅτι ἐναντίον φαμὲν ἀφέλειαν τῇ σεμνότητι· ὅτι ἐν μὲν τῇ σεμνότητι διὰ σύνεσιν καὶ τὰ θεῖα ζητοῦμεν, ἐν δὲ τῇ ἀφελείᾳ οὐδὲ τὰ ἀνθρώπινα παντελῶς. β'. Ὑπὸ

18 τῇ ψυχῇ Mon. om. 19 T. VII. ῃ. 20 Ald. εἰρονείας. 21 Par. ὅς. Ald. ὡς. T. VII. ἐμὲ δὲ ὡς. in Mid. p. 536. 22 μανία Ald. Mon. om. 23 Ald. εὐτελεῖ τῶν λόγων. Scripsi εὐτελῆ τῷ λόγῳ. 24 Ald. ἀλειθείαν.[sic] in Par. schema hoc non est.

Ὑπό τι νηπίων· ἴσως ἀντὶ τοῦ διά τι ἢ μετρίως. γ́. Πολιτικώτερα· ἀντὶ τοῦ [1] δικανικώτερα καὶ συμβουλευτικώτερα· ἰστέον [2] γάρ, ὡς τὰ ποιήματα καὶ ἱστορικὰ οὐκ εἰσὶ πολιτικοὶ λόγοι. δ́. Μᾶλλον ἁρμόττουσιν· ὅταν συνηγορῶμεν [3] γεωργοῖς ἢ παισίν· ἐπειδὴ τὸ πολιτικὸν ὀφείλει ἔχειν ἀκροατὰς [4] καὶ ἐκκλησίαν [5] καὶ βουλευτήριον. έ. Αὐτοὶ δὲ πονηροί εἰσι. Ξενοφῶν [6] ταῦτά φησιν ἐν τῇ πρώτῃ ἱστορίᾳ τῆς Κύρου παιδείας [7] μιμούμενος τὸ ἦθος ἐκείνου ἁπλουστάτου ὄντος διὰ νηπιότητα. ς́. Τὰ καταχύσματα· καταχύσματα [8] ἐκάλουν οἱ Ἀττικοὶ τὰ τραγήματα, ἃ τοῖς νεωνήτοις ἀνδραπόδοις ἐπέχεον αἱ δέσποιναι, πρὸς τῇ ἑστίᾳ καθεζομένοις εὔκαρπον αὐτοῖς τὴν κτῆσιν καὶ ὀνήσιμον 406 ἐπευχόμεναι γενέσθαι· καὶ [9] Ἀριστοφάνης ἐν πλούτῳ·

Φέρε νῦν ἰοῦσ᾽ εἴσω [10] τὰ καταχύσματα
Ταυτὶ καταχέω σου λαβοῦσα.

ζ́. Καὶ πάλιν ἑτέρωθι· ἐν τῷ πρὸς Νικόστρατον περὶ τῶν Ἀρεθουσίων ἀνδραπόδων. ή. Ἐφέσει· ἐφετικὰ δικαστήρια λέγονται, ὅταν τις ἐξ ἄλλων δικαστηρίων εἰς αὐτὰ καταφεύγῃ. θ́. Ὥσπερ τὸ ἄνευ· ἀντὶ [11] τοῦ εἰ μόνον εἶπε τὸ ἄνευ προσωπείου κωμάζειν, εὐτελὲς ἦν, νῦν δὲ προστεθὲν τὸ „τοῦ καταράτου Κυρηβίωνος," καὶ τὸ „ἐν ταῖς πομπαῖς" ἐπῆρε τὸν λόγον τὸν [12] πλησιάζοντα τῇ εὐτελείᾳ· ἄνευ δὲ [13] προσωπείου

1 T VII. sch. min. 2 Sch. min. σημείωσαι, ὅτι τ. π. καὶ τὰ ἱστ. 3 Mon. om., Par. 2977. ὅταν συνηγορῇς γεωργοῖς, παισὶν, ἁρμόττει τὸ πολιτικὸν, ἐπειδή. 4 Ald. ἀκροατής. 5 Par. 2977. ἐκκλησίας καὶ βουλευτήρια. 6 T. VII. ζ. η. 7 I. 4. 19. 8 Sch. min. τὰ τοῖς νεωνήτοις διδόμενα τραγήματα παρὰ τὴν ἑστίαν καθημένοις· ἑστία γὰρ λέγεται καὶ τὸ μαγειρεῖον καὶ ὁ θυμιωτὸς καὶ ἡ ἐσχάρα. 9 καὶ Ἀριστοφάνης — — — σου λαβοῦσα Par. et T. VII. om. 10 Ar. Plut. 789. νόμος γάρ ἐστι. 11 T. VII. ι — de fals. leg. p. 433. 12 T. VII. τοῦ πλησιάζοντος.

κωμάζειν ἐστὶ τὸ μιμεῖσθαι καὶ ὑβρίζειν κωμῳδίᾳ πρόσωπον, μὴ μέντοι ὀνομάζειν τοῦτο ῥητῶς, ἀλλὰ κατὰ ἁπλῶς τυχὸν πλεονέκτου [14] ποιεῖσθαι τὴν κωμῳδίαν, εἰσάγειν δὲ προσωπεῖόν ἐστι τὸ καὶ αὐτὸν ἐκεῖνον ὑποκρίνεσθαι τὸν κωμῳδούμενον. [15] ί. Τοῖς μεθημερινοῖς· τὸ γὰρ [16] εἰπεῖν μεθημερινοῖς [17] οὐκ εὐτελές ἐστιν· ἐμφαντικῶς γὰρ διαβάλλει [18] τὴν ἀκρασίαν· τὸ δὲ τὸν καλὸν ἀνδριάντα εἰρωνείας ἐστί. ιά. Τοὺς ὄφεις· διαβάλλει τὸν Αἰσχίνην, ὡς [19] ἡ μήτηρ αὐτοῦ φαρμακὶς ἦν, καὶ κρατοῦσα τοὺς ὄφεις ἐπῇδεν οὓς καὶ αὐτοὺς ἔτι παῖς ὢν κρατῶν ἔθλιβε. ιβ΄. Τρυπημάτων· τὸ [20] ἀπό τινων μορίων τοῦ σώματος τὴν συνουσίαν ποιεῖν.

Ἔτι ἀφελεῖς ἔννοιαι καὶ ἐν τοῖς ἐπιχειρήμασιν ἀπὸ τῶν ἀλόγων ζώων λαμβανόμεναι· καὶ τὰ λοιπά.

Αἱ [1] ἐν τοῖς ἐπιχειρήμασι μυθικῆς ἐννοίας τὰ ἐπιχειρήματα τὰ ἀπὸ τῶν ἀλόγων καὶ φυτῶν, ἐν τῷ προκειμένῳ δὲ νοήματι τῷ [2] ὁ βοῦς κέρατι παίει· [3] οἱ ποιηταὶ παραδείγματα [4] εἰσάγουσιν ἐξ ἑνός, οἷον

Ὡς δὲ λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας· [5]

13 Haec usque ad κωμῳδούμενον Mon. om. 14 T. VII. πόρνου τυχόν. 15 Par. 2977. 2916. add. Τὸ ἐνδιάθετον τῆς ψυχῆς ἀπροσδοκήτως εἰσαγγέλλειν· ἐνταῦθα γὰρ οὐ προσεδοκήθη καταρύσασθαι τὸν Κυρηβίωνα. 16 Par. 2916. 2977. μὲν γάρ. Haec sunt etiam apud Sicel. 17 T. VII. μεθημερινούς. 18 T. VII. διαβάλλειν τ. ἀκρ. οὐκ ἔστιν εὐτελείας· εἰρωνείας [Mon. ἥρωνας] δέ ἐστιν ἐνταῦθα τὸν καλ. ἀ. 19 T. VII. ὅτι ἡ μήτηρ σου μάγισσα [Par. 2916. μάγισα] ἦν καὶ ἐκράτει ὄφεις, καὶ ἰάτρευε παῖδας καὶ γυναῖκας, καὶ ἐβάσταζες καὶ σὺ τούτους, ὑπὸ τῆς μητρὸς βασταζόμενος [Mon. διαβάλλει — βασταζόμενος om.]. 20 Sch. min: post ποιεῖν add. αἰσχρότατον δέ τι ἐνταῦθα.

1 Par. ἡ. — T. VII. ιβ. 2 T. VII. ὀνόματι τό. Ald. Par. τῷ. 3 Xen. Cyrop. II. 3. 9. 4 Ald. παράδειγμα. Par. T. παραδείγματα. 5 Il. γ. 23.

καὶ

Ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας.[6]

β. Ἀπὸ τῶν φυτῶν· οἷον „τὰ γὰρ [7] χωρία καὶ τὰ δένδρα οὐδέν με θέλει διδάσκειν." καὶ

Ὄχνη [8] ἐπ' ὄχνῃ γηράσκει μῆλον δ' ἐπὶ μήλῳ·
Αὐτὰρ ἐπὶ σταφυλῇ [9] σταφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ.

τὸ [10] παραπλησίως ἀντὶ τοῦ κατακόρως· καὶ οὐχ ἓν ἀπολαβών· τὸ δὲ ἐγγὺς γάρ ἐστι γλυκύτητος, ὅτι ἡ ἀφέλεια μετ' ἐπιτάσεως τὴν γλυκύτητα ποιεῖ· γ'. Εἰ ἀφέλοι τις τὸ ἀόριστον· ἀόριστον ἐνταῦθα τὸ τοὺς ἄλλο τι μισθοῦ πράττοντας. δ'. Ἠθικὰ τῇ πίστει· τουτέστι τῷ ὅρκῳ· πίστιν δὲ ἀγωνιστικὴν τὴν ἀπόδειξίν φησιν. ε. Αὐτίκα ἡ ὀξύτης· τὸ [11] περὶ τῶν Βυζαντίων παράδειγμα, ὅπερ τέθεικεν ἐν τῷ περὶ μεθόδου γοργότητος [12] διπλῆν ἔχει τὴν ταχεῖαν ἀπάντησιν· πρὸς μὲν γὰρ τὸ [13] „κακοδαιμονοῦσι Βυζάντιοι" [14] ὡς παρ' ἑτέρου εἰρημένον, ἀπήντησεν ὀξέως κατ' ἐπίκρισιν εἰπὼν, „σφόδρα γε·" πρὸς δὲ τὸ, „ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι," παρὰ τοῦ ῥήτορος αὐτοῦ τιθὲν ἄλλη ταχεῖα ἀπάντησις γέγονεν, [15] κατασκευαστικὴ τοῦ λεχθέντος· συμφέρει γὰρ τῇ πόλει· τὸ οὖν ἤτοι ἀπαντῶντα λόγῳ τινὶ ἢ ὁπωσοῦν οὕτω νοητέον· ἢ τῷ παρ' ἑτέρου λεγομένῳ [16] ἀπαντῶντα· ἢ τῷ παρ' ἑαυτοῦ τεθέντι· [17] ἰστέον δὲ, ὡς ἡ μὲν δεινότης καθάπαξ καὶ τελέως βαθύτης ἐστὶν, ἡ

---

6 Il. γ. λ. 558. Mon. καὶ βιάσατο. 7 Plat. Phaedr. p. 239. δ. Recepit haec etiam Sicel. 8 Od. η. 120. 9 Ald. σταφύλην σταφύλη, σύκον. 10 Haec usque ad litt. ε. absunt a T. VII. 11 T. VII. ιη. et Sicel. 12 T. VII. Sic. δεινότητος. recte Ald. γοργ. 13 de Chers. p. 93. 14 T. VII. add. ἀλλ' ὅμως δεῖ σῶς εἶναι. 15 T. VII. Sic. γέγονε. tum Mon. καταστελλαστική· Sic. κατασκευή. 16 Ald. τὸ π. ἑ. λεγομένου. 17 Ven. addit: ὥσπερ τὸ ἀδελφίζειν παρὰ Ἰσοκράτῃ ἀντὶ τοῦ ἀδελφὸν καλεῖν. Addo T.VII. ιθ. τὸ μὲν γὰρ ἀφελὲς ἄπλαστον καὶ μηδὲν ἔχον βαθὺ, ἡ δὲ ὀξύτης βαθύτης ἐστίν. κ. Ἡ μὲν γὰρ δειν.

δὲ ὀξύτης οὐ τοιαύτη, ἀλλὰ φαντασίαν ἔχει μόνην δεινότητος καὶ δόκησιν, οὐ μήν ἐστιν ἀκριβῶς ἣ[18] διόλου βαθεῖα, ἀλλ' ἐπιπόλαιός τις βαθύτης· τὸ δὲ ἀφελὲς ἄπλαστον καὶ μηδὲν ἔχον βαθύ· η. ταχεῖα τοίνυν ἀπάντησις δεινότητός ἐστι· τὸ δὲ ψιλὸν καὶ ἐξ ἐπιβολῆς εἰσάγεσθαι τὸ νόημα καὶ ἀκατασκεύως ἐκφέρεσθαι μηδενὸς ἔξωθεν συνεφελκομένου, ὥσπερ ἐν τῇ περιβολῇ καίπερ ὂν βαθὺ ἀφελές ἔδοξεν εἶναι. ς'. Ἀδελφίζειν.[19] ἀδελφὰ φρονεῖν. ζ. Εἶθ' ὕστερον· ἰστέον, ὅτι εἰ καὶ μετὰ τὸν περὶ γλυκύτητος λόγον περὶ δριμύτητος διδάσκει, ἀλλ' ἐν τῷ λέγειν, αὗται δὲ, τουτέστιν ἡ δριμύτης καὶ ἡ ὀξύτης, ὡς ἐπὶ τὸ πλεῖστον[20] γλυκύτητα ποιοῦσιν ἐν ἀφελείᾳ, δείκνυσιν[21] ὅτι ἕν τι καὶ ταὐτὸν ὑπολαμβάνειν δεῖ γλυκύτητα καὶ δριμύτητα, καὶ ἕνα τὸν περὶ ἀμφοτέρων λόγον, εἰ καὶ διῃρῆσθαι[22] δοκεῖ· ἀφελείᾳ γὰρ, ὡς αὐτός[23] φησι, καὶ γλυκύτητι προσήκει ἡ δριμύτης τε
407 καὶ ὀξύτης. ή. Ἁρπαζομένης· ὁ[24] γὰρ τροχαῖος συναρπάζει·

## Περὶ γλυκύτητος.

**Ἔννοιαι δὲ γλυκεῖαί τε καὶ ἡδονὴν ἔχουσαι μάλιστα μὲν πᾶσαι αἱ μυθικαὶ καὶ τὰ λοιπά.**

Ἔννοιαι δέ· ἡ γλυκύτης,[1] ὡς αὐτὸς ἔφη, ἐπίτασίς ἐστιν ἀφελείας καλλωπίζουσα αὐτὴν, καὶ ὡς εἰπεῖν μείζων ἐστὶν ἀφελείας·[2] τὰ γὰρ μυθικὰ πλέον τι τῶν ἀφελῶν ἔχει καὶ κοινῶν ἐννοιῶν, τὴν αὐτὴν δὲ καὶ ἡδονὴν καλεῖ καὶ ἁβρότητα, καὶ ὡραῖον λόγον, ὡς αὐτὸς ὑποκα-

---

18 T. VII. et Sic. καί. Quae sequuntur post βαθεῖα, T. VII. et Sic. om. 19 Sch. min. 20 Ald. ὡς ἐπιτοπλεῖστον. 21 Ald. δείκνυσι ὅτι. T. VII. κγ. 22 Ald. διῃρεῖσθαι. 23 Ald. αὐτούς. 24 Sch. min. κρείττων ἐστὶ τῆς ἐχούσης τροχαον, ὁ γὰρ τρ. ἁρπάζει.
1 T. VII. β. 2 Ald. ἀφελεία. T. VII. ἀφελείας.

τιὰν διδάσκει, ὅτι ταῦτα ὀνόματι μόνῳ διαλλάττει ταὐτὰ ὄντα.[3] β'. Τῷ δικαστηρίῳ· τῷ Ἀρείῳ πάγῳ[4] δηλαδή· οὕτω[5] δὲ ἔχει τὸ Δημοσθενικόν· ἐν μόνῳ δὲ τούτῳ τῷ δικαστηρίῳ δίκας φόνου θεοὶ[6] καὶ δοῦναι καὶ λαβεῖν ἠξίωσαν καὶ δικασταὶ[7] γενέσθαι διενεχθεῖσιν ἀλλήλοις, ὡς λόγος λαβεῖν μὲν Ποσειδῶν ὑπὲρ Ἁλιῤῥοθίου τοῦ υἱοῦ παρὰ Ἄρεος, δικάσαι δὲ Εὐμενίσι καὶ Ὀρέστῃ οἱ δώδεκα θεοί. γ'. Διὰ τῶν τῆς γοργότητος· τουτέστι κομματικώτερα τὰ κῶλα ποιῶν καὶ τῶν μερισμῶν τὰς ἀποδόσεις ἐπιταχύνων, ἐγγὺς γὰρ ἐν τῷ προτεθέντι Δημοσθενικῷ παραδείγματι ὁ δὲ τοῦ μὲν κεῖται· τὸ δὲ τεμὼν ἀντὶ τοῦ τμητικῷ χρησάμενος σχήματι, ὅπερ ἐν τῷ περὶ γοργότητος ἔφη. Τὰ περὶ τοῦ Πανός. Ἡρόδοτος ἐν ἕκτῃ[8] φησὶν, ὡς οἱ Ἀθηναῖοι μέλλοντες πολεμεῖν τὸν ἐν Μαραθῶνι πόλεμον ἔπεμψαν εἰς Σπάρτην κήρυκα Φειδιππίδην ἡμεροδρόμον· τῷ δὲ παρὰ τὸ Παρθένιον ὄρος τὸ ὑπὲρ τῆς Τεγέας ὁ Πὰν περιπίπτει· βοήσαντα δὲ τοὔνομα τοῦ Φειδιππίδου τὸν Πᾶνα Ἀθηναίοις κελεῦσαι ἀπαγγεῖλαι, ὅτι ἑαυτοῦ μηδεμίαν ἐπιμέλειαν ποιοῦνται εὔνου ὄντος αὐτοῖς καὶ πολλαχῇ γενομένου σφίσιν ἤδη χρησίμου· τὰ δὲ καὶ ἐσομένου· τὸ δὲ περὶ τοῦ Ἰάκχου εἴρηται ἐν τῷ περὶ σεμνότητος· καὶ ἴσως ἄλλα τινά· οἷον[9] τὰ περὶ τῆς γλαυκὸς, ὅτι παρὰ[10] τὸν καιρὸν τῆς συμβολῆς ἐφάνη[11] τὰς Ἀττικὰς ναῦς περιϊπταμένη, καὶ τὰ περὶ τῆς περιστερᾶς, ὅτι ἐπὶ τῆς[12] Θεμιστοκλέους τριήρους ἐφάνη καθεζομένη, ὅθεν καὶ μετὰ τὴν νίκην ἀπάρχου[13] Ἀφρο-

---

3 Ald. ὄντας. 4 Par. δηλαδὴ πάγῳ. 5 Par. 2916. 2977. οὕτως ἔχει τὸ Δημ. ὅτι ἐν μ. τούτῳ. Mon. haec non habet — contr. Aristocr. p. 641. 6 T. VII. οἱ θεοί. 7 Ald. Par. δίκας τε. T. VII. δικασταί. 8 VI. 105. 9 T. VII. ἡ. 10 T. VII. περί. 11 T. VII. ἐφάνη περιϊπτ. 12 τῆς ex T. VII. recepi. 13 Mon. ἀπάρχουσιν.

δίτης ἱερὸν ἱδρύσατο ἐν Πειραιεῖ, ὡς Ἀμμώνιος ὁ Λαμπρεὺς [14] ἐν τῷ περὶ βωμῶν φησί· καὶ τὰ περὶ τῆς Αἰγιναίας [15] τριήρους, ἥ τις πρώτη τῆς ναυμαχίας ἄρχειν ἔδοξεν, ἐπαγομένη τοὺς Αἰακίδας· ὡς γὰρ Ἡρόδοτος ἐν ὀγδόῃ φησὶ, κατὰ κοινὸν δόγμα τῶν Ἑλλήνων Αἴαντι μὲν καὶ Τελαμῶνι ἐν Σαλαμῖνι ηὔξαντο, ἐπὶ δὲ τοὺς ἄλλους Αἰακίδας εἰς Αἴγιναν ναῦν [16] ἀπέστειλαν [17] καὶ ἕτερα τοιαῦτα. ε. Κάλλους χωρίου, οἷον [18] ἡνίκα τὸν Μενελάου οἶκον Ὅμηρος [18] ἐκφράζει ἢ τὸν Ἀλκίνου κῆπον ἢ τὰς ἐν Τροίᾳ [21] πηγὰς θερμοῦ καὶ ψυχροῦ ὕδατος. ϛ. Δι᾽ ὕσδων [22] μαλίνων· τουτέστιν ὄζων καὶ κλάδων μηλίνων, οἱ γὰρ Αἰολεῖς τρέπουσι τὸ ο εἰς ῡ, ὡς ὄνομα ὄνυμα· τὸ δὲ ζ εἰς σ καὶ δ, τὸν [23] ζυγὸν σδυγὸν λέγοντες. ζ. Οἷς γὰρ ἕκαστος· ἐμφρόνως τοῦτο [24] καὶ φιλοσόφως φησί· καὶ γάρ [25] καὶ Σωκράτης εἰώθει λέγειν· οἷος ὁ βίος, τοιοῦτος ὁ λόγος, καὶ [26] ὁ λόγος, τοιαῦται αἱ πράξεις, ἀναστρέφων [27] αὐτά. η. Ὁρᾷς ὡς μεγέθους· ἐπειδὴ γὰρ ἡ τραχύτης ἀνάγεται ὑπὸ τὸ μέγεθος, εἶπεν ὅτι μέγεθός ἐστι· τὸ δὲ τραχέως καὶ σκληρῶς, εἰ καὶ διάφορον δοκεῖ εἶναι, ἀλλ᾽ οὖν ἔμοιγε ταὐτὸν φαίνεται. θ. Τῶν φύσει ἡδέων· τουτέστι τῶν μυθικῶν.

---

14 Mon. λαμπρός. 15 Ald. Αἰγινίας. Par. T. VII. Αἰγιναίας. 16 Ald. νοῦν. 17 T. VII. add. ἔτι γε μὴν καὶ τὰ περὶ τοῦ γυναικείου φάσματος, ἥν φησιν ὁ Ἡρόδοτος ὀνειδίσασαν τοὺς μετὰ Ἀδειμάντου τοῦ Κορινθίων στρατηγοῦ ὑποχωροῦντας ἐπὶ τὸν Ἰσθμὸν προτρέψαι τῆς ναυμαχίας ἔχεσθαι. 18 T. VII. ια. et Siccl. 19 Od. δ. 72. 20 Od. η. 111. sqq. 21 Il. χ. 147. 22 Ald. ὕσδων. Sapph. Fr. IV. Gaisf. 23 Par. τό. 24 T. VII. ιγ. καὶ τοῦτο καὶ [Mon. καὶ τοῦ τὰ φιλ.]. 25 T. VII. γὰρ ὁ θεῖος Σ. 26 καὶ οἷος ὁ λόγος Mon. om. 27 T. VII. καὶ ἀν. τὰ αὐτά. in Par. 2916. haec seriori manu adiecta sunt.

**Ἔτι ποιεῖ γλυκύτητα καὶ τὸ τοῖς ἀπροαιρέτοις προαιρετικόν τι περιτιθέναι· καὶ τὰ λοιπά.**

*Εἰ δὲ καὶ ἄλλων·* καὶ [1] γὰρ Ἀττικαῖς χρῆται, ὡς τὸ ὀῤῥωδῶν· [2] καὶ δωρικαῖς, ὡς τὸ ἀμβώσας. β' *Σύν τε δύ' ἐρχομένω·* ἐξ Ὁμήρου [3] τοῦτο γέγραφε Πλάτων. [4] Ὅμηρος δὲ οὕτω φησὶν

Σύν τε δύ' ἐρχομένω καί τε πρὸ ὃ τοῦ [5] ἐνόησε·

παραπλοκὴ δέ ἐστιν ἡ τῶν ποιημάτων μετὰ πεζοῦ λόγου μίξις καὶ συμπλοκὴ ὡς τὰ προτεθέντα παραδείγματα.

*Περὶ δριμύτητος καὶ τοῦ ὀξέως λέγειν, ὡραίου τε καὶ ἁβροῦ, καὶ ἡδονὴν ἔχοντος λόγου.* 408

**Ἔφην ἐρεῖν τι καὶ περὶ δριμύτητος καὶ ὀξύτητος ὡς προσηκούσης τῷ ἀφελεῖ τε καὶ ἡδονὴν ἔχοντι λόγῳ· καὶ τὰ λοιπά.**

*Ἔφην ἐρεῖν·* ἰστέον, ὅτι δριμύτης γίνεται, ὅταν τὰ βαθέα νοήματα ἁπλῶς καὶ ὡς ἔτυχε λέγωμεν· ἀποροῦσι δὲ, διὰ τί, ὥσπερ περὶ ἑκάστης τῶν ἰδεῶν [1] τῶν ἄλλων ἐννοίας λέγει καὶ τὰ ἑξῆς, οὐχ οὕτω καὶ ἐπὶ τῆς δριμύτητος ἐκτίθεται· καὶ φαμὲν, ὅτι ἀμφισβητεῖ, πότερον ἡ δριμύτης περὶ λέξιν γίνεται ἢ περὶ τὰς ἐννοίας· περὶ οὖν τῶν ἀμφισβητουμένων οὐκ ἠδύνατο ἀφωρισμένως καὶ κατὰ μέρος ὡς ἐν τοῖς ἄλλοις διδάσκειν· ἔτι δὲ δριμύτης [2] λέξις τις ἔχουσα διάνοιάν τινα [3] πλήττουσαν τὸν καθ' οὗ λέγεται, ἕτερόν τι κυρίως σημαίνουσα παρὰ τὸ λεγόμενον. β'. *Καὶ εἰ μηδέν·* μετ' ὀλίγον

---

1 T. VII. κγ. 2 T. VII. add. ἐν τῇ πρώτῃ [c. 9.] λέγων τοιαῦτα· ἀπεμάχετο ὀῤῥωδέων, μή τι ἐξ αὐτέων κακὸν γένηται. — ibid. c. 8. μέγα ἀμβώσας. 3 Il. κ. 224. 4 Symp. p. 174. D. 5 Par. πρὸς ὃ τοῦ ἐνόησε. Ald. πρὸ τοῦ ὅ.

1 Par. τῶν ἄλλων ἰδεῶν. 2 Ald. δριμύτητος. 3 τινὰ ex Par. recepi. Ald. om.

διδάξει σε ὁ τεχνικὸς τί ἐστι τὸ εἰ μηδὲν πρὸ αὐτῆς εἴη λελεγμένον, ἐν οἷς περὶ αὐστηρῶν καὶ σκληρῶν διαλέγεται καὶ τῶν παρακειμένων αὐτοῖς. γ΄. Ἧς οὐκ ἔστι κυρία· τουτέστι καθ᾽ ἧς οὐ κατηγορεῖται κυρίως. δ΄. Ἡμῶν πάλιν· ἐπὶ τοῦ τὸν ἄνδρα τὸν ἴδιον φιλεῖν ἑκάστην γυναῖκα. ε΄. Οἱ τὰ σπουδαῖα· σπουδαῖα γελοῖα[4] τὰς γνώμας λέγει· τῶν γὰρ γνωμῶν αἱ μὲν εἰς μελέτην εὕρηνται, αἱ δὲ ἀστεϊσμοῦ εἵνεκα· οἷον εἰσελθών τις εἰς τὴν τρίπολιν τὰς ἄλλας δύο πόλεις ἀπήτει.[5] ϛ΄. Μέλει[6] γάρ τινι· περὶ Διοπείθους λέγει ἐν τῷ περὶ[7] Χεῤῥονήσου ὁ ῥήτωρ. ζ΄. Τὸ μηχάνημα· τὴν πανουργίαν σημαίνει τοῦ Φιλίππου, ὅπερ ἐστὶ δριμύτητος ἴδιον. η΄. Ὁ κύματ᾽ οἰκῶν·[8] τὸ γὰρ οἰκῶν καὶ τὸ ἡρμήνευσεν ἐπὶ ἀνθρώπων κυρίως λέγεται, τὸ μέντοι ἡρμήνευσε καὶ σκληρότερον τέτραπται· οὐ δοκεῖ δὲ διὰ τὸ παρακεῖσθαι τῷ οἰκῶν. θ΄. Ἢ τῶν ἄλλων· οἷον[9] μυθικὸν ἢ ἱστορικὸν ἢ τὴν αἴσθησιν εὐφραῖνον· ἢ θεῖα φάσματα διηγούμενον· σημείωσαι δὲ[10] πῶς ἐνταῦθα τὰ τῆς ὡραιότητος πάντα ἐν βραχεῖ λόγῳ διεξῆλθε κατὰ τὰ ὀκτὼ μέρη, ἔννοιαν,[11] μέθοδον, καὶ τὰ λοιπά.

## Περὶ ἐπιεικείας.

Ἐπιεικὴς καὶ ἠθικὸς λόγος γίνεται κατ᾽ ἔννοιαν μὲν ἤτοι ὅταν ἑκόντα τις αὐτὸν μειονεκτοῦντα δεικνύῃ· καὶ τὰ λοιπά.

Τὰ γὰρ κατὰ νόμους· νόμῳ[1] γὰρ αὐτὸν πολί-

---

4 T. VII ϛ. γέλοια. 5 Par. 2977. add. Οἱ μῖμοι τῶν γελοίων, οἱ σπονδυλοκόποι μιμοῦνται τοὺς γραμματικοὺς καὶ εὐδοκιμοῦσιν ἐν αὐτοῖς, λόγους τινὰς λαρυγγίζοντες, οὐ κυριολεκτοῦντες, ἀλλὰ τοὺς ἐπ᾽ ἄλλων κειμένους ἄλλοις συναρμόζοντες. 6 Ald. μέλλει. — de Chers. p. 96. 7 Sch. min. περὶ τῶν ἐν Χεῤῥονήσῳ. 8 Eurip. Polyido. cfr. Matth. T. IX. p. 309. 9 T. VII. η. 10 Sch. min. δὲ et ἐνταῦθα om. 11 ἔννοιαν, μέθοδον T. VII. om.

1 T. VII. γ.

την γεγενῆσθαι φήσας οὐδὲν ἀξιοῖ παρὰ τοὺς Ἀθήνησι νόμους ψηφίζεσθαι αὐτῷ· ὅσα τοίνυν οὐδὲ κατὰ τῶν τοὺς πολίτας ἀπεκτονότων οἱ νόμοι γίνεσθαι συγχωροῦσι,[2] ταῦτα διὰ τοῦ ψηφίσματος Ἀριστοκράτην[3] δείκνυσι[4] γεγραφότα κατὰ τῶν ἐπηρεαζόντων καὶ δικαίως ἔστιν ὅτε τῷ Χαριδήμῳ. β. Οὐδένα πώποτε· Αἰσχίνου κατὰ Τιμάρχου προοίμιον. γ. Καὶ ἄλλο[5] ἐμφαίνει· τουτέστι δεινότητα. δ. Βάταλον· βάταλος λέγεται ὁ μυξώδης·[6] ε. Βαρέα μέν· τουτέστι[7] βαρύτητι προσήκουσιν· γενικῶς[8] μὲν γὰρ ἤθους εἰσὶν αἱ εἰρωνεῖαι,[9] εἰδικῶς[10] δὲ βαρύτητος. ϛ. Σπάνια οὖν· τὸ τὰ ἀξιωματικὰ τῶν ὀνομάτων[11] ἑτέρως καὶ ἐπιεικέστερον λέγειν. ζ. Τὴν αὐτὴν ἀτιμίαν· προσκειμένης[12] γὰρ τῆς ἀτιμίας σφοδρός ἐστιν ὁ λόγος. η. Μὴ πανοῦργος ὤν· πανοῦργος κυρίως μὲν ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, ὁ δραστήριος καὶ ἐνεργής· κατεχρήσαντο δὲ τῇ λέξει οἱ παλαιοὶ ἐπὶ τοῦ ἐν κακοῖς νοήμασι καὶ ἔργοις ἐπιβόλου·[13] θ. Περὶ ὧν μέν ἐστί τις· τὸ τὶς ἀόριστον καὶ τὸ ὤν.

## Περὶ ἀληθινοῦ λόγου.

Ὁ ἐνδιάθετος καὶ ἀληθὴς καὶ οἷον ἔμψυχος λόγος τὸ μὲν πλεῖστον ἔχει περὶ τὴν μέθοδον, καὶ τὰ λοιπά.

Ὁ ἐνδιάθετος· ἀπορεῖται διὰ τί κατ' ἀρχὰς τοῦ βιβλίου τὴν ἀλήθειαν ἰδέαν εἰπὼν καθ' αὐτὴν νῦν ὑπὸ

---

2 T. VII. συγχωφοῦσιν. 3 T. VII. Ἀριστοκράτη. 4 Par. T. VII. γεγραφότα δείκνυσι. 5 Par. ἄλλος. 6 Ald. μυξώας. Par. Schol. min. μυξώδης. 7 Sch. min. τουτέστι om. 8 Ald. Par. ἐνικῶς. Sch. min. γενικῶς. 9 Ald. εἰρονεῖαι. 10 Sch. min. ἠθικῶς. 11 Sch. min. νοημάτων. 12 Sch. min. προκειμένης ἀτιμίας. 13 Ald. ἐπιβόλου. Par. ἐπηβόλου. Sch. min. εὐεπιβούλου.

τὸ ἦθος αὐτὴν ἀνάγει· καὶ φασί τινες, ὡς ἴσως Ἑρμογένης ἓξ ᾔδει τὰς ἰδέας, καὶ οὐκ ἀπηρίθμησεν ἐκεῖ τὴν ἀλήθειαν· προσέθηκαν [1] δ' ἂν οἱ μεταγραφεῖς· ἰστέον
409 δὲ, [2] ὅτι ἀληθινὸς μὲν λέγεται λόγος, ὅτι ὁποῖά ἐστι [3] τὰ πάθη τῆς ψυχῆς, τοιαῦτα καὶ [4] ἐμφαίνει αὐτά· ἐνδιάθετος δὲ ὡς διατιθέμενος τοιῶσδε ἢ τοιῶσδε πρὸς τὰ πράγματα, ὀργιζόμενος [5] δηλαδὴ ἢ οἰκτείρων. β'. Ἀλλ' ἴσως τοῦτο· διότι κατὰ ἐπανάληψιν ἐπήγαγε τὴν βαρύτητα τὸ, „Ἀνδροτίων [6] ὦ γῆ καὶ θεοί." γ'. Ἔχει τινὰ καὶ ἰδίαν· πᾶσαν μὲν γὰρ ἔννοιαν μεθοδεύων δεόντως ὑπὸ τὸν ἐνδιάθετον [8] ἄξεις λόγον [9] τῶν ὁμολογουμένων· δι' ἃ δὴ καὶ τὴν πλείστην ἔχει περὶ τὴν μέθοδον δύναμιν· διὰ γὰρ ταύτης τὴν [11] πάσης ἰδέας ἔννοιαν ποιήσεις ἀληθινήν· πλὴν [12] ἔχει, φησὶ, καὶ ἰδίας ἐννοίας τὰς σχετλιαστικάς· τὸ [13] δὲ ἀλλ' ἔννοιαι μὲν, τουτέστιν αἱ σχετλιαστικαί· τὸ δὲ σχεδὸν ἄῤῥητον διὰ τὸ πλῆθός φησιν. δ'. Οὐ γὰρ ἀπήτει· ἡ αἰτία, ὅτι οὐκ ἠδύνατο παθαίνεσθαι πρὸ τῶν ἀγώνων μηδενὸς ὑπόντος τοῦ κινοῦντος αὐτόν· τὸ δὲ ἐξώλης ἀπολοίμην, τοῦτό [14] ἐστι τὸ ἐνδιάθετον διὰ [15] τὸ ἐξαίφνης εἰπεῖν αὐτό. ε'. Οὐκ ἴσασιν οὗτοί σε· [16] τοῦτό ἐστι τὸ ἐνδιάθετον, ὅπερ εἶπε κατὰ ἀποστροφὴν πρὸς τὸν ἀντίδικον ἐξαίφνης· [17] τὰ γὰρ ἄλλα πρὸς τοὺς δικαστὰς ἦν·

---

1 Ald. προτέθηκαν. 2 Mon. haec om. Sunt in Par. 2977. sine ἰστέον, ὅτι et sq. λόγος. 3 Par. 2977. εἰσί. 4 καὶ Par. 2977. om. 5 Par. 2977. ἢ ὀργ. ἢ οἰκτ. 6 contr. Andr. p. 618. 7 T. VII. δ. ὅτι μὲν πᾶσαν ἐνν. 8 T. VII. καὶ οἷον ἔμψυχον ἄξει. 9 Ald. λόγων. 10 Par. δεῖ. 11 τὴν T. VII. om. 12 Mon. πολλήν. 13 Haec absunt a T. VII. 14 Sunt haec in Sch. min. 15 Ald. τὸ διὰ τό Sch. min. διὰ τό. Post αὐτὸ eadem add. προηγουμένου τοῦ λόγου αὐτοῦ τοῦ ἑτέρου. 16 Mon. haec om. Sunt in Par. 2916. 2977. 17 ἐξαίφν. T. VII. om. Tum idem: τὰ δὲ ἕτερα ἦσαν πρὸς τοὺς δικ., ἐκεῖνο δὲ αἰφνί-

ϛ΄. *Καὶ*[18] *αἱ τραγῳδίαι*· ὡς τὸ ἂ ἂ, σίγα, σίγα. ζ΄. *Χωρὶς καταστάσεως*· κατάστασιν ἢ τὴν πρότασιν ἢ τὴν ἀντιπρότασιν λέγει. η΄. *Αὕτη μὲν ἡ μέθοδος*· ὅσον μὲν γὰρ πρὸς τὴν ταχεῖαν ἀπάντησιν, γοργότητός ἐστιν· ὅσον δὲ πρὸς τὸ ἐξαίφνης, τοῦ ἐνδιαθέτου. θ΄. *Περὶ δέ συνδρομῆς*· ὅτι μὲν περὶ ταύτης οὐδὲν εἶπεν, ὡς ἐπαγγέλλεται, φανερόν· χρησόμεθα δὲ ταύτῃ, ἢ ὅταν[19] σφόδρα ὁμολογούμενον ᾖ τὸ παρὰ τοῦ ἀντιδίκου λεγόμενον, ὡς ἐκεῖνο·[20] ἀλλὰ τὸ τοῦ Κεφάλου καλὸν, καὶ νὴ Δία εὔδαιμόν γε· ἢ ὅταν συμφέρῃ μὲν καὶ ἡμῖν τὸ λεγόμενον, ἔνια δὲ τοῦ πράγματος ἐνοχλοῦντα πείθεσθαι μὴ συγχωρῇ, οἷόν ἐστι τὸ[21] παρ' Ὁμήρῳ·

Ναὶ δὴ ταῦτα γε πάντα[22] γέρον κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει·

ἔστι[23] δὲ ταὐτὸν συνδρομὴ καὶ ἀντιπαράστασις· εὑρίσκεται οὖν ἐν ταὐτῷ γοργότης, ἀλήθεια καὶ συνδρομή. ι. *Εἶτ' ἐπήγαγεν*· εἰ γὰρ ἠβούλετο καταστατικῶς εἰπεῖν, οὕτως ἂν ἔφη· ὅπερ γὰρ ἐπὶ νεὼς καὶ τῶν ἐμπλεόντων[24] εἴωθε συμβαίνειν, ἕως ἂν σώζηται τὸ σκάφος καὶ τὰ ἑξῆς· νῦν δὲ μὴ καταστήσας, ἀλλ'[25] ἐξαίφνης τὸν λόγον ἐπειπὼν[26] πολὺ τὸ ἐνδιάθετον εἰργάσατο.

**Ἔστι δὲ παρὰ τὰς προειρημένας ἑτέρα τις μέθοδος ἐνδιαθέτου λόγου· καὶ τὰ λοιπά.**

α΄ *Διὸ καὶ μᾶλλον*· οὐ γὰρ κατ' ἐπιτήδευσιν ἐρρέ-

---

διον εἶπε πρὸς τὸν Αἰσχίνην ἐν τῷ περὶ παραπρεσβείας. 18 καὶ Ald. om., est in Par. 19 T. VII. ια. 20 Ald. ἐκεῖνος. Par. T. VII. ἐκεῖνο. pro cor. p. 310. 21 Mon. τῷ Ὁμήρῳ. 22 γε πάντα Ald. om., inserui ex Par. T. VII. — Il. α, 286. 23 T. VII. τὴν αὐτὴν ἔνιοι καὶ συνδρομὴν καὶ λύσιν, ὡς προεῖπε. καλοῦσιν. ἔστι δὲ ταὐτὸν συνδρομὴ ἀντιπαραστάσεως. 24 Ven. πλεόντων. 25 T. VII. ἀλλὰ συνδέτως τὸν λόγον εἰσενεγκών. 26 Par. εἰσενεγκών.

θη·[27] ἢ γὰρ ἂν ἐδέξατο τὴν ἀκόλουθον ἀπάρτησιν ἤγουν[28] ἀπόδοσιν, ἀλλ᾽ εἴρηται ἀνακολούθως καὶ ὡς εἰκὸς ἦν εἰπεῖν τὸν ὀργιζόμενον· ἐπισημαίνεσθαι[29] δέ ἐστι τὸ παραλέγειν ὅτι βούλομαι λοιδορήσασθαι. β. Ὁ γὰρ ἐνδιακειμένως· ὁ ἄνευ τοῦ σημαίνεσθαι λοιδορῶν δόκησιν τῷ ἀκροατῇ παρέχει ὡς αὐτομάτως εἰς ὕβρεις ἐμπίπτων· διὸ καὶ πεῖσαι τοὺς ἀκροατὰς[30] ἱκανός ἐστιν· ὁ δὲ ἐπισημαινόμενος οὐκέτι ὁμοίως τὸ πιθανὸν διασώζει[31] καὶ ἐνδιάθετον. γ. Ἐν ταῖς ἐπιφοραῖς· ταῖς καταφοραῖς καὶ μετὰ δραστηριότητος κατηγορίαις· οἱ γὰρ καταφορικοὶ τῶν λόγων σφοδρότητος οἰκεῖοι. δ. Πάθος ψυχῆς· οἷον ἡδονὴν,[32] λύπην, θαῦμα, φόβον, ἔλεον. ε. Ἡ χεὶρ ἐπηκολούθησε· φησὶ γὰρ ἐν πέμπτῳ[33] τῆς Κύρου παιδείας ὁ Ξενοφῶν, ὅτι ἡ Πανθία τεθνεῶτος ὑπὸ τῶν Αἰγυπτίων τοῦ ἀνδρὸς λαβοῦσα τὴν χεῖρα ἠσπάζετο, ἡ δὲ, ἀποκοπεῖσα γὰρ ἦν ὑπὸ πολεμίων καὶ τῷ σώματι ὕστερον ὑπὸ τῶν οἰκείων ἐφαρμοσθεῖσα, δραξαμένης ἑτοίμως ἀπεσπάσθη·[34] ζ. Καὶ αἱ μετ᾽ ἐρωτήσεως· ἡ μὲν ἀποστροφὴ ἐξ ἀποφάσεως[35] εἰσάγεται, πεποιθότος τοῦ λέγοντος ἀληθὲς εἶναι τὸ πρᾶγμα·[36] ἡ δὲ μετ᾽[37] ἐρωτήσεως ἀποστροφὴ προσκειμένην ἔχει τὴν ἐρώτησιν. η. Διὰ τὴν εἰρωνείαν· προεῖπε[38] γὰρ, ὅτι αἱ εἰρωνεῖαι ἔννοιαί εἰσι τοῦ ἐνδιαθέτου. θ. Ὃ μέντοι πέφυκεν· ὅτι αὔξει τὸ ἐνδιάθετον. ι. Ἀποδεδειγμένων·[39] ὁμολογούμενόν ἐστι πρᾶγμα, οὗ ἕνεκεν[40] οὐδεὶς ἀμφισβητεῖ· οἷον ὅτι φωτὸς ὁ ἥλιος αἴτιος·

---

27 T. VII. ἐῤῥήθη. 28 Ald. ἤως. 29 ἐπισημ. — λοιδορήσασθαι T. VII. om. 30 T. VII. ἀκροωμένους, 31 T. VII. διασώσει. 32 Par. 2977. Ven. nominativos ponunt. 33 VII. 3. 8. 34 Par. ἀπεσπάσθη. 35 T. VII. κ. 36 T. VII. add. διϊσχυριζομένου. 37 T. VII. μετά. 38 Sch. min. προεῖπεν ὅτι.ι 39 Litt. ι et ια exstant Par. 2977. 2916. 40 Par. ἕνεκα μηδείς.

ἀποδεδειγμένον δὲ [41] πᾶν ὃ ἀμφιβάλλεται μὲν, πιστοῦ- 410
ται δὲ ἀναντιῤῥήτοις ἀποδείξεσιν, οἷον ὅτι ἀθάνατος ἡ ψυχὴ, ἔμφασιν δὲ ἔχον τῷ [42] ὡμολογῆσθαι ἢ ἀποδεδεῖχθαι· τὸ ἀμφίδοξόν ἐστιν, οἷον εἰ κυκλοτερὲς τὸ πᾶν, εἰ ἐπικλύσει τῶν ὑδάτων σεισμοί· τὰ [43] γὰρ τοιαῦτα δοκεῖ μὲν ὡμολογῆσθαι καὶ ἀποδεδεῖχθαι παρὰ τῶν φυσικῶν [44] φιλοσόφων· οὐ μὴν ἀναντίῤῥητά εἰσι. ιά. Τοῖς ἰαλέμοις· ὁ ἰάλεμος εἶδός ἐστι θρήνου· τοὺς ἀξίους οὖν ἐλέου διὰ τὴν ἀμαθίαν ὁμωνύμως ἰαλέμους ἐκάλεσεν, οὓς ἔμπροσθεν ὑποξύλους [45] ὠνόμασεν. Τὸ δὲ ὅμοιοί φασι, [46] παροιμία ἐστὶ [47] παρὰ τὸ Ὁμηρικόν· [48]

Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ἐς τὸν ὁμοῖον.

## Περὶ βαρύτητος.

*Η βαρύτης ἐννοίας μὲν ἔχει τὰς ὀνειδιστικὰς ἁπάσας, καὶ τὰ λοιπά.*

ά. Καὶ τῶν ἐναντίων· ἐναντίων [1] τῇ φύσει καὶ ὑποθέσει καὶ σκοπῷ [2] τοῦ λόγου· σκοποῦ [3] γὰρ ὄντος αὐτῷ διαβάλλειν τοὺς προδότας, τῶν ἐναντίων αὐτοὺς ἠξίωσεν εἰπὼν, [4] „ὑπὸ τῶν χρηστῶν τούτων·“ καὶ πάλιν βουλόμενος ἑαυτὸν τῷ λόγῳ συστῆσαι μανίαν ἐκάλεσε τὴν ἑαυτοῦ φιλοτιμίαν.[5] β. Αἱ γὰρ εἰρωνεῖαι· εἰ [6] μὴ γὰρ εἰρωνευόμενός τις ἀλλὰ ἀληθεύων εἴποι τυχὸν ὑπὸ τῶν χρηστῶν τούτων, ποίαν ἡ ἔννοια βαρύτητα ἔχει; [7] γ'. Οἰνομάου· Οἰνόμαος ἐλέγετο ὁ Αἰσχίνης διὰ τὸ

---

41 δὲ Parr. om. 42 Parr. τῷ. Ald. τοῦ. 43 Parr. τὰ τοιαῦτα μὲν γὰρ δοκ. 44 Ald. λογικῶν. Parr. φυσικῶν. 45 Parr. καὶ ὑποξ. 46 Ald. φησι, scr. φασί. 47 ἐστὶ Sch. min. om. 48 Od. ῥ. 218.

1 T. VII. γ. 2 T. VII. τῷ σκοπῷ. 3 Mon. σκοπῶν γὰρ ὄντως. 4 Ol. III. p. 35. 5 In Mid. p. 536. — T. VII. add.: ἐναντίων οὖν ἢ κατὰ τὸν σκοπὸν τοῦ λόγου. 6 Mon. haec om. Par. εἰ γὰρ μή. 7 Parr. addunt: κατ' εἰρωνείαν δὲ τὸ

ὑποκρίνασθαι τὸν Οἰνόμαον καὶ πεσεῖν ἀπὸ [8] τοῦ ἅρματος. δ΄. Εἰ δέ τι τοῦτο· σφοδρότητος ἡ [9] κατὰ τῶν ἐλαττόνων προσώπων καταφορά. ε΄. Ὅτε μὲν γὰρ τοῦτό φησιν, [10] ὅτι ὅταν πρὸς μὲν [11] τοὺς δικαστὰς λέγῃ, τότε ποιεῖ [12] βαρύτητα, ὅταν δὲ πρὸς τὸν ἐχθρὸν, εἰρωνεία γίνεται. ϛ΄. Τὸ χρησθέν· τὸ [13] ξύλινον τεῖχος εἶναι τὰς ναῦς. ζ΄. Τὸν Κυρσῖλον· οὗτος Ἀθηναῖος ὢν καὶ συμβουλεύσας [14] Ἀθηναίοις γῆν καὶ ὕδωρ αἰτοῦντι δοῦναι τῷ βασιλεῖ κατελεύσθη. η΄. Φαίην δ᾽ ἄν· ἐδίδαξε [15] γὰρ κἂν τοῖς προλαβοῦσιν ὡς οὐκ ἔστι συμπληρωτικὴ τοῦ ἤθους ἡ βαρύτης, [16] ἀλλ᾽ ἐξ ἄλλων ἰδεῶν λαμβάνει τὴν σύστασιν.

## Περὶ δεινότητος.

Ἡ δεινότης ἡ περὶ τὸν λόγον ἐστὶ μὲν κατ᾽ ἐμὴν γνώμην οὐδὲν, καὶ τὰ λοιπά.

Ἰστέον, [1] ὅτι οὐ περὶ τῆς ὄντως νῦν δεινότητος [2] διαλέγεται· ἐκείνη μὲν γὰρ γίνεται, ὅταν τις ἄριστα καὶ ἐπιστημονικῶς χρῆται [3] ταῖς ἰδέαις πάσαις τοῦ λόγου καὶ [4] τοῖς ἐναντίοις αὐτοῖς· καὶ ἔτι ἐπιχειρήμασί τε καὶ ἐργασίαις καὶ ἐνθυμήμασι καὶ ἀντιθέσεσι καὶ λύσεσιν, ὥσπερ δεινὸν στρατηγὸν καὶ δεινὸν χρῆσθαι πᾶσιν ἀν-

---

τοιοῦτο ῥηθὲν βαρὺν τὸν λόγον ἐποίησεν. 8 Ald. ὑπό. Parr. ἀπό. — Schol. min. Ἄξιος ἦν ὁ Δημοσθένης καλεῖσθαι Οἰνόμαος, ἐκεῖνος δὲ Βάταλος. 9 ἡ Ald. om., est in Par., Sch. min. οἰκεῖον ἡ. 10 Sch. min. λέγει. 11 μὲν Sch. min. om. 12 Schol. min. ποεῖ καὶ τήν. 13 τὸ alterum Ald. om., est in Par. et Sch. min. 14 Sch. min. ἀντειπὼν συμβουλεύοντι Θεμιστοκλεῖ εἶτα ἡττηθεὶς κατελεύσθη. 15 T. VII. ϛ. 16 ἡ βαρύτης T. VII. om.

1 T. VII. α. 2 δεινότητος T. VII. om. 3 T. VII. χρήσαιτο. 4 T. VII. καὶ εὐκαίρως ταῖς τε ἀντιθέσεσι καὶ ταῖς λύσ. omissis interjectis.

*θρωπον φαμὲν τὸν εὐκαίρως καὶ ἐπιτηδείως εἰδότα χρῆσθαι τοῖς πράγμασιν ἢ τῇ στρατηγίᾳ, καθ' ἣν καὶ Δημοσθένης δεινὸς ἂν λέγοιτο πρὸς τὰς χρείας μεθαρμόζων τὰς ἰδέας· ἄλλος μὲν γὰρ ἐν ἰδιωτικοῖς ἐστιν, ἄλλος δὲ ἐν δημοσίοις·*[5] *νῦν οὖν οὐ περὶ ταύτης τῆς δεινότητος λέγει, ἀλλὰ περὶ τῆς οὔσης καὶ δοκούσης, ἥνπερ μόνην οἱ πολλοὶ δεινότητα ὀνομάζουσι. β'. Π ρ ο κ α τ α ρ κ τ ι κ α ῖ ς,*[6] *προκαταρκτικὰς λέγει τὰ προοίμια, καταρκτικὰς*[7] *δὲ, ὅταν πολλὰ διηγούμενος, εἶτα εἰς κατάστασιν καὶ ἀρχὴν*[8] *ἐπαναγάγῃ τὸν λόγον. γ'. Π ό τ ε μ ὲ ν δ ε ῖ·*[9] *οὐ γὰρ ἀεὶ λεκτέον ἐστίν· ἐπὶ πᾶσι γὰρ ἄριστος ὁ καιρὸς οὐχ ἧττον*[10] *ἢ τὸ μέτρον· καὶ γὰρ Ἰσοκράτης ἐν συμποσίῳ αἰτούντων αὐτόν τινων λέγειν ἔφησεν· οὗ μὲν ἐγὼ δεινὸς, οὐχ ὁ νῦν καιρὸς, οὗ δὲ ὁ νῦν καιρὸς, οὐκ ἐγὼ δεινός. δ'. Τ ὸ ν Σ ι μ ω ν ί δ η ν· οὗτος πάσης ἐπιστήμων ποιητικῆς καὶ μουσικῆς ὑπῆρχεν, ὡς ἐκ νεότητος ἄχρι*[12] *γήρως ἐν τοῖς ἀγῶσι νικᾷν, ὡς καὶ τὸ ἐπίγραμμα δηλοῖ·*

*Ἦρχε μὲν Ἀδείμαντος Ἀθηναίοις, ὅτ' ἐνίκα*[13]
*Ἀντιοχὶς φυλὴ*[14] *δαιδάλεον τρίποδα.*
*Ξεινοφίλου δέ τις υἱὸς Ἀριστείδης ἐχορήγει,*
*Πεντήκοντ'*[15] *ἀνδρῶν καλὰ μαθόντι χορῷ.*

---

5 T. VII. *καὶ τῶν δημοσίων ἄλλος μὲν ἐν συμβουλευτικοῖς, οὕτως ἰδίως λεγομένοις, ἄλλος δὲ ἐν Φιλιππικοῖς.* 6 Ald. *προκαταρκτικοῖς.* 7 T. VII. *καταστατικὰς, ὅταν λέγῃς.* 8 T. VII. *καὶ ἐπανάληψιν ἐπανάγῃς τὸν λόγον καὶ ἐπισημαίνῃς.* 9 T. VII. δ. Ven. *Τά τε εἴδη τοῦ λόγου καὶ τὰ λοιπά· τὰς ἰδέας φησι καὶ τὰ ἑκάστης ἰδέας ποιητικά· καὶ ἔτι τῶν προειρημένων ἕκαστα, πότε μὲν δεῖ, πότε δὲ μὴ δεῖ λέγειν, καὶ ποῦ καὶ μέχρι πόσου καὶ πρὸς ὅν τινα καὶ πῶς καὶ διότι.* 10 Mon. *ἢ τοῦτον ἢ τὸ μέτερον.* 11 T. VII. *τινῶν αὐτόν.* 12 T. VII. ε. *μέχρις ὀγδοιήκοντα ἐτῶν νικᾷν ἐν τοῖς ἀγῶσιν Ἀθήνησιν* [Ald. *νικᾶ*]. 13 Par. 2977. *ὅτι ἠνίκα φυλακὴ,* sine *Ἀντιοχίς.* 14 Ald. *φιλή.* Mon. *δεδάλαιον.* 15 Ald.

Ἀμφὶ διδασκαλίᾳ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος.
Ὀγδωκονταετεῖ[16] παιδὶ[17] Λεωπρεπέος:

βάρβιτον[18] δέ ἐστιν εἶδος ὀργάνου. ε. Οὐ γὰρ δεινὸν ἀοιδόν· ὁ γὰρ[19] βαθείαις ἐννοίαις χρώμενος τοῖς μὲν πολλοῖς νομίζεται δεινὸς, τοῖς δὲ ἀκριβέσιν οὐδαμῶς.
411 ϛ. Μέγας τῷ λόγῳ· μέγας[20] ὡς μεγέθους καὶ ἀξιώματος μετέχων· ὑπὲρ Ἑλλήνων γὰρ ἀδικουμένων καὶ[21] κατὰ βαρβάρων ἀσεβούντων ἐποιεῖτο τοὺς λόγους.

Δεινὸς τοίνυν λόγος καὶ ἔστι καὶ εἶναι[22] δοκεῖ, καὶ τὰ λοιπά.

α. Εἴδει τινὶ, τουτέστιν ἢ λαμπρότητι ἢ τραχύτητι ἢ καὶ ἀμφοῖν· κατὰ κοινοῦ δὲ τὸ φαίνεται. β. Κέχρηται μέν· περὶ μεγάλων[23] γὰρ καὶ δημοσίων πραγμάτων ποιούμενος τοὺς λόγους ὁ Δημοσθένης εἰκότως τῇ φαινομένῃ καὶ οὔσῃ δεινότητι κέχρηται, ἵνα καὶ τοῖς ἀκροωμένοις ἀξιόπιστος εἶναι δοκῇ, τῷ εἰς δέον ἑκάστῳ κεχρῆσθαι τῶν ἐπιχειρημάτων καὶ τοῖς ἀντιλέγουσι μὴ λίαν εὐκαταγώνιστος φαίνηται· ἐν δὲ[24] τοῖς Φιλιππικοῖς

πεντήκοντα. 16 Par. 2977. ὀγδωκονταετεῖ Mon. Par. 2916. ὀγδοηκ. Ald. et Par. ὀγδοκοντ. in Par. manus serior η inscripsit. Hic versus legitur etiam apud Aristid. περὶ τοῦ παραφθ. T. II. p. 379. Jebb. p. 511. Dind. Ultimum distichon habet Plut. an seni sit ger. resp. c. 3. Cfr. Clinton. fast. Hellen. p. 35. ed. Krueger. 17 Mon. παισί. Post Λεωπρ. T. VII. addit: φασὶ δὲ αὐτὸν μετὰ τὴν νίκην πλεῦσαι πρὸς Ἱέρωνα καὶ μετ᾽ ὀλίγον ἐν Σικελίᾳ τελευτῆσαι. 18 ex Sch. min. 19 T. VII. ϛ. 20 T. VII. η. μέγας μέν. 21 καὶ T. VII. om. Sq. ἀσεβούντων ex T. VII. recepi. Id. ἐποίει τοὺς λ. διῃρμένος δὲ ὡς κομματικὸς, τραχύτητι γὰρ καὶ ὁ τοιοῦτος προσήκει, σφοδρὸς, ὡς μηδὲ κομματικὸς πολλάκις ὑπάρχων, ἀλλὰ κατ᾽ ὄνομα τὸν λόγον ἀναπαύων, οἷον ὁ φαρμακὸς, ὁ λοιμός. 22 Ald. ὁ μὲν καὶ ἔστι εἶναι δοκεῖ. 23 T. VII. ι. ια. 24 T. VII. Διὰ τί κέχρηται [Mon. διακέχρηται] ἐν φιλ. τῇ φανερᾷ, ἴσως. — Sch. min. φημὶ τέλος χαριέστε-

κοῖς τῇ φανερᾷ χρῆται δεινότητι, ἴσως ἵνα τῶν ἄλλων ῥητόρων καταφρονήσαντες αὐτῷ πειθαρχήσωσιν, ὡς κατὰ δεινότητα τὸ συμφέρον μᾶλλον τῶν ἄλλων εὑρίσκοντι. γ'. Ἀληθινῇ δὲ μᾶλλον· μὴ [25] προλέγων γὰρ, ὡς θαυμάζει ἢ ἀγανάκτεῖ, ὅπερ μέθοδός ἐστιν ἀφελείας, [26] οὕτως ἑκάτερον εἴργασται [27] τῶν παραδειγμάτων· [28] καὶ σφοδρότητος [29] δὲ μετέχει ταῖς ἀποστροφαῖς, καὶ κάλλους τοῖς παρίσοις. [30] δ'. Δι' ἐνάργειαν· διὰ τὴν ἔμφασιν, ἥτις ἐστὶν ἡ δήλωσις τῆς τροπῆς. ε'. Τὸ κατὰ συστροφήν· ἀντὶ τοῦ περιοδικὸν καὶ συνεσφιγμένον. ϛ'. Τάγε μὴν τοῦ Λυσίου· πανταχοῦ γὰρ ὁ Λυσίας, ὡς καὶ Διονύσιός φησι, τῇ οὔσῃ μὲν, μὴ δοκούσῃ δὲ χρῆται [31] δεινότητι· καί φησι [32] περὶ αὐτοῦ ἐν τῷ περὶ μιμήσεως τάδε· „πεποίηται γὰρ αὐτοῦ τὸ ἀποίητον καὶ οὐ λέλυται [33] τὸ λελυμένον, καὶ τὸ μὴ δοκοῦν δεινῶς [34] κατεσκευάσθαι δεινῶς ἔχει· [35] ταύτην δὲ αὐτοῦ τὴν δει-

---

ρον· ἀλλὰ ταῦτα φήσει· ποῖα τὸ γὰρ ἔγωγέ τί φημι καὶ τὰ ἑξῆς. Τὰ λοιπὰ εἴδη· οἷον σχήματα, λέξεις καὶ τὰ λοιπά. Περὶ τὴν μέθοδον· πῶς δεῖ ἐκβάλλειν τὴν διάνοιαν, διὰ ποίας λέξεως, διὰ ποίας συνθήκης καὶ τὰ τοιαῦτα. Εἴδει τινὶ λόγου χρησάμενος· ἢ λαμπρότητι, ἢ τραχύτητι, ἢ καὶ ἀμφοῖν. ibid. κατὰ κοινοῦ τὸ φαίνεται. Τοιαύτης δεινότητος· τῆς οὔσης καὶ δοκούσης. Καὶ ἠθική· δοκεῖ εἶναι ἀπὸ κοινοῦ καὶ φαίνεται. ib. ἡ μέθοδος καὶ ἡ ἐξαγγελία. Ἡ ἐξαγγελία· λέξις. Καὶ αἱ τοιαῦται· αἱ παράδοξοι καὶ βαθεῖαι καὶ βίαιοι. 25 Sch. min. repetunt: οὐ προλ. γὰρ ὡς θαυμάζων ἀγανακτεῖ — ἀφελείας. 26 Ald. T. VII. ἀληθείας. Sch. min. ἀφελείας. 27 Ven. εἰργάσατο. 28 T. VII. add.: τά τε πρότερα καὶ τὰ ὕστερα. 29 Ald. σφοδρότητι. 30 T. VII. add.: καὶ ὁμοιοτελεύτοις. Litt. δ. abest a T. VII. 31 T. VII. κέχρηται. 32 T. VII. βοᾷ περὶ αὐτῆς διαῤῥήδην. 33 Ven. δέδεται. sine οὐ, ut supra p. 446. 34 δεινῶς κατεσκ. Mon. om. [Ald. κατασκευάσθαι.] 35 Sequitur in Ven. τὸ γὰρ σφόδρα ἠθικαῖς καὶ ἀνειμέναις καὶ ταῖς ἐννοίαις καὶ τῇ λέξει καὶ πᾶσι τοῖς ἑπομένοις ἕως τοῦ σφόδρα οἶμαι δεινοῦ

νότητα καὶ ἐκ πάντων μὲν αὐτοῦ δυνατὸν φωρᾶσαι τῶν λόγων, ἀρκέσει δὲ καὶ τοῦ κατὰ Διογείτονος ὀλίγα παρατεθέντα πρόδηλον ἡμῖν τὴν τοῦ ῥήτορος ἰδέαν καταστῆσαι. Διόδοτος γὰρ Διογείτονος τοῦ ἀδελφοῦ θυγατέρα γήμας καὶ σχὼν ἐξ αὐτῆς παῖδας ἐξιὼν ἐπὶ πόλεμον ἐν τοῖς Πελοποννησιακοῖς ἐπίτροπον καταλιμπάνει τῶν παίδων τὸν ἀδελφὸν, καὶ μαχόμενος ἐν Ἐφέσῳ τελευτᾷ τὸν βίον· Ἀθηναίων δέ τις γήμας τὴν Διοδότου μὲν θυγατέρα, Διογείτονος δὲ θυγατριδῆν, ἐγράψατο Διογείτονα κακῆς ἐπιτροπῆς τῶν παίδων· ᾧ Λυσίας [36] γέγραφε τὸν κατὰ Διογείτονος λόγον· ἄξιον οὖν [37] ἔκ τε τοῦ προοιμίου καὶ ἐκ τῆς ἀρχῆς τῆς διηγήσεως τὸ ὑπορύττον [38] ἀτεχνῶς τῆς Λυσίου κατανοῆσαι δεινότητος. „εἰ μὲν [39] μὴ μεγάλα ἦν, ὦ ἄνδρες, τὰ διαφέροντα, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα, νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι, εἰδώς τε, ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες [40] ἔχοντες ἔλαττον [41] ὑπὸ τῶν προσηκόντων οὐκ ἀνέχεσθαι δύνανται· ἐπειδὴ μέντοι, ὦ ἄνδρες, [42] πολλῶν χρημάτων ἀπεστέρηνται καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ᾽ ὧν ἥκιστα ἐχρῆν, ἐπ᾽ ἐμὲ [43] κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν [44] ὑπὲρ αὐτῶν· ἔχω δὲ τούτων μὲν ἀδελφὴν, Διογείτονος δὲ θυγατριδῆν, καὶ πολλὰ δεηθεὶς ἀμφοτέρων, τὸ μὲν

---

λόγου οὐ μὴν δοκοῦντος γε εἶναι τοιούτου. Tum T. VII. τὴν Λυσίου δεινότητα τὴν οὖσαν μὲν, μὴ δοκοῦσαν δὲ καὶ ἐκ πάντων. 36 T. VII. Λυσίας om. Ven. post λόγον ponit: ὁ Λυσ. 37 Ald. ὄν. T. VII. οὖν. 38 Ven. ὑπόρυπον. 39 Or. in Diog. init. p. 388. Bekk. 40 T. VII. εἴτινες. 41 Ven. ἔλ. ὑπὸ τῶν προσ. ἔχοντες ἀνέχ. μὴ δύνωνται. Tum Mon. ἐπειδὴ μέντοι ἐν πολλῷ χρημάτων. 42 T. VII. ὦ δικασταί. 43 Ald. ἐμὲ δέ. T. VII. δὲ om. 44 εἰπεῖν Ald. Mon. Par. 2916. om. recepi ex Ven.

πρῶτον ἔπεισα αὐτοὺς τοῖς φίλοις ἐπιτρέψαι τὴν [45] δίαιταν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι· ἐπειδὴ δὲ ὁ Διογείτων, ἃ φανερῶς ἔχων ἐξηλέγχετο, περὶ τούτων οὐδενὶ τῶν αὑτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἠβουλήθη καὶ φεύγειν δίκας καὶ μὴ οὔσας διώκειν καὶ καθυπομένειν [46] τοὺς ἐσχάτους κινδύνους μᾶλλον ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀποδείξω οὕτως αἰσχρῶς αὐτοὺς [47] ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου, ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν μηδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια, εἰ δὲ μή, τούτῳ μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους εἶναι.“ ἄρχεται δὲ τῆς διηγήσεως ὧδε. „Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες, Διόδοτος καὶ Διογείτων ὁμοπάτριοι καὶ ὁμομήτριοι, καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν· 412 ἐργασαμένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα, πείθει αὐτὸν λαβεῖν Διογείτων [48] τὴν ἑαυτοῦ θυγατέρα·“ ὁρᾷς ὅπως εὐθὺς ἐκ προοιμίων ὁ Λυσίας ἠθικὸν ἀπεργάζεται τὸν [49] λόγον ἀφελέσι σφόδρα ταῖς τε ἐννοίαις καὶ ταῖς μεθόδοις χρώμενος· καὶ πολλὴν ἐπιείκειαν τῷ διώκοντι μαρτυρῶν τῷ τε ἑκόντα μειονεκτεῖν καὶ ἄκοντα δῆθεν ἰέναι πρὸς λόγον· [50] πολλῇ δὲ κέχρηται τῇ δεινότητι πικρῶς ἐκπεριερχόμενος τὴν τοῦ προσώπου ποιότητα, ὅτι πάππος ὢν καὶ θεῖος τοὺς ἐγγόνους ἀδικεῖ καὶ ἀδελφιδοῦς, κατὰ ἀδικήματα οὐκ εὐκαταφρόνητα, ἀλλὰ πολλὰ [51] καὶ δεινά· ὁμοίως δὲ τῷ προοιμίῳ καὶ ἡ διήγησις ἠθικῶς τε καὶ δεινῶς ἐσκευώρηται, [52] ὡς πάντας ἂν

---

45 T. VII. διαιτᾷν [Mon. δίαιταν]. 46 καθυπομένειν — δίκαια Ven. om. 47 αὐτοὺς ex T. VII. recepi. 48 T. VII. Διογείτων λαβεῖν τὴν ἐξ αὐτοῦ. 49 τὸν T. VII. om. 50 Ven. inserit: καὶ τῇ λέξει καθαρᾷ κεχρημένος δοκεῖ μὲν ἀφελῶς προάγειν τὸν λόγον. 51 T. VII. καὶ πολλά. 52 Mon. ἐσκεώρηται.

ὀμόσαι μηδένα [53] ἀδικώτερον εἶναι Διογείτονος. τῇ δὲ ὄψει [54] ἔξωθεν τοῦ λόγου πολλή τις ἡ ἀφέλεια καὶ καθαρότης ἐπανθεῖ. ζ. Ὑπορύττειν· [55] ἐκ μεταφορᾶς τῶν ἐπιβουλευόντων [56] δι' ὑπονόμων ὀρυγμάτων ταῖς πόλεσι. ή. Καὶ αὐτόν πως· τὸν ῥήτορα τὸν κατασκευάζοντα τὴν οὖσαν καὶ μὴ δοκοῦσαν δεινότητα.

Φαίνεται δὲ λόγος δεινὸς οὐκ ὢν τοιοῦτος, καὶ τὰ λοιπά.

Φαίνεται δέ· Διονύσιος [1] ἐν τῷ δευτέρῳ περὶ χαρακτήρων περὶ Γοργίου [2] τάδε φησίν, ὅτι τῆς ἰδέας αὐτοῦ τῶν λόγων τοιοῦτος ὁ χαρακτήρ· ἐγκωμιάζει δὲ τοὺς

---

Par. 2916. 2977. ἐσκευώρηται. 53 Mon. μηδέν. 54 T. VII. ἔξωθεν ὄψει. 55 Litt. ζ et η sunt ex sch. min. 56 Sch. min. ταῖς οἰκίαις, οὓς τοιχωρύχους φαμέν. — Sch. min.: Δι' ἐνάργειαν· διὰ τὴν ἔμφασιν, ἥτις ἐστὶν ἡ δήλωσις τῆς τροπῆς. Τὸ κατὰ συστροφήν· ἀντὶ τοῦ συνεσφιγμένον, ὡς ἔχει τό, οἷς γὰρ ἂν ἐγὼ ληφθείην. — Φύσει φησὶν ἔχειν καὶ δοκεῖν ἔχειν τὴν δεινότητα τὸ κατὰ συστροφὴν σχῆμα, δύναμιν γὰρ τὴν δεινότητα ἐκάλεσεν. — Ὁ γὰρ Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδούς, πῶς ἂν Μεσσήνην Λακεδαιμονίοις ἀφεῖναι κελεύων τὸ τὰ δίκαια νομίζειν ταῦτ' εἶναι σκήψαιτο. Τοῦ δ' αὖ μὴ δοκοῦντος· ταύτην καὶ μέθοδον δεινότητος ὀνομάζει ὁ τεχνικός. Ἐν δὲ τῇ μεθόδῳ· αὕτη ἡ μέθοδος οὔτε περὶ τὴν λέξιν, οὔτε περὶ τὰ σχήματα γίνεται, ὡς αἱ λοιπαί, ἀλλὰ τὸ πῶς δεῖ ἐκβάλλειν τὰ νοήματα, ὅπερ ἐστὶ μέθοδος. Πᾶσι δὴ τούτοις· ἐπανάληψις. — Περὶ καταστάσεως ἤγουν προδιηγήσεως καὶ περὶ καταστάσεως, ἥτις ἐστὶν ἡ αὐτὴ ἡ διήγησις, ὅλος ὁ δεύτερος τόμος τῶν εὑρέσεων διαλαμβάνει. — Σημείωσαι, ὅτι τὴν οὖσαν μέν, μὴ δοκοῦσαν δὲ μᾶλλον ἐξαίρει καὶ ἐξυμνεῖ.

1 T. VII. add.: ὁ πρεσβύτερος. 2 T. VII. λέγων [Mon. λέγει] τάδε φησί· δικανικοῖς μὲν οὖν αὐτοῦ [Ven. οὐ περιέτυχον αὐτοῦ λ.] οὐ περιέτυχον λόγοις, δημηγορικοῖς δὲ ὀλίγοις καί τισι καὶ τέχναις, τοῖς δὲ πλείοσιν ἐπιδεικτικοῖς· τῆς δὲ ἰδέας [Ven. Par. 2977. ταῖς δὲ ἰδέαις] αὐτοῦ τῶν λόγων κ. τ. λ.

ἐν πολέμοις ἀριστεύσαντας Ἀθηναίων· „τί γὰρ ἀπῆν τοῖς ἀνδράσι τούτοις, ὧν δεῖ ἀνδράσι προσεῖναι; τί δὲ καὶ προσῆν ὧν οὐ δεῖ[3] προσεῖναι; εἰπεῖν δυναίμην ἃ βούλομαι, βουλοίμην[4] δ' ἃ δεῖ, λαθὼν μὲν τὴν θείαν[5] νέμεσιν, φυγὼν δὲ τὸν ἀνθρώπινον φθόνον· οὗτοι γὰρ ἐκέκτηντο ἔνθεον μὲν τὴν ἀρετὴν, ἀνθρώπινον δὲ τὸ θνητὸν, πολλὰ[6] μὲν δὴ τὸ παρὸν ἐπιεικὲς τοῦ αὐθάδους δικαίου προκρίνοντες, πολλὰ δὲ νόμου ἀκριβείας λόγων ὀρθότητα, τοῦτο[7] νομίζοντες θειότατον καὶ κοινότατον νόμον, τὸ δέον ἐν τῷ δέοντι καὶ[8] λέγειν καὶ σιγᾶν καὶ ποιεῖν, καὶ[9] δισσὰ ἀσκήσαντες μάλιστα ὧν δεῖ,[10] γνώμην τὴν μὲν βουλεύον-

---

3 Mon. 327. οὐδέσι προσ. 4 Weber. in ephemerid. scholast. a. 1827. P. II. nr. 78. p. 620. mavult: βούλομαι δὲ ἃ δεῖ, vel βουλοίμην δ' ἂν ἃ δεῖ. Tum Ald. δὲ ἅ. T. VII. δ' ἅ. 5 Ald. θεῖαν. Weber. scripsit Νέμεσιν. 6 πολλὰ μὲν δὴ — λόγων ὀρθότητα Ven. om. — Mon. 8. habet προκρίνοντι et ὀρθότητος. Pro παρὸν Foss. (de Gorgia Leont. Comment. Hal. 1828.) scribendum censet παριὲν, „potiorem enim illi justitia, quae severe exigit, aequitatem duxerunt comiter indulgentem.“ 7 Weber mavult: τοῦτον. 8 καὶ λέγειν καὶ Mon. 8. om. Spengel. τεχν. συναγ. p. 79. deesse suspicatur καὶ ἐᾶν. 9 καὶ δισσὰ — ἀποτελοῦντες Ven. om. 10 Hardion in dissertatione de origine et progressibus rhetoricae in Graecia (Memoires de l'Academie des Inscriptions et Belles Lettres T. XIX. p. 203 sqq. et Geel. in hist. crit. Sophistarum p. 60. post μάλιστα lacunam statuunt, quam Geel. ita explet: ἓν μὲν ἀρετὴν, ἓν δὲ γνώμην, τὴν μὲν βουλ. Schoenborn. in diss. de authentia declamationum, quae Gorgiae Leontini nomine exstant, (Vratisl. 1826.) p. 9. pro ὧν scribit οὖν, „et duplici igitur modo inprimis prudentiam adhibuerunt, cum consilium capientes, tum persequentes“. Weber. l. l. οἷον. Ald. ὧν δή. Mon. 8. ὧν δ' εἰ. Mon. 327, Ven. Par. 2916. ὧν δεῖ, quod Foss. p. 73. conjectura assecutus est. Idem post γνώμην apte addit verba: καὶ ῥώμην coll. Aristoph. Av. 641. 642.

τες τὴν δ᾽ [11] ἀποτελοῦντες, θεράποντες μὲν τῶν ἀδίκως δυστυχούντων, κολασταὶ δὲ τῶν ἀδίκως εὐτυχούντων, αὐθάδεις πρὸς τὸ συμφέρον, [12] εὐόργητοι [13] πρὸς τὸ πρέπον, τῷ φρονίμῳ τῆς [14] γνώμης παύοντες τὸ ἄφρον, ὑβρισταὶ εἰς τοὺς ὑβριστὰς, κόσμιοι εἰς τοὺς κοσμίους, ἄφοβοι εἰς τοὺς ἀφόβους, [15] δεινοὶ ἐν τοῖς δεινοῖς. μαρτυρίας [16] δὲ τούτων τρόπαια ἐστήσαντο [17] τῶν πολεμίων, Διὸς μὲν ἀγάλματα, τούτων δὲ ἀναθήματα, [18] οὐκ ἄπειροι οὔτε ἐμφύτου Ἄρεος, οὔτε νομίμων ἐρώτων, οὔτε ἐνοπλίου ἔριδος, οὔτε φιλοκάλου εἰρήνης, σεμνοὶ μὲν πρὸς [19] τοὺς θεοὺς τῷ δικαίῳ, ὅσιοι δὲ πρὸς τοὺς τοκέας τῇ θεραπείᾳ, δίκαιοι πρὸς τοὺς ἀστοὺς τῷ ἴσῳ, εὐσεβεῖς δὲ πρὸς τοὺς φίλους τῇ πίστει· τοιγαροῦν αὐτῶν ἀποθανόντων ὁ πόθος οὐ συναπέθανεν, [20] ἀλλ᾽ ἀθάνατος [21] οὐκ

---

11 Ald. τὴν δέ. Mon. 8. τῶν δ᾽. Par. 2916. τῶν δέ. Par. 2977. Ven. τὴν δ᾽. 12 αὐθάδεις πρὸς τὸ συμφ. Ven. om. 13 Ald. ἀόρτιτοι. Hardion. ἀήττητοι. Geel. ἄρτιοι. Weber. novam vocem creat: ἀορτῖται, quam commendari censet voce simplice τίτας Aesch. Choëph. 65. et ἀτίτας Eumen. 252. Mon. 327. Par. 2918. ἀόργητοι, ut Foss. p. 75. scribendum esse conjecit, ita explicans; „nec λίαν ὀργίλοι erant bellatores isti, sed αὐθάδεις πρὸς τὸ συμφέρον (constantes et firmi, quantum proderat), neque vero ὅλως ἀόργητοι, sed ἀόργητοι πρὸς τὸ πρέπον (clementes, quantum decebat), coll. Aristot. Eth. magn. I. c. 7. εἰ μὲν λίαν ὀργίλως, κακῶς ἔχομεν πρὸς ὀργὴν, εἰ δ᾽ ὅλως μὴ ὀργιζόμεθα ἐφ᾽ οἷς δεῖ, καὶ οὕτως κακῶς ἔχομεν πρὸς ὀργήν. Mon. 8. εὐέργητοι. Par. 2977. 2916. Ven. εὐόργητοι, bene dispositi, ut ὀργὴ = τρόπος. Valck. ad Eur. Hippol. 1038. Erf. ad Sophocl. Ant. 354. Blomf. ad Aesch. Prom. 386. 14 Mon. 8. τῷ τε γνώμης. 15 Ald. ἀφρόβους, vitio typogr. 16 Ald. μαρτυρία. Mon. 8. Par. 2916. 2977. μαρτυρίας. 17 Spengel. conjicit: ἔστησαν. 18 Mon. 8. ἀνθήματα. 19 Ald. ἐς. Ven. Mon. 8. Par. 2916. 2977. πρός. 20 Mon. 8. συναπέθανε. 21 Ven. Par. 2916. ἀλλὰ θάνατος. Tum Ald. οὐκ ἐν ἀσωμάτοις. — Har-

ἐν ἀθανάτοις σώμασι ζῇ οὐ ζώντων." Σεμνὰς γὰρ ἐνταῦθα συμφορήσας λέξεις ὁ Γοργίας ἐννοίας ἐπιπολαιοτέρας ἐξαγγέλλει τοῖς τε παρίσοις καὶ ὁμοιοτελεύτοις καὶ ὁμοιοκατάρκτοις [22] καλλωπίζων διόλου προσκόρως [23] τὸν λόγον. β. Καὶ δεῖξαι περὶ πάντων· προβλημάτων [24] μέν φησι τῶν παρὰ τοῖς ῥήτορσι καλουμένων ζητημάτων, εἰδῶν δὲ ἤτοι καταχρηστικῶς τῶν ἰδεῶν, ἢ τοῦ δικανικοῦ καὶ συμβουλευτικοῦ καὶ πανηγυρικοῦ· τρόπων δὲ τοῦ ἐνδόξου, [25] τοῦ ἀδόξου, τοῦ μικτοῦ. προκαταρκτικὰ δέ φησι τὰ προοιμιαστικὰ καὶ καταστατικά. [26] ἐν γὰρ ταῖς καταστάσεσι τά τε οἰκεῖα συνιστῶμεν, καὶ τὰ τῶν ἐναντίων

---

dion et Geel. l. l. ἀλλ' ἀθάνατος ὢν ἐν ἀσωμάτοις σώμασι ζῇ. Schönborn. auctore Passovio lectionem Aldinae tuetur, negatione cum verbo ζῇ conjuncta: „desiderium eorum non simul mortuum est, sed immortale, non vivit corporibus, quae jam non sunt corpora, eorum, qui non vivunt. Weber. et Foss. οὐκ cum ἀσωμάτοις jungunt, ita ut ille corporibus sub oculos cadentibus res ab iis gestas significari statuat. Fossio οὐκ ἀσώματα σώματα corpora sunt, quae non item, atque mortua bellatorum corpora, sunt incorporea, sed firmiora illis et apta ad interfectorum memoriam conservandam: nempe ea, quae supra appellata sunt τούτων ἀναθήματα, corporea sane et immortalia de oratorum sententia corpora. Mon. 8. Par. 2916..2918. ἐν οὐκ ἀσωμάτοις. Ven. οὐκ ἐν ἀθανάτοις. Haec antithesis vere Gorgiana. Fortasse levi transpositione opus est, ἐν οὐκ ἀθανάτοις. Aptissime Spengel. laudat Lysiae epitaph. §. 81. ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ καὶ μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵ τινες ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον. Cfr. Anthol. T. II. pag. 379. 22 T. VII ὁμοιοάρκτοις. Ven. ὁμοιάρκτοις καὶ ὁμοιοτελεύτοις. 23 Ald. προςκόρον. Weber. scribit πρόςκορον. Par. 2916.·2918. Ven. Mon. 8. προςκόρως. 24 T. VII. ιη — κ. 25 T. VII. τοῦ ἀδόξου, τοῦ ἐνδόξου. 26 καὶ καταστατικὰ T. VII. om.

διαβάλλομεν.[27] τὸ δὲ ὅλον εἶδος εἶναι τοῦ λόγου, οἷον ἠθικὸν, ἀξιωματικὸν, δεινὸν, σαφὲς, τὸ δὲ κατὰ τόνδε τὸν καιρὸν, τουτέστι προσεχῶς τῶν πραγμάτων,[28] ἐφ' οἷς αἱ δίκαι, ἢ μετὰ χρόνον. γ'. *Καὶ ἐπὶ τῶνδε*·[29] τουτέστι τῶν δικαστῶν ἢ τῶν βουλευτῶν ἢ ἀκροατῶν· ἐπὶ μὲν γὰρ τῶν βουλευτῶν τὰ κατεπείγοντα μόνον δεῖ
413 λέγειν, ἐπὶ δὲ τῶν ἐν Ἀρείῳ πάγῳ δικαστῶν οὐδὲ προοιμιαστέον, ἢ ἐλεεινολογητέον, ἀλλ' αὐτὰ ψιλὰ τὰ πράγματα λεκτέον· πόλεμός τε γὰρ ἐπηρτημένος οὐκ ἐπιδέχεται σχολὴν,[30] καὶ δικαστὴς σώφρων κινοῦντα πρὸς πάθος περιόψεται[31] τὸν λέγοντα. δ'. *Καί τισι μὲν πλεονάσαι*· τὰς γὰρ[32] ἰσχυροτέρας τῶν ἐννοιῶν καὶ ἐφ' αἷς σφόδρα πέποιθεν ὁ λέγων πρώτας τε καὶ τελευταίας ὁ ἐπιστήμων τάξει, ἀτεχνῶς ἐκμιμούμενος Νέστορα,[33] καὶ τοὺς κακοὺς εἰς μέσον ἐλαύνων.

### Περὶ πολιτικοῦ λόγου.

Ὁ πολιτικὸς τοίνυν καλούμενος λόγος γίνεται μὲν διὰ πασῶν τῶν προειρημένων ἰδεῶν, καὶ τὰ λοιπά.

*Ὁ πολιτικός*· παραστήσας πρότερον ἑκάστης ἰδέας τὴν δύναμιν μετῆλθε νῦν ἐπὶ τὸν πολιτικὸν λόγον καὶ τὴν μίξιν αὐτῶν· δεῖ γὰρ τὰ ἁπλᾶ πρὸ τῶν συνθέτων

---

27 T. VII. add.: πρὸς τὸ οἰκεῖον συμφέρον ἐργαζόμενοι τὰς καταστάσεις, ὡς Ἰσοκράτης [φησὶν, quod sequitur, Ven. om.] ἐδίδαξε. 28 T. VII. add.: γεγονότων. 29 T. VII. Τὸ μὲν νῦν σημαίνει τοῦ πράγματος κατεπείγοντος ἢ σχολῆς οὔσης τοῦ βουλεύεσθαι ἐπὶ πλέον· τὸ δὲ ἐπὶ τῶνδε, ἐπὶ δικαστῶν ἢ βουλ. ἢ ἀκρ. Ἐπὶ μὲν γὰρ βουλ. κατεπείγοντος τοῦ πράγματος, ἢ ἐπὶ δικαστῶν τὴν ἀλήθειαν μόνον γνῶναι ἐσπουδακότων, ὥσπερ ἐν Ἀρείῳ πάγῳ οὐδὲ προοιμ. 30 σχολὴν Mon. om. 31 Ven. οὐ περιόψ. Post λέγοντα T. VII. add.: τὸ δὲ πῶς μὲν τοῦτο, πῶς ἃ μὴ δεῖ λέγειν, ἐάσομεν ἄῤῥητα, κατὰ ποίους δὲ τρόπους ὅσα λεχθῆναι προσῆκον εἰσάξομεν. 32 T. VII. μὲν γάρ. 33 Il. δ. 299.

μανθάνειν. β΄. Φημὶ τοίνυν· δεῖ γὰρ κατὰ πρῶτον λόγον σαφῶς ἐπαγγέλλειν διὰ τὸ ἀναγκαῖον ἅμα καὶ χρήσιμον, ὅπως μετ᾽ εὐμαρείας τὸ νοηθὲν μεταδῶμεν·[1] ὁ γὰρ διανοηθείς τι καὶ μὴ φράσας σαφῶς ἐν ἴσῳ εἰ καὶ μὴ ἐνεθυμήθη, ὡς Θουκυδίδης φησίν· ἀλλὰ μὴν ἀεὶ καὶ τὸ ἦθος ἐμφαίνειν,[2] ὅπως πρὸς τὸν ἀγῶνα διάκειται, καὶ ταχέως μεταβαίνειν, καὶ μὴ ἐμβραδύνειν, ἀλλὰ μετὰ γοργότητος ἀπαλλάττεσθαι· φροντίζειν δὲ δεῖ καὶ μεγέθους, ὅπως μὴ εἰς τὸν εὐτελῆ λίαν καὶ ταπεινὸν καταπέσωμεν[3] λόγον. διὸ δὴ[4] καὶ τὴν περιβολὴν δεῖ πλεονάζειν διόλου, καὶ οὐχ ἧττόν γε ἢ τὴν καθαρότητά τε καὶ εὐκρίνειαν. τὰ δὲ λοιπὰ πάντα κατὰ δεύτερον καὶ[5] τρίτον λόγον. γ΄. Προείρηται· ἐν τούτῳ αὐτῷ τῷ πολιτικῷ λόγῳ, ἐν οἷς φησι, τίνων δεῖ ἰδεῶν κατὰ πρῶτον λόγον, τίνων κατὰ δεύτερον, τίνων κατὰ τρίτον. δ΄. Οἷον εὐτέλειαν· εὐτέλειαν λέγει τὴν ὑπτιότητα, σκληρότητα δὲ τὴν ἀσάφειαν. ε΄. Ὥστε εἰ καὶ συμβαίνει·[6] εἴωθε γὰρ ἡ λεπτολογία καὶ[7] τὸ κατὰ μέρος ζητεῖν, καὶ ἡ ἀκριβὴς τῶν νοημάτων ἐπιχείρησίς ὕπτιόν πως τὸν λόγον ποιεῖν. ϛ΄. Δεινότητος δέ· τῆς καὶ οὔσης καὶ φαινομένης μάλιστα· τῆς δὲ μὴ οὔσης μέν, δοκούσης δὲ οὐδαμῶς· λέγω δὴ τῆς κατὰ τὴν λέξιν· τὸ δὲ ἀνεμφάτως ἀντὶ τοῦ μὴ φαινομένως καὶ συγκεκαλυμμένως.

*Τούτου δὲ τοῦ λόγου τοῦ πολιτικοῦ ὁ μέν ἐστι συμβουλευτικός, καὶ τὰ λοιπά.*

Τούτου δὲ τοῦ λόγου· ἴσως ἐν πολιτικῷ λόγῳ

---

1 T. VII. et Sicel. α. 2 Ald. ἐμφαίνει. T. VII. et Sic. ἐμφαίνειν. 3 Sicel. ἐκμετάπέσωμεν. 4 Sicel. δι᾽ ἃ δεῖ καί. Mon. Par. 2977. διὰ δὴ καί. 5 T. VII. Sic. τε καί. 6 Litt. ε. est apud Sic. ια. et Codd. Parr. tomi VII. 7 T. VII. Sic. τῷ τό. Sqq. καὶ ἡ ἀκριβὴς — ἐπιχείρ. om. — v. 22. Ald. δὴ τοῖς. scr. τῆς.

*οὐκ ἂν εὑρεθείη τὸ πανηγυρικὸν εἶδος, οὐ γὰρ ἀγωνιστικόν ἐστιν, ἀλλ' ἐπιδεικτικόν· καὶ οἱ παλαιοὶ ῥήτορες τὸ παράπαν οὐκ ἐχρῶντο αὐτῷ τοῦτον τὸν τρόπον, ᾧ νῦν κέχρηνται, ἀλλὰ πρῶτος Ἰσοκράτης νεώτερον [8] ἔγραψεν ἐγκώμιον. β΄. Ἤθους δέ· ἡ γὰρ εἰρωνεία τὸ ἐναντίον τῷ λεγομένῳ δηλοῖ, οἷον πῶς ὑπὸ τῶν χρηστῶν τούτων ἔχει τὰ πράγματα. διὸ δὴ καὶ ἁρμόττει τῷ συμβουλευτικῷ λόγῳ· τὰ δ' ἄλλα ἠθικὰ ὡς ἐλάχιστα. γ΄. Ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν· [9] ὑπὲρ Μεγαλοπολιτῶν γὰρ λέγων καὶ κατὰ Λακεδαιμονίων τῶν μὲν ἐχθρῶν, τῶν δὲ φίλων οὐκ ἠδύνατό τι λέγειν κατὰ Λακεδαιμονίων ὡς φίλων, οὐδὲ πάλιν αὖ ὑπὲρ Μεγαλοπολιτῶν ὡς ἐχθρῶν. δ΄. Ἥκιστα μετέχει· [10] εἰ γὰρ τὸν συμβουλευτικὸν ἀξιωματικὸν εἶναι δεῖ καὶ δίαρμα ἔχειν καὶ μέγεθος, τόν γε [11] δικανικὸν τοὐναντίον δεῖ χαμαίζηλον καὶ εὔζωνον εἶναι, πλὴν εἰ μή, καθὰ [12] δεδηλώκαμεν, γειτνιάζει τῷ συμβουλευτικῷ· οὐ γὰρ ὥσπερ ἐπὶ τῆς βουλῆς τὸν αὐτὸν τρόπον καὶ ἐπὶ [13] δικανικῶν λόγων ὁ ἀκροατὴς κοινωνεῖ τοῦ ἀγῶνος. [14] ε΄. Τὸ δὲ κατὰ τὰς ἄλλας· οἷον λαμπρότητα, τραχύτητα, βλάπτεται γάρ· σφοδρότητα δέ φησι τὸ κατ' εἰρωνείαν σφοδρόν. ϛ΄. Ὁ τοίνυν κάλλιστος τοῦ πανηγυρικοῦ [15] τὸ μέν ἐστι ποιητικόν, τὸ δὲ ἐν ζητήμασι πολιτικοῖς, τὸ δὲ ἐν λέξει πεζῇ, ὃ καὶ Πλατωνικὸν καὶ ἄριστον· τὸ δὲ ἐν λέξει πεζῇ [16] εἰς τὸ ἀμοιβαῖον διαιρεῖται, ὃ καὶ δραματικὸν καὶ διαλογικὸν [17] καὶ εἰς τὸ ἀφη-*

---

8 Par. νεῶ sequente lacuna. 9 T. VII. et Sicel. κ. 10 T. VII. et Sic. κγ. 11 γε T. VII. Sic. om. 12 T. VII. Sic. καθώς. 13 T. VII. Sic. ἐπὶ τῶν. 14 In Par. 2977. ad marg. adscriptum est: περὶ λόγου δικανικοῦ et paullo post: περὶ μεγάλων πραγμάτων, καὶ ἄνευ συμβουλῆς, quae Mon. in contextum recepit. 15 T. VII. et Sic. κϛ. 16 πεζῇ Ald. om., recepi ex Par. — Sic. et T. VII. πεζῇ λέξει. 17 καὶ διαλογικὸν T. VII. Sic. om.

γηματικόν. ζ. *Πλὴν τραχύτητος*· ἐλλείπει εἰκότως ἥ τε τραχύτης καὶ ἡ σφοδρότης· οὐ γὰρ κινεῖται πρὸς 414 π[illegible] λέγων. διὰ τὸ μὴ ὑποκεῖσθαι πρόσωπα. η. *Πλὴν* ὅ[illegible]θεῶν τι λέγομεν· ἐκεῖ γὰρ οὐ δεῖ νήπιόν [illegible] *οργός γε μήν*·[18] δεῖ γὰρ μᾶλλον ἐμ-[illegible]ιρ χρείας ἕνεκεν,[19] ἀλλὰ κατὰ φιλοθέω-[illegible] γνῶσιν. ι. *Ἐν δὲ*[20] *τοῖς ἀμοιβαί-*[illegible]ποκείμενα πρόσωπα πᾶσα ἰδέα εὑρίσκει [illegible]ως ὥστε καὶ ἰδίᾳ ἑκάστην[21] εἶναι, ἐπεὶ [illegible]στιν ὅπου χώραν εὑρίσκει· ἰστέον[22] δέ, [illegible]ποκειμένων χώραν ἔχει ἐν τῷ τοιούτῳ λόγῳ τω[illegible]υρικῶν ὁ λέγων κινεῖσθαι πρὸς τὸ[23] πάθος.

**Καὶ ὡς μὲν ἐν λογογραφίᾳ τοιοῦτον εἶδος εἶναι δεῖ τὸ πανηγυρικόν, καὶ τὰ λοιπά.**

*Περὶ τῆς προπομπείας*· ἔστι γὰρ ὁ λόγος πολιτικὸς πανηγυρικός· πολιτικὸς μέν, ὅτι ἀμφισβήτησιν ἔχει· πανηγυρικὸς δέ, ὅτι δι᾽ ἐπαίνων ἐστὶ καὶ ψόγων ἡ ὅλη αὐτοῦ διαρτία· ἀνάγκη γὰρ ἑκάτερον τῶν μερῶν ἐξαίρειν μὲν τὸ οἰκεῖον, μειοῦν δὲ τὸ τοῦ ἐναντίου· γειτνιάζειν δὲ δοκεῖ πως τῷ συμβουλευτικῷ ὁ τοιοῦτος λόγος, ἐπεὶ μὴ ἕνεκεν ἡδονῆς γίνεται ἀλλὰ χρείας. β. *Κατὰ τοὺς γεωμέτρας*· οἱ γὰρ γεωμέτραι ἢ ἓξ ἢ τέσσαρας ὅρους τιθέντες ἢ τὸ ἐλάχιστον τρεῖς ἀναλογίας ποιοῦσιν· ἐπὶ μὲν τεσσάρων, οἷον τοῦ β' καὶ δ' καὶ γ' καὶ ς' λέγοντες, ὃν λόγον ἔχει τὰ β' πρὸς τὰ δ', τοῦτον τὰ γ' πρὸς τὰ ς', τὸν ὑποδιπλάσιον γάρ· ἐπὶ δὲ τριῶν οἷον τοῦ β' καὶ δ' καὶ η' οὕτως ὃν λόγον ἔχει τὰ β' πρὸς τὰ δ', τοῦτον τὰ

---

18 T. VII. Sic. κθ. 19 T. VII. Sic. ἕνεκα. 20 T. VII. Sic. λ. ἐν τῷ ἀμοιβαίῳ. 21 Par. καὶ ἰδέαν ἑκάστην. 22 T. VII. Sic. Ἄλλως. προσώπων γὰρ ὑπ. 23 τὸ Par. T. VII. Sic. om.

νότητα καὶ ἐκ πάντων μὲν αὐτοῦ δυνατὸν φωρᾶσαι τῶν λόγων, ἀρκέσει δὲ καὶ τοῦ κατὰ Διογείτονος ὀλίγα παρατεθέντα πρόδηλον ἡμῖν τὴν τοῦ ῥήτορος ἰδέαν καταστῆσαι. Διόδοτος γὰρ Διογείτονος τοῦ ἀδελφοῦ θυγατέρα γήμας καὶ σχὼν ἐξ αὐτῆς παῖδας ἐξιὼν ἐπὶ πόλεμον ἐν τοῖς Πελοποννησιακοῖς ἐπίτροπον καταλιμπάνει τῶν παίδων τὸν ἀδελφὸν, καὶ μαχόμενος ἐν Ἐφέσῳ τελευτᾷ τὸν βίον· Ἀθηναίων δέ τις γήμας τὴν Διοδότου μὲν θυγατέρα, Διογείτονος δὲ θυγατριδῆν, ἐγράψατο Διογείτονα κακῆς ἐπιτροπῆς τῶν παίδων· ᾧ Λυσίας [36] γέγραφε τὸν κατὰ Διογείτονος λόγον· ἄξιον οὖν [37] ἔκ τε τοῦ προοιμίου καὶ ἐκ τῆς ἀρχῆς τῆς διηγήσεως τὸ ὑπορύττον [38] ἀτεχνῶς τῆς Λυσίου κατανοῆσαι δεινότητος. „εἰ μὲν [39] μὴ μεγάλα ἦν, ὦ ἄνδρες, τὰ διαφέροντα, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα, νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι, εἰδώς τε, ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες [40] ἔχοντες ἔλαττον [41] ὑπὸ τῶν προσηκόντων οὐκ ἀνέχεσθαι δύνανται· ἐπειδὴ μέντοι, ὦ ἄνδρες, [42] πολλῶν χρημάτων ἀπεστέρηνται καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ᾽ ὧν ἥκιστα ἐχρῆν, ἐπ᾽ ἐμὲ [43] κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν [44] ὑπὲρ αὐτῶν· ἔχω δὲ τούτων μὲν ἀδελφὴν, Διογείτονος δὲ θυγατριδῆν, καὶ πολλὰ δεηθεὶς ἀμφοτέρων, τὸ μὲν

---

λόγου οὐ μὴν δοκοῦντος γε εἶναι τοιούτου. Tum T. VII. τὴν Λυσίου δεινότητα τὴν οὖσαν μὲν, μὴ δοκοῦσαν δὲ καὶ ἐκ πάντων. 36 T. VII. Λυσίας om. Ven. post λόγον ponit: ὁ Λυσ. 37 Ald. ὄν. T. VII. οὖν. 38 Ven. ὑπόρυπον. 39 Or. in Diog. init. p. 388. Bekk. 40 T. VII. εἴτινες. 41 Ven. ἔλ. ὑπὸ τῶν προσ. ἔχοντες ἀνέχ. μὴ δύνωνται. Tum Mon. ἐπειδὴ μέντοι ἐν πολλῷ χρημάτων. 42 T. VII. ὦ δικασταί. 43 Ald. ἐμὲ δέ. T. VII. δὲ om. 44 εἰπεῖν Ald. Mon. Par. 2916. om. recepi ex Ven.

πρῶτον ἔπεισα αὐτοὺς τοῖς φίλοις ἐπιτρέψαι τὴν [45] δίαιταν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι· ἐπειδὴ δὲ ὁ Διογείτων, ἃ φανερῶς ἔχων ἐξηλέγχετο, περὶ τούτων οὐδενὶ τῶν αὐτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ᾽ ἠβουλήθη καὶ φεύγειν δίκας καὶ μὴ οὔσας διώκειν καὶ καθυπομένειν [46] τοὺς ἐσχάτους κινδύνους μᾶλλον ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀποδείξω οὕτως αἰσχρῶς αὐτοὺς [47] ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου, ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν μηδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια, εἰ δὲ μή, τούτῳ μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους εἶναι.“ ἄρχεται δὲ τῆς διηγήσεως ὧδε. „Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες, Διόδοτος καὶ Διογείτων ὁμοπάτριοι καὶ ὁμομήτριοι, καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώ- 412
νουν· ἐργασαμένου δὲ Διοδότου κατ᾽ ἐμπορίαν πολλὰ χρήματα, πείθει αὐτὸν λαβεῖν Διογείτων [48] τὴν ἑαυτοῦ θυγατέρα·“ ὁρᾷς ὅπως εὐθὺς ἐκ προοιμίων ὁ Λυσίας ἠθικὸν ἀπεργάζεται τὸν [49] λόγον ἀφελέσι σφόδρα ταῖς τε ἐννοίαις καὶ ταῖς μεθόδοις χρώμενος· καὶ πολλὴν ἐπιείκειαν τῷ διώκοντι μαρτυρῶν τῷ τε ἑκόντα μειονεκτεῖν καὶ ἄκοντα δῆθεν ἰέναι πρὸς λόγον· [50] πολλῇ δὲ κέχρηται τῇ δεινότητι πικρῶς ἐκπεριερχόμενος τὴν τοῦ προσώπου ποιότητα, ὅτι πάππος ὢν καὶ θεῖος τοὺς ἐγγόνους ἀδικεῖ καὶ ἀδελφιδοῦς, κατὰ ἀδικήματα οὐκ εὐκαταφρόνητα, ἀλλὰ πολλὰ [51] καὶ δεινά· ὁμοίως δὲ τῷ προοιμίῳ καὶ ἡ διήγησις ἠθικῶς τε καὶ δεινῶς ἐσκευώρηται, [52] ὡς πάντας ἂν

---

45 T. VII. διαιτᾷν [Mon. δίαιταν]. 46 καθυπομένειν — δίκαια Ven. om. 47 αὐτοὺς ex T. VII. recepi. 48 T. VII. Διογείτων λαβεῖν τὴν ἐξ αὐτοῦ. 49 τὸν T. VII. om. 50 Ven. inserit: καὶ τῇ λέξει καθαρᾷ κεχρημένος δοκεῖ μὲν ἀφελῶς προάγειν τὸν λόγον. 51 T. VII. καὶ πολλά. 52 Mon. ἐσκευώρηται.

ὀμόσαι μηδένα [53] ἀδικώτερον εἶναι Διογείτονος. τῇ δὲ ὄψει [54] ἔξωθεν τοῦ λόγου πολλή τις ἡ ἀφέλεια καὶ καθαρότης ἐπανθεῖ. ζ. Ὑπορύττειν· [55] ἐκ μεταφορᾶς τῶν ἐπιβουλευόντων [56] δι' ὑπονόμων ὀρυγμάτων ταῖς πόλεσι. η. Καὶ αὐτόν πως· τὸν ῥήτορα τὸν κατασκευάζοντα τὴν οὖσαν καὶ μὴ δοκοῦσαν δεινότητα.

Φαίνεται δὲ λόγος δεινὸς οὐκ ὢν τοιοῦτος, καὶ τὰ λοιπά.

Φαίνεται δέ· Διονύσιος [1] ἐν τῷ δευτέρῳ περὶ χαρακτήρων περὶ Γοργίου [2] τάδε φησίν, ὅτι τῆς ἰδέας αὐτοῦ τῶν λόγων τοιοῦτος ὁ χαρακτήρ· ἐγκωμιάζει δὲ τοὺς

Par. 2916. 2977. ἐσκευώρηται. 53 Mon. μηδέν. 54 T. VII. ἔξωθεν ὄψει. 55 Litt. ζ et η sunt ex sch. min. 56 Sch. min. ταῖς οἰκίαις, οὓς τοιχωρύχους φαμέν. — Sch. min.: Δι' ἐνάργειαν· διὰ τὴν ἔμφασιν, ἥτις ἐστὶν ἡ δήλωσις τῆς τροπῆς. Τὸ κατὰ συστροφήν· ἀντὶ τοῦ συνεσφιγμένον, ὡς ἔχει τό, οἷς γὰρ ἂν ἐγὼ ληφθείην. — Φύσει φησὶν ἔχειν καὶ δοκεῖν ἔχειν τὴν δεινότητα τὸ κατὰ συστροφὴν σχῆμα, δύναμιν γὰρ τὴν δεινότητα ἐκάλεσεν. — Ὁ γὰρ Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδούς, πῶς ἂν Μεσσήνην Λακεδαιμονίοις ἀφεῖναι κελεύων τὸ τὰ δίκαια νομίζειν ταῦτ' εἶναι σκήψαιτο. Τοῦ δ' αὖ μὴ δοκοῦντος· ταύτην καὶ μέθοδον δεινότητος ὀνομάζει ὁ τεχνικός. Ἐν δὲ τῇ μεθόδῳ· αὕτη ἡ μέθοδος οὔτε περὶ τὴν λέξιν, οὔτε περὶ τὰ σχήματα γίνεται, ὡς αἱ λοιπαί, ἀλλὰ τὸ πῶς δεῖ ἐκβάλλειν τὰ νοήματα, ὅπερ ἐστὶ μέθοδος. Πᾶσι δὴ τούτοις· ἐπανάληψις. — Περὶ καταστάσεως ἤγουν προδιηγήσεως καὶ περὶ καταστάσεως, ἥτις ἐστὶν ἡ αὐτὴ ἡ διήγησις, ὅλος ὁ δεύτερος τόμος τῶν εὑρέσεων διαλαμβάνει. — Σημείωσαι, ὅτι τὴν οὖσαν μέν, μὴ δοκοῦσαν δὲ μᾶλλον ἐξαίρει καὶ ἐξυμνεῖ.

1 T. VII. add.: ὁ πρεσβύτερος. 2 T. VII. λέγων [Mon. λέγει] τάδε φησί· δικανικοῖς μὲν οὖν αὐτοῦ [Ven. οὐ περιέτυχον αὐτοῦ λ.] οὐ περιέτυχον λόγοις, δημηγορικοῖς δὲ ὀλίγοις καί τισι καὶ τέχναις, τοῖς δὲ πλείοσιν ἐπιδεικτικοῖς· τῆς δὲ ἰδέας [Ven. Par. 2977. ταῖς δὲ ἰδέαις] αὐτοῦ τῶν λόγων κ. τ. λ.

ἐν πολέμοις ἀριστεύσαντας Ἀθηναίων· „τί γὰρ ἀπῆν τοῖς ἀνδράσι τούτοις, ὧν δεῖ ἀνδράσι προσεῖναι; τί δὲ καὶ προσῆν ὧν οὐ δεῖ[3] προσεῖναι; εἰπεῖν δυναίμην ἃ βούλομαι, βουλοίμην[4] δ' ἃ δεῖ, λαθὼν μὲν τὴν θείαν[5] νέμεσιν, φυγὼν δὲ τὸν ἀνθρώπινον φθόνον· οὗτοι γὰρ ἐκέκτηντο ἔνθεον μὲν τὴν ἀρετὴν, ἀνθρώπινον δὲ τὸ θνητὸν, πολλὰ[6] μὲν δὴ τὸ παρὸν ἐπιεικὲς τοῦ αὐθάδους δικαίου προκρίνοντες, πολλὰ δὲ νόμου ἀκριβείας λόγων ὀρθότητα, τοῦτο[7] νομίζοντες θειότατον καὶ κοινότατον νόμον, τὸ δέον ἐν τῷ δέοντι καὶ[8] λέγειν καὶ σιγᾶν καὶ ποιεῖν, καὶ[9] δισσὰ ἀσκήσαντες μάλιστα ὧν δεῖ,[10] γνώμην τὴν μὲν βουλεύον-

---

3 Mon. 327. οὐδέσι προσ. 4 Weber. in ephemerid. scholast. a. 1827. P. II. nr. 78. p. 620. mavult: βούλομαι δὲ ἃ δεῖ, vel βουλοίμην δ' ἂν ἃ δεῖ. Tum Ald. δὲ ἅ. T. VII. δ' ἅ. 5 Ald. θεῖαν. Weber. scripsit Νέμεσιν. 6 πολλὰ μὲν δὴ — λόγων ὀρθότητα Ven. om. — Mon. 8. habet προκρίνοντι et ὀρθότητος. Pro παρὸν Foss. (de Gorgia Leont. Comment. Hal. 1828.) scribendum censet παριέν, „potiorem enim illi justitia, quae severe exigit, aequitatem duxerunt comiter indulgentem.“ 7 Weber mavult: τοῦτον. 8 καὶ λέγειν καὶ Mon. 8. om. Spengel. τεχν. συναγ. p. 79. deesse suspicatur καὶ ἐᾶν. 9 καὶ δισσὰ — ἀποτελοῦντες Ven. om. 10 Hardion in dissertatione de origine et progressibus rhetoricae in Graecia (Memoires de l'Academie des Inscriptions et Belles Lettres T. XIX. p. 203 sqq. et Geel. in hist. crit. Sophistarum p. 60. post μάλιστα lacunam statuunt, quam Geel. ita explet: ἓν μὲν ἀρετὴν, ἓν δὲ γνώμην, τὴν μὲν βουλ. Schoenborn. in diss. de authentia declamationum, quae Gorgiae Leontini nomine exstant, (Vratisl. 1826.) p. 9. pro ὧν scribit οὖν, „et duplici igitur modo inprimis prudentiam adhibuerunt, cum consilium capientes, tum persequentes“. Weber. l. l. οἷον. Ald. ὧν δή. Mon. 8. ὧν δ' εἰ. Mon. 327. Ven. Par. 2916. ὧν δεῖ, quod Foss. p. 73. conjectura assecutus est. Idem post γνώμην apte addit verba: καὶ ῥώμην coll. Aristoph. Av. 641. 642.

τες τὴν δ' [11] ἀποτελοῦντες, θεράποντες μὲν τῶν ἀδίκως δυστυχούντων, κολασταὶ δὲ τῶν ἀδίκως εὐτυχούντων, αὐθάδεις πρὸς τὸ συμφέρον, [12] εὐόργητοι [13] πρὸς τὸ πρέπον, τῷ φρονίμῳ τῆς [14] γνώμης παύοντες τὸ ἄφρον, ὑβρισταὶ εἰς τοὺς ὑβριστὰς, κόσμιοι εἰς τοὺς κοσμίους, ἄφοβοι εἰς τοὺς ἀφόβους, [15] δεινοὶ ἐν τοῖς δεινοῖς. μαρτυρίας [16] δὲ τούτων τρόπαια ἐστήσαντο [17] τῶν πολεμίων, Διὸς μὲν ἀγάλματα, τούτων δὲ ἀναθήματα, [18] οὐκ ἄπειροι οὔτε ἐμφύτου Ἄρεος, οὔτε νομίμων ἐρώτων, οὔτε ἐνοπλίου ἔριδος, οὔτε φιλοκάλου εἰρήνης, σεμνοὶ μὲν πρὸς [19] τοὺς θεοὺς τῷ δικαίῳ, ὅσιοι δὲ πρὸς τοὺς τοκέας τῇ θεραπείᾳ, δίκαιοι πρὸς τοὺς ἀστοὺς τῷ ἴσῳ, εὐσεβεῖς δὲ πρὸς τοὺς φίλους τῇ πίστει· τοιγαροῦν αὐτῶν ἀποθανόντων ὁ πόθος οὐ συναπέθανεν, [20] ἀλλ' ἀθάνατος [21] οὐκ

11 Ald. τὴν δέ. Mon. 8. τῶν δ'. Par. 2916. τῶν δέ. Par. 2977. Ven. τὴν δ'. 12 αὐθάδεις πρὸς τὸ συμφ. Ven. om. 13 Ald. ἀόρτιτοι. Hardion. ἀήττητοι. Geel. ἄρτιοι. Weber. novam vocem creat: ἀορτῖται, quam commendari censet voce simplice τίτας Aesch. Choëph. 65. et ἀτίτας Eumen. 252. Mon. 527. Par. 2918. ἀόργητοι, ut Foss. p. 75. scribendum esse conjecit, ita explicans: „nec λίαν ὀργίλοι erant bellatores isti, sed αὐθάδεις πρὸς τὸ συμφέρον (constantes et firmi, quantum proderat), neque vero ὅλως ἀόργητοι, sed ἀόργητοι πρὸς τὸ πρέπον (clementes, quantum decebat), coll. Aristot. Eth. magn. I. c. 7. εἰ μὲν λίαν ὀργίλως, κακῶς ἔχομεν πρὸς ὀργὴν, εἰ δ' ὅλως μὴ ὀργιζόμεθα ἐφ' οἷς δεῖ, καὶ οὕτως κακῶς ἔχομεν πρὸς ὀργήν. Mon. 8. εὐέργητοι. Par. 2977. 2916. Ven. εὐόργητοι, bene dispositi, ut ὀργὴ = τρόπος. Valck. ad Eur. Hippol. 1038. Erf. ad Sophocl. Ant. 354. Blomf. ad Aesch. Prom. 386. 14 Mon. 8. τῷ τε γνώμης. 15 Ald. ἀφρόβους, vitio typogr. 16 Ald. μαρτυρία. Mon. 8. Par. 2916. 2977. μαρτυρίας. 17 Spengel. conjicit: ἔστησαν. 18 Mon. 8. ἀνθήματα. 19 Ald. ἐς. Ven. Mon. 8. Par. 2916. 2977. πρός. 20 Mon. 8. συναπέθανε. 21 Ven. Par. 2916. ἀλλὰ θάνατος. Tum Ald. οὐκ ἐν ἀσωμάτοις. — Har-

ἐν ἀθανάτοις σώμασι ζῇ οὐ ζώντων." Σεμνὰς γὰρ ἐνταῦθα συμφορήσας λέξεις ὁ Γοργίας ἐννοίας ἐπιπολαιοτέρας ἐξαγγέλλει τοῖς τε παρίσοις καὶ ὁμοιοτελεύτοις καὶ ὁμοιοκατάρκτοις [22] καλλωπίζων διόλου προσκόρως [23] τὸν λόγον. β. Καὶ δεῖξαι περὶ πάντων· προβλημάτων [24] μέν φησι τῶν παρὰ τοῖς ῥήτορσι καλουμένων ζητημάτων, εἰδῶν δὲ ἤτοι καταχρηστικῶς τῶν ἰδεῶν, ἢ τοῦ δικανικοῦ καὶ συμβουλευτικοῦ καὶ πανηγυρικοῦ· τρόπων δὲ τοῦ ἐνδόξου, [25] τοῦ ἀδόξου, τοῦ μικτοῦ. προκαταρκτικὰ δέ φησι τὰ προοιμιαστικὰ καὶ καταστατικά. [26] ἐν γὰρ ταῖς καταστάσεσι τά τε οἰκεῖα συνιστῶμεν, καὶ τὰ τῶν ἐναντίων

---

dion et Geel. l. l. ἀλλ' ἀθάνατος ὢν ἐν ἀσωμάτοις σώμασι ζῇ. Schönborn. auctore Passovio lectionem Aldinae tuetur, negatione cum verbo ζῇ conjuncta: „desiderium eorum non simul mortuum est, sed immortale, non vivit corporibns, quae jam non sunt corpora, eorum, qui non vivunt. Weber. et Foss. οὐκ cum ἀσωμάτοις jungunt, ita ut ille corporibus sub oculos cadentibus res ab iis gestas significari statuat. Fossio οὐκ ἀσώματα σώματα corpora sunt, quae non item, atque mortua bellatorum corpora, sunt incorporea, sed firmiora illis et apta ad interfectorum memoriam conservandam: nempe ea, quae supra appellata sunt τούτων ἀναθήματα, corporea sane et immortalia de oratorum sententia corpora. Mon. 8. Par. 2916. 2918. ἐν οὐκ ἀσωμάτοις. Ven. οὐκ ἐν ἀθανάτοις. Haec antithesis vere Gorgiana. Fortasse levi transpositione opus est, ἐν οὐκ ἀθανάτοις. Aptissime Spengel. laudat Lysiae epitaph. §. 81. ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ καὶ μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵ τινες ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον. Cfr. Anthol. T. II. pag. 379. 22 T. VII ὁμοιοάρκτοις. Ven. ὁμοιάρκτοις καὶ ὁμοιοτελεύτοις. 23 Ald. προςκόρον. Weber. scribit πρόςκορον. Par. 2916. 2918. Ven. Mon. 8. προςκόρως. 24 T. VII. ιη — κ. 25 T. VII. τοῦ ἀδόξου, τοῦ ἐνδόξου. 26 καὶ καταστατικὰ T. VII. om.

*διαβάλλομεν.*[27] *τὸ δὲ ὅλον εἶδος εἶναι τοῦ λόγου, οἷον ἠθικὸν, ἀξιωματικὸν, δεινὸν, σαφὲς*; *τὸ δὲ κατὰ τόνδε τὸν καιρὸν, τουτέστι προσεχῶς τῶν πραγμάτων,*[28] *ἐφ' οἷς αἱ δίκαι, ἢ μετὰ χρόνον. γ'. Καὶ ἐπὶ τῶνδε·*[29] *τουτέστι τῶν δικαστῶν ἢ τῶν βουλευτῶν ἢ ἀκροατῶν· ἐπὶ μὲν γὰρ τῶν βουλευτῶν τὰ κατεπείγοντα μόνον δεῖ*
413 *λέγειν, ἐπὶ δὲ τῶν ἐν Ἀρείῳ πάγῳ δικαστῶν οὐδὲ προοιμιαστέον, ἢ ἐλεεινολογητέον, ἀλλ' αὐτὰ ψιλὰ τὰ πράγματα λεκτέον· πόλεμός τε γὰρ ἐπηρτημένος οὐκ ἐπιδέχεται σχολὴν,*[30] *καὶ δικαστὴς σώφρων κινοῦντα πρὸς πάθος περιόψεται*[31] *τὸν λέγοντα. δ'. Καί τισι μὲν πλεονάσαι· τὰς γὰρ*[32] *ἰσχυροτέρας τῶν ἐννοιῶν καὶ ἐφ' αἷς σφόδρα πέποιθεν ὁ λέγων πρώτας τε καὶ τελευταίας ὁ ἐπιστήμων τάξει, ἀτεχνῶς ἐκμιμούμενος Νέστορα,*[33] *καὶ τοὺς κακοὺς εἰς μέσον ἐλαύνων.*

## *Περὶ πολιτικοῦ λόγου.*

*Ὁ πολιτικὸς τοίνυν καλούμενος λόγος γίνεται μὲν διὰ πασῶν τῶν προειρημένων ἰδεῶν, καὶ τὰ λοιπά.*

*Ὁ πολιτικός· παραστήσας πρότερον ἑκάστης ἰδέας τὴν δύναμιν μετῆλθε νῦν ἐπὶ τὸν πολιτικὸν λόγον καὶ τὴν μίξιν αὐτῶν· δεῖ γὰρ τὰ ἁπλᾶ πρὸ τῶν συνθέτων*

---

27 T. VII. add.: *πρὸς τὸ οἰκεῖον συμφέρον ἐργαζόμενοι τὰς καταστάσεις, ὡς Ἰσοκράτης* [*φησὶν*, quod sequitur, Ven. om.] *ἐδίδαξε.* 28 T. VII. add.: *γεγονότων.* 29 T. VII. *Τὸ μὲν νῦν σημαίνει τοῦ πράγματος κατεπείγοντος ἢ σχολῆς οὔσης τοῦ βουλεύεσθαι ἐπὶ πλέον· τὸ δὲ ἐπὶ τῶνδε, ἐπὶ δικαστῶν ἢ βουλ. ἢ ἀκρ. Ἐπὶ μὲν γὰρ βουλ. κατεπείγοντος τοῦ πράγματος, ἢ ἐπὶ δικαστῶν τὴν ἀλήθειαν μόνον γνῶναι ἐσπουδακότων, ὥσπερ ἐν Ἀρείῳ πάγῳ οὐδὲ προοιμ.* 30 *σχολὴν* Mon. om. 31 Ven. *οὐ περιόψ.* Post *λέγοντα* T. VII. add.: *τὸ δὲ πῶς μὲν τοῦτο, πῶς ἃ μὴ δεῖ λέγειν, ἐάσομεν ἄῤῥητα, κατὰ ποίους δὲ τρόπους ὅσα λεχθῆναι προσῆκον εἰσάξομεν.* 32 T. VII. *μὲν γάρ.* 33 Il. δ. 299.

μανθάνειν. β'. Φημὶ τοίνυν· δεῖ γὰρ κατὰ πρῶτον λόγον σαφῶς ἐπαγγέλλειν διὰ τὸ ἀναγκαῖον ἅμα καὶ χρήσιμον, ὅπως μετ' εὐμαρείας τὸ νοηθὲν μεταδῶμεν·[1] ὁ γὰρ διανοηθείς τι καὶ μὴ φράσας σαφῶς ἐν ἴσῳ εἰ καὶ μὴ ἐνεθυμήθη, ὡς Θουκυδίδης φησίν· ἀλλὰ μὴν ἀεὶ καὶ τὸ ἦθος ἐμφαίνειν,[2] ὅπως πρὸς τὸν ἀγῶνα διάκειται, καὶ ταχέως μεταβαίνειν, καὶ μὴ ἐμβραδύνειν, ἀλλὰ μετὰ γοργότητος ἀπαλλάττεσθαι· φροντίζειν δὲ δεῖ καὶ μεγέθους, ὅπως μὴ εἰς τὸν εὐτελῆ λίαν καὶ ταπεινὸν καταπέσωμεν[3] λόγον. διὸ δὴ[4] καὶ τὴν περιβολὴν δεῖ πλεονάζειν διόλου, καὶ οὐχ ἧττόν γε ἢ τὴν καθαρότητά τε καὶ εὐκρίνειαν. τὰ δὲ λοιπὰ πάντα κατὰ δεύτερον καὶ[5] τρίτον λόγον. γ'. Προείρηται· ἐν τούτῳ αὐτῷ τῷ πολιτικῷ λόγῳ, ἐν οἷς φησι, τίνων δεῖ ἰδεῶν κατὰ πρῶτον λόγον, τίνων κατὰ δεύτερον, τίνων κατὰ τρίτον. δ'. Οἷον εὐτέλειαν· εὐτέλειαν λέγει τὴν ὑπτιότητα, σκληρότητα δὲ τὴν ἀσάφειαν. ε'. Ὥστε εἰ καὶ συμβαίνει·[6] εἴωθε γὰρ ἡ λεπτολογία καὶ[7] τὸ κατὰ μέρος ζητεῖν, καὶ ἡ ἀκριβὴς τῶν νοημάτων ἐπιχείρησίς ὕπτιόν πως τὸν λόγον ποιεῖν. ϛ'. Δεινότητος δέ· τῆς καὶ οὔσης καὶ φαινομένης μάλιστα· τῆς δὲ μὴ οὔσης μέν, δοκούσης δὲ οὐδαμῶς· λέγω δὴ τῆς κατὰ τὴν λέξιν· τὸ δὲ ἀνεμφάτως ἀντὶ τοῦ μὴ φαινομένως καὶ συγκεκαλυμμένως.

*Τούτου δὲ τοῦ λόγου τοῦ πολιτικοῦ ὁ μέν ἐστι συμβουλευτικός, καὶ τὰ λοιπά.*

Τούτου δὲ τοῦ λόγου· ἴσως ἐν πολιτικῷ λόγῳ

---

1 T. VII. et Sicel. α. 2 Ald. ἐμφαίνει. T. VII. et Sic. ἐμφαίνειν. 3 Sicel. ἐκμετάπέσωμεν. 4 Sicel. δι' ἃ δεῖ καί. Mon. Par. 2977. διὰ δὴ καί. 5 T. VII. Sic. τε καί. 6 Litt. ε. est apud Sic. ια. et Codd. Parr. tomi VII. 7 T. VII. Sic. τῷ τό. Sqq. καὶ ἡ ἀκριβὴς — ἐπιχείρ. om. — v. 22. Ald. δὴ τοῖς. scr. τῆς.

οὐκ ἂν εὑρεθείη τὸ πανηγυρικὸν εἶδος, οὐ γάρ ἀγωνιστικόν ἐστιν, ἀλλ᾽ ἐπιδεικτικόν· καὶ οἱ παλαιοὶ ῥήτορες τὸ παράπαν οὐκ ἐχρῶντο αὐτῷ τοῦτον τὸν τρόπον, ᾧ νῦν κέχρηνται,· ἀλλὰ πρῶτος Ἰσοκράτης νεώτερον [8] ἔγραψεν ἐγκώμιον. β΄. Ἤθους δέ· ἡ γὰρ εἰρωνεία τὸ ἐναντίον τῷ λεγομένῳ δηλοῖ, οἷον πῶς ὑπὸ τῶν χρηστῶν τούτων ἔχει τὰ πράγματα. διὸ δὴ καὶ ἁρμόττει τῷ συμβουλευτικῷ λόγῳ· τὰ δ᾽ ἄλλα ἠθικὰ ὡς ἐλάχιστα. γ΄. Ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν· [9] ὑπὲρ Μεγαλοπολιτῶν γὰρ λέγων καὶ κατὰ Λακεδαιμονίων τῶν μὲν ἐχθρῶν, τῶν δὲ φίλων οὐκ ἠδύνατό τι λέγειν κατὰ Λακεδαιμονίων ὡς φίλων, οὐδὲ πάλιν αὖ ὑπὲρ Μεγαλοπολιτῶν ὡς ἐχθρῶν. δ΄. Ἥκιστα μετέχει· [10] εἰ γὰρ τὸν συμβουλευτικὸν ἀξιωματικὸν εἶναι δεῖ καὶ δίαρμα ἔχειν καὶ μέγεθος, τόν γε [11] δικανικὸν τοὐναντίον δεῖ χαμαίζηλον καὶ εὔζωνον εἶναι, πλὴν εἰ μή, καθὰ [12] δεδηλώκαμεν, γειτνιάζει τῷ συμβουλευτικῷ· οὐ γὰρ ὥσπερ ἐπὶ τῆς βουλῆς τὸν αὐτὸν τρόπον καὶ ἐπὶ [13] δικανικῶν λόγων ὁ ἀκροατὴς κοινωνεῖ τοῦ ἀγῶνος. [14] ε΄. Τὸ δὲ κατὰ τὰς ἄλλας· οἷον λαμπρότητα, τραχύτητα, βλάπτεται γάρ· σφοδρότητα δέ φησι τὸ κατ᾽ εἰρωνείαν σφοδρόν. ς΄. Ὁ τοίνυν κάλλιστος· τοῦ πανηγυρικοῦ [15] τὸ μέν ἐστι ποιητικόν, τὸ δὲ ἐν ζητήμασι πολιτικοῖς, τὸ δὲ ἐν λέξει πεζῇ, ὃ καὶ Πλατωνικὸν καὶ ἄριστον· τὸ δὲ ἐν λέξει πεζῇ [16] εἰς τὸ ἀμοιβαῖον διαιρεῖται, ὃ καὶ δραματικὸν καὶ διαλογικὸν [17] καὶ εἰς τὸ ἀφη-

8 Par. νεώ sequente lacuna. 9 T. VII. et Sicel. κ. 10 T. VII. et Sic. κγ. 11 γε T. VII. Sic. om. 12 T. VII. Sic. καθώς. 13 T. VII. Sic. ἐπὶ τῶν. 14 In Par. 2977. ad marg. adscriptum est: περὶ λόγου δικανικοῦ et paullo post: περὶ μεγάλων πραγμάτων, καὶ ἄνευ συμβουλῆς, quae Mon. in contextum recepit. 15 T. VII. et Sic. κς. 16 πεζῇ Ald. om., recepi ex Par. — Sic. et T. VII. πεζῇ λέξει. 17 καὶ διαλογικὸν T. VII. Sic. om.

γηματικόν. ζ. Πλὴν τραχύτητος· ἐλλείπει εἰκότως ἥ τε τραχύτης καὶ ἡ σφοδρότης· οὐ γὰρ κινεῖται πρὸς 414 πάθος ὁ λέγων, διὰ τὸ μὴ ὑποκεῖσθαι πρόσωπα. η. Πλὴν ὅπου· ὅτε περὶ θεῶν τι λέγομεν· ἐκεῖ γὰρ οὐ δεῖ νήπιόν τι λέγειν. θ. Γοργός γε μήν·[18] δεῖ γὰρ μᾶλλον ἐμβραδύνειν· οἱ γὰρ χρείας ἕνεκεν,[19] ἀλλὰ κατὰ φιλοθέωρον ἐπινενόηνται γνῶσιν. ι. Ἐν δὲ[20] τοῖς ἀμοιβαίοις· πρὸς τὰ ὑποκείμενα πρόσωπα πᾶσα ἰδέα εὑρίσκει καιρὸν, καὶ οὕτως ὥστε καὶ ἰδίᾳ ἑκάστην[21] εἶναι, ἐπεὶ καὶ ἡ εὐτέλεια ἔστιν ὅπου χώραν εὑρίσκει· ἰστέον[22] δὲ, ὅτι προσώπων ὑποκειμένων χώραν ἔχει ἐν τῷ τοιούτῳ λόγῳ τῶν πανηγυρικῶν ὁ λέγων κινεῖσθαι πρὸς τὸ[23] πάθος.

*Καὶ ὡς μὲν ἐν λογογραφίᾳ τοιοῦτον εἶδος εἶναι δεῖ τὸ πανηγυρικὸν, καὶ τὰ λοιπά.*

Περὶ τῆς προπομπείας· ἔστι γὰρ ὁ λόγος πολιτικὸς πανηγυρικός· πολιτικὸς μὲν, ὅτι ἀμφισβήτησιν ἔχει· πανηγυρικὸς δὲ, ὅτι δι' ἐπαίνων ἐστὶ καὶ ψόγων ἡ ὅλη αὐτοῦ διαρτία· ἀνάγκη γὰρ ἑκάτερον τῶν μερῶν ἐξαίρειν μὲν τὸ οἰκεῖον, μειοῦν δὲ τὸ τοῦ ἐναντίου· γειτνιάζειν δὲ δοκεῖ πως τῷ συμβουλευτικῷ ὁ τοιοῦτος λόγος, ἐπεὶ μὴ ἕνεκεν ἡδονῆς γίνεται ἀλλὰ χρείας. β. Κατὰ τοὺς γεωμέτρας· οἱ γὰρ γεωμέτραι ἢ ἓξ ἢ τέσσαρας ὅρους τιθέντες ἢ τὸ ἐλάχιστον τρεῖς ἀναλογίας ποιοῦσιν· ἐπὶ μὲν τεσσάρων, οἷον τοῦ β' καὶ δ' καὶ γ' καὶ ς' λέγοντες, ὃν λόγον ἔχει τὰ β' πρὸς τὰ δ', τοῦτον τὰ γ' πρὸς τὰ ς', τὸν ὑποδιπλάσιον γάρ· ἐπὶ δὲ τριῶν οἷον τοῦ β' καὶ δ' καὶ ἡ οὕτως ὃν λόγον ἔχει τὰ β' πρὸς τὰ δ', τοῦτον τὰ

18 T. VII. Sic. κθ. 19 T. VII. Sic. ἕνεκα. 20 T. VII. Sic. λ. ἐν τῷ ἀμοιβαίῳ. 21 Par. καὶ ἰδέαν ἑκάστην. 22 T. VII. Sic. Ἄλλως. προσώπων γὰρ ὑπ. 23 τὸ Par. T. VII. Sic. om.

δ' πρὸς τὰ ή. ἐνταῦθα τοίνυν Ἑρμογένης τὴν ὡς[24] ἐπὶ ἓξ ὅρων ἀναλογίαν[25] παρέθηκε, Πλάτωνα καὶ πανηγυρικὸν λόγον ἐν πεζῷ λόγῳ θείς· καὶ Δημοσθένην καὶ πολιτικὸν λόγον θείς,[26] καὶ Ὅμηρον καὶ πανηγυρικὸν λόγον ἐν ἐμμέτρῳ λόγῳ, εἰπὼν ὃν λόγον ὁ Δημοσθένης κατὰ τὸν πολιτικὸν[27] λόγον, καὶ Πλάτων ἐν τῷ πεζῷ πανηγυρικῷ, τοῦτον καὶ Ὅμηρος κατὰ τὴν ποίησιν. γ'. Μετά τινος παραμυθίας. ὡς[28] Ἀριστείδης, „ὥσπερ οὓς πατέρας πατέρων καλοῦσιν οἱ ποιηταί". καὶ πάλιν· „σελήνην ἀστέρες ἐγκλείουσι, ποιητὴς ἂν εἴποι τις". δ'. Ἐκτράπελα· τὰ ἐκτετραμμένα τῆς ἰδίας καὶ ὁμολογουμένης φύσεως.

Ἴδιαι μὲν οὖν ἔννοιαι ποιήσεως αὗται παρὰ τὰς ἄλλας ἐννοίας τοῦ λόγου τοῦ πανηγυρικοῦ, καὶ τὰ λοιπά.

Ἔστι γὰρ αὐτοῦ σχήματα· σχήματα τῶν ἑξαμέτρων φασὶν ἐπῶν τὸ ἕτερον μὲν ἑνὶ σπονδείῳ ἢ δυσὶν ἢ τρισὶν ἢ καὶ πλείοσιν, καὶ τούτοις ποτὲ μὲν ἐφεξῆς, ποτὲ δὲ κατὰ διάστασιν συγκεῖσθαι· ὁμοίως δὲ καὶ δακτύλοις, ἃ καὶ εἰς τριάκοντα δύο ποσοῦνται. ἕτεροι δὲ σχήματα[1] λόγων ἄλλα τριάκοντα ἐννέα φασί. ά. Τίς ὁ λέγων;

τὸν δ' ἀπαμειβόμενος.[2]

---

24 ὡς Par. om. 25 Ald. ἀναλογεῖαν. 26 θεὶς Par. om. 27 Par. πολιτικόν ἐστι. 28 Par. οἷον ὡς. Littera γ. continetur etiam T. VII., omittitur a Sicel. — Aristidis locos invenire mihi non contigit.

1 Eadem sectio exstat in codice Ambros. inter varios de figuris et tropis commentariolos: Πόσα σχήματα τῶν ἑξαμέτρων εἰσί· τίς ὁ λέγων, πρὸς τίνα, πεῦσις κ. τ. λ. [enumerantur primum omnia, deinde suo quaeque loco repetuntur]. Invenitur etiam in codd. Parr. commentarii, qui T. VII. continetur, ita incipiens: σχήματα λόγου· ᾱ. τίς ὁ λέγων etc. et apud Jo. Siceliotam: Ἄλλως· σχήματα λόγων· πρῶτον. 2 Ambros. addit: προσέφη πόδας ὠκὺς Ἀχιλλεύς. Il. α. 84.

β. Πρὸς τίνα;[3]

Τυδείδη περὶ μέν σε τίω.[4]

γ'. Πεῦσις·

τίπτ' αὖτ' αἰγιόχοιο.[5]

δ'. Ἀνταπόκρισις·

ἦλθον ἐγὼ παύσουσα.[6]

ἐ. Ἀποστολή·

βάσκ' ἴθι Ἶρι[7] ταχεῖα.

ϛ'. Ἐντολή·

ἀλλ' ἄγε[8] σὺν δ' Εὔμαιε φέρων ἀνὰ δῶμα.

ζ'. Ἀγγελία·

κεῖται Πάτροκλος.[9]

ή. Διήγησις·

ἔστι πόλις Ἐφύρη.[10]

ϑ'. Δημηγορία·

κέκλυτε δὴ νῦν μου[11] Ἰθακήσιοι.

ί. Γενεαλογία·

Δάρδανον[12] αὖ πρῶτον τέκετο.

ιά. Τοποθεσία·

ἔστι δέ τις ϑρυόεσσα[13] πόλις.

ιβ'. Πρᾶξις·

ἀσπὶς δ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν.[14]

ιγ'. Ἔπαινος·[15]

Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε.

---

3 Ambr. ὡς τὸ Τυδ. 4 Par. 2977. Sicel. τίον. Il. δ. 257. Ἰδομενεῦ. 5 Ambr. add.: Διὸς τέκος εἰλήλουθας. Il. α. 202. 6 Ambr. παῦσαι σὸν μένος. Il. α. 207. 7 Sic. Ἥρη. Il. ϑ. 399. 8 Sicel. ἀλλά γε σύ δ. Ε. φέρων ἀντὶ δώρων. 9 Il. σ. 20. 10 Il. ζ. 152. 11 Sicel. μευ, ceteri μου. Ambr. Sicel. νῦν δή. Od. β. 25. 12 Ambr. Δάρδανον δ' ἄρ' ἀσπίδ' ἔρειδε, omissis iis, quae sunt interjecta. Il. υ. 215. 13 Sicel. ἔστι δή τις πόλις ϑρυόεσσα. 14 κόρυς κόρυν Par. 2977. addit, abest a Ald. et Par. Il. ν. 131. 15 Ambr. ἔπαινος, ὡς τό. Il. β. 673.

*ιδ´. Ψόγος·* [16]
φοξὸς ἔην κεφαλήν.
*ιέ. Χρόνος·*
ἤδη γὰρ καὶ δεῦρο ποτ᾽ ἤλυθεν [17]
*ις´. Ἐπιφώνημα·* [18]
κακοῦ δ᾽ ἄρα οἱ πέλεν ἀρχή.
*ιζ´. Δεῖξις·*
οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος. [19]
*ιή. Κλῆσις·*
Ἥφαιστε πρόμολ᾽ ὧδε. [20]
*ιθ´. Κατηγορία·* [21]
Ζεῦ πάτερ οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ [22] ἔργα.
*κ´. Ἀπηγορία·* [23]
Οὐ θέμις· εἶμι γὰρ αὐτὴ ἐπ᾽ ὠκεανοῖο ῥοάων. [24]
*κά. Πρόσφθεγξις·*
χαίρετε κήρυκες Διὸς ἄγγελοι. [25]
*κβ´. Ἄρνησις·*
ἤδ᾽ [26] αὖ ἔξεσθαί μὲν ἀνήνατο, εἶπέ τε μῦθον.
*κγ´. Συγκατάθεσις·*
ναὶ δὴ ταῦτα [27] γέρον.
*κδ´. Νουθέτησις·*
μήτε σὺ τόνδ᾽ ἀγαθός περ ἐών. [28]
*κέ. Εὐχή·*
Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν. [29]

---

16 Ambr. ψ. ὡς τό. ψόγος in Par. 2977. et Sicel. est nr. ιζ. Il. β. 219. 17 Ambr. ἦλθεν. Il. γ. 205. 18 Ambr. ἐπιφ. ὡς τὸ, eadem verba repetit in omnibus deinceps, excepto κζ. λθ. — Il. λ. 604. 19 Ald. et Codd. Τελαμώνιος, scripsi πελώριος ex Il. γ. 229. 20 Il. σ. 392. 21 Ambr. ἀπηγορία, ὡς τό· τάδε καρτερὰ ἔργα. Πρόσφθεγξις· εἶμι γὰρ αὐτή ἐ. ὠ. ῥ. ὡς τὸν θέμις· χαίρετε κήρυκες Δ. ἀ. 22 Par. 2977. Sicel. κρατερά. Il. ε. 757. 23 Sic. ἀπαγορία, alii omnes ἀπηγορία. — Il. ψ. 205. οὐχ ἕδος· εἶμι γὰρ αὖτις ἐπ᾽ Ὠ. ῥέεθρα. 24 Sicel. ῥοάς. 25 Il. α. 334. 26 Ambr. ὅσθ᾽. Il. ψ. 204. 27 Par. 2977. Sicel. ταῦτά γε πάντα. Il. α. 286. 28 Il. α. 275. 29 Il. η. 179.

κς΄. Ἀπευχή·

Ζεὺς τό γ᾽ ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι.[30]

κζ΄. Δέησις·

γουνοῦμαί σ᾽ Ἀχιλεῦ.[31]

κή. Ἐπικαύχησις· 415

κεῖσ᾽ Ὀτρυντείδη πάντων ἐκπαγλότατ᾽[32] ἀνδρῶν.

κθ΄. Οἶκτος, ὅ ἐστι καὶ πάθος·

ἆνερ ἀπ᾽ αἰῶνος νέος ὤλεο.[33]

λ΄. Ὀδυρμός·

ὤ μοι ἐγὼ δειλός.[34]

λά. Ἀπειλή·

τῶν δ᾽ ἄλλων ἅ μοι ἐστὶ θοῇ παρὰ[35] νηΐ μελαίνῃ.

λβ΄. Ἐπαγγελία·

θαρσήσας μάλα εἶπε.[36]

λγ΄. Γνώμη·

αἰεὶ δ᾽ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.[37]

λδ΄. Πρόσταξις·

ἔρχεσθον κλισίην[38] Ἀγαμέμνονος.

λέ. Λοιδορία·

οἰνοβαρὲς κυνὸς ὄμματ᾽ ἔχων.[39]

λς΄. Ὀνειδισμός·

ἦ οὐ[40] μέμνῃ ὅτε τ᾽ ἐκρέμω.[41]

λζ΄. Ὅρκος·

ναὶ μὰ τόδε σκῆπτρον.[42]

---

30 θεοὶ ἄλλοι Par. 2977. Sicel. om. Od. γ. 346. 31 Ald. Ἀχιλλεῦ. Il. φ. 74. 32 Par. 2977. Sicel. ἐκπαγλότατε, omisso ἀνδρῶν. Il. υ. 389. Sqq. οἶκτος, ὅ ἐστι καὶ πάθος Sicel. om. 33 Ambr. ὧδε. Sicel. ὤλετο. Il. ω. 725. 34 Od. ε. 299. 35 Ald. παρὰ θοῇ. Sic. θοῇ περί. Il. α. 300. — μελαίνῃ Ambr. om. 36 Il. α. 85. 37 Ald. ἠγερέθονται. Ambr. Sicel. Par. ἠερέθονται. Par. 2977. om. Il. γ. 108. 38 Sicel. κλισίην, ceteri κλισίαν. Post Ἀγαμέμν. Ambr. addit: Ἀτρείδαο. Versus compositus ex Il. α. 322. et τ. 241. 39 Il. α. 225. 40 In Par. manus serior correxit: οὐδέ. Sicel. ἦ μέμνῃ ὅτε τ᾽ ἐκρέμω. Il. ο. 18. 41 Ambr. ὅτ᾽ ἐρόμην. 42 Il. α. 234.

λή. Πρόγνωσις·

ἔσσεται ἦμαρ, ὅτ' ἄν [43] ποτ' ὀλώλῃ.

λθ'. Ἀπαγόρευσις·

μή [44] σε γέρον κοίλῃσιν ἐγὼ νηυσὶ κιχείω. [45]

Νυνὶ δὲ ἤδη περὶ τῶν μετὰ τούτους τοὺς προειρημένους ἄνδρας τρεῖς ὑφ' ἑκάστῳ τούτων τεταγμένων, καὶ τὰ λοιπά.

Πλὴν δ' ἴσως· ἔχει γὰρ ἐπιτετηδευμένον τὸ κάλλος, ᾧ καὶ πλεονεκτεῖ. β'. Μετὰ τούτων· μετὰ τῶν ἄλλων ἃ [1] τὸν ἁπλῶς πολιτικὸν ποιεῖ [2] λόγον. γ'. Μονώτατος· δοκεῖ γὰρ περιττὸν εἶναι ὁπότε καὶ τὸ μόνος τὴν τοῦ ὑπερθετικοῦ δύναμιν ἔχει·, γαλῆ δέ ἐστιν ὄνομα ζώου. καὶ γαλεάγρα κυρίως ὄργανον [3] τὸ δεχόμενον καὶ ἀναιροῦν τὰ τοιάδε τῶν ζώων. καταχρηστικῶς δὲ [4] καὶ πᾶν μηχάνημα [5] εἰς ἀναίρεσιν καὶ κάκωσιν δημιουργηθὲν οἱουδηποτοῦν ζώου. ἐκκοκκύζειν [6] δὲ τὸ μέγα κοκκύζειν· ἐστηλοκόπηται ἀντὶ ἐστηλίτευται, καὶ ὕβρισται, τουτέστιν ἐκκέκοπται καὶ καθῄρηται ἡ στήλη αὐτοῦ· ἐπήβολος δέ ἐστιν ὁ ἐπιτυχής. δ'. Κρίθινον Δημοσθένην· τουτέστι νόθον, οὐ σίτινον· οὐ γὰρ δεόντως [7] χρῆται τῇ μίξει, κατὰ δὲ [8] τὸ παρατυχὸν μᾶλλον, διὸ δὴ καὶ ἐπιπόλαιον μόνον ἔχει τὴν Δημοσθενικὴν ἀρετὴν καὶ οὐκ ἐφικνουμένην τοῦ βάθους. ἑ. Οἱ σοφιστεύσαντες· οἱ διδασκαλείων ῥητορικῶν προστάντες· τερατοσκόπος δὲ ὁ τῶν τε-

ράτων

43 Ald. ὅταν. Sic. ὅτ' ἂν τ ὀλ. Il. δ. 164. 44 Par. 2977. Sic. substituit: μὴ νύ τοι οὐ χραίσμῃ σκῆπτρον. 45 κιχείω Ambr. om. Il. α. 26.

1 ἃ Ald. om., est in Par. 2 Ald. ποιεῖν. 3 T. VII. Sicel. ὄργ. τί ἐστι κατασκευαζόμενον εἰς κατάσχεσιν καὶ ἀναίρεσιν τῶν τοιούτων ζώων. 4 Sicel. δὲ λέγεται. 5 T. VII. μηχάνημα οἱοδηποτοῦν [Ald. οἱουνδηπ.] ζώου δημιουργηθὲν εἰς ἀν. ἢ κάκ. Sic. μηχ. δημιουργηθὲν εἰς ἀν. ἢ κάκ. οἱουδήτινος ζ. 6 Ald. ἐκκοκύζειν δὲ τὸ μεγακοκύζειν. 7 T. VII. et Sicel. 8 T. VII. Sic. τὸ παρατ. δέ.

ράτων ἑρμηνεύς. ς'. Διὸ καὶ μετὰ τοῦτον· ὥστε[9] τὴν κοινωνίαν αὐτῶν εἰς ἀπολογίαν ἔλαβε· δέον γὰρ μετὰ τοὺς δέκα ῥήτορας διαλαβεῖν περὶ Κριτίου,[10] μετὰ τὸν Ἀντιφῶντα τέταχεν αὐτόν· σχεδὸν γὰρ ὁ αὐτὸς εἶναι δοκεῖ τῷ Ἀντιφῶντι καὶ μηδὲν[11] διαλλάττειν αὐτοῦ· ἕπεται δέ· τὸν Κριτίαν διὰ τὴν προλεχθεῖσαν αἰτίαν ἐν τῷ μεταξὺ τέταχεν. ή. Τροπικώτεροι·[12] ἐν ἄλλοις βιβλίοις τοπικώτεροι[13] εὑρίσκεται, θέλει δὲ ἡ λέξις δηλοῦν τὸ αὐξητικώτεροι, ὥσπερ καὶ κοινὸν τόπον τὴν καταδρομὴν λέγομεν. ἔστι δὲ καὶ ἡ τροπικὴ λέξις ἰδία σφοδρότητος καὶ τραχύτητος.

*Τῷ μὲν οὖν Δημοσθένει οἱ λοιποὶ τῶν δέκα, καὶ τὰ λοιπά.*

Ἦθος καὶ πάθος· διαφορὰ τούτων, ὅτι τὸ μὲν ἦθος ἔμμονον εἶναί φασι, τὸ δὲ πάθος ἐπιγίνεσθαι καὶ ἐξίστασθαι ὡς ἐνεοῖς· ἐνεὸς ὁ ἀπορητικὸς κατά τι καὶ ἀχανὴς καὶ εἰς ἑαυτὸν ἐστραμμένος καὶ οἷον ἐν[14] ἑαυτῷ ἄν. β'. Καὶ λεπτότερός ἐστι· πολλαχοῦ τὸ καθαρὸν καὶ εὐκρινὲς εἴτουν τὸ σαφὲς λεπτὸν λέγει, ὥσπερ τὸ περιβεβλημένον μεστόν. γ'. Τοῖς ἀπὸ τῶν μύθων· μῦθος μὲν ὁ πάντη ψευδής, μυθικὸν δὲ τὸ ἐγγίζον[15] τῷ μύθῳ καὶ δυνάμενον καὶ ἀληθὲς εἶναι δοκεῖν. δ'. ἀλλ' οἵους εἶναι· ὡς ὅταν διηγῆται τὰ περὶ τὴν χελιδόνα καὶ λάμειαν, καὶ ὅλως τὰ ἐν τῇ δεκαμυθίᾳ εἰρημένα οὐ πολιτικά, ἀλλὰ δραματικά τε καὶ ποιητικά.

---

9 T. VII. et Sic. — ὥστε Sic. om. 10 Sic. κριτηρίου. 11 T. VII. Sic. κατὰ μηδὲν. tum Sicel. cod. Vind. διαλλάττων. 12 Ald. τροπικώτερα. Par. τροπικώτεροι. 13 Ald. τοπικώτερος et αὐξητικώτερος· corr. ex Par. 14 ἐν Ald. om. 15 Ald. ἐγγύζον.

# ΕΡΜΟΓΕΝΟΥΣ
## ΠΕΡΙ
## ΜΕΘΟΔΟΥ ΔΕΙΝΟΤΗΤΟΣ.[1]

*Πᾶν μέρος εὕρηται μὲν ἐπὶ μηνύσει πράγματος καὶ τὰ λοιπά.*

*Σημείωσαι,*[2] *ὅτι τοῦτό ἐστιν ἐπὶ τῆς ἐννοίας ἡ μέθοδος, ὅπερ*[3] *ἐπὶ τῆς λέξεως τὸ σχῆμα, ὡς πολλάκις εἴ-*

---

1 Huic libro anonymus commentarii, qui tomo septimo continebitur, auctor tam parcam curam impendit, ut in margine codicum Parisiensium maxima ex parte albo raro scholia maiora, paullo frequentius minora appareant. Scriba codicis Mon. 8. libris de ideis finitis scribendi finem fecit; Planudes noster more suo etiam haec pauca in brevius contraxit et mutilavit. In supellectile tam curta omnia, quae in codicibus tomi septimi exstant, scholia huc transferre potui, omissis paucis, quae Gregorius Corinthius amplo suo commentario inseruit. Ex codice Par. 2927. (chart. sec. 15.) breve specimen sumsi: itaque ubi Par. sine numero positus est, Par. 2977. intelligendus, ex quo etiam scholia minora descripta sunt. 2 Ald. Par. 2927. 2918. *ἰστέον.* Par. 2916. 2977. *σημείωσαι.* 3 Par. 2916. *ἧπερ.*

---

**Sch. min. ad Cap. I.:** *Μηνύσει· δηλώσει. Καιροῦ δὲ ἰδίου· προσφόρου. ἤθους προσθήκην, τοῦ ῥήτορος ἢ τοῦ ὑποκειμένου προσώπου. ἰδίαν διάνοιαν· ἰδίαν, μίαν. διάφορον, δύο. διαφόρους, πολλάς. ἀλλὰ καὶ διάφορον· ἀλλοίαν εἰ καὶ μίαν. Ἀλλὰ καὶ διαφόρους· ἑτεροίας πολλάς. Ἀλλὰ καὶ ἐναντίας· ἀντικειμένας ἀλλήλαις. Κεχαρισμένα· πρὸς*

ρηται, ἐργασία γὰρ [4] αὐτῆς ἐστι καὶ σχηματισμὸς πρὸς ὅπερ ὁ λέγων βούλεται· καὶ ἔτι, [5] ὅτι οὐκ οἶδεν ὁ τεχνικὸς μεθόδου καὶ σχήματος διαφορὰν, ἢ μόνον τὸ τὴν μέθοδον ἐπὶ τῆς ἐννοίας τάττεσθαι, θάτερον δὲ ἐπὶ τῆς λέξεως· δεινότητα δὲ νῦν ὀφείλομεν νοεῖν τῶν τριῶν τὴν μίαν, δηλαδὴ τὴν οὖσαν μὲν, μὴ φαινομένην δέ. [6] Δεινὸν δὲ σημαίνει τέσσαρα, τὸ φοβερὸν καὶ μέγα καὶ καταπληκτικὸν, παραγόμενον ἐκ τοῦ δέους, καὶ τὸ βαθὺ καὶ περινενοημένον, καὶ τὸ κατὰ αὔξησιν καὶ μείωσιν προχωροῦν, καὶ τὸ μετὰ συνέσεως πιθανόν τε καὶ εὔκαιρον, ἃ πάντα ἐπὶ τῆς δεινότητος χώραν ἔχει. Περὶ δὲ τῶν τριῶν εἰδῶν τῆς δεινότητος ἐν τῇ ἰδέᾳ τῇ δεινότητι ἱκανῶς ὁ Ἑρμογένης φθάσας ἐτεχνολόγησεν. Τί μέν ἐστι δεινότης, ὑπέγραψεν Ἀριστείδης [7] ἐν τῷ περὶ πολιτικῶν λόγων εἰπὼν, ὅτι δεινότης ἐστὶ τὸ πόῤῥωθεν τὸ χρήσιμον ἑαυτῷ προδιοικεῖσθαι, καὶ τὸ προαναιρεῖν τὸ ἀντιπίπτον αὐτῷ, μέθοδος δὲ, φησὶ, ποιὸς σχηματισμὸς κατ' ἐξαίρετον [8] περὶ τὴν ἔννοιαν· τὸ [9] σχῆμα μὲν γὰρ λέξεως, ἡ δὲ μέθοδος ἐννοίας. — Πρὸς τί χρήσιμα τὰ μέρη τοῦ λόγου καιροῦ τυχόντα, καὶ ὅσα ἐν αὐτῷ καὶ οἷα δύναται

4 Par. 2927. δέ. 5 καὶ ἔτι — ἐπὶ τῆς λέξεως ex Par. 2977. recepi. 6 Ald. pergit: ἣν καὶ Ἀριστείδης ἐν τῷ περὶ πολιτικῶν λόγων ὑπέγραψεν εἰπὼν κ. τ. λ. omissis interiectis. 7 p. 656. Ald. verbis paullo mutatis. 8 κατ' ἐξαίρετον Ald. om. 9 Ald. τὸ γὰρ σχῆμα τῆς λέξεώς ἐστιν. Sqq. ἡ δὲ μέθοδος — — φεναχιστὰς ν. ex Par. recepi.

---

χάριν καὶ ἡδονήν. γένους ὄνομα· κατάχρησις. ἤθους ἡμέρου· λογικοῦ ἢ λόγῳ ἀγομένου. τύχης ὄνομα· τυχὸν ἰδιωτείας. Πανουργίας· περιεργίας. Χρόνον δὴ τὸν πολύν· ἀντίκειται. θαυμάζων· τὸ θαυμάζειν ἀφελείας· τὸ σεμνὸν τοῦ μεγέθους.

Cap. II. Ἡ τεχνική· οἷον γεωργική. ὃ γοῦν παρασάγγης· ἐθνική. διὰ τεσσάρων· δηλονότι χορδῶν.

ἤθους προσθήκη, τὸ χωρίον δηλοῖ. — Τὸν πολὺν, τὸν ὀλίγον· τὸ ἐναντίον δῆλον· τὸ γὰρ ὀλίγον ἀντίκειται τῷ πολλῷ, καὶ τὸ αὐτὸς δὲ τοιοῦτόν ἐστιν ἀντικείμενον· ὁ μὲν γὰρ Πλάτων ὡς θαυμάζων ἤρετο, ὁ δὲ Φαίδων ὡς σεμνυνόμενος ἀπελογεῖτο κατὰ τὸ ἐναντίον.

---

Cap. IV. Πότε ταυτότητι ὀνομάτων χρησόμεθα καὶ πότε ποικιλίᾳ; ἐπὶ τῶν οὐκ ἰσοτίμων τῷ αὐτῷ ὀνόματι χρηστέον, ἐπὶ τῶν οὐκ ἰσοτίμων ποικιλτέον.

Cap. V. Ἰστέον, ὡς ἡ περιττότης καὶ διαβολή ἐστι. Κατὰ γνώμην· κατὰ ἐνθύμημα. διατριβῇ· μακρηγορίᾳ. πλήθει· τῶν λέξεων δηλονότι. Καθολικῶν· οἷον ἄνθρωπος. ἰδίοις· οἷον Σωκράτης. Παραλλάξεις· τὸ παραλλάξεις δεύτερον πρόσωπον τοῦ πρώτου μετ. [sic! legisse videtur παραλλάξεις pro παραλλάξ' εἰσιν].

Cap. VI. Φορτικὸς ὁ λόγος· ἡ ὁμολογία. ἀποκτείνατε τὸ τόλμημα.

Cap. VII. Σημ., ὅτι ταὐτόν ἐστι παράλειψις καὶ ἀποσιώπησις. Ἀκουόντων, ἢ λέγομεν· ἀντὶ τοῦ παρ' ὅ. προσποιεῖσθαι παραλιπεῖν· ὑποκρίνεσθαι.

Cap. VIII. Πικρότερον· δριμύτερον. ἔνοχον ὄντα· αἴτιον. φυλαττόμενος· ἐκκλίνων.

Cap. IX. Αἰθίοπας· ποῦ εἰσι; καὶ ποιεῖ ἐπανάληψιν καὶ λέγει Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν. Ἄρες, Ἄρες· τὰ ἐπαγόμενα ποιοῦσι τὴν μεταβολὴν, τὸ βροτολοιγὲ καὶ μιαιφόνε. κοσμήσῃ τὸ πρόσωπον· συστήσῃ. ἐπὶ ἤθους βεβαιώσει· βεβαιοῖ τὴν ἀνδρείαν αὐτοῦ. παρὰ δὲ τοῖς πεζοῖς· τοῖς πεζῇ λέξει χρησαμένοις, οὐ ποιητικῇ. Ἐκπεπλ. στρατηγοί. [de Chers. p. 95.] περὶ Διοπείθους τοῦ στρατηγοῦ Ἀθηναίων λέγει· ἕτοιμός εἰμι· τὸ ἑξῆς οὕτως· πάντες, ὅσοι πώποτε ἐκπεπλεύκασι στρατηγοὶ παρ' ὑμῶν, παρὰ τούτων τῶν τὰς νήσους οἰκούντων χρήματα λαμβάνουσι· διὰ μέσου δὲ τὸ· ἐγὼ πάσχειν ὁτιοῦν ἕτοιμός εἰμι, ἵν' ᾖ προσυπακουόμενον· εἰ μὴ ἀληθεύω. φρουρεῖν, φρούραρχον εἶναι μετὰ βαρύτητος· ἔστι δὲ ἡ βαρύτης τὸ οἴμοι.

— Ἰδίαν διάνοιαν ἀπεργάζεται· οἷον ἐν ἰδίῳ καιρῷ σοφιστὰς ἂν εἴποις τοὺς εὔροιαν λόγου πλουτοῦντας, καὶ τοὺς σοφίζοντας εἴτουν διδάσκοντας, ἐν ἤθει δὲ κατ' εἰρωνείαν τυχὸν ἱρεῖς καὶ τοὺς ἀπατεῶνας καὶ παραλο- 416
γιστὰς καὶ αὐτὸ τοῦτο φενακιστάς. Πᾶν μέρος λό-

---

Cap. X. Ἀναντίῤῥητον· ἐν ᾧ τις ἀνταποκριθῆναι οὐ δύναται. Ἆρ οὐκ εἶ κλέπτης· ἐγὼ μὲν οἶμαι, φησί· δεῖ γὰρ τοῦτο προσυπακούεσθαι. τρεῖς ἔχει μορφάς· τρία εἴδη ἔχει καὶ διαφοράς. Πότε, ἃ δεῖ πράξετε· καὶ ὁ θεολόγος· ταῦτα ἐγκαλεῖς θεῷ τὴν εὐεργεσίαν. Ἀνατρεπτική· καὶ ὁ θεολόγος πάλιν ἴσα· τριακονταετὴς ὢν καὶ σὺ πρὸ τῆς γενειάδος διδάσκεις τοὺς γέροντας. Καὶ πίστωσιν· ἡ τοῦ ῥήτορος πρὸς ἑαυτὸν ἐρώτησις καὶ τοὺς ἀκούοντας ἐπιστρέφει. Πρόληψιν καὶ ὑπονοίας λ. πῶς οἷν ἀναπλασθῆναι καὶ τί γενέσθαι· τὸ μὲν σφοδρὸν τῆς ἰατρείας καὶ τὰ ἑξῆς. Ἐπέστρεψε τοὺς ἀκ. πρὸς ἑαυτὸν δηλονότι. ἤδη ζητῆτε· νῦν δηλονότι. ib. ταῦτά ἐστι τὰ δύο κῶλα, ἡ πρόληψις τῆς ὑπονοίας, τὰ δὲ ἐπαγόμενα ἡ λύσις αὐτῆς· τὸ αἰνίγματι γὰρ ὅμοιον τοῦ τεχνικοῦ ἐστιν οὐ Δημοσθενικόν.

Cap. XI. Ἑκατέρου καιρός· τοῦ μεγέθους καὶ ἤθους δηλονότι· ταὐτὸν διεργαζόμενα· τὸ αὐτὸ δὲ ποιοῦντα οὐχ ὁμοίως ποιεῖ. πλῆθος ἢ μέγεθος· τὸ πλῆθος ποσότης. τὸ μέγεθος ποιότης. Τῷ εἰπεῖν Ὄλυνθον καὶ τὰ λοιπὰ πράγματα εἶπεν, τὸ δὲ ἐῶ ἠθός ἐστι.

Cap. XII. Ἐπὶ κεφαλαίων· ἤγουν κεφαλαιωδῶς, συντόμως, συνοπτικῶς· οἷον ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας, τὰ τέκνα ὑπείκετε τοῖς γονεῦσι. Κατασκευάζειν· ἐπὶ δικανικοῦ καὶ συμβουλευτικοῦ τῶν στασιαζομένων τὸ κατασκευάζειν ἢ διδάσκειν. Τὸ διδάσκειν εἶπε διὰ τὸ πανηγυρικὸν καὶ παραινετικόν, καὶ γάρ εἰσιν ἀστασίαστα. Ἠθικὸν τὸ ἐπιλογικόν ἐστιν, τὸ γὰρ λελυμένον τῶν ἐπιλόγων ἐστί. Ἐπὶ κεφαλαίων· ἐπὶ ὑποθέσεων. ἢ λελεγμένα· δεδιδαγμένα. εἶτα πίστεις· αἱ ἀντιθέσεις. Πᾶσιν εἶναι κοινῇ· ἀντὶ τοῦ ἔδοξε πᾶσι κοινῶς ταὐτῷ ὄνομα εἶναι ἐπανάληψιν ἢ ἀνάμνησιν. ib. κοινῶς αὐτὸ οἱ ῥήτορες καὶ ἐπάνοδον καὶ ἀνακεφαλαίωσιν καὶ συλλογισμὸν καλοῦσιν. συλλογίσασθαι δὴ βούλομαι καὶ ἔστι συλλογισμὸς δηλονότι.

γου τοῦτο λέγει, [10] ὅτι αἱ λέξεις εὕρηνται μὲν παρὰ τοῖς φιλοσόφοις ἐπὶ μηνύσει πράγματός τινος, οἷον ὀκύων τὸ ζῶον ὠνομάσθη κύων [11] διὰ τὸ φιλοδέσποτον· καιροῦ δὲ ἰδίου τυχὸν τὸ ὄνομα μετετέθη [12] καὶ ἐπὶ τὸν ἀστρῷον κύνα καὶ ἐπὶ τὸν θαλάττιον διὰ τὸ βλαπτικὸν ἑκατέρων. Ἄλλως· [13]

---

10 Ald. τουτέστιν. Par. 2927. τοῦτο λέγει. 11 κύων Par. 2927. om. 12 Ald. μετέθη. 13 Ald. ἄλλων. Par. 2927. ἄλλως. ex eodem p. 567. v. 2. post καιρὸν inserui τόν. v. 4. habet: δήπου δηλοῖ.

---

Cap. XIII. *Ἐπιδεικτικὰ λέγονται τὰ ἐπιτετηδευμένα* [aliud schol. τὰ κατ' ἐπιτήδευσιν] σοφιστικὰ τὰ ἀληθῆ καὶ ἀναγκαῖα καὶ γοργά, οἱ γὰρ ἀγωνιζόμενοι σπουδῆς δεόμενοι καὶ τομῆς ἀνεπιτήδευτα λέγουσιν. *Φύσις τοῦ πράγματός ἐστιν*, ἵνα εἰσέλθωμεν εἰς τὸ πλοῖον καὶ δῶμεν τὴν κόρην καὶ ἀπέλθωμεν. *Πάρεργόν* ἐστι τὸ ἀγείρομεν, θήσομεν καὶ τὰ λοιπά. *Ἀγωνιστικά*· ἀναγκαῖα δικανικά. *σώφρων* ἐστὶν ἀκοὴ ἡ ἡδύνουσα τὸν ἀκροατὴν, τουτέστι πείθουσα, ἡ δὲ μὴ σώφρων, ἡδύνουσα δὲ, ἡ διὰ τῶν σκωμμάτων τοὺς ἀκροατὰς ποιοῦσα γελᾶν. *Ὄνομα κύριον* τὸ Πῶλε· μαθητὴς γὰρ ἦν· τὸ δὲ ἵνα προσείπω σε κατὰ σὲ, ἐστὶν ἡ κυρίωσις. *Ἀγωνιστικὰ* κυρίως τὰ ἀληθευτικὰ λέγεται, ἐπειδὴ τὰ δικανικὰ ἀληθείας χρῄζουσιν. *τὰ ἀγωνιστικά*· παρὰ τοσοῦτον οἱ ἡμέτεροι παιδευταὶ καὶ τὰ ἑξῆς· *ὦ λῷστε Πῶλε*· πάρισον ὅλον τὸ Πλατωνικὸν χωρίον. *Διδάσκουσι γάρ*· ὡς ἀπὸ τοῦ Πλάτωνος τοῦτο ἔλαβε. *Οἱ σοφοί*· εἰρωνικῶς. *Πρόθοος* ὄνομα· θοὸς ἀρετή· καὶ σοφὸς ἀρετή. Σοφοκλῆς ὄνομα.

Cap. XIV. *Διὰ μέσου τὰς αἰτίας*· καὶ ὁ Θεολόγος· εἰ καὶ νῦν ἡμᾶς εἰς τὴν μείζονα τάξιν ἀνήγαγεν ὁ θεὸς, εἶτα ἡ αἰτία πρὸ τοῦ ὑπερβατοῦ· ὑμᾶς ταῦτα παιδεύειν τοὺς ἐν ἐξουσίᾳ· εἶτα τὸ λειπόμενον τῆς ἐννοίας τῆς πρώτης· ὀκνῶ γὰρ εἰπεῖν βαρύτερον. *Πῶς ὦ Θουκυδίδη*· τοῦτο ἀπὸ τοῦ Ἑρμογένους νόει. *ἡ γὰρ Λακεδαίμων*· ἡ πρώτη αἰτία, καὶ ὁ *γὰρ* σύνδεσμος. *εὐνομήθη*· νομικῶς ἐπολιτεύοντο. *ἔτι γάρ ἐστιν*· ἡ δευτέρα αἰτία· καὶ ὁ *ἕτερος γὰρ* συνδεσμός· *ἐστὶ μάλιστα*· ταῦτα ἡ αἰτία τῆς αἰ-

πᾶσα λέξις εὕρηται διὰ δήλωσίν τινος πράγματος· δηλοῖ δέ τι τηνικαῦτα, ὅτε οἰκείως καὶ κατὰ καιρὸν τὸν προσήκοντα τεθῇ· αὐτό γὰρ τὸ κακοῦργος ὅταν ἐπί τινος ὀνομασθῇ κακίας διαφόρους ἐργαζομένου, ἐκεῖνον δηλοῖ δήπου τὸν εἰργασμένον· ἂν μέντοι ὁ καιρὸς ἄλλος ᾖ, καὶ τὸ πρόσωπον κλοπὰς εἰργάσατο μόνας, οὐχ ἑτέραν κακίαν, οὐ τὸν προειρημένον δηλοῖ, ἀλλ' ἐν προσθήκῃ ἤθους ἐκεῖνον αὐτὸν τὸν κεκλοφότα· χρηστὸν ἴσμεν τὸν ἀγαθὸν, δυνάμεθα δὲ κατὰ καιρὸν εὔθετον καὶ τὸν πονηρὸν ἐν ἤθει τῷ τῆς εἰρωνείας χρηστὸν ὀνομάσαι.

---

τίας. Τὰ ἐν ταῖς ἄλλαις· τὰ συμφέροντα· ἐπανέρχεται ὁ Θουκυδίδης. οὐδεμία γὰρ αἰτία· ὥστε τὸ ὑπερβατὸν αἰτίαν ὀφείλει ἔχειν.

Cap. XV. ἀναντίῤῥητον· ἰσχυρόν ἐστιν· ἐτριταγωνίστεις· ἠγωνίζω ἐκ τρίτου. ἐγραμμάτευες· ἀνεγίνωσκες, ὡς νοτάριος. ἐξέπιπτες· ἔπταιες ἐν τῷ ἀναγινώσκειν· ἐσύριττον· ἐσημειούμην, ὅτι ἔπταισας. τοῦτο δὲ τὸ ἀντίθ.· δηλονότι περὶ τοῦ, ἐν ᾧ τὸ συμπόσιόν φησιν εἶναι κακόηθες· διὰ τὸ τὸν Δημοσθένην ἐψεῦσθαι· τὸ δὲ πρότερον οὐ κακόηθες, ἀληθὲς γάρ. πρᾶγμα ἀληθές· τὸ ποιῆσαι κλητόριον τὸν Φίλιππον καὶ δοῦναι δῶρα τοῖς ἑστιωμένοις· καὶ ἐν τῷ ἀπολογητικῷ ὁ θεολόγος ἀντιτίθησι τὸν ἰατρὸν καὶ τὸν ἱερέα. Πάρισον· παρίσωσις Θουκυδίδου· ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντας οὐ συμμαχεῖν ἀλλὰ συναδικεῖν. ib. τὸ ἐγγὺς τῷ ἴσῳ.

Cap. XVII. Προσπ. σχεδιάζειν· ἀπερισκέπτως καὶ παραχρῆμα λέγειν. ἀμελετήτως καὶ ἀπροβουλεύτως προάγειν τοὺς λόγους ἀμέλει καὶ σχεδίαν ναῦν τὴν οὕτω κατασκευασθεῖσαν φαμέν. Τὰ ἐπιόντα· τὰ ῥηθέντα ἐκ τοῦ προχείρου καὶ ἄνευ τοῦ συμβουλεύσασθαι. Προσεῖναι τῷ συμβούλῳ· δεῖ τῷ συμβουλεύοντι τοῦ ἔχειν ἐν τοῖς πράγμασι πολλὴν πεῖραν. ib. τοῦτο λέγει, ὅτι ὁ θέλων συμβουλεύειν λέγειν ὀφείλει, ὅτι ἐγὼ ἐσκεψάμην, καὶ μετὰ σκέψεως πολλῆς εὗρον τὸ συμφέρον· αὐτόθεν λέγειν· ἐκ τοῦ παραχρῆμα. ὑποκρίνονται σχεδιάζειν· εἰ γὰρ εἴπω, ὅτι ἐσκεψάμην, δικανίζων ὁ δικαστὴς φανεῖται τὸν ῥήτορα, μήπως ἀπατη-

*Πάσης λέξεως τῆς ἀγνοουμένης ἐν πεζῷ λόγῳ τρεῖς μέθοδοι τῆς εὑρέσεως· καὶ τὰ λοιπά.*

Εἰσαγγελία ἐστὶν ἡ εἰσαγωγὴ τῆς δίκης· ὡς ἐὰν εἴπω, κατηγορῶ Νικίου προδοσίας· φάσις δὲ ἡ ψιλὴ προσαγγελία· τὸ δὲ δὶς διὰ τεσσάρων τὸ ἑπτάχορδόν ἐστι· μοσχεύειν δὲ λέγουσιν οἱ γεωργοὶ τὸ ἐντιθέναι ἀνεστραμμένως τὰ κλήματα ἐν ὀρύγματι γῆς ἐπὶ τῷ ἐκφῦσαι ῥίζας, εἶθ' οὕτως ἐμφυτευθῆναι.

---

θῇ τῇ τοῦ ῥήτορος ἐμπειρίᾳ. ταραχθῇ· παρατραπῇ, συγχυθῇ τὴν διάνοιαν. αὐτόθεν εὑρίσκοντες· καίπερ ἐκ πολλῶν ἡμερῶν σκεψάμενοι λέγουσιν, ὅτι ἄρτι ἐμνήσθην τοῦδε τοῦ κεφαλαίου. Μεταξὺ ἀναμνησθέντες· οἷον, ἀλλ' ὅ με μικροῦ παρέδραμεν ὁ θεολόγος, καὶ τὰ ἑξῆς. ib. Οἱ ῥήτορες, οἱ δίκας λαμβάνοντες μετά τινος.

Cap. XVIII. Αὔξησίς ἐστιν, ὅταν τις ἐκ περιουσίας τινὸς κατηγορῇ, ἀπόδειξις δὲ, ὅταν διὰ τῆς γραφῆς ἀποδεικνύῃ. Λοιδορία· τὴν ἑταίρησιν λέγει· οὐδὲν εἶχον οἱ δικασταί. ταπεινότερον· εὐτελέστερον. περὶ μέσην ἡλικίαν· οἱ γὰρ περὶ μέσην ἡλικίαν οὐ τοσοῦτον ἐν πάθεσιν, ὥσπερ οὐδὲ οἱ γέροντες.

Cap. XIX. Διεβάλλετο ὁ Εὐρυβάτης ἐπὶ ἀφροσύνῃ καὶ κακίᾳ. — κλέπτης ἦν.

Cap. XX. Οὔποτε σοφὸς ὀμνύει, ὅτι ὁ δεῖνα φόνον ἐποίησεν, ἀλλὰ μὴ τὸν θεὸν πονηρὸν καὶ κακὸν πρᾶγμα ἐποίησεν, καὶ τὸ ἦθος αὐτοῦ μὴ βουλόμενος ὀνομάσαι, τὸ ἔγκλημα ὡς εὐλαβούμενος δείκνυσιν. Ἠθικὸν μὲν τὸ ἰδίοις ὀμνύειν, ἐναντίον δὲ τὸ ἕνεκα πραγμάτων ἑτέρου τινὸς ὀμνύειν. Οὐ μὰ Ζῆν'· θρηνητικὸν ὤμοσεν ὅρκον· τὴν γὰρ συμφορὰν τοῦ πατρὸς ὅρκον ἐποιήσατο. Κἀμέ. περὶ τοῦ Μειδίου φησί. Πεπονθέναι· ὅτε ἔτυψεν ὁ Μειδίας αὐτὸν, τὸ ἦθος αὐτοῦ ἐμβεβαιοῖ πρὸς τοὺς δικαστάς. πραγματικὸν ὅρκον· ἀγωνιστικόν. ἐναντίου ἤθους· δηλονότι τοῦ Ὁμήρου.

Cap. XXI. Ὁ ῥήτωρ· ἤγουν ὁ ῥητορικὸς νόμος. Στράτωνι συναγορεύει· ἄτιμος γὰρ οὗτος. Εὐπρέπειαν· εὐπρεπῆ φη-

*Τὰ ἁμαρτήματα κατὰ τὴν λέξιν κατὰ δύο τρόπους γίνεται· καὶ τὰ λοιπά.*

Τὸ μὲν γὰρ παρακαλεῖν· τὸ γὰρ ἄγειν καὶ ἕλκειν ἐφ' ἑαυτῷ ἐπίτασις τοῦ καλεῖν ἐστι. β. διαζώστραν· τοιοῦτόν ἐστι καὶ τὸ ἐὰν τὴν τάφρον τράφον εἴπῃς, ἢ τὸν καχρυδίαν ἄρτον κεγχρυδίαν, αἱμωδεῖν δέ ἐστι τοὺς ὀδόντας ναρκᾷν.

---

σιν ἐνταῦθα τὸν σεμνῶς βιοῦν γνωριζόμενον. Μέρεσί τισι· εἰσὶ μέρη τινὰ ὑποθέσεων, δεόμενα ῥήτορος, πρὸς τὸ τοῖς δικασταῖς ἀπολογεῖσθαι, καὶ εἰσιν ἕτερα, ἐν οἷς ὁ τυχὼν ἄνθρωπος ἱκανός ἐστιν ἀπολογήσασθαι.

Cap. XXII. Κακία λέγεται ἡ ἀσάφεια. εὐδιάλυτα, εὐανάτρεπτα, σαθρά. Καὶ ἐναντία· ἐναντίον τὸ περιπίπτειν τοῖς ἑαυτοῦ λόγοις στρεφομένοις τῷ ἀνακολούθῳ. Ἀντιλαβάς· ἀφορμὰς, ἀντιλήψεις. ἐναντιώματα· ἀνατρεπόμενα ἢ διαβαλλόμενα. Σχολικαῖς· ἀσχολία ἐστὶν ἡ ἐμμέριμνος φροντίς. ib. ταῖς ὁσαιςοῦν καὶ κατὰ συντυχίαν γινομέναις, ἤγουν ταῖς πλασματικαῖς καὶ διὰ μελέτης γινομέναις καὶ οὐκ ἀγωνιστικαῖς. Σχολικαὶ ὑποθέσεις, αἱ καθ' ἑκάστην γινόμεναι συντυχίαν, ὡς ὅταν τις ἀδίκως τινὰ βουλομένοις τυπτῆσαι φησὶν οὕτως, μὴ μὲν τύψῃς, ἀλλὰ καὶ ἀπόκτεινον, εἰ βούλει, τοῦτο δὲ λέγει οὐ βουλόμενος ἀποκτανθῆναι, ἀλλὰ παριστῶν διὰ τούτου τοῦ ἐναντίου ῥυσθῆναι, φημὶ δὲ τῆς τυπτήσεως, τοῦτο δὲ τὸ εἶδος καλεῖ τὸν σχηματισμόν. ἄλλη τις τέχνη· τί ἐστιν, ὃ λέγει, μαθήσῃ διὰ τοῦ ἐφεξῆς κεφαλαίου· διὰ μακρῶν· ἤγουν διὰ πολλῶν λόγων προβάλλεται ἢ προτείνεται. Διὰ μαρτυριῶν· ἵνα λέγῃ, ὅτι καὶ ἄλλοι τοῦτο ἐποίησαν. Ἀλλὰ ἀντιλέγειν· ἀλλὰ λέγε· ὅτι ἐὰν τοῦτο ποιήσετε, μήπως τινὲς ὑμᾶς μέμψωνται.

Cap. XXIII. Ὁ κατηγορῶν· κατὰ πόσους τρόπους ὁ κατήγορος τὰς τοῦ φεύγοντος προτείνει προτάσεις, καὶ ποῖος ἑκάστης καιρός· ἐπιστήμην· τὴν εἴδησιν νῦν ἐπιστήμην λέγει. φήσει δὲ, ἀναξίους· τοῦτό ἐστιν ἡ πρότασις τοῦ ἀντιδίκου. τῷ μὲν

*Πότε ταυτότητι ὀνομάτων χρησόμεθα, καὶ τὰ λοιπά.*

Ὡς δ' ὅταν ὀδύνουσαν· τοιοῦτον καί ἐστι τὸ τοῦ θεολόγου· ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος, ἡ μὴ κινουμένη σφραγὶς, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου· ταῦτα γὰρ πάντα [14] τὰ ὀνόματα δηλωτικὰ τοῦ υἱοῦ, καὶ τὴν ἐνέργειαν ὁμότιμον ἔχει τοῦ υἱοῦ. β'. καὶ ὁ Θουκυδίδης. σύγκρισιν ποιεῖται, ὅτι ὁ Πελυποννησιακὸς πόλεμος μείζων ἐγίνετο τοῦ Τρωϊκοῦ, οὗ χάριν καὶ τεκμήριά τινα καὶ σημεῖα καὶ παραδείγματα λαμβάνει.

---

14 Ald. *πάντα ὁμότιμ. τὴν ἐνάργειαν ἔχει τοῦ υἱοῦ.* omissis interiectis.

---

*Λεπτίνῃ· ὅτι ἡ πόλις ἀσθενεῖ καὶ οὐ δύναται διδόναι ἀτέλειαν.*

Cap. XXIV. *Τάξεως μεταβολή· καὶ τὰ ἐν ἄλλαις πτώσεσι καὶ γένεσι καὶ ἀριθμοῖς λέγει· καὶ τὸ τὰ λεγόμενα ἐν προοιμίοις ἐν ἀγῶσιν εἰπεῖν ἢ ἄλλῳ μέρει τοῦ λόγου, ἢ τὸ ἀνάπαλιν·* ib. *τουτέστιν, ἐὰν ᾖ τὸ παλαιὸν κατ' εὐθεῖαν, ποίησον αὐτὸ σὺ κατὰ πλαγιασμὸν ἢ τὸ ἀνάπαλιν. Διὰ μακρῶν· ἢ τὰ αὐτὰ νοήματά τις ἐν δυσὶν αὐτοῦ λόγοις συγγράφεται, καὶ ἄλλως καὶ ἄλλως ἐκφράζει αὐτὰ, ἵνα μὴ ὑποπτευθῇ οὕτω ποιῶν παρά τισιν, ἢ ἄλλου τινὸς νοήματα καὶ ὑποθέσεις λαμβάνων διὰ μακροῦ ὄντα αὐτὰ βραχέως ἐκφράζει, ἢ καὶ τὸ ἀνάπαλιν ὡς διδάσκει ἡ τέχνη, καὶ λανθάνειν τοὺς ἀκροατὰς ἀγωνίζεται. Ἐν δὲ τῇ πανηγυρικῇ· καὶ γὰρ τὸ ἐγκώμιον κατὰ τάξιν τῶν κεφαλαίων γίνεται καὶ οὐκ ἄλλως. ἐν συμβουλῇ· καὶ γὰρ ἐν συμβουλευτικοῖς εἰ μὲν τὸ πρᾶγμα κατεπείγει, περὶ οὗ συμβουλεύεις, ὀφείλει εἶναι τοῦ λόγου βραχύτης, εἰ δὲ μὴ, μῆκη. Τὰ αὐτὰ λέγων· καὶ ὁ θεολόγος· οὐ γὰρ τὰ αὐτὰ φθέγξομαι μόνον, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν χρησάμενος προδιορθώσει. Ἐν τῇ δικανικῇ πῶς ἔχει χώραν ἡ τῆς τάξεως μεταβολὴ, ἐν τῷ συγχεῖν τὴν τάξιν τῶν κεφαλαίων. Διαιρέσεως· τῆς στάσεως, δηλονότι τῆς ὑποκειμένης ὑποθέσεως. τῷ τῆς ἀξίας, ἤγουν τῷ ἐνδόξῳ.*

Cap. XXV. *εὐμισήτου· καλῶς καὶ εἰκότως μισουμένου.*

Cap. XXVI. *Πανουργῶν· ἀπατῶν. εἶναι μοι δοκεῖ·*

Ἡ περιττότης ἐστὶ διπλῆ, καὶ τὰ λοιπά.

*Κατὰ γνώμην.* γνώμην τὸ νόημα καὶ ἐνθύμημα καλεῖ. αὐτὸ [15] δὲ τρανῶς αὐτὸς ὁ τεχνικὸς μετ' ὀλίγα σαφηνίσει· ἔτι γε μὴν ὅπως τὰ καθολικὰ τοῖς ἰδίοις συμπλέκεται. β'. *Τὸ περὶ τοῦ στεφάνου·* οἷον πρῶτον μὲν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν καὶ ὑπὲρ ὑμῶν. γ'. *εἰς κίνησιν ἤθους* νῦν τὸν ζῆλον τῶν δικαστῶν νοεῖ· διὰ τοῦτο γὰρ συνεφόρησε τὰ ὀνόματα, ἵνα ζηλώσωσιν ὑπὲρ αὐ-

---

15 αὐτὸ δὲ — συμπλέκεται ex Par. recepi.

---

ἁπλότης ἐστὶ προσποιητή. *αὐτῷ ἰσχύῃ·* τῷ Δημοσθένῃ. *ταύτην τίθεμαι·* τὴν τοῦ εἶναι πολίτην.

Cap. XXVII. *Μερίζεται ἡ κατηγορία·* εἰς δύο, ῥήτορας δηλονότι, ἡ κατηγορία. *Προκαταλαμβάνει·* ἃ μέλλει λέγειν δεύτερον ὁ Ἀνδροτίων.

Cap. XXVIII. *Ἀναφορᾷ·*

ὥς φασιν, οἵ μιν ἴδοντο πονεύμενον, οὐ γὰρ ἔγωγε
ἤντησ' οὐδὲ ἴδον. [Il. δ. 374.]

*Λέσβιοι·* διὰ τὸν Θρασύβουλον· μῦθον λέγουσι· τοῦτό ἐστιν ἀναφορὰ, ἀναφέρει γὰρ, ὅτι οἱ μῦθοι λέγουσι τοῦτο. *Ἀνδρὸς ἀξιοπ.* τοῦτο ἐστὶ τὸ Πλατωνικὸν, ὃ παρέφρασεν ὁ Δημοσθένης.

Cap. XXIX. *Τῆς κοινότητος·* κοινὰ διανοήματα τὰ δημώδη καὶ τὰ οἷον εἰς τὴν ἀγορὰν λεγόμενα· *ἀλλ' εἴ τῳ·* ἀλλ' εἴ τινι· *καὶ ἄλλῳ·* τοῦτο ἡ κοινότης. *ἴδιαι ἔχθραι·* αἱ πρὸς ἕνα ἕκαστον. *Διότι πανουργῶν·* καὶ ὁ θεολόγος πολλαχοῦ φαίνεται τὸ κοινὸν ἴδιον ποιησάμενος· εἰπὼν γὰρ, εἴπωμεν ἀδελφοὶ καὶ τοῖς μισοῦσιν ἡμᾶς, ἔδοξεν μὲν ἴδιον αὐτοῦ εἶναι· ἔστι δὲ τοῦτο Ἡσαΐου τοῦ προφήτου καὶ εἰπὼν ἔλαθε πάντας. *Ὑπωπτεύετο·* τουτέστιν ὀνειδίζειν τοῖς Ἀθηναίοις *Ὅτε τοίνυν τοῦθ' οὕτως.* τοῦτο ἡ ἐπισφραγίς. *Πεποίηκε τοῦτο·* τὸ ἐπισφαγίσαι.

Cap. XXX. *Ἐπισκήπτει·* ἀξιοῖ. *φίλων ἀπάνευθεν·* καὶ

τοῦ τοιαῦτα πεπονθότος· περὶ δὲ ἐνθυμήματος καὶ ἐπενθυμήματος ἐν τοῖς περὶ εὑρέσεως εἴρηται. δ. ἐν τῷ Θουκυδίδου· ὁ ἐπιτάφιος οὕτως ἔχει· [16] „οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν· ἐμοὶ δ' ἀρκοῦν ἂν ἐδόκει ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς· οἷα καὶ περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε. καὶ μὴ ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι·" εἶτα ἐπιφέρει τὰ ἐπενθυμήματα κατασκευάζων· „χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν," καὶ τὰ ἑξῆς· εἶτα ἐπιφέρει· „ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ," καὶ τὰ ἑξῆς. Οἱ δὲ καθολικοὶ λόγοι· [17] ὡς ἐὰν εἴπῃς νέῳ, νέος εἶ, πόνει· τοῦτο ἴδιον· εἶτα τοῦ κοινοῦ ἡ συμπλοκή· πᾶσι γὰρ νέοις, μᾶλλον δὲ πᾶσιν ἀνθρώποις λυ-

16 Thuc. II. 35. 17 οἱ δὲ καθολικοὶ — — ὡς οὐκ ἔξεστιν. v. 15. — p. 573. v. 4. ex Par. recepi.

---

ὁ θεολόγος ἔφεσπε κλονέων τῷ λόγῳ. τὸ σῶφρον· καὶ τούτῳ Αἰσχίνης κέχρηται. ὅστις δ' ὁμιλῶν· τοῦτο τοῦ Θεόγνιδος [Eur. Phönic. Fr. IX.].

Cap. XXXI. Παράλογον· τὸ παρὰ τὸν εἰκότα λόγον γινόμενον παρὰ δόξαν, παρὰ προσδοκίαν. ταύτῃ φοβερόν· διὰ τοῦτο. παραπλησιαζόντων· παραδυναστευόντων.

Cap. XXXII. Θεῶν κου. τὸ κοῦ ἀντὶ τοῦ ποῦ, ὡς τὸ, ὁκόσοισιν ἐοῦσιν· ἴδιον δὲ τοῦτο τῶν Κώων.

Cap. XXXIII. Τραγικῶς λέγειν· τὸ παθητικῶς λέγειν. Πολιχνίου· μικρὰ πόλις. Πολλὰ δράματα· ὑποκρίσεις διὰ τὸ ὑποδύεσθαι τὰ προσωπεῖα καὶ λέγειν τὰ ἐκείνων. Τραγῳδία ἐστὶν ἡ τῶν κακῶν ἀνάμνησις. τῶν ἐν ἡλικίᾳ· τοὺς τελείαν ἡλικίαν ἔχοντας. Τὸ μονονουχὶ σημαίνει καὶ τὸ ἀληθὲς καὶ τὸ σχεδόν. Κόνωνος αἰκίας· ἕνεκα τῆς ποινῆς· περιήγησιν ἐξήγησιν, πλατυσμὸν, ἔκφρασιν.

σιτελεῖ τὸ πονεῖν. Ὧν ὁ καιρός· διδάσκει ὁ τεχνικὸς, πηνίκα χρηστέον ἐπενθυμήσει καὶ πηνίκα λόγοις καθολικοῖς. Δοκιμασάντων· ἐπιεικῶς αὔθαδες τὸ δοκιμασθὲν ὑπὸ τῶν παλαιῶν λέγειν, ὡς οὐκ ἔξεστιν.

**Τῶν δὲ αὐθαδῶν καὶ τολμηρῶν διανοημάτων θεραπεῖαι καὶ παραμυθίαι δύο· καὶ τὰ λοιπά.**

Ὁ μὲν οὖν παρών·[18] αὔθαδες μὲν τὸ λέγειν τὸν καιρὸν φωνὴν ἀφιέναι· παραμυθεῖται δὲ διὰ τῆς τοῦ μονονουχὶ μικρᾶς[19] προσθήκης. Ποῖον τοῦτο; τὸ ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι; ἁλμυρὰν δὲ ἀκοήν φησιν ὁ Πλάτων οὓς ἔλεγον εἰς τὸ θεῖον ἀπρεπεῖς λόγους· τοῦτο[20] οὖν παρεμυθήσατο τῷ εἰπεῖν οἷον. β'. κατὰ Τιμοκράτους· ὁ Τιμοκράτης ἔγραψε νόμον, ὅπως μὴ 417
διδῶσιν ἐγγυητὰς οἱ χρειωφειλέται, ὃν κακίζει ὁ Δημοσθένης.

---

18 Ol. III. p. 29. 19 μικρῶς Par. om. Ex eodem sqq. ποῖον τοῦτο — ἀποκλύσασθαι recepi. — Plat. Phaedr. p. 343. c. 20 τοῦτο οὖν — οἷον ex Par. recepi.

---

Cap. XXXIV. Ἐκ τοῦ κωμικοῦ· οἷον Ἀριστοφάνης καὶ Λουκιανός. ἐκ τοῦ βίου? τοῦ Μενάνδρου δηλονότι. κωμικῶς λέγειν· ἀπὸ τοῦ κώμου· τὸ γὰρ ἀστειολογεῖν ἴδιον τῶν κωμαζόντων. Διεκωμῴδησε· τοῦτό τις σχηματίζει καὶ λέγει εἰς διόρθωσιν καὶ σύνεσιν ἀσυνέτου. Βδελυρόν· καὶ ὁ Θεολόγος· ἐγὼ γὰρ ἔπαθον τοῦτο, ὦ ἄνδρες, οὔτε ὡς ἀπαίδευτος, εἰ μὴ καὶ μᾶλλον. Προσδοκᾷ μέν· καὶ ὁ Θεολόγος λέγει· ἐνὶ μόνῳ εὐχαριστοῦντες, τῷ μὴ τὴν λώβην αὐτῶν ὁρᾶν, ἐκδέχεται γὰρ ὁ ἀκροατὴς ἀκοῦσαί τι καὶ μεῖζον καὶ οὐκ ἤκουσεν. εἰκόσιν· εἰκόνας τὰ παραδείγματα. ὧν ἔτυχεν· οὐ τῶν τυχόντων. ib. ἐδόκουν δὲ οἱ ἀκροαταὶ, ὅτι εἰπεῖν θέλει, οἷς ὁ δῆμος εὔχεται, ὅπερ οὐκ εἶπεν, ἀλλὰ καταρᾶται. ὁ δῆμος· ἀγαθὸν προσδοκῶν ἤκουσε φαῦλον. αὐτοτράγικος· τραγικός ἐστιν ὁ μιμούμενος τὰ τῶν δραμάτων πρόσωπα.

Cap. XXXV. Τὸν αὐτὸν δὲ τρόπον· ἔχει καὶ τοῦτο δη-

Πότε παράλειψις καὶ ἀποσιώπησις γίνεται· καὶ τὰ λοιπά.

Πῶς οὗτος· ἐρωτώμενος, φησὶν, ἐγὼ, [21] πῶς οὗτος κέχρηται τῷ πατρὶ, ἀποκρινόμενος λέγω, ἢ ὅτι ἀντεῖπεν αὐτῷ, ἢ ὅτι οὐκ ἐπείσθη αὐτῷ· καὶ κατὰ ἀποσιώπησιν δείκνυμι τὸ ἐπεβούλευσεν· ὥσπερ ὁ Δημοσθένης ἐποίησε· θέλων γὰρ ὀνειδίσαι τῷ Αἰσχίνῃ πενίαν ἐσχημάτισε τὸν λόγον οὕτως· [22] „ἐγὼ γὰρ οὔτ᾽ εἴ τις πενίαν ὀνειδίζει νοῦν ἔχειν ἡγοῦμαι, οὔτ᾽ εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται.“ β΄. τῇ τελείᾳ· οὐ γὰρ ἦν [23] τελεία ἡ ἐν τῷ προτεθέντι παραδείγματι ἀποσιώπησις, ὥσπερ αὕτη ἡ Δημοσθενική. Σημειωτέον, πότε χρηστέον παραλείψει καὶ πότε ἀποσιωπήσει, καὶ κατὰ πόσους τρόπους ὑπάρχει μνήμη τῶν πραγμάτων ἐν προσποιήσει παραλείψεως. γ΄. τοῦ προσποιεῖσθαι παραλιπεῖν· οὐ γὰρ παραλείπει, ἀλλὰ λέγων παραλείπειν

21 ἐγὼ Par. h. l. om. et post ἀποκρινόμενος ponit. 22 pro cor. p. 312. 23 Par. οὐκ ἦν γάρ. Ex eod. sq. ἡ et ἀποσιώπησις — — παραλείψεως v. 11—14 recepi.

---

λονότι καὶ νοῦν ἄτοπον καὶ ἑρμηνείαν ἄλογον, ποῖον τοῦτο, τὸ στασιάσαντες. ib. στάσις ἐστὶν, ὅταν τινές τινας ἐναντίους πολεμήσαντες καταβάλωσι, καὶ τὰ σκῦλα μερίζωνται, καὶ ἐν αὐτοῖς μάχωνται πρὸς ἀλλήλους καὶ ἄλλο ἀλλαχοῦ σκορπίζηται καὶ ἀποδημῇ.

Cap. XXXVI. Δημηγορία ἐστὶν, ὅτε τις τὴν συμφορὰν τοῦ κοινοῦ λέγῃ καὶ διεγείρῃ καὶ αὐτοὺς τοὺς ἀκούοντας εἰς θρῆνον καὶ οἶκτον, ὥσπερ Ἀχιλλεὺς ποιεῖ ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ· διάλογος δέ ἐστιν ἡ κατὰ πεῦσιν καὶ ἀπόκρισιν. Συμπόσια Σωκρατικὰ ὁ Πλάτων συνεγράψατο, διηγήσεις ἔχοντα σπουδαίας ἅμα καὶ γελοίας. Εἰσάγει Ὅμηρος τὴν Ἥραν ὑπὸ τοῦ Διὸς τυπτομένην, ὅπερ οἶκτος· πάλιν δὲ τὸν Ἥφαιστον αὐτὴν παραμυθούμενον, ὅπερ γέλωτος. ἀναμὶξ συγκείμενοι· τὰ δύο ἔχοντες, καὶ ἐπιτίμησιν καὶ παραμυθίαν· ib. ἀναμὶξ γὰρ ἐκ τῶν δύο σύγκειται καὶ τὸ „μῆνιν ἄειδε“ καὶ

ὑποκρίσει μόνῃ τοῦτο ποιεῖ· φησὶ δὲ καὶ οὐ παραλιμπάνει· πῶς γὰρ ὁ διαῤῥήδην ταῦτα κατηγορῶν;

**Τὸ περιπλέκειν διαβάλλεται μὲν ὡς κακία τοῦ λέγειν, καὶ τὰ λοιπά.**

Περιπλοκή ἐστι τὸ διὰ μακρηγορίας ἐκτείνειν τὸν λόγον καὶ συγκαλύπτειν καὶ συσκιάζειν καὶ ἀσαφῶς λέγειν. Ἐγγὺς,[24] φησὶ, τοῦ μνημονευθέντος ῥητοῦ ἐστιν ἑτέρα περιπλοκὴ, τὸ ὑμεῖς δὲ, συνεξακούεται γὰρ τὸ ἀμελεῖτε. Φιλοτιμός ἐστιν ὁ πρὸς δόξαν πολιτευόμενος, ἀφ' οὗ καὶ φιλοτιμία. β'. μετὰ συλλήψεως· σύλληψιν λέγει[25] τὴν πρόσληψιν τοῦ ἀορίστου· τὸ οὐκ οἶδ' ὅντινα μοι δοκοῦμεν. Ἐπὶ κεφαλαίων· ἀντὶ κεφαλαιωδῶς, καὶ τὸ μὲν κατασκευάζειν ἐπὶ τῶν ἀγώνων νοεῖται, τὸ δὲ διδάσκειν ἐπὶ τῶν διηγήσεων, ἢ τὸ μὲν κατασκευάζειν ἐπὶ τοῦ δικανικοῦ, καὶ τοῦ στασιαζομένου συμβουλευτικοῦ, τὸ δὲ διδάσκειν ἐπὶ τοῦ ἀστασιάστου συμβουλευτικοῦ καὶ τοῦ πανηγυρικοῦ.

---

24 Ἐγγὺς — καὶ φιλοτιμία v. 6—9. ex Par. recepi. 25 Ald. λέγονται. Par. λέγει.

---

τὸ „ἄνδρα μοι ἔννεπε." Παραμυθουμένων. Ἑρμογένους τοῦτο ἐφερμηνευτικὸν τοῦ ὅσα δέδηγμαι, κείμενον διὰ μέσου. Ἀχαρνεῦσιν· δρᾶμα Ἀριστοφάνους οὕτω καλούμενον. Τὸ πικρόν· διατί, ἐπειδὴ τὸ πρόσωπον, ὅπερ μέλλεις ἐπαινέσαι, σαφῶς οὐκ ἐπίστασαι, καὶ τούτου ἕνεκα τέλειον ἔπαινον οὐ λέγεις. γελοῖον πάθος. Ἑρμογένους ἐστὶν ἐφερμηνευτικὸν τοῦ ἥσθην δὲ βαιά. Σημείωσαι, ὅτι τοιοῦτοι καὶ οἱ διάλογοι Πλάτωνος. Ζητητικοὶ λόγοι εἰσὶν, εἰ λέγει τις, εἰ ἀθάνατος ἡ ψυχὴ, εἰ καλὴ ἡ ἀρετὴ, ἠθικοὶ δὲ, εἰ θαυμάζοι, ὄντως ἡ ψυχὴ, [adde: ἀθάνατος] ὄντως ἡ ἀρετὴ καλόν· οἶκτον καὶ θαῦμα· ὅμως οὖν τὸ λυπηρὸν τοῦ ἥρωος τῆς ἑτέρων γηθοσύνης μᾶλλον ἀνέσιμον, καὶ οὕτως ἀμφοτέρωθεν αὐτῷ ἡ γηθοσύνη.

**Cap. XXXVII.** Ὑποστελλομένου. ὁ λόγος δι' ἀσφάλειαν.

*Ἐπιδεικτικά·* τὰ ἐπιτετηδευμένα, ἃ καὶ εἰς ἡδονὴν ἀκοῆς σώφρονά ἐστιν· ὥσπερ τοὐναντίον τὰ σοφιστικὰ εἰς αἰσχρὰν ἡδονὴν ἀκοῆς γίνεται. β. *ὅταν τῇ φύσει,* τοιοῦτόν [26] ἐστι καὶ τὸ τοῦ Θεολόγου μετὰ ἀγγέλων ὕμνησον, μετὰ ποιμένων δόξασον, μετὰ ἀρχαγγέλων χόρευσον. γ΄. *πολλάκις δέ.* ἐκ παρέργου, φησὶν, ἀναγινωσκόμενα τὰ πάρισα ταῦτα λανθάνουσι· πολλάκις δὲ καὶ ἐπιμελῶς ἐκμελετώμενα διαγινώσκεται καὶ εὑρίσκεται.

*Ἁπλούστατον* ἀντὶ τοῦ ἀφελές. β΄. *ἐδίδασκες,* καὶ ὁ Θεολόγος· σὺ τὸν Ἀχαάβ, ἐγὼ τὸν Ἰωσίαν.

ά. *σχολικαῖς·* ταῖς μελετωμέναις· τὸ δὲ διὰ μακρῶν, ἀντὶ τοῦ πολλῶν καὶ ἰσχυρῶν λόγων καὶ οἷον ἀναντιῤῥήτων.

---

26 Par. οἷον μετὰ ἀγγ.

Τέλος.

## ΜΑΞΙΜΟΥ
## ΠΕΡΙ ΤΩΝ
## ἈΛΥΤΩΝ ἈΝΤΙΘΕΣΕΩΝ.[1]

Αἱ ἄλυτοι ἀντιθέσεις ὅτι μὲν οὐκ ἐπιδέχονται λύσιν ἐμφανῆ, πρόδηλον, οὐ γὰρ ἂν [2] εἶεν ἄλυτοι, εἰ ἐπιδέχοιντο λύσιν· ὅτι δὲ μεθόδου τινὸς πρὸς αὐτὰς χρεία, ἐμφανές ἐστι· πόθεν οὖν αἱ μέθοδοι πρὸς τὰς ἀλύτους ἀντιθέσεις, ἐροῦμεν ἃς εὑρήκαμεν.

α. Ἐὰν ἐμπίπτῃ [3] ἄλυτος ἀντίθεσις, ἢ ἐν προσχήματι τοῦ δοκεῖν λύειν ἀντικατηγορεῖν δεῖ [4] τοῦ ἀντιδίκου.

β. Ἢ εὐπροσώπως μὴ ἔχοντα λῦσαι ἀναβάλλεσθαι [5] εἰς ἕτερον χρόνον τὴν λύσιν.

---

1 Maximo Planudae subiungo alium Maximum, qui auctore Fabricio [Bibl. Gr. T. IX. p. 678. ed. Harl.] Byzantius fuit sive Epirota, philosophus, pater Euclidis, Iuliani imp. magister, quem a Maximo, Ephesio, philosopho, qui et ipse Iulianum docuit, distinguunt Socrates III. 1. et Nicephorus X. 1. Scripta eius memorat Suidas: περὶ ἀριθμῶν, de numeris, et in Aristotelem ὑπόμνημα, nec non alia quaedam, Iuliano inscripta, et carmen argumenti astrologici περὶ καταρχῶν [Fabr. Bibl. Gr. T. IX. p. 324 — 356.] et scriptum rhetoricum περὶ ἀλύτων ἀντιθέσεων. Libellum hunc primus edidit Henr. Stephanus ad calcem scriptorum quorundam criticorum Dionysii Halic. Lutet. ap. Carol. Stephan. 1554. 8. tum Fabricius in Bibl. Gr. T. XI. Equidem descripsi ex codice Par. 1741. [Par. 1.] et contuli Paris. 3032. [Par. 2.] et Fabricium. Stephani editionem inspicere non contigit. 2 ἂν Par. 1. om., est in Par. 2. et Fabr. 3 Par. 2. ἐμπίπτει. 4 δεῖ Fabr. om. 5 Fabr.

γ΄. Ἢ συνδραμόντα οὕτως ἀντικατηγορεῖν τοῦ ἀντιδίκου.

δ΄. Ἢ πάλιν συνδραμόντα τὸ συμφέρον [6] ἀντιθεῖναι τῷ δικαίῳ.

ε΄. Ἢ τὸν δικαστὴν ἀπάγειν μὲν ἀπὸ τῆς ἀλύτου ἀντιθέσεως, εἰς ἕτερα δὲ πράγματα κρινόμενα [7] ἐμβιβάζειν.

ς΄. Ἢ μετὰ αἰτίας λύειν τὴν δοκοῦσαν ἄλυτον εἶναι.

ζ΄. Ἢ πολλάκις τὴν ἄλυτον ὑπομερίσαντα κατὰ μέρος εἰσαγαγόντα [8] δοκεῖν λύειν.

η΄. Ἢ μὴ τιθέντα διὰ λόγου πρὸς αὐτὴν βλέποντας λύειν.

θ΄. Ἢ παραινετικῶς καὶ ὥσπερ κηδόμενον τοῦ ἀντιδίκου μεθοδεύειν τὴν ἄλυτον ἀντίθεσιν ἐν αὐτῇ τῇ παραινέσει.

ι΄. Πάλιν ἐὰν ᾖ ἄλυτος, προστιθέναι τι αὐτῇ εὔλυτον, ἵνα ἀπὸ τοῦ εὐλύτου ἀφορμὴ λύσεως γένηται.

ια΄. Ἢ μηδὲ μεμνῆσθαι τῆς ἀλύτου τὸ παράπαν, εἰ ἤλπικεν τὸν δικαστὴν αὐτῆς ἐπιλελῆσθαι. [9]

ιβ΄. Ἢ συνδραμόντα τὴν γνώμην διαβάλλειν τοῦ ἀντιδίκου.

ιγ΄. Ἢ μὴ τιθέντα [10] πειρᾶσθαι λύειν, προσρίπτοντα τὴν λύσιν, ὡς ἐν ἀφηγήσεως τρόπῳ, καὶ σπουδὴν ἔχειν, ἵνα μὴ τοῦτο κρινόμενον γένηται.

ιδ΄. Ἢ ὄνομα ἀντ᾽ ὀνόματος θέντα οὕτως τῷ εὐλύτῳ ὀνόματι συμπλεκόμενον δόξαι λύειν.

ιε΄. Ἢ ἐν προσχήματι τοῦ δοκεῖν πλείους παρέχεσθαι λύσεις, ἀπάγειν μὲν ἀπὸ τοῦ ῥητοῦ τοῦ ὄντος ἀλύτου τοὺς δικαστὰς, τὴν δὲ γνώμην ἐξετάζειν τοῦ νομοθέτου, μεθ᾽ ἧς ἔγραφεν τὸν νόμον.

ις΄. Ἢ ἐὰν ἰσάζωσιν αἱ ἀντιθέσεις, ἐκ διαβολῆς τοῦ

---

ἀναβαλέσθαι. 6 Fabr. τῷ δικαίῳ ἀντιθεῖναι τὸ συμφέρον. 7 Par. 1. κρινόμενον. 8 Fabr. εἰσάγοντα. 9 Par. 1. ἐπιλελεῖσθαι. 10 Par. 2. θέντα.

ἀντιδίκου καὶ οἰκείας συστάσεως ἀντερωτῶντα οὕτως λύειν τὴν ἰσάζουσαν μὲν, ἄλυτον δὲ εἶναι δοκοῦσαν.

Εἴπωμεν [11] οὖν ἑκάστου τούτων τὰ παραδείγματα, ἃ προεθέμεθα ἐν τάξει ἀλύτου ἀπ' αὐτοῦ τοῦ ῥήτορος τὰς μεθόδους τῶν ἀλύτων ἀντιθέσεων λαμβάνοντες.

α'. Ἐν μὲν οὖν προσχήματι τοῦ δοκεῖν λύειν ἄλυτον οὖσαν τὴν ἀντίθεσιν ἀντικατηγορεῖ ὁ ῥήτωρ ἐν τῷ κατ' Αἰσχίνου· κακῶς οἱ στρατηγοὶ ἐχρῶντο τῷ πολέμῳ, καὶ διὰ τοῦτο εἰρήνην ἐπράξαμεν· οὐ δυνάμενος λῦσαι ταύτην ὁ ῥήτωρ ἀντικατηγορῶν φάσκει· [12] „ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατε αὐτὸν μεμνημένοι, πότερον ἐξ ἑτέρας τινὸς πόλεως ᾤχετο πρεσβεύων ἢ ταύτης αὐτῆς· εἰ μὲν γὰρ ἐξ ἑτέρας, ἣν [13] κεκρατηκέναι τε τῷ πολέμῳ φήσει, καὶ χρηστοὺς ἔχειν στρατηγοὺς, εἰκότως χρήματα εἴληφεν· εἰ δὲ ἐκ ταύτης αὐτῆς, τίνος ἕνεκα ἐφ' οἷς ἡ πέμψασα πόλις τῶν αὐτῆς ἀφέστηκεν, ἐπὶ τούτοις οὗτος δῶρα προσλαβὼν φαίνεται·“ ἀδυνατῶν γὰρ δεῖξαι, ὅτι οὐ κακῶς οἱ στρατηγοὶ ἐπολέμουν, διὰ τοῦτο οὖν φησιν ἀντικατηγορῶν, „δῶρα εἴληφας.“

β'. Ἐὰν δὲ μὴ ἔχῃς λῦσαι ἀντίθεσιν, εὐπροσώπως ἀναβάλλῃ τὰς λύσεις τῶν εἰρημένων· εἰς ἕτερον χρόνον παρέξομαι· ἢ νῦν διὰ τόδε οὐ πεποίηκα, ἢ παρὰ τῷδε ποιήσω· οὕτως ὁ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος· [14] ἂν τοίνυν λέγῃ περὶ τοῦ τῆς ἑταιρήσεως νόμου, ὡς ὑβρίζομεν ἡμεῖς, καὶ βλασφημίας οὐχὶ προσηκούσας κατ' αὐτοῦ [15] ποιούμεθα, δέον πρὸς τοὺς θεσμοθέτας ἐλέγχειν, ἵνα ἐκεῖ περὶ χιλίων ἐκκινδυνεύωμεν· [16] ὑποβάλλετε αὐτῷ, ὅτι καὶ τοῦτο ποιήσομεν ὕστερον, ἐπειδὰν νῦν περὶ ὧν εἰσῆκται δῷ λόγον· οὔτε γὰρ ἀδύνατος εἶναι δόξεις

---

11 Par. 1. 2. εἴπομεν. Fabr. εἴπωμεν. 12 de fals. leg. p. 386. 13 Par. 1. 2. ἐξ ἑτέρας ἦν, κεκρ. Fabr. ἣν. 14 p. 599. 15 Fabr. αὐτῆς. 16 Dem. ἐκινδυνεύομεν.

*λύσας* [17] *τὴν ἀντίθεσιν, καὶ ἀναβολὴν μετὰ ἀπολογίας εἰργασμένος* [18] *ἀξιοπίστως ἀπάξεις ἀπὸ τῆς ἀντιθέσεως οὔσης ἀλύτου τὸν δικαστήν.*

*γ΄. Συνδραμῇ δὲ τῇ ἀλύτῳ ἀντιθέσει καὶ συνδραμὼν ἀντικατηγορήσεις τοῦ ἀντιδίκου· πάλιν γὰρ τοῦτο ἐπὶ τῷ ἀλύτῳ θεωρήματι παρασχετέον παράδειγμα· μικρᾶς καὶ ἀσθενοῦς καὶ γλίσχρου τῆς διαφορᾶς οὔσης ἐνταῦθα, ὡς Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου·* [19] *„εἶπε τοίνυν μοί τις ἄρτι προσελθὼν πρὸ τοῦ δικαστηρίου, Χάρητος κατηγορεῖν αὐτὸν παρεσκευάσθαι, καὶ διὰ τούτου τοῦ τρόπου καὶ τούτων τῶν λόγων ἐξαπατήσειν ὑμᾶς* [20] *ἐλπίζειν· ἐγὼ δὲ ὅτι πάντα μὲν τρόπον κρινόμενος Χάρης εὑρεθήσεται πιστῶς καὶ εὐνοϊκῶς, ὅσον ἦν ἐπ' ἐκείνῳ, πράττων ὑπὲρ ὑμῶν· διὰ δὲ τοὺς ἐπὶ χρήμασι λυμαινομένους τοῖς πράγμασι, πολλῶν* [21] *ὑστερῶν οὐ σφόδρα ἰσχυρίζομαι, ἀλλ' ὑπερβολὴν ποιήσομαι· ἔστω γὰρ πάντα τἀληθῆ λέξειν περὶ αὐτοῦ τουτονὶ, καὶ οὕτως τοίνυν κομιδῇ γέλως ἐστὶ, κατηγορεῖν ἐκείνου τοῦτον·* [22] *ἐγὼ γὰρ Αἰσχίνην οὐδενὸς αἰτιῶμαι τῶν ἐν τῷ πολέμῳ πραχθέντων, τούτῳ γὰρ εἰσιν ὑπεύθυνοι οἱ στρατηγοὶ,* [23] *ἀλλὰ τοῦ ποιουμένης τῆς πόλεως εἰρήνην Φιλοκράτει συνειπεῖν, ἀλλὰ μὴ τοῖς τὰ βέλτιστα γράφουσιν, τοῦ δῶρα εἰληφέναι, τοῦ ἐξαπατῆσαι·" συνδραμὼν γὰρ, ὅτι κακῶς ἐπολέμει Χάρης οὕτως κατηγορῶν Αἰσχίνου προδοσίας,* [24] *ἐπὶ τὸ συνειπεῖν Φιλοκράτει ἀξιόπιστος ἔδοξεν εἶναι, ὅτι καὶ δῶρα εἴληφεν λέγων.*

*δ΄. Συνδραμὼν δὲ πάλιν, οἷς ὁ ἀντίδικος λέγει δι-*

---

17 Fabr. λῦσαι. 18 Par. 1. εἰργασάμενος. 19 de fals. leg. p. 447. Fabr. εἶπε. Par. 1. 2. εἰπέ. 20 Par. 1. ὑμᾶς om. 21 Fabr. Par. 2. πολλῶν ὑστερῶν. Par. 1. πολλῷ ὕστερον. 22. Fabr. τουτονί. Sequitur in Fabr. οὐδὲ τοῖ ποιήσασθαι τὴν πόλιν εἰρήνην, ἀλλ' ἄχρι τούτου πάντα ἀφίημι· τί οὖν λέγω, καὶ πόθεν ἄρχομαι κατηγορεῖν; τοῦ, ποιουμένης etc. 24 Fabr. προδοσίαν.

καίοις οὖσιν, τὸ συμφέρον ἀντιτίθησιν οὕτως, ὡς ὁ Δημοσθένης πάλιν ἐν τῷ κατ᾽ Αἰσχίνου. λέγοντος γὰρ Αἰσχίνου, ὅτι, πονηροὶ Φωκεῖς ἦσαν καὶ ἐχρῆν αὐτοὺς ἀπολωλέναι, οὐκ ἀντέστη μὲν, συνδραμὼν δὲ ἔφη· ἀλλὰ συνέφερεν αὐτοὺς σώους εἶναι τῇ πόλει· οὐδὲ [25] γὰρ Λακεδαιμονίους διὰ τὴν ἀρετὴν αὐτῶν ποτε ἐσώσατε, οὐδὲ τοὺς καταράτους Εὐβοέας, ἀλλ᾽ ὅτι συνέφερεν [26] τοῦτο τῇ πόλει.'

έ. Ἀπὸ δὲ τῆς αὐτοῦ ἀντιθέσεως, ἣν [27] ὁ ἀντίδικος παρέχεται μεταβιβάσεις τὸν δικαστὴν ἐφ᾽ ἑτέραν ἀντίθεσιν· τὴν μὲν ἄλυτον μὴ συνεκτικὴν εἶναι λέγων τοῦ παρόντος ἀγῶνος, ἣν δὲ ἀντεισάγεις σὺ οὕτως, [28] ὡς ἐν τῷ κατὰ Τιμοκράτους ὁ ῥήτωρ πεποίηκεν λέγων· λέγοντος γὰρ τοῦ Τιμοκράτους, ὅτι ἐκτέτισται [29] τὰ χρήματα Ἀνδροτίωνι καὶ Γλαυκέτῃ καὶ Μελανωπῷ, ὑπὲρ ὧν αἰτίαν ἔχω θεῖναι τὸν νόμον, ὡς ὀφειλόντων ἔτι τῇ πόλει, φησὶν, ἀλλ᾽ οὐ περὶ τούτων κρίνεται νῦν, εἴτε ἐκτέτισται τὰ χρήματα τούτοις, εἴτε μὴ, ἀλλ᾽ εἰ παράνομον ἔγραψεν Τιμοκράτης ψήφισμα· ἀπαγαγὼν γὰρ τῆς ἀλύτου ἀντιθέσεως τῆς λεγούσης ὅτι ἐκτέτισται τὰ χρήματα αὐτοῖς, οὐχ ὑπὲρ τούτων κρίνεται λέγων, καὶ οὐχ ὑπὲρ τούτου ἔγραψα τὸν νόμον, ἐπὶ τὸ παράνομον ἀπήγαγεν [30] εἰπὼν, ὡς περὶ νόμου τῆς γραφῆς οὔσης, ὑπὲρ ἧς ἥκουσι κρίνοντες.

ς΄. Μετὰ αἰτίας δὲ τὸ πιστὸν τῶν πραχθέντων παρέξῃ [31] τὰς ἀλύτους ἀντιθέσεις μεθοδεύων, ὡς ὁ Δημοσθένης ἐν τῷ ὑπὲρ Φορμίωνος· [32] λέγοντος γὰρ [33] Φορ-

25 de fals. leg. p. 364. 26 Par. 1. ἀνέφερεν. 27 ἣν Par. 1. om. Par. 2. habet ἧς. Fabr. ἥν. 28 οὕτως Fabr. om. puncto post σὺ posito. 29 Par. 1. ἔκτισται constanter. — c. Timocr. p. 758. 30 Fabr. ἐπήγαγεν. 31 Fabr. Par. 2. παρέξεις. 32 Par. 1. 2. ἐν τῷ κατὰ Στεφάνου. Fabr. ἐν τῷ ὑπὲρ Φορμ. p. 950. 33 γὰρ Fabr. om.

μίωνος, ἡ μήτηρ οὖν ἡ σὴ τὰς διαθήκας ἐμοὶ πεισθεῖσα ἐξέκλεψεν [34] καὶ ἐρωτῶντος ἐδόκει ἀπίθανον εἶναι τὸ [35] τὸν Φορμίωνα προτιμηθῆναι ὑπὸ τῆς Ἀπολλοδώρου μητρός· μετὰ τῆς αἰτίας οὖν τὸ πιστὸν παρήγαγεν εἰπὼν, ὅτι μὴ ἀπίστει, διέφθαρται γὰρ ἡ μήτηρ καὶ οὐ [36] δοῦλος ἦν Φορμίων, ἀλλ' ἀνήρ· τὸ δὲ ἐπαχθὲς ἔφυγεν τῷ δόξαι μητρὸς κατηγορεῖν [37] προσεπισημηνάμενος, ὅτι ἀναγκαζόμενος καὶ οὐχ ἑκὼν λέγει ταῦτα.

ζ. Ὅταν δὲ ἀλύτου ἀντιθέσεως μέρη διαιρῇς, πειράσῃ μεθοδεύειν, ὡς ὁ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου πεποίηκεν· λέγοντος γὰρ Αἰσχίνου, ὅτι ἡ Χεῤῥόνησος [38] ὑμῖν ἀπὸ τῆς εἰρήνης περιγέγονεν, καὶ εἰρήνην ἔχετε ἀντὶ πολέμου, καὶ τριήρεις τριακοσίας, καὶ σκεύη ταύτης καὶ χρήματα, οὐ δυνάμενος πρὸς ἅπαντα ταῦτα ὁ Δημοσθένης ἀθρόως ἀντιστῆναι, οὐδὲ ὡς οὐκ ἔστιν ἀληθῆ δεῖξαι, διεῖλεν τὴν ἀντίθεσιν εἰς τρία μέρη, καὶ κατὰ μέρος εἰσαγαγὼν οὕτως τῇ διαιρέσει μεθώδευεν τὴν ἄλυτον ἀντίθεσιν, καὶ ταῖς λύσεσιν ἐσοφίσατο, ἀλύτων ὄντων καὶ τῶν μερῶν, ἐν μὲν γὰρ τῇ πρώτῃ τὴν Χεῤῥόνησον ἔσχετε, ἐξῆς σῖτος ἄφθονος ὑμῖν κομίζεται· ἐν τῇ εἰσαγωγῇ τὴν δοκοῦσαν λύσιν διὰ τῆς ἀντικατηγορίας παρέστησεν, εἰπὼν οὕτως· [39] ἂν τοίνυν ἀντὶ Φωκέων καὶ Πυλῶν Χεῤῥόνησος ὡς περίεστι τῇ πόλει, λέγῃ, [40] πρὸς Διὸς καὶ θεῶν μὴ ἀποδέξησθε· ἐδύνασθε γὰρ ἂν, εἰ μὴ διὰ τούτους καὶ Χεῤῥόνησον καὶ Πύλας καὶ Φωκέας ἔχειν· εἰ μὲν γὰρ ἀληθὴς ἦν λύσις ἐκείνη, ὅτι οὐ περιγέγονεν Χεῤῥόνησος, ἐπεὶ δὲ ψεῦδος ἦν, τὸ σόφισμα ἐκεῖνο γέγονεν, ἀλλ' οὐκ ἀντὶ Φωκέων καὶ Πυλῶν· πάλιν δὲ τὸ δεύτερον τῆς ἀντιθέσεως μέρος [41] εἰσήγαγεν λε-

---

34 Fabr. ἐξέπλεξεν. 35 Par. 1, 2. τοῦ. sq. τῆς Par. 1. om. 36 Par. 1. 2. ὁ. 37 Par. 1. μὴ προσκατηγορεῖν 38 Par. 1. Χερόννησος. Par. 2. Fabr. Χεῤῥόνησος constanter. 39 De fals. leg. p. 365. 40 In Par. manu prima λέγει. corr. λέγῃ. 41

γων· οἶδα τοίνυν, ὅτι τοὺς [42] μὲν ὑπὲρ τῶν πεπραγμένων [43] λόγους αὐτοὺς Αἰσχίνης φεύξεται, βουλόμενος δὲ ὑμᾶς ὡς πορρωτάτω τῶν πεπραγμένων ἀπαγαγεῖν, διέξεισιν, ἡλίκα πᾶσιν ἀνθρώποις ἀγαθὰ ἐκ τῆς εἰρήνης γίγνεται, καὶ τοὐναντίον ἐκ τοῦ πολέμου κακὰ, καὶ ὅλως ἐγκώμια εἰρήνης ἐρεῖ, καὶ τοιαῦτα ἀπολογήσεται· ἔστι δὲ καὶ αὐτὰ ταῦτα κατηγορήματα τούτου· εἰ γὰρ ἡ τοῖς ἄλλοις ἀγαθῶν αἰτία τοσούτων πραγμάτων καὶ τηλικαύτης ταραχῆς ἡμῖν αἰτία γέγονεν, τί τις εἶναι τοῦτο φῇ, πλὴν ὅτι δῶρα λαβόντες οὗτοι καλὸν πρᾶγμα φύσει κακῶς διέθηκαν. καὶ ἐν αὐτῇ τῇ διαιρέσει ἐσοφίσατο; οὐ γὰρ ἔλυσεν, ὅτι οὐ καλὸν [44] ἡ εἰρήνη, ἢ οὐκ εἰρήνην ἄγετε, ἀλλ' ἐζημιώθημεν ἐξ αὐτῆς εἶπεν· καὶ τὸ ἕτερον δὲ μέρος τῆς ἀντιθέσεως οὕτως εἰσήγαγεν· τί δὲ, οὐ τριήρεις τριακόσιαι καὶ σκεύη ταύταις καὶ χρήματα ὑμῖν περίεστιν [45] διὰ τὴν εἰρήνην; ἴσως ἂν εἴποι· πρὸς δὲ ταῦτα ἐκεῖνο ὑμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ τὰ Φιλίππου πράγματα γέγονεν εὐπορώτερα ἐκ τῆς εἰρήνης πολλῷ [46] καὶ κατασκευαῖς ὅπλων καὶ χώραις καὶ προσόδοις, αἳ γεγόνασιν ἐκείνῳ μεγάλαι· τὰ δὲ ἐκείνου οὐδεὶς ἀπέδοτο, ὡς οὗτοι τὰ ἡμέτερα· οὐ δὴ δίκαιον ἐκείνῳ μὲν ἀμφότερα ηὐξῆσθαι, καὶ [47] τὰ τῆς χώρας καὶ τὰ τῶν συμμάχων· ἃ δὲ ὑμῖν δικαίως ἂν ὑπῆρχεν ἐκ τῆς εἰρήνης, ταῦτα ἀνθ' ὧν ἀπέδοντο οὗτοι, λογίζεσθε· οὐ γὰρ ταῦτα ἀντ' [48] ἐκείνων γέγονεν, οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ ταῦτα μὲν ἦν ἂν ὁμοίως ἡμῖν, ἐκεῖνα δὲ τούτοις ἂν προσῆν, εἰ μὴ διὰ τούτους τὸ σόφισμα κἀνταῦθα πρὸς τὰ μεμερίσθαι [49] τὴν ἀντίθεσιν ἐκεῖνα [50] γέγονεν· καὶ τοῦ

c. Par. 1, 2. ἑτέρως. Fabr. μέρος. 42 ὅτι Par 1. om. 43 Fabr. ὑπὲρ τῶν κατηγορημένων αὐτῷ λόγους Αἰσχ. 44 οὐ Fabr. om. 45 Fabr. περίεστι καὶ περιέσται. 46 Par. 1. πολλά. 47 καὶ τὰ τοὺς χώρας. Fabr. om. 48 Par. 1. ἂν ἐκ. 49 Par. 1. μεμετρῆσθαι. Par. 2. μεμερεῖσθαι. Fabr. μεμερίσθαι.

μέρους ὄντος τῆς ἀντιθέσεως ἀλύτου· μὴ δυνάμενος γὰρ εἰπεῖν, ὅτι οὐκ ἔχουσι τριήρεις τριακοσίας ἀντέθηκε φήσας, ὅτι καὶ τὰ Φιλίππου πράγματα πολλῷ εὐπορώτερα ἐκ τῆς εἰρήνης γέγονεν· ἐκεῖνα δὲ οὐ προδέδοται, ὥσπερ τὰ ἡμέτερα.

η΄. Δι' ὅλου δὲ τοῦ λόγου μεθοδεύσεις τὴν ἄλυτον ἀντίθεσιν, οὐδέποτε προηγουμένως παρεχόμενος τὰς λύσεις οὕτως ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Ὀλυμπιοδώρου πεποίηκεν· λέγοντος γὰρ Ὀλυμπιοδώρου, ὅτι οὐ προσήκει σοι τὸν Κόνωνος τοῦ Ἁλαιέως·[51] ἐγὼ γὰρ καὶ ἠμφισβήτησα καὶ εἰσελθὼν εἰς δικαστήριον ἐνίκησα καὶ δεσπότης εἰμί· σὺ δὲ εἰ ἠμφισβήτεις τοῦ κλήρου, πρὸ τῆς τῶν δικαστῶν ἀποφάσεως ἐχρῆν ἀντιποιεῖσθαι· τὰς μὲν ἀντιθέσεις οὐδαμῶς προηγουμένως ἔθηκεν, λέγει δὲ δι' ὅλου τοῦ λόγου,[52] ὅτι μοι πρὸς Ὀλυμπιόδωρον συνθῆκαί τινες ἐγένοντο, ἵνα κοινῇ πρὸς τοὺς ἄλλους ἀγωνισώμεθα, τὸ μὲν ἥμισυ τοῦτον ἔχειν τοῦ κλήρου, τὸ δὲ ἥμισυ ἐμὲ, καὶ ὠμόσαμεν κοινῇ πρὸς ἅπαντας ἀγωνιεῖσθαι. Παρέβη δὲ Ὀλυμπιόδωρος τὰς συνθήκας, οὕτω γὰρ ἀμφοτέρας λεληθότως τὰς ἀντιθέσεις μεθοδεύει, μηδὲ ἡντιναοῦν[53] θεὶς ἐκ προηγουμένου· λέγω δὲ, ὅτι διὰ τὰς συνθήκας οὐκ ἠμφισβήτησα, νομίζων σε πιστὸν εἶναι· ἐνίκησας δὲ, ἐμοῦ σιωπήσαντος κατὰ τὰ δόξαντα.

θ΄. Παραινῶν δὲ τῷ ἀντιδίκῳ καὶ ὡς δοκῶν αὐτοῦ προκήδεσθαι ἄλυτον εἶναι δοκοῦσαν μεθοδεύσεις ἀντίθεσιν, ὡς ὁ Δημοσθένης πεποίηκεν ἐν τῷ πρὸς Βοιωτὸν περὶ τοῦ ὀνόματος· λέγοντος γὰρ τοῦ Βοιωτοῦ, Μαντίθεος λέγομαι, δεύτερον γὰρ ὁ πατὴρ εἰσήγαγεν εἰς τοὺς φράτορας, τὴν μὲν ἀντίθεσιν προηγουμένως οὐκ ἔθηκεν·

---

50 Par. 1. ἐκεῖνο. Par. 2. ἐκεῖνο. Fabr. ἐκείνῳ. 51 Par. 1. Ἀλαιέως Par. 2. ἀλέως. Fabr. ὑλιέως. scr. Ἁλαιέως ex Dem. p. 1168. 52. p. 1170. 53 Fabr. μηδὲ ἥντινα συνθείς.

ὁ Μαντίθεος γὰρ ἦν αἰτὸς, ὡς προνοούμενος δὲ μεθοδεύει ἐρωτῶν· βούλει πρὸς θεῶν, ὦ Βοιωτὲ, Μαντίθεος λέγεσθαι; ὃν οὖν εἰσήγαγεν δεύτερον ὁ πατὴρ εἰς τοὺς φράτορας, ὃν ἀναγκασθεὶς ἐποιήσατο ὄντα ἀπὸ τῆς ἑταίρας [54] Πλαγγόνος; ἀδυνατῶν γὰρ κἀνταῦθα λῦσαι τὴν ἀντίθεσιν ἔθηκε προηγουμένως ὡς παραινῶν τῷ ἀντιδίκῳ, καὶ κατεσοφίσατο, καὶ λύειν ἔδοξεν μετὰ τοῦ καὶ ὀνειδίζειν αὐτῷ τὰς προτέρας τύχας τῶν πατέρων.

ι. Παραπλέκων δέ τι εὔλυτον τῇ ἀλύτῳ ἀντιθέσει δόξεις παρέχεσθαι λύσιν τὴν ἀφορμὴν ἀπὸ τοῦ συμπλεκομένου εὐλύτου λαμβάνων, ὡς Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην [55] πεποίηκεν· οὐ δυνάμενος [56] γὰρ λῦσαι, ὡς οὐ πολλοὶ ἀνάξιοι ἔχουσι τὰς ἀτελείας, παραπλέκει τι τούτῳ καὶ λέγει· ὅτι φησὶ Λεπτίνης, ἐπειδὴ πολλοὶ ἀνάξιοι ἔχουσιν τὰς ἀτελείας, διὰ τοῦτο τὰς δωρεὰς τοὺς εὐεργέτας ἀφελώμεθα, ἀπὸ γὰρ τοῦ παραπεπλεγμένου, [57] ὅτι τὰς δωρεὰς τοὺς εὐεργέτας ἀφελόμεθα, εὐπορεῖν ἔδοξεν λύσεως πρὸς τὸ, ὅτι πολλοὶ ἀνάξιοι τὰς ἀτελείας ἔχουσιν.

ια. Ἐὰν δὲ ἡ ἀντίθεσις ἄλυτος ᾖ, ἐλπίζῃς [58] δὲ τοὺς δικαστὰς ἐπιλήσεσθαι αὐτῆς, [59] διὰ τὸ πλῆθος τῶν ἐπίτηδες ἐν τῷ λόγῳ συνταραχθέντων, μηκέτι μέμνησο ἐν τῷ λόγῳ αὐτῆς· τοῦτο δὲ καὶ ὁ ῥήτωρ πεποίηκεν· λέγοντος γὰρ Αἰσχίνου, [60] ἀλλὰ πρὶν ἐμὲ ἐξελθεῖν καὶ Κερσοβλέπτης ἀπώλετο, οὐκ ἔθηκεν τὴν ἀντίθεσιν ἐν τῷ λόγῳ· τῷ χρόνῳ δόξας πολλὴν ἀντιθέσεων ἀφθονίαν παρέχεσθαι ἑτέρων καὶ σύγχυσιν ἐργασάμενος, τὴν ἀν-

---

54 Par. 1. 2. ἑτέρας πλάγγονος. Fabr. ἑταίρας Πλαγγόνος. ut Dem. p. 997. 55 p. 437. 56 οὐ δανάμενος γὰρ λῦσαι ὡς Fabr. om. sed reddit in versione. 57 Par. 1. παραπεπληγμένου, Fabr. ἀπὸ τοῦ πεπραγμένου. Par. 2. ἀπὸ γὰρ τοῦ παρ. — — ἀφελώμεθα om. 58 Par. 1. 2. ἐλπίζεις. Fabr. ἐλπίζῃς. 59 Par. 2. αὐτῇ. 60 Aesch. de falsa legat. p. 345. Bekk.

*θυποφορὰν τὴν περὶ τῶν χρόνων οὐκ ἐλπίσας τοὺς δικαστὰς ὡς περὶ τοῦτο κρινόμενον ἐνστήσεσθαι.*

*ιβ΄. Συντρέχων δὲ τῇ ἀλύτῳ ἀντιθέσει[61] ὡς λύσιν δή τινα τὴν κατηγορίαν τῆς γνώμης παρέχεσθαι, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους ὁ ῥήτωρ πεποίηκεν· μὴ δυνάμενος γὰρ δεῖξαι, ὅτι οὐκ ἔστι τὸ ψήφισμα τὸ γραφὲν τῷ Ἀριστοκράτει προβούλευμα, τὴν γνώμην τοῦ γράψαντος διαβάλλει· ἐγὼ δὲ, φησὶν, οἶμαι δεῖν ὑμᾶς ἐκεῖνο διαλαμβάνειν,[62] ὅτι τὸ ψήφισμα[63] οὗτος ἔγραψεν, οὐχ ἵνα ὄντος ἀκύρου μηδὲν ἀηδὲς ὑμῖν συμβῇ· (τὴν ἀρχὴν γὰρ ἐξῆν αὐτῷ μὴ γράφειν, εἴγε τὸ τῇ πόλει βέλτιστον σκοπεῖν ἐβούλετο.) ἀλλ᾽ ἵνα ἐξαπατηθέντων[64] διαπράξαιντό τινες τἀναντία τοῖς ὑμῖν συμφέρουσιν· οἱ δὲ γραψάμενοι καὶ χρόνους ἐμποιήσαντες, καὶ δι᾽ οὓς ἄκυρόν ἐστιν, ἡμεῖς ἐσμεν. ἐνστῆναι γὰρ οὐ δυνάμενος, ὅτι οὐκ ἔστιν προβούλευμα, συνέδραμεν, καὶ συνδραμὼν τῆς γνώμης τοῦ γράψαντος κατηγόρησεν.*

*ιγ΄. Μὴ τιθεὶς δὲ ἀντίθεσιν λύσεις προσρίπτων τὴν λύσιν, καὶ σπουδὴν ἕξεις, ἵνα μὴ περὶ τοῦτο ὡς κρινόμενον ἵστηται ὁ δικαστὴς, ὡς ἐν τῷ[65] κατ᾽ Αἰσχίνου ὁ ῥήτωρ ἐποίησεν· οὐ δυνάμενος γὰρ ἐξαρνηθῆναι τὸ οὐκ ἔδωκε χρήματα Ὀλυνθίοις καὶ Φωκεῦσιν, ἵνα Αἰσχίνου καταμαρτυρήσωσιν· ἐλέγχει γὰρ ταῦτα Αἰσχίνης· αὐτῶν τῶν[66] Ὀλυνθίων παρεχόμενος μαρτυρίας, οἷς περὶ τούτου διαλεχθεὶς ὁ Δημοσθένης ἐφαίνετο, μὴ θεὶς τὴν ἀντίθεσιν προηγουμένως ταύτην ὁ ῥήτωρ πειρᾶται λύειν, προσρίπτων τὴν λύσιν καὶ λέγων· Φωκέων τῶν ἐκπεπτωκότων οἱ μὲν οἶμαι βέλτιστοι καὶ μετριώτατοι, φυγάδες γεγενημένοι καὶ τοιαῦτα πεπονθότες, ἡσυχίαν ἔχουσιν,*

---

61 Par. 1. ἀντισχήματι. 62 Dem. p. 651. ὑπολαμβ. 63 Fabr. ψήφ. τοῦθ᾽ οὗτος. Par. 1. 2. τοῦθ᾽ om. Par. 1. οὕτως ἔγρ. tum sq. ἵνα Par. 1. 2. om. 64 Par. 1. ἐξαπατηθέντων. διαπρ. τινάς. 65 p. 366. 66 τῶν Fabr. om.

οἱ δὲ ὁτιοῦν [67] ἂν ἀργυρίου ποιήσοντες, τὸν δώσοντα οὐκ ἔχουσιν αὐτοῖς, οὐ γὰρ ἔγωγε ἔδωκα ἂν οὐδενὶ οὐδὲν, ὥστε μοι παραστάντας ἐνταυθοῖ βοᾷν, οἷα πεπόνθασιν· ἡ γὰρ ἀλήθεια καὶ τὰ πεπραγμένα αὐτὰ βοᾷ. οὔτε γὰρ ἔθηκεν αὐτῷ τὴν ἀνθυποφοράν· αὐτὸς γὰρ ἦγεν Φωκέων αὐτῶν καταμαρτυρούντων αὐτοῦ, καὶ δόξας παρέχεσθαι τὴν λύσιν, ἣν προσέῤῥιψεν, οὐκ ἐποίησεν περὶ αὐτὸ ἵστασθαι τὸν δικαστὴν, εἰπὼν αὐτὸ ἐν ἀφηγήσεως τρόπῳ.

ιδ. Ὄνομα δὲ ἀντ' ὀνόματος μεταθεὶς τὴν ἄλυτον μεθοδεύσεις ἀντίθεσιν, ὡς ὁ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου πεποίηκεν· οὐ δυνάμενος γὰρ ἀντιστῆναι πρὸς τὸ, ὅτι οὐχ ὑπεύθυνον ὄντα αὐτὸν ὁ Κτησιφῶν ἀνηγόρευσεν, ὅπερ ἄντικρυς καὶ διαῤῥήδην ὁ νόμος ἀπαγορεύει, μηδένα τῶν ὑπευθύνων ἀναγορεύεσθαι κελεύων, ὀνόματος μεταθέσει τὴν μέθοδον παρέσχετο, ἀντὶ τοῦ ἀνηγόρευσεν, ἐπῄνεσεν εἰπὼν αὐτὸν [68] ὑπεύθυνον ὄντα, οἱ γὰρ νόμοι οὐ κωλύουσιν ἐπαινεῖσθαι ἀλλ' ἀναγορεύεσθαι. Ἀπὸ δὲ τοῦ ὁρισμοῦ μεθοδεύσεις τὴν ἄλυτον ἀντίθεσιν, συντρέχων αὐτῇ τὸν τρόπον τοῦτον· κέχρηται δὲ αὐτῷ καὶ ὁ ῥήτωρ, ἐκεῖνος γὰρ οὐ δυνάμενος δεῖξαι, ὅτι οὐκ ἦν ὑπεύθυνος, οὐδὲ αὐτὸ, ὅτι οὐ κωλύουσιν οἱ νόμοι τοὺς ὑπευθύνους ἀναγορεύεσθαι, συνδραμὼν τῷ ὅτι ὑπεύθυνος ἦν, λέγει, ὅτι [69] ἄξιον ἔκρινε μὲν στεφάνου Κτησιφῶν οὐ περὶ τούτων οὐδενὸς, ὧν ὑπεύθυνος ἦν, ἀλλ' ἐφ' οἷς ἐπέδωκα, ὦ συκοφάντα· ἀλλὰ καὶ τειχοποιὸς ἦσθα, καὶ διὰ τοῦτό γε ὀρθῶς ἐπῃνούμην οὐκ ἀνηγορευόμην, εἶπεν, ὅτι τὰ ἀνηλωμένα ἔδωκα, [70] καὶ οὐκ ἐλογιζόμην· ὁ μὲν γὰρ λογισμὸς εὐθύνων καὶ τῶν ἐξεταζόντων [71] προσδεῖται, ἡ δὲ δωρεὰ χάριτος καὶ ἐπαί-

67 Par. 2. ὅτι δὲ ἀργυρίου. Fabr. μηδ' ὁτιοῖν ἄνευ ἀργ. 68 post αὐτὸν Par. 1. 2. habent φησι. 69 Fabr. τό. 70 Fabr. ἐπίδωκα. 71 Par. 1. ἐξετάζοντα.

νου δικαία τυγχάνειν ἐστίν· ἀδυνατῶν γάρ, ὅτι οὐχ ὑπεύθυνος ἦν δεῖξαι τὴν ἀντίθεσιν, συνδραμὼν καὶ ἐπὶ τῷ ὁρίσασθαι καταφυγὼν, ὧν οὐκ ἦν ὑπεύθυνος, τοῦτ᾽ ἔστιν, ἐφ᾽ οἷς [72] ἔδωκεν μεθοδεύειν ἔδοξεν τὴν ἀντίθεσιν.

ιε΄. Ἐν προσσχήματι δὲ τοῦ δοκεῖν πλείους μὲν ἔχειν παρέχεσθαι λύσεις τοῦ ἔχοντος νόμου, ὡς ὁ ἀντίδικος λέγει· οὐ βούλεσθαι δὲ ἀνθίστασθαι αὐτῷ, τὴν γνώμην [73] δὲ ἐξετάζειν τοῦ θέντος τὸν νόμον μᾶλλον αἱρεῖσθαι τῶν συλλαβῶν τῶν [74] ἐν αὐτῷ τῷ νόμῳ ὑπεναντίων ἐχουσῶν σοι, ὡς ὁ Δημοσθένης ἐν τῷ περὶ στεφάνου πεποίηκεν· οὐ δυνάμενος γὰρ δεῖξαι τὸ, ἔξεστιν τοὺς ὑπευθύνους ἀνακηρύττεσθαι ἐν τῷ θεάτρῳ, τούτου μὲν ἀφίσταται, τὴν γνώμην δὲ τοῦ νομοθέτου ὑπὲρ αὐτοῦ οὖσαν, ἐξετάζει, μετὰ τοῦ δοκεῖν πλείους ἂν παρέχεσθαι λύσεις πρὸς τὸ ῥητὸν, εἰ [75] ἐβούλετο· καὶ μὴν περί γε τοῦ ἐν τῷ θεάτρῳ κηρύττεσθαι [76] παραλείπω, καὶ τὸ [77] πολλάκις αὐτὸς ἐστεφανῶσθαι πρότερον· ἀλλὰ πρὸς θεῶν, οὕτω σκαιὸς εἶ καὶ ἀναίσθητος, Αἰσχίνη, ὥστε οὐ δύνασθαι λογίσασθαι, ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον, ὅπου ἀναῤῥηθῇ ὁ στέφανος· τοῦ δὲ τῶν στεφανούντων ἕνεκα συμφέροντος ἐν τῷ θεάτρῳ γίνεται τὸ κήρυγμα· οἱ γὰρ ἀκούσαντες ἅπαντες εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν προτρέπονται, καὶ τοὺς ἀποδιδόντας τὴν χάριν μᾶλλον ἐπαινοῦσιν τοῦ στεφανουμένου· δόξας γαρ πλείους ἔχειν ἂν παρέχεσθαι λύσεις εἰ ἐβούλετο, ἐκείνας μὲν παρέλιπεν, τὴν γνώμην δὲ ἐξετάσας, καθ᾽ ἣν συμφέρει μᾶλλον ἐν τῷ θεάτρῳ ἀνακηρύττεσθαι, μεθώδευσεν [78] τὸν νόμον, κατ᾽ αὐτοῦ μὲν ὄντα, ἔχοντα δὲ οὕτως.

---

72 Par. 1. 2. ἐφ᾽ οἷς οὐκ ἔδωκεν. Fabr. ἐφ᾽ οἷς ἐπέδωκεν. 73 τὴν γνώμην δὲ ἐξετ. — — — τούτου μὲν ἀφίσταται Par. 2. om. 74 Par. 1. τῶν συλλαβόντων ἐν. 75 εἰ Par. 1. om. 76 Fabr. ἀνακηρ. — pro cor. p. 267. 77 Par. 1. 2. καίτοι. Fabr. καὶ τό.

ις΄. Ἐὰν δὲ ἰσάζωσιν αἱ ἀντιθέσεις, ἐκ διαβολῆς μὲν τοῦ ἀντιδίκου, συστάσεως δὲ τῆς ἑαυτοῦ κρατύνεις, ἃ οἴει σοι συμφέρειν, ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος[79] πεποίηκεν· ὄντος γὰρ τούτου τοῦ ζητήματος, ὄμοσον σὺ, οὐχὶ, ἀλλ᾽ ἐγὼ ὀμνύω, καὶ τοῦ κατὰ τὸν ὅρκον ἰσάζοντος, πότερον ὀμόσαι δεῖ, διαβάλλων[80] τὸν ἐχθρὸν, καὶ εἰπὼν, ὅτι τὰ Ἑκαταῖα[81] κατήσθιεν, καὶ ἠσέβησεν περὶ τοὺς θεοὺς ἀεὶ, εὐσεβὴς δὲ ἐγὼ καὶ πλεῖστον τῶν κρειττόνων ποιούμενος λόγον, οὕτως τὴν ἰσάζουσαν ἀντίθεσιν, ὡς ᾤετο συμφέρειν μὲν ἑαυτῷ, λυπεῖν δὲ τὸν ἀντίδικον, ἐκράτυνεν εἰπών· ἐγὼ τοίνυν ὀμνύω, ὡς νόμιμον, κατ᾽ ἐξωλείας[82] αὐτοῦ καὶ γένους καὶ οἰκίας, ἀξιοπιστότερος ὁ τῶν θεῶν πλείω ποιούμενος λόγον.

## Ἔτι[1] περὶ τῶν εὐλύτων καὶ τῶν δυςλύτων ἀντιθέσεων.

α. Τὰς ἀντιθέσεις ὅσαι λύσεις ἐπιδέχονται, ἐὰν μὲν ὦσιν εὔλυτοι[2] προηγουμένως θεὶς καὶ κατασκευάσας, ἃ ἂν ὁ ἀντίδικος εἴποι, διά τε ἀξιοπιστίαν καὶ τὸ πιστεύειν τῷ πλήθει τῶν λύσεων, οὕτως ἔπαγε πρὸς τὴν ἀντίθεσιν.

β. Ἐὰν δὲ ᾖ δύςλυτος, προδιαβαλὼν καὶ σαθροτέρας ποιήσας ταῖς διαβολαῖς, οὕτω τὰς[3] λύσεις προςφέρεις. Εἰσάγαγε δὲ τὰς ἀνθυποφορὰς ποικίλως, ἢ γὰρ ὡς ἀκούσας, ὅτι μέλλει λέγειν ὁ ἀντίδικος.

γ. Ἢ ὅτι πρὸς τόδε δεῖ πρῶτον ἀπαντῆσαι.

δ. Ἢ ὅτι ἀκήκοας τόδε τι μέλλειν λέξειν αὐτόν.

ε. Ἢ ὅτι[4] πέπεισαι τόδε αὐτὸν λέξειν, ἢ ὅτι αὐτὸν

---

78 Par. 1. μεθόδευσεν. 79 Par. 1. Κόνονος. 80 Fabr. διαβαλών. 81 Par. 1. ad marg. τῆς Ἑκάτης τὰ χρήματα. Dem. p. 1269. 82 Par. 1. κατέξω λείας.

1 ἔτι Codd. non habent: est in Fabr. 2 Par. 1. εὔλοιτοι. 3 Fabr. οὕτω λύσεις πρόςφερε. 4 Fabr. ἅπερ πέπεισμαι τάδε.

χρὴ τῶνδε τῶν λόγων ἀποκλείεσθαι· ἢ ὅτι ὃν ἔχει μόνον ὑπολειπόμενον λόγον, τοῦτον εἰσάγει, ἢ ὅτι οὐχ ὅμοια τοῖς ἄλλοις ἀνθρώποις λέγει· οἱ μὲν γὰρ τάδε, οὗτος δὲ τάδε· ἢ οὕτως εἰκὸς αὐτὸν τάδε λέξειν, ἢ ὡς θαυμάζοντά σε, ὅτι τόδε τι μέλλει λέξειν ὁ ἀντίδικος, χρὴ εἰσάγειν, ἢ ὡς ἀγανακτοῦντος τοῦ ἀντιδίκου καὶ ταῦτα λέγοντος· οἷον,[5] ποῦ δὲ ἅλες, ποῦ δὲ τράπεζαι, ποῦ σπονδαί, ἢ ὅτι τάδε λέγοντος οὐ χρὴ ἀποδέχεσθαι, ἢ ὅτι οὐκ ἔλαθέν με τόδε μέλλων λέγειν, ἢ ὅτι ὁμοίους τινὶ τῶν πρώην κεκριμένων λέξει λόγους, ἢ ὅτι τεχνικώτατος οὗτός ἐστιν αὐτοῖς ὁ λόγος, ἢ ὅτι πρὸ μικροῦ ἦν ἀκούσας ὃ μέλλει λέγειν, ἢ ὅπως ἂν ἐπινοήσαις.

## Περὶ ἐπιλογικῶν ἀντιθέσεων.

Αἱ δὲ ἐπιλογικαὶ ἀντιθέσεις αὐξήσεως ἕνεκα παραλαμβάνονται, καὶ ὥστε τὸν δικαστὴν πρὸς ὃ βούλει ἐγκρατῆ ποιῆσαι· χρὴ δὲ αὐτὰς ἔσθ' ὅτε καταμιγνύναι καὶ τοῖς μαχίμοις, ἐπειδὰν μετὰ τοῦ ἀγωνίζεσθαι ἔσθ' ὅτε χρὴ καὶ τὸν δικαστὴν ἐμπαθῆ ποιῆσαι· δεῖ οὖν ποιεῖν καὶ τὸν ἀντίδικον ὡς ἀντιθέσεως σχήματι λέγειν περὶ αὐτοῦ, ὅτι ἂν ὁ ἡττηθεὶς εἴποι·[6] οἷον τό· μή με Δημοσθένει παραδῶτε, μηδὲ διὰ Δημοσθένην με ἀνέλητε· ἡ γὰρ ἀντίθεσις αὕτη ἐν μέσῃ τῇ μάχῃ κειμένη τῇ λεγούσῃ, ὅτι χρή σε ἰδιωτικὴν πρός με ἐπαναιρεῖσθαι δίκην· τοὺς μὲν δικαστὰς ἀπὸ φθόνου τοῦ καθ' ἑαυτὸν διὰ τὸ δημοσίαν εἰληχέναι εἰς ὀργὴν ἐμβέβληκεν τὴν κατὰ Μειδίου· τὸν ἀντίδικον δέ, ὡς προκαταγινώσκοντα ἑαυτοῦ, ὅπερ ἀμφισβητεῖται, τοὺς λόγους ἐποίησεν τούτους λέγειν διὰ τῆς ἐπιλογικῆς ἀντιθέσεως.

---

Par. 2. ὑπὲρ πέπεισαι τόδε. 5 de fals. leg. p. 400. 6 Par. 2. εἴποις. — Orat. in Mid. p. 523.

# ΑΝΩΝΥΜΟΥ
## ΠΕΡΙ ΤΩΝ ΣΤΑΣΕΩΝ.[1]

Ὁ Μινουκιανὸς ὡρίσατο τὴν στάσιν, στάσις ἐστὶ τὸ ἐκ τῶν πρώτων προτάσεων συνιστάμενον ζήτημα, ὡς τὸ παρίστατό τις νεοσφαγεῖ. Εἰσὶν τοίνυν ἐνταῦθα πρῶται προτάσεις τὸ ἐφόνευσας, οὐκ ἐφόνευσα· αἱ δὲ προτάσεις πρὸς κατασκευὴν τῶν πρώτων εἰσὶν, οἷον ἡ δευτέρα πρότασις πρὸς κατασκευὴν τοῦ ἐφόνευσας λαμβάνεται, παρίστασο γάρ· ὁμοίως καὶ τὸ οὐκ ἐφόνευσα. Πρὸς κατασκευὴν λαμβάνεται τὸ παριστάμην ἐλεῶν καὶ θάψαι βουλόμενος.

Διαφέρει πρότασις φράσεως, πρῶτον μὲν, ὅτι ἡ πρότασις ἐξ ὀνόματός ἐστι καὶ ῥήματος, οἷον Σωκράτης

---

1 Descripsi haec scholia ex Cod. Par. 3032. in quo titulum gerunt: τετάρτη γραφὴ ἐκ τῶν στάσεων. Fabricius Bibl. Gr. T. VI. p. 104. ed. Harl. adjudicat ea Phoebammoni, quem de statibus scripsisse innuit Tzetzes Chiliad. VI. 795. Στάσεσι τὸν Φοιβάμμονα καὶ Μινουκιανόν δέ. Quo vero argumento nisus hanc sententiam pronuntiaverit, mihi quidem non liquet, nisi forte ex eo, quod Phoebammonis περὶ σχημάτων ῥητορικῶν libellus in Codice antecedit, eundem etiam sequentium auctorem esse conclusit. Scholia vero ipsa ita comparata sunt, ut potius ex ampliore aliquo commentario excerpta, quam proprii libri, Phoebammone digni, locum obtinere videantur. Quare initium tantum edendum censui. In eodem codice Fol. 127. b. continentur Ἑρμογένους τέχνης ῥητορικῆς σχόλια. Incipiunt: τῶν πολλῶν τὸ σύστημα δηλοῖ. πολλῶν δὲ, τῶν μερῶν τοῦ λόγου· quae, quum scholiis minoribus tomi VII. similia sint, intacta reliqui.

περιπατεῖ, ἡ δὲ φράσις ἢ ὄνομα μόνον ἐστὶν ἢ ῥῆμα καθ' αὑτό· οἷον Σωκράτης, Πλάτων γράφει, περιπατεῖ, δεύτερον δὲ, ὅτι ἡ μὲν πρῶτα ἀληθεύει, ἡ δὲ ψεύδεται, ἡ δὲ φράσις οὔτε ἀληθεύει οὔτε ψεύδεται.

Ὅτι καλῶς ἐζήτησαν διαφορὰν ζητήματος καὶ ζητήσεως καὶ στάσεως· ὃ γὰρ ζήτημα, τοῦτο καὶ στάσις, καὶ ὃ στάσις, τοῦτο καὶ ζήτημα· καὶ ἐπὶ τῆς ζητήσεως τὸ αὐτό· τὸ γὰρ ζητεῖν ἐν τῇ ἰατρικῇ τὸ ῥόδον θερμὸν ἢ ψυχρὸν, τοῦτο στάσις ἐστὶ καὶ ζήτημα καὶ ζήτησις.

Ὅτι ὁ Ἑρμαγόρας φησὶν, στάσις ἐστὶ φράσις, καθ' ἣν ἀντιλαμβανόμεθα τοῦ ὑποκειμένου πράγματος, ἐν ᾧ ἐστι τὸ ζήτημα, καθό ἐστιν ἡ ἀμφισβήτησις.

Ὅτι ταὐτόν ἐστιν ἡ ζήτησις καὶ ἀμφισβήτησις. Σιρίκιος δέ φησιν· στάσις ἐστὶν ζήτησις, ἐφ' ἣν αἱ κατὰ μέρος πίστεις ἀνάγονται τῶν ἐν τῷ πολιτικῷ ζητήματι κειμένων.

Ὁ Τύραννός φησιν, στάσις ἐστὶ πρότασις ῥητορικὴ πρὸς ἀπόδειξιν κομιζομένη μιᾶς φράσεως τῶν ἐν τῷ πολιτικῷ ζητήματι κειμένων, καθ' ἣν ἡ διαίρεσις γίνεται τῶν κεφαλαίων τῶν εἰς πίστιν κομιζομένων μιᾶς φράσεως, τουτέστι προτάσεως.

Ὅτι φράσις ἐστὶν ἡ τοῦ φεύγοντος φωνὴ ἡ ποιοῦσα τὴν ἀμφισβήτησιν· καὶ ὡς ἂν ὁ φεύγων ἀπολογήσεται, ἀναφαίνεται ἡ στάσις· εἰ μὲν γὰρ ἀρνήσεται τὸ ἐπιφερόμενον ἔγκλημα, ποιεῖ στοχασμὸν, εἰ δ' ἐπιχειρήσει ὁρίζεσθαι, ποιεῖ ὅρον, εἰ δ' ἐξουσίας ἀντιλάβοιτο, ἀντίληψιν, καὶ ἁπλῶς πᾶσα στάσις ἐκ τοῦ φεύγοντος ὠνόμασται ἄνευ τῆς μεταλήψεως καὶ τοῦ κατὰ σύλληψιν ὅρου.

Στάσις κέκληται διχῶς, ἢ ἀπὸ τοῦ ἕλκειν καὶ ἀνθέλκειν εἰς ἀλλήλους τὸ πρᾶγμα, ἢ ἀπὸ τοῦ στασιάζειν τὰ κρινόμενα πρόσωπα. Τί ἐστι τῆς ῥητορικῆς ἡ στάσις; καὶ λέγομεν, ὅτι συμβέβηκεν τῷ λόγῳ τῷ ῥητορικῷ

ρικῷ ἡ στάσις, καὶ δύναμιν ἔχει συμβεβηκότος, ταύτης δὲ τῆς δόξης καὶ Λολλιανός ἐστι καὶ Κορνοῦτος.

Ὁ οὖν Μινουκιανὸς ἐκ τριῶν λέγει συντάσσεσθαι τὸ ζήτημα, αἰτίου, συνέχοντος καὶ κρινομένου, αἴτιον λαμβάνων τὴν τοῦ κατηγόρου αἰτίαν, συνέχον δὲ τὴν τοῦ φεύγοντος φωνὴν, καὶ κρινόμενον τὸ ὑποκείμενον πρᾶγμα καὶ ἐξεταζόμενον. Ὁ δὲ Λολλιανὸς ἕτερόν τι λέγει ζήτημα, καὶ ἕτερον συνέχον καὶ ἄλλο στάσιν· καὶ ζήτημα μέν φησιν ὥςπερ σῶμα ὕλης, συνέχον δὲ ὥςπερ εἴδους ἐν σώματι, στάσιν δὲ τὸ σχῆμα καὶ τὸ χρῶμα τοῦ εἴδους, καὶ ἀχώριστόν φησιν εἶναι τὴν στάσιν τοῦ συνέχοντος, οὐ ταὐτὸν δὲ, ἀλλ' ὥσπερ, φησὶν, τὸ ἐν σώματι εἶδος ἐν τῷ χρώματι.

Νόμος τὸν καταλαβόντα μοιχὸν ἐξεῖναι ἀποκτεῖναι, τριςαριστέα τις μοιχόν· τὸ μὲν οὖν πρῶτον πρόβλημά ἐστιν ἀντιλήψεως, τὸ δὲ δεύτερον ὅρου, καὶ ἡ διάφορος ποιότης τοῦ προσώπου διάφορον εἰσήγαγεν στάσιν, καὶ ὁ λόγος ὁ ῥητορικὸς οὐκ ἀνῃρέθη, ἀλλὰ διάφορον ἐδέξατο στάσιν· φυλαχθέντος δὲ ἐνταῦθα τοῦ ἰδίου τοῦ συμβεβηκότος, ὥστε φανερῶς δέδεικται, ὡς τάξιν ἔχει συμβεβηκότος ἡ στάσις ἐν τοῖς ῥητορικοῖς λόγοις· ἀναιρουμένη ἄρα ἡ στάσις οὐ συναναιρεῖ τὸν λόγον, ἀλλὰ καὶ εἰσάγεται ἀντὶ ταύτης ἑτέρα.

Ὅτι τὰ κεφάλαια οὐ λέγομεν εἶναι στάσεις, ἀλλὰ τοῦ στοχασμοῦ λέγομεν εἶναι κεφάλαια, βουλήσεων δύναμιν, ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ τὰ τοιαῦτα.

Ὅτι ἐν τοῖς ὁμωνύμοις διαφόρων ὄντων τῶν πραγμάτων ἡ κοινωνία κατὰ τὴν φωνήν. Ὅτι τὸ κεφάλαιον διχῶς νοεῖται καὶ λέγεται· λέγεται γὰρ ὄργανον καὶ ἡ μέθοδος ἡ διδάσκουσα ἡμᾶς τὸ πῶς δεῖ ἀποτελεῖν καὶ ἐργάζεσθαι τὰ ἐν τοῖς λόγοις κεφάλαια· οἷον ὁ λόγος καὶ ἡ μέθοδος ἡ διδάσκουσα ἡμᾶς, ὅτι κατὰ τέσσαρας τρόπους τυχὸν γίνεται τὸ παραγραφικὸν, τοῦτο ὄργανόν

ἐστι, καὶ πάλιν τὸ ἐν τῷ κατὰ Αἰσχίνου ἐκτεθὲν καὶ ἀποτελεσθὲν παραγραφικὸν καὶ τοῦτο κεφάλαιόν ἐστι, καὶ ταύτην ἔχουσι τὴν διαφορὰν, ὅτι τὸ μὲν ποιεῖ καὶ ἀποτελεῖ, τὸ δὲ ἀποτελεῖται. Ὅτι πρὸς μὲν τὸν ὅλον λόγον μέρη εἰσὶν τὰ κεφάλαια, πρὸς δὲ τὸ πεῖσαι ὄργανα.

Εὕρεσίς ἐστιν ἐπίνοια προσηκόντων καὶ ἁρμοδίων τῷ ὑποκειμένῳ καὶ ζητουμένῳ πράγματι.

Ὅτι τῶν γενικωτάτων καὶ τῶν εἰδικωτάτων οὐκ ἔστιν ὅρον ἀποδοῦναι. Ὅτι τοῦ γενικωτάτου οὐκ ἔστι γένος. Ὅτι, ἐὰν ὁρίσῃ τὸν Σωκράτην ἄλλως, ἄνθρωπον ὁρίζει· ἐὰν γὰρ αὐτοῦ τὴν οὐσίαν σκοπήσῃς, ὅτι σιμὸς ἦν ἢ προκοίλιος,[2] ὅρον οὐκ ἀποδίδως, ἀλλ' ὑπογραφήν. Ὅτι εἰδικώτατόν ἐστιν ἡ βούλησις καὶ τὰ λοιπὰ κεφάλαια. Ὅτι οὐκ ἠδύνατο οὕτω σαφῶς ἀποδοῦναι ἡμῖν δι' ὅρων τὰ κεφάλαια, ὡς διὰ τῆς εὑρέσεως αὐτῶν τῶν νοημάτων καὶ τῶν ἐνθυμημάτων. Ὅτι κοινωνοῦσιν τὸ κεφάλαιον καὶ ἡ εὕρεσις κατὰ τὸ φέρεσθαι κατὰ τῶν αὐτῶν πραγμάτων τὰ δύο· ἐξ ἀνάγκης γὰρ τῷ κεφαλαίῳ ἡ εὕρεσις ἕπεται, ὡς ἐπὶ τοῦ παρισταμένου τῷ νεοσφαγεῖ· ὁ γὰρ κατήγορος κέχρηται τῷ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι διὰ τοῦτο ἐφόνευσας, ἐπειδὴ παρίστασο. εἶτα ὁ φεύγων τῇ μεταθέσει φησὶν, ὅτι παριστάμην ἐλεῶν καὶ θάψαι βουλόμενος· τοῦτο γὰρ εὕρεσίς ἐστιν ὁρωμένη ἐν τῷ κεφαλαίῳ, οἷον ἐπὶ προδότου, ὅτι τοῖς πολεμίοις συνῆς, καὶ κεφάλαιον τυχὸν, ὅτι οὐ δίκαιον ἐποίεις καὶ ἐπὶ ἄλλων ὁμοίως. Ὅτι ἐν τῷ στοχασμῷ δύο πάντως ὁρῶνται πράγματα, ἔγκλημα καὶ σημεῖον, ἐν δὲ ταῖς ἄλλαις στάσεσιν ἓν μόνον τὸ ἔγκλημα· ἐπειδὴ ἐν τῷ στοχασμῷ ἀφανές[3] ἐστι τὸ ἔγκλημα, τίθεται σημείου πρὸς κατασκευήν. καὶ τοῦτο δὲ σημειωτέον, ὅτι τινὰ τῶν κεφαλαίων εἰσὶν κοινὰ, ὡς ἐπὶ τοῦ ἀπ' ἀρχῆς ἄχρι τέλους ὁ κατήγορος κέ-

2 Cod. προκύλιος, scripsi προκοίλιος = προγάστωρ. 3 Cod. ἀφανής.

χρηται αὐτῷ καὶ ὁ φεύγων ὁμοίως καὶ τῇ μεταθέσει τῆς αἰτίας· ἔστι γὰρ ὅτε καὶ τοῦ φεύγοντος κεχρημένου τῷ[4] ἀπ' ἀρχῆς ἄχρι τέλους κέχρηται ὁ κατήγορος τῇ μεταθέσει τῆς αἰτίας· ἔστιν γὰρ ἃ μοναδικῶς εἰσιν ἑνὸς, ὡς καὶ τὸ παραγραφικόν· ἐν γὰρ τῷ φεύγοντι ἀεὶ ὁρᾶται. "Ὅτι διαφέρει κεφάλαιον εὑρέσεως τετραχῶς· πρῶτον μὲν, ὅτι ὡρισμένα εἰσὶν τὰ κεφάλαια ἐπὶ ἑκάστης στάσεως, αἱ δὲ εὑρέσεις ἀόριστοι· δύο γὰρ ταῖς αὐταῖς ἐννοίαις ἄνδρες οὐ κέχρηνται· δεύτερον ἀπὸ τῆς τάξεως, ὅτι ἀεὶ τὰ κεφάλαια τάξιν ἔχουσιν, οἷον τὸ νόμιμον πρῶτον, τὸ δίκαιον δεύτερον, αἱ δὲ εὑρέσεις ἤτοι τὰ ἐνθυμήματα, ὡς ἕκαστος βουληθείη, τίθενται· πολλάκις δὲ ἐναλλάττονται ὑπὸ ῥητόρων δι' οἰκονομίαν καὶ δεινότητα· τρία ἀπὸ τοῦ τόπου διαφέρουσιν, ὅτι ἀεὶ ἐν τοῖς ἀγῶσιν τὰ κεφάλαια ἐμπίπτει, ἐν παντὶ δὲ τόπῳ εὑρέσεις εὑρίσκονται, καὶ ἐν προοιμίῳ καὶ ἐν ἀγῶσιν καὶ ἐν ἐπιλόγοις· εὑρίσκονται δὲ καὶ ἀγωνιστικὰ προοίμια σπερματικῶς καὶ ὡς ὕλη τις ἐμπίπτει τῷ προοιμίῳ, ἢ κατὰ ἀναφώνησιν τῶν μελλόντων λεχθῆναι κεφαλαίων ἐν τῷ λόγῳ, ὥσπερ φασὶ καὶ Δημοσθένην ἐν τῷ πρὸς Λεπτίνην[5] ποιῆσαι εἰπόντα· „μάλιστα μὲν, εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει," καὶ διὰ τοῦ εἰπεῖν „νομίζειν" προανεφώνησεν τὸ συμφέρον. Τέσσαρα διαφέρουσιν, ὅτι τὰ κεφάλαια περιέχει τὰς εὑρέσεις, αἱ δὲ εὑρέσεις οὐ περιέχουσι τὰ κεφάλαια. "Ὅτι χωρὶς ῥήτορος ἡ πόλις εἶναι οὐ δύναται. Ἢ κατ' ἐξοχὴν εἰς τὰ θρυλλούμενα καὶ ᾀδόμενα, ἢ κατὰ εὐτελισμὸν εἰς τὰ μεματευμένα.[6] Κεφάλαια δὲ λέγονται ἐκ μεταφορᾶς τῆς κεφαλῆς, ὅτι τιμιωτάτη ἐστίν. Ὁ αὐτὸς τῷ περὶ εὑρέσεως ἐνταῦθα τὴν κοινωνίαν καὶ τὴν διαφορὰν δηλοῖ κεφαλαίου καὶ εὑρέσεως· κοινωνίαν μὲν διὰ τοῦ εἰπεῖν ὁ αὐτὸς, διαφορὰν δὲ διὰ τοῦ εἰπεῖν σχεδόν· τὸ δὲ

4 Cod. τό. 5 initio. 6 Cod. μεμαξευμένα, scripsi μεματευμένα, quaesita, quibus opponuntur τὰ θρυλλούμενα.

„πλὴν ὅσον οὐ πάντα ἔχει“ μείζονα καὶ ἐπιτατικωτέραν δείκνυσι διαφορὰν εὑρέσεως καὶ κεφαλαίου.

Ὅτι φιλόσοφος λόγος ἐστὶν, ὅτε τὰ τῷ σκοπῷ καὶ τῇ θεωρίᾳ πρῶτα ὕστερα τῇ πράξει καὶ τῇ διδασκαλίᾳ εἰσὶν, οἷον, διὰ τὸν ὑετὸν θέλω στέγην ποιῆσαι, πρῶτον ἐνενοήθην θεμέλια καὶ τοίχους· οὕτως καὶ Ἑρμογένης διὰ τὴν τῶν κεφαλαίων διαίρεσιν πρῶτον ὁρίζεται τὸ πολιτικὸν ζήτημα καὶ πρόσωπα καὶ ἀσύστατα· ὥσπερ γάρ ἐστι μερικὸν ζήτημα καὶ καθόλου ζήτημα, οὕτως ἐστὶ καὶ στάσις μερικὴ καὶ στάσις καθολική· καὶ ἃ λέγεται περὶ στάσεως, ταὐτὸν καὶ περὶ ζητήματος, καὶ διαφορὰν αὐτῶν οὐ γινώσκομεν.

Ἔστιν γὰρ καὶ ἡ διὰ χειρῶν ἀμφισβήτησις τυχὸν τεκτονικὴ καὶ ἄλλων πλειόνων, λογικὴ δὲ, διότι ἐστὶ καὶ ἄλογος, ὡς ἡ διὰ κιθάρας καὶ αὐλῶν· ἐπὶ μέρους διὰ τὴν φιλοσοφίαν· ἐκείνη γὰρ τὰ καθόλου σκοπεῖ· οὐ γάρ φησιν, ὅτι δεῖ τειχίσαι τήνδε τὴν πόλιν, ἀλλ' ἁπλῶς τειχιστέον.

## Περὶ ἔθους.

Ἐκ τῶν παρ' ἑκάστοις κειμένων· ὅτι αἱ πόλεις νόμοις καὶ ἔθεσι διοικοῦνται· τί γάρ ἐστιν ἔθος, εἰ μὴ νόμος ἄγραφος, καὶ τί νόμος, εἰ μὴ ἔθος ἔγγραφον· ἔθεσι γὰρ καὶ οἱ βάρβαροι χρῶνται· ἐὰν γὰρ θέλῃ τις ζήτημα μελετῆσαι, δεῖ αὐτὸν ἁρμόσασθαι πρὸς τοὺς νόμους τὴν πολιτείαν, καθ' ἣν μελετᾷ τὴν ὑπόθεσιν, οἷον ὑπόθεσιν Περσικὴν κατὰ τῶν Περσῶν μελετῆσαι νόμους.

Παρ' ἑκάστοις οὖσι· δεῖ τὸν ῥήτορα οὐ μόνον τοὺς ἰδικοὺς νόμους γινώσκειν, ἀλλὰ καὶ τοὺς ἀλλοτρίους καὶ μεμνῆσθαι τούτων καὶ παραφέρειν αὐτούς.

## Περὶ τοῦ νομισθέντος δικαίου καὶ τὰ ἑξῆς.

Νομισθέντος εἶπεν ἀντὶ τοῦ κριθέντος καὶ νομοθετηθέντος καὶ δόξαντος· οἱ μὲν γὰρ φιλόσοφοι τὸ φύσει

δίκαιον ἢ συμφέρον ζητοῦσιν, οἱ δὲ ῥήτορες τὸ κριθὲν καὶ νομοθετηθὲν δίκαιον, τοῦτο δὲ παρ' ἄλλοις ἄλλο ἐστὶν, ὥσπερ καὶ νόμοι διάφοροι· ὁμοίως καὶ τὸ διάφοροι· ὁμοίως καὶ τὸ καλὸν καὶ τὸ δίκαιον πρὸς τοὺς τρόπους διάφορόν ἐστιν καὶ πάντων ἅμα. Ἐπειδὴ δυνατόν ἐστιν καὶ ὑφ' ἓν πάντα ἐμπεσεῖν, καὶ τίνα ἐξ αὐτῶν καὶ κατὰ μέρος πάλιν. Ὅτι οὐ δεῖ ἐκ τῶν ἐπιλογικῶν κεφαλαίων χαρακτηρίζειν τὰς στάσεις, ἀλλὰ μᾶλλον ἐκ τῶν ἀγωνιστικῶν.

Ὅτι ἡ περὶ οὐσίας καὶ ἰδιότητος ζήτησις ὁ στοχασμός εἰσιν καὶ ὁ ὅρος. Ὅτι ὑπὸ τὴν ποιότητα ἀνάγονται αἱ λοιπαὶ ιά στάσεις. Ὅτι οὐ δεῖ ἐκ τῶν ἰδεῶν χαρακτηρίζειν τὰς ὑποθέσεις, ἀλλ' ἐκ τῶν κυρίως εἰδῶν. Ὅτι ὁ ὅρος τοῦ τεχνογράφου, εἰ κατανοήσομεν ἀκριβῶς τὰ στασιαζόμενα πάντα, συμπεριλαμβάνει μετὰ τῶν ἄλλων καὶ τὸν στοχασμὸν καὶ τὸν ὅρον· τὸ γὰρ δίκαιον, ὃ λέγουσι κατὰ τὴν ποιότητα ἐξετάξεσθαι, οὐ μόνον κατ' αὐτὴν, ἀλλὰ καὶ κατὰ τὸν στοχασμὸν καὶ τὸν ὅρον ζητεῖται. ὁ γὰρ δικαστὴς ὁ ζητῶν ἐν τῷ στοχασμῷ, εἰ φονεύς ἐστιν ὁ τῷ νεοσφαγεῖ παριστάμενος σώματι, οὐκ ἄνευ τοῦ δικαίου τοῦτο [7] ζητεῖ, ἀλλὰ σὺν τῷ δικαίῳ, καὶ εἰ περὶ οὐσίας γίνεται ἡ ζήτησις, καὶ εἰ περὶ ἰδιότητος, εἰ δίκαιόν ἐστιν τὸν ἐξ ἱεροῦ ἰδιωτικὰ εἰληφότα χρήματα κλέπτην ἢ ἱερόσυλον ὀνομάσαι· καὶ τοσοῦτον ὁ λόγος ἀληθὴς, ὅτι ὁ στοχασμὸς καὶ ὁ ὅρος ὑπὸ τὸ δικανικὸν εἶδος ἀνάγονται.

---

7 Cod. τούτῳ.

# ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ

## ΠΕΡΙ ΣΥΝΘΗΚΗΣ ΤΩΝ ΤΟΥ ΛΟΓΟΥ ΜΕΡΩΝ.[1]

Ἠρώτησας, λογιώτατε, τί ποτε καὶ αὖθις ἀνήδυστον καὶ τραχὺ, καὶ ὁπόσαι ἄλλαι λόγων μεταβολαί. ἴσθι τοιγαροῦν, ὡς ἡ παραλλάττουσα συνθήκη τῶν ὀνομάτων τὰς τοιαύτας διαφορὰς ἀπεργάζεται· ἔστι δὲ τὸ μέγιστον τοῦτο μέρος ῥητορικῆς· ἔργα δὲ τῆς τοιαύτης ἐπιστήμης τὸ εἰδέναι τὴν ἁρμονίαν τῶν τοῦ λόγου μορίων, τὸ μετασχηματίζειν τὰ ἁρμοττόμενα, πρὸς ὃ βούλοιτό τις, τρίτον τὸ γνῶναι, τί δεῖται μετασκευῆς τῶν λαμβανομένων, ἀφαιρέσεως λέγω καὶ προσθέσεως καὶ ἀλλοιώσεως, καὶ πρὸς τὴν μέλλουσαν χρείαν οἰκείως αὐτὰ ἐξεργάσασθαι. Δύο δέ εἰσι τὰ γενικώτατα, ὧν ἐφίεσθαι δεῖ τοὺς συντιθέντας μέτρα τε καὶ λόγους, ἡ ἡδονὴ καὶ τὸ καλὸν, ἀμφότερα γὰρ ἐπιζητεῖ ταῦτα ἡ ἀκοή· εἰσὶ γάρ τινες λέξεις ἡδέως μὲν συγκείμεναι, μὴ καλῶς δὲ, καὶ αὖθις ἕτεραι, καλῶς μὲν, μὴ ἡδέως δέ· ἥ γέ τοι Θουκυδίδου λέξις καὶ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου τῷ μὲν καλῷ διαπρέπουσιν, οὐχ ἡδύνουσι δὲ τὴν ἀκοήν· οἱ δέ γε χαρακτηρίσαντες τοῦ Σωκρατικοῦ Ξενοφῶντος τοὺς λόγους, ἡδεῖαν μὲν αὐτῷ συνθήκην ἀπέδοσαν, οὐ μὴν[2] καὶ καλήν· ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει, καὶ

1 In cod. Par. MCLXXXII. Fol. 107, b. inter Michaëlis Pselli epistolas haec et sq. σύνοψις τῶν ῥητ. ἰδεῶν ad rhetoricam pertinent. 2 Cod. μὲν, scr. μήν.

γὰρ ἡδεῖά ἐστι καὶ καλή. Τέτταρα [3] δέ ἐστι ταῦτα τὰ κυριώτατα τῆς τοιαύτης συνθήκης, φημὶ δὴ τῆς συναμφοτέρου, μέλος καὶ ῥυθμὸς καὶ μεταβολὴ καὶ τὸ παρακολουθοῦν τούτοις τὸ πρέπον· ἡ γὰρ δὴ ἀκοὴ πρῶτον μὲν ἥδεται τοῖς καλοῖς μέλεσιν, ἔπειτα ῥυθμοῖς, τρίτον ταῖς μεταβολαῖς, ἐν δὲ τούτοις πᾶσι τῷ πρέποντι· πρὸ δὲ τούτων ταττέσθω ἡμῖν ὑπὸ μὲν τὴν ἡδονὴν ἡ ὥρα, ἡ χάρις, ἡ εὐστομία, ἡ γλυκύτης, τὸ πιθανὸν, καὶ ὅσα τοιαῦτα· ὑπὸ δὲ τὸ καλὸν ἡ μεγαλοπρέπεια, τὸ βάρος, ὁ ὄγκος, ἡ σεμνολογία, τὸ μέγεθος, τὸ ἀξίωμα καὶ τὰ τούτοις ὅμοια· οὐ μόνον δὲ ἡ ἐν ᾠδῇ καὶ ὀργάνοις εὐμέλεια μέλος καὶ μεταβολὴν ἴσχει, ἀλλὰ καὶ αἱ λέξεις, καὶ ἐπὶ τούτων γὰρ ἡ ἀκοὴ τέρπεται μὲν τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς, ἀσπάζεται δὲ τὰς μεταβολὰς, ποθεῖ δὲ τὸ οἰκεῖον, καὶ ἔστι διαλέκτου μέλος ποῖόν τι διάστημα ἐν διαφόροις συλλαβαῖς βαρυτονούμενον ἢ ὀξυτονούμενον. Ἐπεὶ δὲ τὸ τὰ αὐτὰ πολλάκις λέγειν προσκορές τε καὶ πλήσμιον, αἱ τῶν τύπων μεταβολαὶ, φημὶ δὴ τῶν ἐν τοῖς λόγοις, ἀκόρεστον ποιοῦσι τὴν ἡδονὴν τοῖς ἀκούουσιν· ἐπὶ πάντων δὲ, οἶμαι, δεῖν τὸν καιρὸν ὁρᾷν, οὗτος γὰρ ἡδονῆς καὶ ἀηδίας κράτιστον μέτρον· ὥσπερ δὲ ἡδεῖά τις γίνεται λέξις, οὕτω καὶ γενναία, καὶ ῥυθμὸς ὥσπερ γλαφυρός τις, οὕτω καὶ σεμνὸς ἕτερος· εἶτα δεύτερον δέ σοι τὸ καλὸν ἐν ἁρμονίᾳ λέξεων, ἐξ ὧνπερ καὶ τὸ ἡδύ. Αἴτιον δὲ πρῶτον τοῦ γίνεσθαι συνθήκην καλὴν ἢ ἡδεῖαν, ἡ τῶν συλλαβῶν δύναμις, ἐξ ὧν πλέκεται τὰ ὀνόματα· οὐ γὰρ δὴ μία φύσις τῶν λεγομένων γραμμάτων. καὶ ἵνα τὰς παρὰ τοῖς γραμματικοῖς λεγομένας διαιρέσεις ἀφῶ, διαφόρῳ σχήματι γλώττης καὶ ὀδοῦσι καὶ χείλεσιν ἐκφέρεται ἕκαστον· καὶ τὰ μὲν μηκύνεται τῷ πνεύματι, τὰ δὲ συστέλλεται, καὶ τὰ μὲν ἐπὶ πλέον ἀνοίγει τὸ στόμα, τὰ δὲ ἐπ᾽ ἔλαττον· καὶ τὰ μὲν κάτω περὶ τὴν βάσιν τῆς γλώτ-

---

3 Cod. τέταρτα.

της ἐρείδει τὸν ἦχον, τὰ δὲ ἄνω, καὶ τὰ μὲν στρογγυλίζει τὸ στόμα, καὶ περιστέλλει τὰ χείλη, καὶ τὸ ἐπὶ τούτοις πνεῦμα τὴν πληγὴν περὶ τὸ ἀκροστόμιον ποιεῖται· τὰ δὲ ἕτερον τρόπον διασχηματίζει τὸν λέγοντα· καὶ περιττὸν ἂν εἴη περὶ τῶν τοιούτων μακρολογεῖν. σὺ γὰρ ὁπότε βούλοιο κατὰ σαυτὸν ἐπὶ σχολῆς ἕκαστον τῶν στοιχείων ἐκφωνῶν ἠρέμα, γνοίης ἂν ἀκριβέστερον, οἷον τίνων ἀπραγμάτευτος μέν ἐστιν ἡ γλῶσσα, τὰ δε χείλη νένευκεν ἢ ἀνοίγεται· ὁπόταν δὲ καὶ ἡ γλῶττα λάβῃ [4] τινὰ κίνησιν, ποῖ φέρεται ἢ μετατίθεται, καὶ ποδαπὸς ὁ ἐξ ἑκάστου τῶν στοιχείων ἦχός ἐστι· τὰ μὲν γὰρ ἐκφωνεῖται ἀπὸ χειλῶν ἄκρων, τὰ δὲ τῆς γλώττης ἄκρῳ τῷ στόματι προσερειδομένης κατὰ τοὺς μετεώρους ὀδόντας, ἔπειτα ὑπὸ τοῦ πνεύματος ἀποῤῥιπιζομένης· καί τινα μὲν λέγεται τῆς γλώττης ἀνισταμένης πρὸς τὸν οὐρανὸν ἐγγὺς τοῦ φάρυγγος καὶ τῆς ἀρτηρίας ὑπηχούσης τῷ πνεύματι, τὰ δὲ καθ᾽ ἕτερον τρόπον. ἐκ δὴ τῶν γραμμάτων τοιαύτας δυνάμεις ἐχόντων αἱ καλούμεναι γίνονται συλλαβαὶ, καὶ πᾶσα ἀνάγκη τὴν ἐκ τῶν τοιῶνδε στοιχείων συνισταμένην συλλαβὴν τήν τε ἰδίαν ἑκάστου σώζειν δύναμιν καὶ τὴν κοινὴν ἁπάντων, ἣ γίνεται διὰ τῶν κράσεων καὶ περὶ θέσεως αὐτῶν, ἐξ ὧν μαλακαί τε φωναὶ γίνονται καὶ σκληραὶ καὶ λεῖαι καὶ τραχεῖαι, γλυκαίνουσαί τε τὴν ἀκοὴν καὶ πικραίνουσαι, στύφουσαι καὶ διαχέουσαι, καὶ πᾶσαν ἄλλην κατασκευάζουσαι διάθεσιν. Καὶ τὰ ἐκ τῶν συλλαβῶν κῶλα τοιουτότροπα, καὶ αἱ ἐκ τῶν κώλων περίοδοι τὴν αὐτὴν ἔχουσι σύνθεσιν καὶ διαφορὰν, καὶ οἵ γε διθυραμβοποιοὶ καὶ τοὺς τρόπους μετέβαλον, Δωρίους καὶ Φρυγίους καὶ Λυδίους ἐν τῷ αὐτῷ ᾄσματι ποιοῦντες, καὶ τὰς μελῳδίας ἐξήλλαττον, ποτὲ μὲν ἐναρμονίους ποιοῦντες, ποτὲ δὲ χρωματικὰς, ποτὲ δὲ διατόνους, καὶ τοῖς ῥυθμοῖς

---

4 Cod. λάβοι.

κατὰ πολλὴν ἄδειαν ἐνεξουσιάζοντες διετέλουν· καὶ ἡμεῖς δὲ οὐχ ὁμοίᾳ συνθέσει χρώμεθα διαφόροις ταραττόμενοι πάθεσι, καὶ δεῖ τὸν ἀκριβῆ ῥήτορα τὸ πρέπον ἑκάστῃ καταστάσει ψυχῆς προσαρμόττειν, καὶ μήτε ἐκ τοῦ αὐτοῦ πάθους διαφορὰν ἐν τοῖς λόγοις ποιεῖν, μήτε ἐκ διαφόρων τὴν αὐτὴν τάξιν καὶ συνθήκην ἐργάζεσθαι. Τοιοῦτόν ἐστι τὸ περὶ τῆς συνθήκης τῆς τέχνης κεφάλαιον, καὶ τοιαύτην τοῦτο δὴ τὸ μέρος ἐν τοῖς λόγοις ἔχει διαφοράν τε καὶ δύναμιν.

---

## ΣΥΝΟΨΙΣ ΤΩΝ ΡΗΤΟΡΙΚΩΝ ΙΔΕΩΝ.

Τεχνύδριόν σοι ἐπιτομώτατον, ὥσπερ ἐκέλευσας, τῶν ῥητορικῶν ἰδεῶν τὴν παροῦσαν ποιοῦμαι ἐπιστολήν· καὶ ἵνα ἀπὸ τῶν πρώτων ἄρξωμαι τῆς σαφηνείας, ὡς γένους εἰς δύο ταύτης διῃρημένης, καθαρότητα καὶ εὐκρίνειαν, ἡ καθαρότης ἐννοίας ἔχει τὰς πᾶσι κοινὰς καὶ μηδὲν ἐχούσας βαθὺ, μέθοδον τὴν ψιλὴν τοῦ πράγματος ἀφήγησιν μηδὲν ἔξωθεν προσλαμβάνουσαν, λέξιν τὴν ἀπρολόγητον καὶ κοινὴν, σχῆμα τὸ κατ᾽ ὀρθότητα, κῶλα μικρὰ καὶ κομματικὰ, συνθήκην τὴν μὴ φροντίζουσαν φωνηέντων συγκρούσεως, ἀνάπαυσιν ἰαμβικὴν καὶ τροχαϊκὴν καὶ ὁμοίαν κατάληξιν. Ἡ εὐκρίνεια ἐννοίας ἔχει τὰς καταστατικὰς καὶ εἰς ἀρχὴν ἀναγούσας τὸν λόγον καὶ τὰς διατυπούσας τὴν τάξιν τῶν μελλόντων λέγεσθαι καὶ τὰς συμπληρώσεις, μέθοδον τὸ κατὰ φύσιν τιθέναι τὰ πράγματα, σχῆμα τὸ κατ᾽ ἄθροισιν καὶ τὸν μερισμὸν καὶ τὴν ἀπαρίθμησιν, λέξιν δὲ καὶ κῶλα καὶ συνθήκην καὶ ἀνάπαυσιν καὶ ῥυθμὸν ὁμοίως τῇ καθαρότητι. Τοῦ δὲ μεγέθους διῃρημένου εἰς σεμνότητα καὶ τραχύτητα καὶ σφοδρότητα καὶ λαμπρό-

τητα καὶ ἀκμὴν καὶ περιβολὴν, ἡ σεμνότης ἐννοίας ἔχει τὰς περὶ θεοῦ, ὡς περὶ θεοῦ, δευτέρας δὲ τὰς περὶ τῶν θείων πραγμάτων, οἷον ὡρῶν καὶ τῆς τοῦ παντὸς περιφορᾶς, δικαιοσύνης, σωφροσύνης, καὶ τῶν τοιούτων· τετάρτας δὲ ἔχει ἐννοίας τὰς περὶ μεγάλων [1]

μεθόδου καὶ τὰς κατὰ ἀπόφασιν καὶ χωρὶς ἐνδοιασμοῦ

λέξιν πλατεῖαν, σχῆμα τὸ κατ' ὀρθότητα καὶ

τατ τὰ βραχύτερα· συνθήκην τὴν συγκρούουσαν τὰ φωνήεντα τὴν δακτυλικὴν καὶ ἀναπαιστικὴν καὶ σπονδειακὴν, ἀνάπαυσιν τὴν ἱστῶσαν τὸν λόγον ἐν σπονδείῳ ἢ δακτύλῳ χωρὶς καταλήξεως. Ἡ δὲ τραχύτης ἐννοίας ἔχει τὰς κατὰ μειζόνων προσώπων, ἐπιτιμητικὰς ἀπὸ ἐλαττόνων· μέθοδον τὸ ἀπαρακαλύπτως τοῦτο ποιεῖν, λέξιν καὶ τὴν τετριμμένην καὶ τὴν ἀφ' ἑαυτῆς σκληρὰν, σχήματα τὰ προσταχτικὰ τὰ κατ' ἐρώτησιν, τὰ ἐλεγκτικὰ, κῶλα τὰ βραχύτερα καὶ μᾶλλον κομματικὰ, συνθήκην τὴν σύγκρουσιν φωνηέντων ἔχουσαν καὶ ἀριθμὸν καὶ ἀνακόλουθον. Ἡ δὲ σφοδρότης ἐννοίας ἔχει τὰς ἐπιτιμητικὰς καὶ ἐλεγκτικὰς κατὰ ἐλαττόνων προσώπων, μέθοδον τὸ ἀπαρακάλυπτον, λέξιν τὴν πρὸς τὸ πρᾶγμα ὀνοματοποιουμένην, σχῆμα τὸ κατ' ἀποστροφὴν καὶ τὸ ἀποδεικτικὸν, κῶλα τὰ κομματικὰ, καὶ μᾶλλον τὰ κατ' ὄνομα λαχόντα, συνθήκην, ἀνάπαυσιν καὶ ῥυθμὸν οἷα καὶ τῆς τραχύτητος. Ἡ δὲ λαμπρότης ἐννοίας ἔχει τὰς θαρσεῖν ποιούσας τὸν ῥήτορα, ἢ μᾶλλον ἐν αἷς οὗτος θαῤῥεῖ, μέθοδον τὸ μὴ ἐνδοιάζειν καὶ τὸ τὰ ἔνδοξα ἐνδοξοτέρως λέγειν, λέξιν τὴν σεμνὴν, σχήματα τὸ κατ' ἀναίρεσιν, τὸ ἀσύνδετον, τὸν πλαγιασμὸν, τὰς ἀποστάσεις καὶ τὴν μακροκωλίαν, τὰ δ' ἄλλα ὁμοίως τῇ σεμνότητι. Τῆς δὲ ἀκμῆς ἔννοιαι μὲν καὶ μέθοδοι, αἵπερ εἰσὶ τραχύτητος καὶ σφοδρότητος, σχήματα ὅσα καὶ τῆς λαμπρότητος,

---

1 **Lacunae sunt in codice.**

κῶλα δὲ συνθήκη καὶ ἀνάπαυσις καὶ ῥυθμὸς ὅμοια τῇ λαμπρότητι. Τῆς μέντοι περιβολῆς ἔννοιαι μὲν αἱ ἔξωθέν τι προςλαμβάνουσαι, ἢ γένος εἴδει, ἢ ἀόριστον ὡρισμένῳ, ἢ ὅλον μέρει, καὶ τὸ μὴ ψιλὰ λέγειν τὰ πράγματα καὶ τὸ ἀναστρέφειν αὐτὰ καὶ τὸ κατ᾽ ἐπεμβολὴν σχῆμα· ταῦτα δὲ μεθόδου μᾶλλον ἂν εἴη· ἤτοι ἡ ἀναστροφὴ καὶ ἡ ἐπεμβολὴ καὶ ἡ κατὰ ποιότητα αὔξησις καὶ τὸ τὰς κατασκευὰς πρώτας ποιεῖν τῶν προτάσεων· λέξις δὲ οὐκ ἔστι περιβολῆς, εἰ μή τις λέγοι τὰς ἰσοδυναμούσας ἑτέραις, σχήματα ἡ ἀπαρίθμησις, τὸ ἀπαριθμητικὸν, τὸ κατὰ προτίμησιν, τὸ καθ᾽ ὑπόθεσιν, ὁ μερισμὸς, ὁ πλαγιασμὸς, τὸ ἐπιτρέχον, ἡ ἀπόστασις, τὸ ἐξ ἀναιρέσεως συμπλεκτικὸν, τὸ κατὰ συστροφὴν ἢ ἐπεμβολήν. Τῆς δὲ τοῦ κάλλους ἰδέας ἀτόμου οὔσης, ἔννοιαι μὲν ἢ μέθοδοι οὐκ εἰσὶ, σχήματα δὲ αἱ παρισώσεις, αἱ κατὰ κῶλα ἐπαναφοραὶ, ἡ ἀντιστροφὴ, ἡ κλίμαξ, αἱ ἀναιρέσεις, οἱ κατὰ συζυγίαν μερισμοὶ, τὸ ὑπερβατὸν, τὰ καινοπρεπῆ, τὸ πολύπτωτον· κῶλα τὰ μικρότερα, συνθήκη ἡ μὴ ἔχουσα σύγκρουσιν φωνηέντων. Τῆς δὲ γοργότητος ἀτόμου καὶ αὐτῆς οὔσης ἰδέας, ἔννοια μὲν οὐκ ἔστιν, μέθοδος δὲ τὸ ταῖς ἀντιθέσεσι χρῆσθαι ταχείαις· σχήματα ἡ ἐξ ὑποστροφῆς ἐπεμβολὴ, τὸ ἐπιτρέχον, τὸ ἀσύνδετον, τὸ κατ᾽ ὄνομα κομματικὸν, αἱ δι᾽ ἐλαχίστου ἐξαλλαγαὶ, αἱ τραχεῖαι συμπλοκαί· συνθήκη ἡ μὴ ἔχουσα σύγκρουσιν, ἀνάπαυσις ἡ εἰς τροχαϊκὸν καταλήγουσα καὶ μὴ βεβηκυῖα. Τοῦ δὲ ἀληθινοῦ λόγου ἀτόμου καὶ τούτου ὄντος, ἔννοιαι αἱ ἀφελεῖς καὶ ἐπιεικεῖς, μέθοδος ὁ σχετλιασμὸς καὶ τὰ λοιπὰ πάθη καὶ τὸ μὴ προλέγειν, ὅτι τούτοις χρήσεται, καὶ τὸ μὴ σώζειν τὰς ἀκολουθίας ἐν τοῖς πάθεσι· λέξις ἡ τραχεῖα, σχήματα ἐν ταῖς ἐλεεινολογίαις καὶ ταῖς ἐπιφοραῖς τὰ σφοδρὰ καὶ αἱ ἀποστροφαὶ καὶ αἱ ἐπικρίσεις· συνθήκη δὲ καὶ ἀνάπαυσις καὶ ῥυθμὸς ὅμοια τῇ σφοδρότητι· ἐν δὲ ταῖς ἐλεεινολογίαις ἔστω ταῦτα ἀφελῆ.

Τῆς δὲ βαρύτητος, ἥ τις αὐτὴ μὲν καθ᾽ ἑαυτὴν οὐ θεωρεῖται, συνίσταται δὲ ἐξ ἀφελείας καὶ ἐπιεικείας καί τινος τῶν ἄλλων ἠθικῶν, ἔννοιαι μὲν αἱ ὀνειδιστικαὶ, μέθοδος αἱ εἰρωνεῖαι, σχῆμα τὸ ἐνδοιάζειν περὶ τῶν ὁμολογουμένων· τὰ δὲ λοιπὰ ἓξ μέρη οὐκ ἔχει ἡ βαρύτης, ἁρμόζει δὲ αὐτῇ τὰ ἠθικά. Τῆς δὲ ἀφελείας μιᾶς οὔσης τῶν ἠθικῶν ἰδεῶν ἔννοιαι αἱ τῶν ἀπλάστων ἠθῶν καὶ ἀπὸ τῶν ἀλόγων ζώων καὶ φυτῶν· μέθοδοι αἱ τῆς καθαρότητος καὶ τὸ πλεονάζειν τοῖς κατὰ μέρος· λέξεις ἰδιάζουσαι, οἷον τὸ ἀδελφίζειν· σχήματα καὶ κῶλα, οἷα τῆς καθαρότητος· συνθήκη ἡ ἀφελεστέρα καὶ λελυμένη, ἀνάπαυσις ἡ βεβηκυῖα. Τῆς δὲ γλυκύτητος, ἥτις ἐκ τῆς ἀφελείας διῄρηται, ἔννοιαι αἱ μυθικαὶ, αἱ μύθων ἐγγὺς, τὰ ἡδύνοντα τὰς αἰσθήσεις ἡμῶν, τὸ τοῖς ἀπροαιρέτοις προαίρεσιν ἐπιτιθέναι· μέθοδοι αἱ τῆς καθαρότητος, λέξις ἡ ἀφελὴς καὶ μᾶλλον ἡ ποιητικὴ, σχήματα τὰ τῆς καθαρότητος, συνθήκη ἡ ἀσύγκρουστος, ἀνάπαυσις ἡ τῆς σεμνότητος, ἡ βεβηκυῖα, καὶ ὁ ῥυθμὸς, οἷος ὁ ἀφελής. Τῆς δὲ δριμύτητος, ἥτις καὶ αὐτὴ ἐκ τῆς ἀφελείας διῄρηται, ἔννοιαι αἱ ἐξ ἐπιβολῆς βαθεῖαι, καὶ ὅταν κυρίως ἔννοιαν σημαίνῃ λέξις οὐ κυρίως ἐκείνης οὖσα, καὶ το καθ᾽ ὁμοιότητα λέξεως, καὶ τὸ ἐκ παρονομασίας καὶ ὅταν τροπικῇ χρησάμενοι λέξει ἑτέραν τροπικωτέραν ἐπενέγκωμεν. Τῆς δὲ ἐπιεικείας ἐκ τοῦ ἤθους καὶ ταύτης διῃρημένης, ἔννοια μὲν, ὅταν ἑκόντα τις ἑαυτὸν μειονεκτοῦντα δεικνύῃ, καὶ τὸ διδόναι πλέον τι τῷ ἐχθρῷ· μέθοδος τὸ κατὰ τοῦ ἐχθροῦ μὴ λέγειν σφοδρῶς, τὰ δὲ λοιπὰ ὡς ἐν καθαρότητι καὶ ἀφελείᾳ. Τῆς δὲ δεινότητος ἀτόμου καὶ ταύτης οὔσης ἰδέας, ἔννοιαι αἱ παράδοξοι καὶ βαθεῖαι καὶ βίαιοι καὶ ἔτι αἱ τὸ μέγεθος ποιοῦσαι πᾶσαι· μέθοδος ἡ ἐοικυῖα ταῖς τοιαύταις ἐννοίαις καὶ πᾶσα ἡ ποιοῦσα τὸ μέγεθος· ἐν δὲ τῷ ὄντι μὲν, μὴ δοκοῦντι δὲ δεινῷ λόγῳ ἁρμόττουσιν αἱ ἀφελεῖς καὶ ἠθικαί· λέξις ἡ ἀξιωματικὴ

καὶ τετρ ματική·[2] ἐν δὲ τῷ μὴ δοκοῦντι ἡ ἀφελὴς καὶ ἠθική· ἡ γὰρ δοκοῦσα καὶ μὴ οὖσα τὸ πλεῖστον ἔχει κατὰ λέξιν· σχήματα δὲ καὶ κῶλα καὶ συνθήκη καὶ ἀνάπαυσις καὶ ῥυθμὸς, ὅσα καὶ τοῦ μεγέθους.

---

# ΠΡΟΛΕΓΟΜΕΝΑ
## ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ.[1]

---

Ὁ Πλάτων, ὡς φαίνεται, διαβάλλει τὴν ῥητορικήν· ὡρίσατο γὰρ τὴν ῥητορικὴν πολιτικοῦ μορίου εἶναι εἴδωλον,[2] πολιτικοῦ, δηλονότι τῆς ἐν πολιτείᾳ σοφίας, καὶ μορίου τοῦ δικαστικοῦ· τὴν γὰρ πολιτικὴν σοφίαν περί τε τὴν ψυχὴν εἶναί φησι, καὶ μέρη αὐτῆς τήν τε νομοθετικὴν καὶ δικαστικήν. Ὥσπερ γὰρ περὶ τὸ σῶμα ἡ ἰατρικὴ καὶ ἡ γυμναστικὴ θεωρεῖται διὰ τὴν ὑγείαν πάντως αὐτοῦ, ἡ μὲν γὰρ[3] γυμναστικὴ τὴν ἕξιν φυλάττει τοῦ σώματος, ἡ δὲ ἰατρικὴ τὴν ἀποῦσαν ὑγείαν ἀνακαλεῖται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς ἡ νομοθετικὴ καὶ ἡ δικαστικὴ, ἡ μὲν δὴ νομοθετικὴ τὴν ἐνοῦσαν τῇ ψυχῇ ὑγείαν φυλάττουσα ἐκ τοῦ τὰ καλὰ καὶ δίκαια τηρεῖν διορίζεσθαι, ἡ δὲ δικαστικὴ τὴν ἀποῦσαν ἀνακαλουμένη· εἰ γάρ τις παρεκτραπεὶς τοῦ δέοντος πλημμελήσει, ἡ δικαστικὴ εὐθέως διὰ σωφρονισμῶν καὶ κολάσεων περι-

---

2 Sic codex.

1 Continentur haec Prolegg. in Codd. Parr. MMCMLXXVIII. (Par. 1.) et MMCMLXXX. (Par. 2.). Compilata sunt majore ex parte ex Doxopatri in Aphthonii Progymnasmata commentario.
2 Gorg. c. 18. p. 463. d. 3 γὰρ Par. 1. om.

ποιεῖται τὴν διαφθαρεῖσαν ὑγείαν. Τεσσάρων τούτων οὐσῶν, νομοθετικῆς, δικαστικῆς, γυμναστικῆς καὶ ἰατρικῆς, καὶ τῶν μὲν περὶ τὸ σῶμα οὐσῶν, τῶν δὲ περὶ τὴν ψυχὴν, ἡ κολακευτικὴ στοχαζομένη τετραχῇ ἑαυτὴν διανείμασα καὶ ἑκάστην αὐτῶν [4] ὑποδῦσα, ἄλλας τέσσαρας ἀφ᾽ ἑαυτῶν ἀπεργάζεται, καὶ προςποιεῖται ἑκάστην εἶναι τοιαύτην, οἵαν ὑπέδυ, καὶ τοῦ μὲν βελτίστου οὐ φροντίζει, τῷ δὲ ἡδίστῳ θηρεύει τὴν ἄνοιαν [5] καὶ ἐξαπατᾷ· ὑπὸ μὲν τὴν ἰατρικὴν ἡ ὀψοποιητικὴ ὑποδέδυκε, καὶ προςποιεῖται τὰ βέλτιστα σιτία τῷ σώματι εἰδέναι· κολακείαν μὲν οὖν αὐτὴν καλεῖσθαι χρεὼν καὶ αἰσχρὸν πρᾶγμα, τέχνην δὲ αὐτὴν [6] οὐδαμῶς, ἀλλ᾽ ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα, ὃν προφέρει, οὐδὲ αἰτίαν· τέχνη δὲ οὐ κληθήσεται, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα. Ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν ἡ ὀψοποιητικὴ, ὑπὸ δὲ τὴν γυμναστικὴν ἡ κομμωτικὴ ὑποδῦσα, ἡ ἀπατηλὴ καὶ κακοῦργος, ἡ ἀγεννὴς καὶ ἀνελεύθερος σχήμασι καὶ χρώμασι καὶ λειότητι καὶ ἐσθῆσί [7] σε ἀπατᾷ, ὥστε ποιεῖν ἀλλότριον κάλλος, ἐφελκομένη ἐντεῦθεν τοῦ οἰκείου τῇ γυμναστικῇ ἀμελεῖν. ὥσπερ οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς ὑποβάλλει ἡ κολακεία τῇ νομοθετικῇ τὴν σοφιστικὴν, καὶ τῇ δικαστικῇ τὴν ῥητορικήν· ὥσπερ γὰρ ἡ νομοθετικὴ διὰ τῶν νόμων τὰ καλὰ καὶ δίκαια διορίζεται, οὕτω καὶ ἡ σοφιστικὴ διὰ μύθων αὐτὰ ποιεῖν ὑποκρίνεται, καὶ δῆλον ἐφ᾽ οὗ τὰ τοῦ Ἡρακλέους μυθοπλαστοῦνται· καὶ τῶν γυναικῶν τῆς μὲν ὡραίας καὶ ἀνθηρᾶς, τῆς δὲ ῥυπώσης καὶ αὐχμηρᾶς, τῆς ἀρετῆς δηλαδὴ καὶ τῆς κακίας· καὶ ὥσπερ ἡ δικαστικὴ διεκδικεῖ τοὺς νόμους καὶ τοὺς ἁμαρτάνοντας τιμωρεῖται ἢ ἀδικοῦντας, τοὺς δὲ κατορθοῦντας ἢ ἀδικουμένους γερῶν ἀξιοῖ καὶ

4 Cod. αὐτὴν, scripsi αὐτῶν. Plat. p. 464. c. ὑποδῦσα ὑπὸ ἕκαστον τῶν μορίων. 5 Codd. ἔννοιαν, recepi ἄνοιαν ex Plat. 6 αὐτὴν Par. 1. om. 7 Par. 1. αἰσθῆσιν ἀπατᾷ. Par. 2. ἐσθῆσί σε ἀπ.

βοηθείας, οὕτω καὶ ἡ ῥητορικὴ ὑποκρινομένη κατηγορεῖ καὶ ἀπολογεῖται, ἢ ἀξιοῖ καὶ ἀντιλέγει. διὰ ταῦτα τοίνυν πάντα τὴν ῥητορικὴν ὁ Πλάτων ὡρίσατο πολιτικοῦ εἶναι μορίου εἴδωλον.

Πολιτικὴ σοφία ἐστὶν ἐπιστήμη τοῦ πράττειν τά τε κοινὰ καὶ τὰ ἴδια ἐπ' ἐξουσίας ἐννόμου· εἰ γάρ τις ἔννομον ἐξουσίαν οὐκ ἔχοι, οὐ κέχρηται δὲ τοῖς νόμοις, τύραννος γίνεται, καλῶς τῶν φιλοσόφων λεγόντων, ὡς, εἰ μὴ φιλόσοφοι βασιλεύσουσιν ἢ βασιλεῖς φιλοσοφήσουσιν, οὐχ ἕξει καλῶς τὰ πράγματα. Τινὲς οὖν φασιν, ὅτι ἐκ ταύτης τῆς αἰτίας ὡρμήθη εἰς τὴν τῆς ῥητορικῆς κατηγορίαν, ἐκ τοῦ ὁρᾷν τὴν αὐτοῦ διατριβὴν ἀποκενουμένην τῷ τότε, τὴν δὲ τῶν ῥητορικῶν αὐξανομένην· ἄλλοι δὲ, ὅτι [8] τὸν ἥττονα λόγον κἀνταῦθα γυμνάζων πεποίηκεν, ὃ δὴ καὶ τοῦτο ῥητορικῆς ἔργον ἐστίν.

Ὅτι δὲ καὶ μάτην ἐκφαυλίζει τὴν ῥητορικὴν καὶ συκοφαντεῖ, ἐλέγχεται ἐκ τοῦ ταύτην ἀσπάζεσθαι, [9] καὶ ταῖς ταύτης χρῆσθαι μεθόδοις πρὸς πᾶσαν σχεδὸν αὐτῆς τὴν ἐπιστήμην, καὶ φιλοτιμεῖσθαι ταύτῃ μᾶλλον ἢ τοῖς λοιποῖς· ἄλλως τε δὲ καὶ εἰ δώσομεν τὸ ἀληθὲς τῷ περὶ τῆς ῥητορικῆς Πλατωνικῷ ὁρισμῷ, ἀλλ' οὐ περὶ τῆς καθ' ἡμᾶς ἕξει τὸ ἰσχυρόν. Ἰστέον γὰρ, ὡς τρεῖς εἰσι ῥητορικαὶ, μία καὶ πρωτίστη ἡ πάντη ἀληθὴς, δευτέρα ἡ ταύτης ἐναντία, καὶ τρίτη ἡ μέση τούτων, μετέχουσα ψεύδους καὶ ἀληθείας, ἥτις ἐστὶν αὕτη, ἣν μεταχειριζόμεθα· ἔστι γὰρ καὶ ψεῦδος ἀγαθὸν, καὶ χωρὶς ψεύδους ὡς ἐπὶ τὸ πλεῖστον πόλιν οὐκ ἔστιν εὑρεῖν καλῶς [10] εὐνομουμένην. Ἣν μέντοι ἐκεῖνος ὁρίζεται, πάντη ψευδὴς καὶ ἀπατηλὴ καὶ ὑποκρινομένη τὸ ἀληθὲς, οὐ μὴν καὶ πρεσβεύουσα. Ἰστέον, ὡς ἡ πολιτικὴ φιλοσοφία διαφέρει τῆς ῥητορικῆς κατὰ τὸ τὴν μὲν καθολικὰς ἔχειν καὶ

8 ὅτι τῶν ἥττω λόγων κἀνταῦθα γυμνάζειν πεπ. Par. 1. 9 Par. 1. ἀσπάζεται. uterque ταύτης, scr. ταύτην. et paullo post τῆς ταύτης. 10 Par. 2. καλῶς εὑρεῖν εὐνοουμένην.

τὰς ἀρχὰς καὶ τὰ τέλη· χρὴ γάρ, φησὶ, τὴν καλῶς οἰκουμένην πόλιν ταξιάρχους ἔχειν, ὑπάρχους, στρατηγοὺς, ναυπηγοὺς καὶ ὅσα τοιαῦτα· τὴν δὲ ῥητορικὴν καθολικὰς μὲν τὰς ἀρχὰς, μερικὰ δὲ τὰ τέλη· φησὶ γάρ, στρατηγῶν δεῖσθαι τὴν πόλιν, εἶτα τὸ γενικὸν ἀφεὶς διορίζει Πάχητα καὶ Ναυσικλέα καί τινας τοιούτους.

Εἰς τὸ ἀρχῆθεν καὶ φύσιν εἶναι τὴν ῥητορικὴν ἔν τε τοῖς θείοις καὶ ἀνθρωπίνοις. Πᾶν πρᾶγμα ἢ φύσις ἐστὶν, ἢ φύσις καὶ τέχνη· τέχνη δὲ μόνον οὐδέποτε· οἷον ἡ πέτρα ἡ μὴ λατομηθεῖσα φύσις ἐστὶ, λατομηθεῖσα δὲ καὶ καλλωπισθεῖσα πρὸς τόδε τι εἶδος καὶ φύσις καὶ τέχνη ἔστιν.

Ὅρος ἐπιστήμης· ἐπιστήμη ἐστὶ γνῶσις ἄπταιστος, ἐμπειρία δέ ἐστι τριβὴ ἄλογος ἐκ παρατηρήσεως γενομένη. Τινὲς μὲν οὖν ἐπιστήμην τὴν ῥητορικὴν εἶναι εἶπον, τινὲς δὲ ἐμπειρίαν, τινὲς δὲ τέχνην· οἳ καὶ νικῶσιν. οἱ μὲν γὰρ λέγουσιν, ὡς ἴδιον τῆς ἐπιστήμης τὸ περὶ τῶν ὄντων ὡς ὄντων διαλέγεσθαι, οἷον ἡλίου ὑπὲρ γῆν ὄντος ἡμέρα ἐστίν· ἀλλὰ καὶ ἡ ῥητορικὴ τοῦτο ποιεῖ. ἰδοὺ γὰρ Φιλίππου πολεμοῦντος Ὀλυνθίοις, ὡς περὶ ὄντων διελέγετο ὁ Δημοσθένης· πρὸς τούτοις ἴδιον τῆς ἐπιστήμης τὸ τῶν καθόλου φροντίζειν καὶ τῆς ῥητορικῆς τοῦτο· καθότι γὰρ στοχασμὸν καὶ ὅρον διδάσκει ἡμᾶς καὶ καθολικοὺς τρόπους προοιμίων καὶ γενικὰς ἰδέας· πρὸς οὓς φασιν, ὡς εἰ καὶ ἀμφότερα περὶ τῶν ὄντων ὡς ὄντων λαμβάνουσιν, ἀλλ' εἰ μὲν ἐπιστήμη, τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγει, καὶ οὐ πταίει· ἡ δὲ ῥητορικὴ οὐ μόνον τὰ αὐτὰ περὶ τῶν[11] αὐτῶν οὐ λέγει ἀεί· ποτὲ δὲ οἱ ῥήτορες ἐν τῇ αὐτῇ ὑποθέσει μελετῶσι τὸν κατήγορον, ποτὲ δὲ τὸν φεύγοντα· καὶ μέμψιν ἡγοῦνται τὸ λέγειν ἐνθύμημα ὑφ' ἑτέρου ῥηθὲν, ἢ τῷ αὐτῷ δὶς χρῆσθαι. Ἀλλὰ ἔστιν ὅτε καὶ σφάλλεται καὶ ἀποτυγχάνει τοῦ οἰκείου σκοποῦ,

11 τῶν Par. 2. om.

ποῦ, τοῦ πεῖσαι, εἰ καὶ αὕτη περὶ καθολικοῦ στοχασμοῦ διαλαμβάνει, ἀλλά γε τέχνη οὖσα τὰ ἀποτελέσματα μερικὰ ἔχει· ὁ γὰρ περὶ στοχασμοῦ λόγος πάντη καθολικός, ὁ δὲ κατ' Αἰσχίνου ἢ κατὰ Τιμάρχου μερικοὶ ὡς ἀποτελέσματα. Οἱ μὲν οὖν ἐπιστήμην, ὡς εἴρηται, λέγοντες, τούτοις καὶ ἀντιλέγονται· οἱ δὲ ἐμπειρίαν φάσκοντες λέγουσιν, ὡς ἴδιον τῆς ἐμπειρίας ἡ τῆς αἰτίας ἀπορία, καὶ τῆς ῥητορικῆς τοῦτο· οὐ γὰρ δύναται ὁ ῥήτωρ εἰπεῖν φυσικὸν λόγον. Πόθεν οἱ δικασταὶ χαίρουσι τοῖς προοιμίοις ἢ ἄλλῳ τινί; Καί φαμεν, ὅτι τὸ περὶ φύσεων τῶν πραγμάτων διασκοπεῖν τοῦ φυσικοῦ ἂν εἴη ἴδιον, οὐ μὴν τοῦ παντός· αὐτίκα γοῦν ὁ γραμματικός, ὅτι μὲν διὰ τῶνδε γραπτέον, γινώσκει, πότερον δὲ δεῖ οὕτω σχηματίσαι τὸν λόγον ἢ μή, οὐκ οἶδε· ῥητορικοῦ γὰρ τοῦτο. οὐ παρὰ τοῦτο οὖν ἡ πραγματικὴ ἐμπειρία λεχθήσεται, τέχνη γάρ ἐστιν· οὕτω καὶ ὁ ῥήτωρ, ὅτι μὲν συμφέρει αὐτῷ προοιμιάζεσθαι, ἀπὸ τῆς ῥητορικῆς οἶδε· τίνος δὲ χάριν οἱ ἀκροαταὶ τοῖς προοιμίοις χαίρουσιν, οὐκ αὐτῆς, ἀλλὰ τοῦ φυσικοῦ εἴη ἂν εἰπεῖν. Λείπεται τοίνυν τέχνην εἶναι ἐκ τοῦ τὸν ὁρισμὸν τῆς τέχνης αὐτῇ προσαρμόζειν.

Ζώῳ[12] τινὶ ἔοικεν ἡ ῥητορική, καὶ αἱ μὲν στάσεις ἐοίκασι μείζοσι μέρεσι, κεφαλῇ, ὤμοις, κοιλίᾳ, μηροῖς καὶ ποσίν· αἱ δὲ εὑρέσεις ἐλάττοσιν, ὀφθαλμοῖς, ῥισίν, ὠτίοις, χείλεσι, γλώττῃ καὶ τοῖς τοιούτοις· αἱ δὲ ἰδέαι τοῖς λεπτοτάτοις, βλεφάροις, κόραις, κανθοῖς· ἢ ἐπειδὴ αἱ στάσεις εἰσὶ τὰ νοήματα, αἱ δὲ εὑρέσεις πλατυσμὸς καὶ ἔμφασις τῶν νοημάτων, αἱ δὲ ἰδέαι εἰδοποιοί τινες καὶ οἷον μορφώτριαι, ἢ ψυχῇ αἱ στάσεις ἐοίκασι, σώματι αἱ εὑρέσεις, μορφαῖς καὶ χρόαις αἱ ἰδέαι.

Τί ἐστι ῥήτωρ;[13] ἀνὴρ πολιτικῶν πραγμάτων ἐπι-

12 Contr. Max. Plan. Prolegom. Vol. V. p. 228. Plat. Phaedr. p. 264. c. 13 Vide Prolegomena in Aphthonii Progymn. edita ab Aldo in Vol. II. p. 1.

στήμων, καὶ ἐφ' ἑκάτερα ἐξ ἐνδόξων κατασκευαστής· ἔργα δὲ αὐτοῦ τὸ νοῆσαι, τὸ εὑρεῖν, τὸ διαθέσθαι τὰ εὑρημένα, καὶ τὸ ὑποκρίνασθαι· νοήσει μὲν γὰρ, εἰ ῥητορικὸν τὸ πρόβλημα ἢ μὴ, καὶ εἰ συνίσταται ἢ οὐ, καὶ ὑπὸ ποῖον εἶδος καὶ ποίαν στάσιν ἀνάγεται, καὶ εὑρήσει τὰ εἰς τὰ κεφάλαια ἐπιχειρήματα, καὶ τοὺς ἐμπίπτοντας τούτοις τόπους· διαθήσει τὴν τάξιν καὶ τὴν οἰκονομίαν τῶν κεφαλαίων καὶ τῶν ἐπιχειρημάτων, ὑποκριθήσεται καὶ τῷ σχήματι καὶ τῇ φωνῇ ἤθη πατρὸς, υἱοῦ, ῥήτορος, στρατηγοῦ, καὶ τοῖς λεγομένοις συσχηματισθήσεται.

Ῥητορική ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατα τὸ ἐνδεχόμενον. Οὗτος ὁ ὅρος οὐχ ἡμαρτημένος κατά τι ἐπικέκριται ὡς τέλειος.

Πᾶσα τέχνη καὶ ἐπιστήμη τρισὶ τούτοις κατορθοῦται, φύσει δεξιᾷ, μαθήσει ἀκριβεῖ, ἀσκήσει ἐπιπόνῳ· ὁ γοῦν ἐν Ἀθήναις Φρύνιχος σοφιστὴς, μαθητῶν μὲν τριακοσίων ἡγούμενος, τὰς δὲ περὶ τῶν στάσεων μεθόδους φλυαρίας ἀποφαινόμενος, καὶ τοὺς νέους ἀπείργων σὺν τέχνῃ τινὶ μελετᾷν τοὺς ῥητορικοὺς λόγους, λέγειν δὲ μόνον ἀνέδην[14] τοὺς αὐτοσχεδίους τῶν λόγων, αὐτοὺς ἐκδιδάσκων καὶ συνεχῶς τινος τὴν ἐκ τριόδου ταύτην παροιμίαν τοῖς δυστυχέσιν ὁμιληταῖς ἐμβοῶν· ὡς τὸ λαλεῖν ἐκ τοῦ λαλεῖν πολὺν τὸν γέλωτα ὤφλησεν· ἀπέφηνεν γὰρ ἑαυτὸν τοῦ μηδενὸς ἄξιον, εἴγε μηδεμίαν τοῦ λέγειν τοῖς νέοις ἐνειργάζετο ἐπιστήμην· ἐπειδὴ δὲ Πλάτων φησὶ,[15] ῥήτορος ἔργον τὸ τἀληθῆ λέγειν, δικαστῶν δὲ σωφρόνων τὸ τὰ δίκαια κρίνειν, καὶ[16] ὅτι εἴ σοι ὑπάρχει φύσει ῥητορικῷ εἶναι, ἔσῃ ῥήτωρ ἐλλόγιμος, προσλαβὼν ἐπιστήμην τε καὶ μελέτην, ὅτου δ' ἂν τούτων ἐλλίπῃς, ταύτῃ ἀτελὴς ἔσῃ. Ὅτι γοῦν ταῦτα οὕτως ἔχει, πῶς ἥ τε τῶν ἀληθῶν καὶ δικαίων γνῶσις, ἔτι τε ἐπιστήμη τε καὶ μελέτη γενήσεται τῶν ἄλλων, ἀνδρὶ τὸ λαλεῖν ἐκ τοῦ λαλεῖν ἐπιτηδεύοντι;[17]

---

14 Codd. ἀναίδην, scr. ἀνέδην ex T. IV. p. 39. not., ubi Syrianus eadem ex Euagora philosopho affert. De forma ἀναίδην vide Buttm. et Stallb. ad Plat. Gorg. p. 494. e. 15 Apolog. p. 18. a. 16 Phaedr. p. 269. d. 17 Par. 2. addit: *Γνώσεως ὄργανα ὀκτώ· Μέρη εὐμαθείας τρία. Πῶς ἐπιγνωσόμεθα τὰς στάσεις;* quae aliis locis attulimus.

# INDEX

## scriptorum rerumque maxime memorabilium, quae in T. IV. et V. continentur.

*Nota.* Ubi absunt numeri latini, T. IV. intelligendus.

## R.

# Addenda et Corrigenda.

## Vol. IV.

Praef. VII. v. 2. reproducendum l. recudendum. — p. 20. v. 5. pro *βάρος*. [quod est in Ald. et Par.] *ἔχουσας* lege *κῦρος ἔχουσα* ex Plat. Gorg. p. 450. E. — ib. v. 6. l. *κῦρος* pro *βάρος*. vide Spengel. *συναγ. τεχν.* p. 35. — v. 26. Plat. Gorg. p. 463. D. — p. 23. v. 10. *διαλαβεῖν* Ald. Par., l. *διαβάλειν*. Spengel l. l. p. 144. v. 18. *Φαίδωνι*, est in Phaedro p. 270. b. — p. 24. v. 29. *νήφονα* Ald., l. *νήφοντα*. — p. 30. v. 1. Philost. L. II. 7. p. 577. ed. Olear. — 40. v. 2. Ruhnk. Hist. crit. Or. Gr. p. LXXVI. legit: *ὡρμημένην*. v. 7. *σοφιστοῦ*, sc. *Φρυνίχου*. vide T. V. p. 610. v. 11. Apol. p. 18. a. v. 13. Gorg. p. 460. c. v. 15. Phaedr. p. 269. d. — 43. v. 3. l. *Τρωϊκῶν*. — p. 44. v. 16. *ἐμπειρίας*. l. *ἐμπείρως* ex Plat. Gorg. p. 448. C. vide Spengel. l. l. p. 87. v. 27. l. *κατωρθωκώς*. v. 31. l. *γυμνασθεὶς*. — p. 48. v. 3. contr. Aristog. II. p. 808. — p. 50. v. 11. Aesch. c. Timarch. p. 254. Bekk. cfr. T. V. p. 20. — p. 71. not. 3. contr. Ctes. p. 441 Bekk. — p. 91. v. 17. *εὕρσιεν ἐν* Ald. Par., malim *εὗροι ἐν*. coll. T. V. p. 41. v. 21. *αὐτοῦ πραγμ.* Ald., l. *αὐτοῦ τοῦ πρ.* vel *ἀπὸ τοῦ πρ.* ut p. 97. 4. — p. 93. v. 7. l. *ἀφ' ὧν*. v. 11. Thuc. I. 138. — p. 98. v. 4. Menandri locus deest apud Mein., Demosth. pro cor. p. 227. v. 16. pro cor. p. 307. — p. 103. v. 27. *ἔμελλεν* Ald., l. *ἔμελεν*. — p. 112. v. 22. *Γέλωνα* l. *Γύλωνα*. — p. 113. v. 7. *Γέλωνα* Ald. Par., l. *Γύλωνα*. coll. Aeschin. c. Ctes. p. 440. Bekk. Ruhnk. ad Rutil. Lup. p. 117. — p. 118. v. 4. l. *ἐξισάζοντα*. — p. 119. v. 28. *διαφθείρουσα*; fort. scribendum: *διαφέρουσα*. — 132. v. 27. Dem. c. Androt. p. 593. — p. 140. v. 4. *αὐτὸν* Ald., l. *αὐτήν*. — p. 161. v. 8. cfr. Aesch. c. Ctesiph. §. 130. p. 425. Bekk. — p. 174. v. 13. de fals. leg. p. 407. — p. 176. v. 6. l. *Πολυτίων κ. προαγωγείας* ex Sopatro T. V. p. 73. — p. 113. v. 3. adde ad marg. p. 83. — p. 222. v. 12. contr. Timarch. p. 254. Bekk. — p. 235. v. 25. *ἡ δὲ ἀντίληψις· διαφ.* Ald. Par.; l. *ἡ δὲ ἀληθὴς διαφ.* ex T. V. p. 95. v. 7. — p. 241. v. 5. de fals. leg. p. 365. — p. 260. v. 4. *λογισμὸς* l. *συλλογ.* — p. 264. not. 1. Locum Dem. malim referre ad Or. c. Aristog. II. p. 805. *ὥστε ταὐτὰ ἀναγκάζεσθαι καὶ κύρια καὶ πάλιν ἄκυρα ποιεῖν.* cfr. T. V. p. 106. — p. 272. v. 12. l. *εὐρύοπα*. Herod. VII. 141. — p. 289. v. 10. *ἐπαγωγὴ*

Ald., l. ἀπαγωγή. — p. 291. v. 2. περὶ Ald. Par., l. κατὰ τοῦ Στεφάνου Or. I. p. 1103. cfr. Vol. V. p. 112. — p. 298, v. 5. δὲ Ald. Par., l. δ'. vide Stahr Aristotelia I. p. 64. — p. 304. v. 8. Καΐωρ. l. Μαΐωρ. De Maiore videndus Marcellin. p. 324. v. 13. Suid. s. v. Ruhnk. Diss. de vita et scriptis Longini p. LXXXVI. ed. Weisk. — p. 316. v. 2. παρασταττικοῦ. l. περιστ. p. 318. v. 21. Thuc. II. 60. — p. 330. not. 36. de fals. leg. p. 366. — p. 336. v. 14. l. ἀπαίτησις. — p. 344. v. 15. adv. Lacrit. p. 923. — p. 364. v. 27. sqq. cfr. T. V. p. 132. — p. 365. v. 27. Dem. de fals. leg. p. 374. — p. 372. v. 20. Thuc. I. 126. — p. 380. v. 20. γλαυκίτην μελάνωπον Ald., l. Γλαυκ. ἢ Μελάνωπον ex Dem. in Timocr. p. 739. — p. 390. v. 12. τοιαύτη αἰτία Ald., l. τοιαύτῃ αἰτίᾳ. p. 414. not. 11. correxit etiam Vales. ad Harpocr. T. II. p. 469. ed. Lips. — p. 417. not. 20. χοινή, l. κοινῇ. — p. 425. v. 25. Dem. pro cor. p. 325. — p. 434. v. 10. Post ἔγκλημα ponendum punctum, et sqq. ἀλλὰ – ἀπαιτήσει litteris diductis scribenda. — p. 435. v. 10. l. συγκρίνομεν. — 444. v. 20. τὸ μὲν Ald., l. τὸν μέν. — p. 446. v. 16. l. ἀποκρινομένων. — p. 448. v. 12. οὐ. l. σύ. — p. 485. v. 31. σώζεται Ald., l. σώζηται. — p. 493. v. 33. lin. 59., l. v. sq. — p. 498. v. 24. l. χορηγόν. — p. 507. v. 29. respicere videtur ad or. de Chers. p. 91. — p. 530. v. 23. tolle signa lacunae. — p. 432. v. 15. ἐναντιοῦται Ald., l. ἐναντιῶται. — p. 535. v. 17. ποιῆσαι Ald., l. ποιῆται. — p. 537. v. 14. δυνάμενον Ald., l. δυνάμεθα. — p. 538. v. 16. προσκειμένου Ald., l. προκειμ. v. 29. ἔχοντα Ald. l. ἔχων τά. — p. 575. v. 10. ἀνωτέρῳ. l. ἀνωτέρω. — p. 589. v. 23. τοῖς λοιποῖς Ald., l. ταῖς λοιπαῖς. — p. 596. v. 19. post τοῦτο dele punctum. — p. 597. v. 15. κεφάκαιον. l. κεφάλαιον. — p. 599. v. 7. l. ἔγκλημα. — p. 618. v. 20. l. γνώμην. v. 23. l. πόρνον. — p. 622. v. 11. l. τέμωμεν. — p. 653. v. 16. post ὅρῳ dele comma. — p. 663. v. 20. l. καθά. — p. 680. v. 14. l. χρόνου. — p. 712. not. 20. adde: Apsin. p. 690. v. 13. Ald. — p. 715. v. 29. post οὐ γὰρ pone εἰ, quod Ald. om. — p. 716. v. 5. φιλονεικίας Ald., lege φιλοσοφίας ex T. V. p. 184. v. 24. — p. 729. v. 27. usque ad 731. v. 9. recepit Anonymi commentarius [T. VII.] in Mon. 8. et Par. 2977., cujus lectionem variam hic adjicio. — p. 730. v. 1. καὶ An. ἢ. Post ἐκράτυνεν An. addit: ἢ ὡς συμφέρον αἱ τῶν πολλῶν ἐκύρωσαν γνῶμαι. διαφέρει δὲ νόμος ἔθους τῷ τὸν μὲν ἄγραφον εἶναι, τὸν δὲ ἔγγραφον, καὶ τὸ μὲν καθόλου, τὸν δὲ ἐπὶ μέρους, καὶ τὸ μὲν φύσει, τὸ δὲ θέσει. v. 3. οἷον An. om. v. 5. post τρόπον insere ex An. καὶ ἐκ προγόνων μὲν λέξομεν, ὅτι καὶ οἱ πρόγονοι τοῦτο ἔπραττον. v. 7. καὶ αὐτό, An. τὸ ἔθος. v. 8. Par. 2977. καὶ πράγματι. Mon. 8. et Par. 2977. καὶ καιρῷ. v. 9. οἷον An. om. v. 12. τόδε, An. τοῦτο. v. 18. πάλιν An. om. v. 21. An. ὡς Αἰσχίνης φησὶν, ὅτι. v. 23. post τιμῆς An. addit: οὐδεὶς πώποτε ταύτης ἠξιώθη τῆς τιμῆς. v. 24. An. πολιτείας, ὡς ἐκ Λακώνων ἢ Βοιωτῶν, ἢ βαρβάρου, ὡς ἐκ Σκυθῶν καὶ Περσῶν. v. 28. An. καταφορᾷ, ὡς Δημοσθένης. — p. 731. v. 1.

An. λυμήνασθαι. v. 2. An. περὶ δὲ τῶν βαρβ. Mon. 8. δὲ om. Par. 2977. et Mon. 8. ὁ Ἀριστείδης [Par. ὡς ὁ] λέγων εἰς Περικλέα, ὦ παῖ Ξ. v. 6. ἐκείνῳ An. αὐτῷ. v. 7. scribe Ἑλληνικούς. — p. 744. v. 11. — 745. v. 25. in eodem commentario legitur: v. 12. An. δῆλον, ὅτι συμφέρον ἂν εἴη κτήσασθαι συμμαχίαν. ib. pro τὸ εἰ, quod habet Ald., ex An. scribe: εἰ τό. v. 13. δεύτερον An. om. v. 14. An. ἐκ τῆς τ.. π.. δόξης καὶ ἐλπίδος. v. 15. χαιρήσουσιν, ἐροῦμεν γάρ, ὅτι κἀκείνοις δοκεῖ βέλτ. εἶναι, εἰ τοῦτο ποιήσαιμεν, ᾧ καὶ Δημοσθένης — τούτῳ γενέσθαι τῷ στρατοπέδῳ. v. 22. Mon. 8. λυθῆναι. Par. 2977. διαλυθῆναι. ib. An. εἶθ' ὅ. v. 23. An. τοῖς θεοῖς, τοῦτο ὑμῶν τινες πείθουσι πράττειν. καὶ παρὰ τῷ ποιητῇ. ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες. Τρίτον ἀφ' ὧν πολλάκις διὰ τὸ πρᾶγμα κινδ. — ἀνηλώσαμεν, ὡς Ὅμηρος. v. 26. An. λίποιτο. v. 27. An. addit: ἧς εἵνεκα πολλοὶ [Mon. 8. ποταμοὶ Ἀχαιοὶ] Ἀχαιῶν, ἐν Τροίῃ ἀπώλοντο (sic) φίλης ἄπο πατρίδος αἴης. — p. 745. v. 1. An. om. v. 2. ἃ An. om. v. 3. ὑπὲρ — συμφέρει An. om. v. 5. An. στεφάνου φησίν. ὅτι v. 11. An. μὴ ἐπί. v. 12. καὶ An. γάρ. v. 14. ὡς An. om. v. 15. An. πόλιας καὶ τείχε' ἐπόρθουν. v. 19. An. ἐπὶ συμβουλὴν εἰσελθεῖν. οὕτω γὰρ καὶ Δημ. ἐν τῷ περὶ στεφάνου. v. 20. γὰρ An. om. v. 21. An. ἄρασθαι πόλεμον ἐν Χαιρ. πρὸς Φίλιππον. v. 23. An. τότε εἰπών. v. 24. An. ὡς Ἐλάτεια κατείληπται, καὶ ἑξῆς. τότε δὲ ἡ ἔκφρασις ὀφείλει τῆς συμβουλῆς προτάττεσθαι, ὅταν ἢ πόλεμος ἢ πολιορκία ἢ ἕτερος τοιοῦτος καταλαμβάνῃ κίνδυνος· ἐὰν γὰρ μὴ προτάξωμεν τὴν ἀπὸ τῶν σεισμῶν τυχόν, εἰ μετοικεῖν συμβουλεύομεν τούτων γινομένων, ἢ ἀπὸ τῶν πολέμων ἢ τινων τοιούτων ἔκφρασιν, οὐδ' ἂν ἀνάσχοιντο ἡμῶν τὰ ἄλλα κατασκευαζόντων. — p. 756. v. 1. — 15. recepit An. T. VII. v. 2. An. φροντίζειν μᾶλλον. v. 6. An. ἔχεται· τῇ αὐτῇ δὲ διαιρέσει τὸ ἔνδοξον μεθοδεύεται, δι' ἧς καὶ τὸ συμφέρον, διὸ καὶ πρὸς ἐνίων συνῆπται· διαφέρει δέ, ὅτι τὸ μὲν ἐν χρήμασιν ἢ τοιούτῳ τινί ἐστι, τὸ δὲ ἔνδοξον εἰς δόξαν, ἢ [ἢ Mon. om.] τοὐναντίον εἰς ἀδοξίαν τείνει τῶν ποιούντων· τὴν τοῦ ἐνδόξου. v. 11. An. ἡ δὲ μή. v. 12. et 15. An. ἀπελασθήσεται. v. 13. ἡ νῦν. Mon. 8. ἡμῖν. v. 15. Par. 2977. προσγενήσεται. — p. 843. v. 11. l. συνεστάναι. — p. 844. σύνθεσιν, κατὰ διαίρεσιν Ald., l. σύνθεσιν καὶ διαίρ., coll. not. 7. p. 855. 2. Theon. p. 256. 9.

# Vol. V.

p. 10. not. 12. Alc. 7. l. 1. — p. 34. v. 22. l. δι' ἑνός. — p. 67. v. 33. illis l. illic. — p. 72. v. 26. l. ἐκρινόμην. — p. 160. l. 2. l. ὅρων. — p. 162. not. 1. l. δικαιολογήσεσθαι. — p. 215. v. 18. Θέρωνος l. Ἱέρωνος. Locum hunc exscripsit Arsenius Violeto p. 313. — p. 216. v. 8. cfr. Arsen. Viol. p. 172. — p. 383. l. 11. διΐστονται, quod est in Ald. et Codd., scripsi διϊστῶνται. — p. 427. v. 32. pone ad marg. 373. — p. 450. v. 18. εἶπε l. εἰπέ. v. 21. ἐπεξερ-

*γασίαι* l. *ἐπεξεργασίᾳ*. — p. 452. v. inf. *ἐπιτελλομένον* l. *ἐπιτελλομένων*. — p. 455. v. 5. *συνίσται* l. *συνίσταται*. v. 13. *αὐτῶ* l. *αὐτῷ*. — p. 456. v. 23. *τὰ* l. *τὸ*. — p. 457. v. 14. *πηὸς* l. *πρὸς*. — p. 455. v. 13. l. *Πυθαγορικῆς αἱρέσεως*. est c. 25. T. I. p. 240. Kiessl. — p. 461. v. 16. *ἐκτυχεῖν* l. *ἐντυχεῖν*. — p. 462. v. 20. *ἐκ* l. *ἐν*. — p. 463. v. 15. dele comma. v. 18. dele *παρὰ*. — p. 464. v. 4. a. i. *ἐπήπαγε* l. *ἐπήγαγε*. v. ult. v. 16. l. p. 16. — p. 486. v. 21. l. *Πίνδαρος*.

---






THE BORROWER WILL BE CHARGED THE COST OF OVERDUE NOTIFICATION IF THIS BOOK IS NOT RETURNED TO THE LIBRARY ON OR BEFORE THE LAST DATE STAMPED BELOW.



